Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: reo-ac

Ἀλέξανδρος ὁ Ἀφροδισιεύς · Alexander of Aphrodisias

# On Aristotle's Topics Books Eight, Commentary

## Εἰς τὰ Ὀκτὼ Βιβλία Τοπικῶν Ἀριστοτέλους Ὑπομνήματα

**Period:** Ῥωμαϊκή Roman
**Dialect:** Κοινὴ φιλοσοφική Philosophical Koine
**Domain:** Φιλοσοφία Philosophy
**Format:** Πραγματεία Treatise
**Affiliation:** Aristotelian

in Top.1.(1t) ΑΛΕΧΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΗΣ ΤΟΠΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ

Τὴν μὲν πρόθεσιν τὴν κατὰ τὴν τοπικὴν πραγματείαν, καὶ πρὸς πόσα τε καὶ τίνα χρήσιμός ἐστι τῷ φιλοσοφοῦντι ἥδε ἡ μέθοδος, καὶ τί τὸ τέλος αὐτῆς, αὐτὸς λέγει, τὸ μὲν ἀρχόμενος εὐθύς, τὸ δὲ ὀλίγον προελθών, δι᾽ ὧν γνώριμον ποιεῖται ὅτι καὶ τοῖς προηγουμένως φιλοσοφοῦσιν ἀξία σπουδῆς ἡ διαλεκτική, πρὸς τὴν εὕρεσιν τῆς ἀληθείας αὐτοῖς συντελοῦσα, ὃ τέλος ἐστὶ τῆς φιλοσόφου θεωρίας. ἡμᾶς δὲ καλῶς ἔχει προειδέναι ὅτι τὸ τῆς διαλεκτικῆς ὄνομα οὐκ ἐπὶ τὸ αὐτὸ σημαινόμενον πάντες οἱ φιλόσοφοι φέρουσιν, ἀλλ᾽ οἱ μὲν ἀπὸ τῆς Στοᾶς ὁριζόμενοι τὴν διαλεκτικὴν ἐπιστήμην τοῦ εὖ λέγειν, τὸ δὲ εὖ λέγειν ἐν τῷ τὰ ἀληθῆ καὶ τὰ προσήκοντα λέγειν εἶναι τιθέμενοι, τοῦτο δὲ ἴδιον ἡγούμενοι τοῦ φιλοσόφου κατὰ τῆς τελειοτάτης φιλοσοφίας φέρουσιν αὐτό· καὶ διὰ τοῦτο μόνος ὁ σοφὸς κατ᾽ αὐτοὺς διαλεκτικός. Πλάτων δὲ τὴν διαιρετικὴν μέθοδον ἐξυμνῶν καὶ τριγχὸν αὐτὴν φιλοσοφίας λέγων, ταύτης δὲ θέμενος ἔργον εἶναι τὸ δύνασθαι τό τε ἓν πολλὰ ποιεῖν καὶ τὰ πολλὰ εἰς ἓν ἀνάγειν, ὅπερ εἴη ἂν ἴσον τῷ τὰ γένη δύνασθαι διαιρεῖν εἴς τε τὰ εἴδη καὶ τὰ ὑπὸ ταῦτα καὶ πάλιν τὰ ἄτομα συντιθέναι τε καὶ εἰς ἓν γένος ἀνάγειν τε καὶ συγκεφαλαιοῦσθαι, τὴν αὐτὴν ταύτην καὶ διαλεκτικὴν καλεῖ. Ἀριστοτέλης δὲ καὶ οἱ ἀπ᾽ αὐτοῦ οὐ ταὐτὰ περὶ τῆς διαλεκτικῆς φέρουσιν, ἀλλὰ τίθενται μὲν αὐτὴν μέθοδόν τινα εἶναι συλλογιστικήν, ἡγούμενοι δὲ τὸν συλλογισμόν, καθ᾽ ὃ συλλογισμός ἐστι, μηδὲν ἄλλον ἄλλου διαφέρειν, εἶναι δὲ αὐτῶν τὴν διαφορὰν τὴν μὲν κατὰ τὰ εἴδη τῶν προτάσεων, τὴν δὲ κατὰ τοὺς τρόπους καὶ τὰ σχήματα, τὴν δὲ κατὰ τὴν ὕλην περὶ ἥν εἰσιν, ὧν ἡ μὲν πρώτη διαφορὰ ποιεῖ τῶν συλλογισμῶν τοὺς μὲν δεικτικούς, οὓς κατηγορικοὺς καλοῦμεν, τοὺς δὲ ὑποθετικούς, ἡ δὲ δευτέρα καθ᾽ ἣν τοὺς μὲν τελείους τοὺς δὲ ἀτελεῖς, καὶ τοὺς μὲν ἐν πρώτῳ τοὺς δὲ ἐν δευτέρῳ τοὺς δὲ ἐν τρίτῳ σχήματι, ὡς ἐν τοῖς Προτέροις ἀναλυτικοῖς δείκνυται· οἱ γὰρ δὴ συλλογισμοί, ὅ τε λέγων ‘πᾶς ἄνθρωπος γελαστικόν, οὐδὲν γελαστικὸν ἵπποσ‘ καὶ ὁ λέγων ‘πᾶς ἄνθρωπος γελαστικόν, οὐδεὶς ἵππος γελαστικόν‘ ἔτι τε ὁ λέγων ‘πᾶν γελαστικὸν ἄνθρωπος, οὐδὲν γελαστικὸν ἵπποσ‘, τὴν αὐτὴν ὕλην ἔχοντες οὐκ εἰσὶν ἀλλήλοις οἱ αὐτοὶ παρὰ τὴν διάφορον τῶν προτάσεων λῆψίν τε καὶ θέσιν· ἔστι γὰρ αὐτῶν ὁ μὲν ἐν τῷ πρώτῳ, ὁ δὲ ἐν τῷ δευτέρῳ, ὁ δὲ ἐν τῷ τρίτῳ σχήματι.

in Top.2 ἡ δὲ τρίτη ἡ κατὰ τὴν ὕλην τοὺς μὲν ποιεῖ ἀποδεικτικοὺς τοὺς δὲ διαλεκτικοὺς τοὺς δὲ ἐριστικούς. ὡς γὰρ αἱ τέχναι μηδὲν ἀλλήλων, καθ᾽ ὃ τέχναι εἰσί, διαφέρουσαι παρὰ τὴν τῆς

ὕλης περὶ ἥν εἰσι διαφορὰν καὶ τὸν τῆς χρήσεως τρόπον τὴν διαφορὰν λαμβάνουσιν, ὡς εἶναι τὴν μὲν αὐτῶν τεκτονικὴν τὴν δὲ οἰκοδομικὴν τὴν δὲ ἄλλην τινά, οὕτω καὶ οἱ συλλογισμοί. ὁ μὲν γὰρ ἐξ ἀληθῶν τε καὶ οἰκείων τῷ προκειμένῳ καὶ πρώτων τε καὶ γνωριμωτέρων δεικνὺς καὶ συνάγων τὸ προκείμενον συλλογισμὸς ἀποδεικτικὸς ὑπὸ τῶν παλαιῶν καλεῖται, καὶ ἀπόδειξιν λέγουσι τὴν μέθοδον τὴν διὰ τοιούτων συλλογιστικήν, τὸν δὲ δι’ ἐνδόξων συλλογιζόμενον διαλεκτικὸν καὶ διαλεκτικὴν ἀκολούθως τὴν διὰ τοιούτων συλλογιστικήν, τὸν δὲ ἐκ φαινομένων ἐνδόξων σοφιστικὸν καὶ σοφιστικὴν τὴν τούτοις χρωμένην. κατὰ γὰρ τὸ εἶδος οὐδὲν ἀλλήλων διαφέροντες οἱ συλλογισμοί, ὅ τε λέγων ‘ἡ ἡδονὴ ἀτελές, οὐδὲν ἀγαθὸν ἀτελέσ‘ καὶ ὁ λέγων ‘τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖ, ἡ ἡδονὴ δὲ οὐ ποιεῖ ἀγαθούσ‘ (ἀμφότεροι γὰρ ἐν δευτέρῳ σχήματι), κατὰ τὴν ὕλην ἔχουσι τὴν διαφοράν. ὁ μὲν γὰρ πρῶτος ἀποδεικτικὸς εἶναι βούλεται· ἐκ γὰρ τοῦ ἀποδεδομένου τῆς ἡδονῆς ὁρισμοῦ τὴν ἀρχὴν ἔχει· λέγουσιν γὰρ τὴν ἡδονὴν εἶναι γένεσιν εἰς φύσιν αἰσθητήν, ἡ δὲ γένεσις ἀτελής.

in Top.3 ὁ δὲ δεύτερος δι’ ἐνδόξων πρόεισι· τὸ γὰρ ἀγαθὸν ἀγαθοὺς ποιεῖν οὐκ ὂν ἀληθὲς ἔνδοξόν ἐστι. φέροντες δὲ τὸ τῆς διαλεκτικῆς ὄνομα ἐπὶ τῆς οὕτω καὶ διὰ τοιούτων συλλογιζομένης μεθόδου, ἀκολούθως ὁρίζονται αὐτὴν μέθοδον δι’ ἐνδόξων περὶ παντὸς τοῦ προκειμένου συλλογιστικήν. καὶ εἰκότως ἡ τοιαύτη μέθοδος διαλεκτικὴ καλεῖται. εἰ γὰρ ἡ διαλεκτικὴ ἀπὸ τοῦ διαλέγεσθαι, τὸ δὲ διαλέγεσθαι ἐν ἐρωτήσει τε καὶ ἀποκρίσει, ὁ δὲ ἐρωτῶν ἐρωτᾷ περὶ παντὸς τοῦ προβεβλημένου ὑπὸ τοῦ ἀποκρινομένου, δι’ ὧν ἂν ἐκ τῆς ἐρωτήσεως λάβῃ πάντως συλλογιούμενος, καθ’ ὅσον μὲν περὶ παντὸς τοῦ προτεθέντος πειρᾶται συλλογίζεσθαι, οὐκ ἐξ ἀληθῶν ἔσται συλλογιζόμενος. οὔτε γὰρ πᾶν τὸ προτιθέμενον ἀληθές (προτίθεται γοῦν καὶ τὰ ἀντικείμενα, οἷον ὅτι ἡ ἡδονὴ ἀγαθόν, καὶ πάλιν ὅτι οὐκ ἀγαθόν, καὶ ὅτι ἡ ψυχὴ ἀθάνατος, καὶ πάλιν ὅτι οὐκ ἀθάνατος· ἀδύνατον δὲ τὰ ἀντικείμενα ἀλλήλοις ἄμφω ἀληθῆ εἶναι), οὔτε τὸ μὴ ἀληθὲς δι’ ἀληθῶν οἷόν τε συλλογίζεσθαι· πᾶν γὰρ τὸ δι’ ἀληθῶν δεικνύμενον ἀληθές. καθ’ ὅσον δ’ αὖ διὰ τῶν ἐκ τῶν ἐρωτήσεων συγχωρουμένων, δι’ ἐνδόξων· τὰ γὰρ ἔνδοξα καὶ πιθανὰ διδόασί τε καὶ συγχωροῦσιν οἱ ἀποκρινόμενοι. οὐ πάντα δὲ τὰ ἔνδοξα καὶ κυρίως ἀληθῆ· ἔργον γοῦν τῶν ἐρωτώντων ἐστὶ καὶ εἰς παραδόξους ἀποκρίσεις ἀγαγεῖν τοὺς ἀποκρινομένους, ὥσπερ καὶ τὸ εἰς ἀντίφασιν. ὥστε οὐκ ἐν τῷ δι’ ἀληθῶν συλλογίζεσθαι ἡ διαλεκτικὴ τὸ εἶναι ἂν ἔχοι ἀλλ’ ἐν τῷ δι’ ἐνδόξων. διὸ οἱ ἐπ’ ἄλλο τι σημαινόμενον μεταφέροντες αὐτὴν οὐκ οἰκείως καταχρῶνται τῷ τῆς διαλεκτικῆς ὀνόματι. Τοιαύτην δὲ οὖσαν αὐτὴν εἰκότως καὶ ἀντίστροφόν φησιν Ἀριστοτέλης εἶναι τῇ ῥητορικῇ, ἐπειδὴ κἀκείνη περὶ τὰ πιθανά, ἃ τῷ ἔνδοξα εἶναι καὶ αὐτά ἐστι τοιαῦτα· τὸ γὰρ ἀντίστροφον ἀντὶ τοῦ ἰσόστροφόν τε καὶ περὶ τὰ αὐτὰ στρεφομένην καὶ καταγινομένην λέγει. οὐ γὰρ ὡς τῶν ἐπιστημῶν ἑκάστη περί τι γένος ἀφωρισμένον οὖσα τὰ οἰκεῖα ἐκείνῳ τῷ γένει καὶ καθ’ αὑτὰ ὑπάρχοντα δείκνυσί τε καὶ λαμβάνει διὰ τῶν οἰκείων ἀρχῶν ἐκείνῳ τῷ γένει, οὕτως καὶ αὗται. οὔτε γὰρ ἕν τι γένος τὸ ὑποκείμενον αὐτῶν ἑκατέρᾳ, οὔτε περὶ οὗ ἂν τὸν λόγον ποιῶνται, διὰ τῶν οἰκείων ἐκείνῳ καὶ ἐν τῇ οὐσίᾳ ὄντων αὐτοῦ δεικνύουσιν ἃ δεικνύουσιν, ἀλλ’ ἥ τε πραγματεία αὐταῖς περὶ κοινά (διαλεκτικοῦ γὰρ ὁμοίως μὲν περὶ μουσικῶν, ὁμοίως δὲ περὶ ἰατρικῶν, ἔτι δὲ γεωμετρικῶν, φυσικῶν τε καὶ ἠθικῶν καὶ λογικῶν καὶ περὶ πάντων τῶν προτεθέντων ἐπιχειρεῖν), αἵ τε δείξεις διὰ κοινῶν τε καὶ ἐνδόξων καὶ οὐκ οἰκείων τοῖς προκειμένοις· οὐ γὰρ διὰ ἰατρικῶν ἀρχῶν ὁ διαλεκτικὸς τῶν κατὰ τὴν ἰατρικήν τι δείκνυσιν (ἰατροῦ γὰρ τοῦτο), οὐδὲ διὰ γεωμετρικῶν τὰ γεωμετρικά (ἦν γὰρ ἂν γεωμέτρης), ἀλλ’ ἔστιν ἴδιον αὐτῷ τὸ περὶ πάντων τῶν προτεθέντων δι’ ἐνδόξων συλλογίζεσθαι.

in Top.4 τίνα δέ ἐστι τὰ ἔνδοξα, ὀλίγον ὕστερον ἔσται γνώριμον. καὶ ὁ ῥήτωρ δέ, εἰ καὶ μὴ περὶ πάντων ὁμοίως τῷ διαλεκτικῷ, ἀλλ’ οὖν οὐδὲ αὐτὸς περὶ ἕν τι γένος ἀφωρισμένον· καὶ γὰρ περὶ ἰατρικῶν ὁ ῥήτωρ λέγει καὶ περὶ φιλοσόφων καὶ περὶ μουσικῶν, μάλιστα δὲ περὶ πολιτικῶν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δοκεῖ γὰρ τοῦ ῥήτορος οἰκεία ὕλη εἶναι ἡ ἐν τοῖς πολιτικοῖς τε καὶ πρακτοῖς. καὶ περὶ ἁπάντων, περὶ ὧν ἂν λέγῃ, καὶ αὐτὸς ἐκ πιθανῶν τινων καὶ ἐνδόξων τὰς ἐπιχειρήσεις ποιήσεται ὁμοίως τῷ διαλεκτικῷ· καὶ γὰρ καὶ αὐτὸς εἰς τὰ ἀντικείμενα ἐπιχειρεῖ, τὸ αὐτὸ ποτὲ μὲν καλὸν ποτὲ δὲ οὐ καλόν, καὶ ποτὲ μὲν συμφέρον ποτὲ δὲ μή, καὶ ποτὲ μὲν δίκαιον ποτὲ δὲ μὴ δεικνύς. ὥστε κοινὸν αὐταῖς καὶ τοῦτο, τὸ ὁμοίως πρὸς ἀμφότερα τὰ ἀντικείμενα ταῖς δυνάμεσι χρῆσθαι. οἱ μὲν γὰρ κατὰ τὰς ἐπιστήμας, εἰ καὶ γνῶσιν ἔχουσι τῶν ἀντικειμένων, ἀλλὰ σκοπός γε αὐτοῖς ὁ κατὰ τὴν ἐπιστήμην θάτερον μέρος τῶν ἀντικειμένων ἀφωρισμένως, τὸ βέλτιον· ἰατροῦ μὲν γὰρ τὸ ὑγιάζειν, ἀλείπτου δὲ τὸ εὐεξίαν περιποιεῖν, ἄλλῳ δὲ ἄλλο τι ἀφωρισμένως, τὸ βέλτιον τῶν ἀντικειμένων τῶν περὶ ἃ πραγματεύεται. καὶ γὰρ ἡ γνῶσις αὐτοῖς ἡ τῶν τούτοις ἀντικειμένων οὐ προηγουμένη ἀλλ' ἑπομένη τῇ τούτων γνώσει· ἕπεται γὰρ τῇ τῶν ὑγείας ποιητικῶν ἐπιστήμῃ καὶ ἡ τῶν νοσοποιεῖν δυναμένων γνῶσις. ὁ δὲ διαλεκτικός τε καὶ ὁ ῥήτωρ ὁμοίως τὴν τῶν ἀντικειμένων δεῖξιν σκοπὸν ἔχουσι. διὸ καὶ δυνάμεις αὐτὰς καλοῦσι· τὸ γὰρ κυρίως δυνάμενόν τι τὰ ἀντικείμενα δύναται. λέγουσι μὲν γάρ τινες αὐτὰς δυνάμεις καλεῖσθαι διὰ τὸ ἐν δυνάμει τινὶ καὶ ὑπεροχῇ ποιεῖν τοὺς χρωμένους αὐταῖς· οἱ γὰρ πολλοὶ τοὺς τοιούτους τεθαυμάκασιν ὡς πλέον τῶν ἄλλων δυναμένους· ἀλλὰ καὶ διὰ τὸ δύνασθαι καὶ εὖ καὶ κακῶς αὐταῖς χρῆσθαι τοὺς ἔχοντας· διὰ τοῦτο γὰρ καὶ τῶν ἀγαθῶν τὰ ὀργανικὰ δυνάμεις καλεῖσθαι. ἀλλ' οὖν εἰ καὶ ταῦτα αὐταῖς παρακολουθεῖ, ἀλλὰ κυρίως γε δυνάμεις διὰ τὸ ὁμοίως τὰ ἀντικείμενα δύνασθαι· οὐδὲν γὰρ μᾶλλον ὁ διαλεκτικός, καθ' ὃ τοιοῦτος, τόδε ἢ τὸ ἀντικείμενον αὐτῷ συλλογίζεται· ὁμοίως δὲ καὶ ὁ ῥήτωρ.

in Top.5 κοινὸν γοῦν αὐταῖς τό τε μὴ περὶ ἕν τι γένος ἀφωρισμένον πραγματεύεσθαι καὶ τὸ δι' ἐνδόξων καὶ πιθανῶν καὶ μὴ δι' οἰκείων ἀρχῶν τῷ προκειμένῳ καὶ τὸ ὁμοίως περὶ τὰ ἀντικείμενα ἀλλήλοις εἶναι. διαφέρουσι δὲ ἀλλήλων τῷ τὴν μὲν διαλεκτικὴν περὶ πᾶσαν ὕλην τῇ δυνάμει χρῆσθαι καὶ μὴ διεξοδικοὺς ποιεῖσθαι τοὺς λόγους ἀλλ' ἐν ἐρωτήσει τε καὶ ἀποκρίσει (ἀπὸ γὰρ τούτου καὶ ὅλον τὸ ὄνομα αὐτῇ) καὶ καθολικωτέρας καὶ κοινοτέρας τὰς ἀποφάνσεις ποιεῖσθαι, τὴν δὲ ῥητορικὴν μήτε περὶ πᾶσαν ὕλην ὁμοίως εἶναι τῇ διαλεκτικῇ (περὶ γὰρ τὴν πολιτικὴν μᾶλλον ὁ ῥήτωρ, ὡς προείρηται) καὶ διεξοδικῷ γε ὡς ἐπὶ τὸ πλεῖστον χρῆσθαι τῷ λόγῳ καὶ περὶ τῶν καθ' ἕκαστα μᾶλλον λέγειν. πρὸς γὰρ τὰς περιστάσεις καὶ τὰς τύχας τε καὶ τοὺς καιροὺς καὶ τὰ πρόσωπα καὶ τοὺς τόπους καὶ τὰ τοιαῦτα τοὺς λόγους σχηματίζει, ἅπερ ἐν τοῖς καθ' ἕκαστά ἐστι· περὶ τοιούτων γὰρ αἵ τε δίκαι καὶ αἱ συμβουλαὶ καὶ τὰ ἐγκώμια. Περὶ δὲ τῆς οὕτως λεγομένης διαλεκτικῆς Ἀριστοτέλης μὲν καὶ ἐν ἄλλοις βιβλίοις πεπραγμάτευται, μάλιστα δὲ ἐν τούτοις, ἃ ἐπιγράφεται Τοπικὰ ἀπὸ τοῦ τόπους τινὰς ἐν αὐτοῖς παραδίδοσθαι, ἀφ' ὧν ὁρμώμενοι δυνησόμεθα περὶ παντὸς τοῦ προτεθέντος δ ι ' ἐνδόξων συλλογίζεσθα ι , ὥς φησιν αὐτός. ἔστι γὰρ ὁ τόπος, ὡς λέγει Θεόφραστος, ἀρχή τις ἢ στοιχεῖον, ἀφ' οὗ λαμβάνομεν τὰς περὶ ἕκαστον ἀρχὰς ἐπιστήσαντες τὴν διάνοιαν, τῇ περιγραφῇ μὲν ὡρισμένος (ἢ γὰρ περιλαμβάνει τὰ κοινὰ καὶ καθόλου, ἅ ἐστι τὰ κύρια τῶν συλλογισμῶν, ἢ δύναταί γε ἐξ αὐτῶν τὰ τοιαῦτα δείκνυσθαί τε καὶ λαμβάνεσθαι), τοῖς δὲ καθ' ἕκαστα ἀόριστος· ἀπὸ τούτων γὰρ ἔστιν ὁρμώμενον εὐπορεῖν προτάσεων ἐνδόξων πρὸς τὸ προκείμενον· τοῦτο γὰρ ἡ ἀρχή. [ἀξιοῦσι δέ τινες τὸ πρῶτον βιβλίον μὴ Τοπικὸν ἀλλὰ Πρὸ τῶν τόπων ἐπιγράφεσθαι.] ἐνίοτε ὅσα ἀναγκαῖα τὸ ἐξ ἐνδόξων· οὐ γὰρ οἷόν τε περὶ παντὸς τοῦ προτεθέντος ἐξ ἀληθῶν συλλογίζεσθαι, ὡς προείρηται.

in Top.6 τὸ γὰρ ὅτι ἡ ἡδονὴ ἀγαθὸν τέλος δι' ἀληθῶν μὲν οὐχ οἷόν τε δεῖξαι, ὅτι μηδὲ ἀληθές ἐστι τὸ δεικνύμενον, δι' ἐνδόξων μέντοι οἷόν τε· ἂν γὰρ λάβωμεν ὅτι πᾶν, ὃ αἱρετὸν ὂν μὴ δι' ἄλλο τι ἀλλὰ δι' αὑτὸ τοιοῦτόν ἐστι, τελικὸν ἀγαθόν ἐστι, καὶ προσλάβωμεν τὸ 'ἡ δὲ ἡδονὴ τοιοῦτον' ἔνδοξον ὄν, συνάξομεν τὸ προκείμενον. πάλιν ἂν λάβωμεν ὅτι, ὃ πάντα τὰ ζῷα αἱρεῖται ὁμοίως, λογικά τε καὶ ἄλογα, τοῦτο μάλιστα κατὰ φύσιν, τὸ δὲ μάλιστα κατὰ φύσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τελικώτατον, καὶ συλλογισάμενοι ὅτι, ὃ πάντα τὰ ζῷα ὁμοίως, λογικά τε καὶ ἄλογα, αἱρεῖται, τοῦτό [μάλιστα κατὰ φύσιν] ἐστι τελικώτατον, εἶτα προσλάβωμεν ὅτι τὴν δὲ ἡδονὴν πάντα ὁμοίως, λογικά τε καὶ ἄλογα, αἱρεῖται, πάλιν τὸ αὐτὸ ἐσόμεθα συλλελογισμένοι. ἐπεὶ γὰρ περὶ παντὸς μὲν πρόκειται τῷ διαλεκτικῷ συλλογίζεσθαι, ἐν δὲ τοῖς πᾶσίν ἐστι καὶ τὰ ψευδῆ, οὐχ οἷόν τε δὲ δι' ἀληθῶν ψεῦδος συλλογίζεσθαι, δῆλον ὡς δι' ἀληθῶν μὲν οὐ συλλογιεῖται τὰ τοιαῦτα τῶν προβλημάτων, δι' ἐνδόξων δέ· οὐ γὰρ ἀδύνατον καὶ ψευδῆ τινα ὄντα ἔνδοξα εἶναι. εἰ γὰρ πάλιν μὴ δι' ἐνδόξων ἀλλὰ φαινομένων ἐνδόξων, οὐκ ἔσται διαλεκτικὸς ἀλλὰ σοφιστής, ὡς δέδειχεν ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις· ἡ δὲ προκειμένη πραγματεία διαλεκτική. προσκείμενον δὲ τὸ περὶ παντὸς χωρίζει πως τῆς ῥητορικῆς τὴν διαλεκτικήν· οὐ γὰρ ὁμοίως περὶ παντὸς προβλήματος ἡ ῥητορικὴ συλλογιστική· ὕλη γὰρ μᾶλλον τῷ ῥήτορι τὰ ἠθικά τε καὶ πολιτικὰ προβλήματα, ὡς προειρήκαμεν, ἃ δι' ἐνδόξων πειρᾶται καὶ αὐτὴ δεικνύναι. κοινότερον δὲ τὸ περὶ παντὸς εἶπε, καθ' ὅσον καὶ περὶ φυσικῶν καὶ περὶ ἠθικῶν καὶ περὶ λογικῶν προβλημάτων ὁ διαλεκτικὸς διαλαμβάνει. ἔστι μέντοι τινὰ ἐν τούτοις οὐ διαλεκτικὰ προβλήματα, περὶ ὧν δῆλον ὅτι οὐκέτι ὁ διαλεκτικὸς ἐρεῖ, ὥστε οὐχ ἁπλῶς περὶ πάντων· οὐ γὰρ περὶ τῶν "αἰσθήσεως ἢ κολάσεως δεομένων", ἀλλ' οὐδ' "ὧν σύνεγγυς ἡ ἀπόδειξις, οὐδ' ὧν λίαν πόρρω", ὡς αὐτὸς μετ' ὀλίγον λέγων περὶ τοῦ διαλεκτικοῦ προβλήματος ἐρεῖ. ἢ περὶ τῶν τοιούτων οὐ λέγει, ὅτι μηδὲ προβλήματα ταῦτα τὴν ἀρχήν· εἶπε δὲ περὶ παντὸς τοῦ προτεθέντος προβλήματο ς .

in Top.7 δῆλον ὅτι διαλεκτικοῦ. p. 100a21 Πρῶτον οὖν ῥητέον τί ἐστι συλλογισμό ς . Εἰπὼν ὅτι ἐστὶν ἡ πρόθεσις περὶ παντὸς τοῦ προτεθέντος προβλήματος δι' ἐνδόξων συλλογίζεσθαι, εἰκότως πρῶτον, τί ἐστι συλλογισμό ς , λέγει. ἔπειτα τὰς διαφορὰς τῶν συλλογισμῶν ἐρεῖ, ἵνα ὁποῖός τίς ἐστιν ὁ διαλεκτικὸς συλλογισμὸς ὁ δι' ἐνδόξων γινόμενος, περὶ οὗ νῦν πραγματευόμεθα, καὶ τίνι τῶν ἄλλων διαφέρει, φανερὸν γένηται. p. 100a25 Ἔστι δὴ συλλογισμὸς λόγο ς , ἐν ᾧ τεθέντων τινῶ ν . Περὶ τοῦ ὅρου τοῦ συλλογισμοῦ καὶ τῶν πρὸς αὐτὸν ὑπό τινων προσαπορουμένων εἴρηται μὲν ἡμῖν καὶ ἐν τοῖς εἰς τὰ Πρότερα ἀναλυτικὰ ὑπομνήμασιν· καὶ γὰρ προηγούμενος ὁ περὶ συλλογισμῶν λόγος ἐν ἐκείνοις, ἐν οἷς παραδίδωσιν ὁ Ἀριστοτέλης πᾶσαν τὴν μέθοδον τὴν συλλογιστικήν· καὶ νῦν δέ, ὅσα πρὸς σαφήνειαν τοῦ ὅρου φέρει, τούτων μνημονεύσομεν. ἐν γένει μὲν οὖν τῷ λόγῳ τὸν συλλογισμὸν ἔθετο, ἐπεὶ ὁ λόγος κατηγορούμενος τοῦ συλλογισμοῦ συνωνύμως οὐ κατὰ τούτου μόνου κατηγορεῖται ἀλλὰ καὶ κατ' ἄλλων κατ' εἶδος τοῦ συλλογισμοῦ διαφερόντων· καὶ γὰρ καὶ κατὰ μύθου καὶ κατὰ διηγήσεως καὶ κατὰ δημηγορίας καὶ κατὰ ἄλλων μυρίων κατ' εἶδος ἀλλήλων διαφερόντων ὁ λόγος συνωνύμως τε καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται. ταῖς δὲ προστιθεμέναις τῷ λόγῳ διαφοραῖς χωρίζει τῶν ἄλλων λόγων τὸν συλλογισμόν, καὶ ἐν τίνι ἐστὶν αὐτῷ τὸ εἶναι, δηλοῖ. ἐν ᾧ γὰρ λόγῳ τεθέντων τινῶν ἕτερο ν , φησί, τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει διὰ τῶν κειμένω ν , τοῦτον εἶναι τὸν συλλογισμόν, διὰ μὲν τοῦ τεθέντων χωρίζων τὸν συλλογισμὸν τῶν ἄλλων λόγων, ἐν οἷς οὐδὲν τίθεται, οἷός ἐστι καὶ ὁ διηγηματικός. σημαίνει δὲ αὐτῷ τὸ τεθέντων 'ληφθέντων τε καὶ ὁμολογηθέντων καὶ συγχωρηθέντων', συγχωρηθέντων δὲ ἤτοι ὑπὸ τοῦ προσδιαλεγομένου, εἰ πρὸς ἄλλον ὁ συλλογισμὸς γίνοιτο, ἢ ὑφ' αὑτοῦ, εἰ ἐφ' ἑαυτοῦ τις δεικνύς τι συλλογίζοιτο· καὶ γὰρ τὸν οὕτως δεικνύντα δεῖ λαβεῖν τινα καὶ συγχωρῆσαί τισιν ὡς οὕτως ἔχουσιν, ἔπειτα διὰ τούτων ὡς ὁμολογουμένων ἄλλο τι δεῖξαι.

in Top.8 ὅτι δὲ καλῶς τῇ τεθέντων φωνῇ κέχρηται, δῆλον ἐκ τοῦ μὴ οἷόν τε εἶναι αὐτὴν εἰς εὐσημοτέραν μεταλαβεῖν. συγχωρῆσαι δὲ καὶ λαβεῖν οὐ πάντως καταφατικά· τίθεται γὰρ καὶ συγχωρεῖται οὐδὲν ἧττον τῶν καταφατικῶν καὶ τὰ ἀποφατικά, καὶ οὐ πάντως ὁ συλλογισμὸς καταφατικῶν πάντων δεῖται τῶν τιθεμένων. δύναται τὸ τεθέντων ἐμφαίνειν καὶ τὸ κατηγορικόν· τίθενται γὰρ κυρίως ταῦτα ἐν τῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν λαμβανόμενα· τὰ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑποθετικὰ οὐ τίθεται ἀλλ’ ὑποτίθεται. δοκοῦσι γὰρ τῷ Ἀριστοτέλει ἁπλῶς καὶ κυρίως ἔχειν συλλογισμοί, ὡς ἐν τοῖς Προτέροις ἀναλυτικοῖς δείκνυσιν, οἱ κατηγορικοί· οἱ δὲ ὑποθετικοὶ οὐχ ἁπλῶς εἰσι συλλογισμοὶ ἀλλὰ μετὰ προσθήκης. οὕτως δ’ ἂν εἴη τοῦ ἁπλῶς καὶ κυρίως λεγομένου συλλογισμοῦ τὸν λόγον ἀποδιδούς. τεθέντων δὲ εἶπεν ἀλλ’ οὐ ‘τεθέντοσ‘, ὥς τινες ἀξιοῦσιν αἰτιώμενοι τὸν λόγον, ὅτι μηθὲν συλλογιστικῶς δι’ ἑνὸς ληφθέντος δείκνυται, ἀλλ’ ἐκ δύο τοὐλάχιστον. οὓς γὰρ οἱ περὶ Ἀντίπατρον μονολημμάτους συλλογισμοὺς λέγουσιν, οὐκ εἰσὶ συλλογισμοί, ἀλλ’ ἐνδεῶς ἐρωτῶνται, ὡς οἱ τοιοῦτοι ‘ἡμέρα ἐστί, φῶς ἄρα ἐστίν‘· ‘ἀναπνεῖς, ζῇς ἄρα‘. διότι γὰρ ἡμέρας οὔσης φῶς ἐστιν, ἡμέρα δέ ἐστι, διὰ τοῦτο 〈τὸ〉 ‘φῶς ἐστι‘ συλλογιστικῶς δείκνυται, καὶ ὅτι ὁ ἀναπνέων ζῇ, ἀναπνεῖς δὲ σύ, διὰ τοῦτο τὸ ‘ζῇσ‘ συνάγεται, ἢ διότι πᾶς ὁ ἀναπνέων ζῇ, σὺ δὲ ἀναπνεῖς, ἀλλ’ οὐχ ἁπλῶς διὰ τοῦ ‘ἡμέρα ἐστί‘ τὸ ‘φῶς ἐστιν‘, ἀλλ’ οὐδὲ διὰ τοῦ ‘ἀναπνεῖσ‘ τὸ ‘ζῇσ‘. ἐφ’ ὧν γοῦν μή ἐστι τὸ συνημμένον γνώριμον, οὐκ ἀρκεῖ πρὸς τὸ συμπέρασμα ληφθεῖσα μόνη ἡ πρόσληψις. τῷ γοῦν ‘κίνησίς ἐστιν‘ οὐ δοκεῖ ἕπεσθαι τὸ ‘οὐκ ἔστι κενόν‘, ὅτι μὴ γνώριμόν ἐστι τὸ συνημμένον τὸ ‘εἰ κίνησίς ἐστιν, οὐκ ἔστι κενόν‘· καίτοι καὶ τοῦτο δέδεικται ὑπὸ Ἀριστοτέλους ἀληθὲς ὄν. τῷ οὖν γνωρίμῳ τοῦ συνημμένου καὶ ἐναργεῖ χρώμενοι ἢ τῷ τῆς καθόλου προτάσεως φανερῷ ἡγοῦνται δι’ ἑνὸς τεθέντος συλλογίζεσθαί τι. σημεῖον δὲ τούτου φανερώτατον τὸ μὴ γίνεσθαι παρέλκοντα τὸν λόγον τὸν μετὰ τοῦ συνημμένου λαμβανόμενον τὸν ‘εἰ ἡμέρα ἐστί, φῶς ἐστιν, ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστί‘.

in Top.9 καίτοι εἰ διὰ τοῦ ‘ἡμέρα ἐστί‘ τὸ φῶς δείκνυται, παρέλκον γίνεται τὸ συνημμένον· τὸ γὰρ τοῖς συλλογιστικῶς δεικνύουσιν ἔξωθεν προστιθέμενον πρὸς τὴν τοῦ αὐτοῦ δεῖξιν παρέλκον. οὐκ ὂν δὲ παρέλκον ἐν τούτῳ τῷ λόγῳ δείκνυσιν, ὅτι ἐν ἐκείνῳ λείπει τι ἢ ἐνδεὴς ὁ λόγος καὶ ὁ συλλογισμός. οὐ γὰρ πάντως, εἴ τι ἕπεταί τινι ἐξ ἀνάγκης, ἤδη καὶ συλλογιστικῶς ἕπεται· οὐ γάρ, ἐπεὶ τὸ συλλογιστικῶς ἑπόμενον ἐξ ἀνάγκης ἕπεται, ἤδη καὶ ὃ ἐξ ἀνάγκης ἕπεταί τινι, συλλογιστικῶς ἕπεται· οὐ γὰρ ἀντιστρέφεται· ἐπὶ πλέον γὰρ τὸ ἀναγκαῖον τῆς ἐν συλλογισμοῖς ἀνάγκης. τοιοῦτοι δέ εἰσι καὶ οἱ ῥητορικοὶ συλλογισμοί, οὓς ἐνθυμήματα λέγομεν· καὶ γὰρ ἐν ἐκείνοις δοκεῖ γίνεσθαι διὰ μιᾶς προτάσεως συλλογισμὸς τῷ τὴν ἑτέραν γνώριμον οὖσαν ὑπὸ τῶν δικαστῶν ἢ τῶν ἀκροατῶν προστίθεσθαι· οἷον ‘οὗτος ἄξιός ἐστι κολάσεως· προδότης γάρ‘· προστίθησι γὰρ ὁ δικαστὴς ὡς ἐναργὲς τὸ πάντα τὸν προδότην κολάσεως ἄξιον εἶναι· ἔχει γὰρ τὸ ὑπὸ τοῦ νόμου λεγόμενόν τε καὶ τιθέμενον. διὸ οὐδὲ οἱ τοιοῦτοι κυρίως συλλογισμοί, ἀλλὰ τὸ ὅλον ῥητορικοὶ συλλογισμοί. ἐφ’ ὧν γοῦν μὴ γνώριμόν ἐστι τὸ παραλειπόμενον, οὐκέτι ἐπὶ τούτων οἷόν τε τὸν δι’ ἐνθυμήματος γίνεσθαι συλλογισμόν· καὶ γὰρ καὶ ἀπ’ αὐτοῦ τοῦ ὀνόματος ὁ συλλογισμὸς σύνθεσίν τινα λόγων ἔοικε σημαίνειν, ὥσπερ καὶ ὁ συμψηφισμὸς ψήφων. Τὸ δὲ ἕτερόν τι τῶν κειμένων ὀφείλειν τὸ συναγόμενον εἶναι προσκείμενον τοῦ χρειώδους τε καὶ χρησίμου τῶν συλλογισμῶν ἐστι δεικτικόν. καὶ σχεδὸν διὰ τῆς τούτου προσθήκης δείκνυσιν ὁ Ἀριστοτέλης ὅτι ὄργανόν ἐστιν ὁ συλλογισμός. ἔστι γὰρ πρὸς τὸ φανερόν τι ποιῆσαι μὴ δοκοῦν εἶναι γνώριμον διά τινων γνωρίμων τε καὶ φανερῶν ἡ τοῦ συλλογισμοῦ χρεία· ὥστε εἰ μὴ οἷόν τε ταὐτὸν ἅμα φανερόν τε καὶ ἀφανὲς εἶναί τι, οὐδ’ ἂν ἡ τοῦ συλλογισμοῦ σώζοιτο χρεία, ἐν οἷς μὴ ἕτερόν ἐστι τῶν δεικνύντων τὸ δεικνύμενον. ὁ δὲ μὴ παρεχόμενος τὴν τοῦ συλλογισμοῦ χρείαν λόγος οὐδὲ συλλογισμός. εἰ γὰρ ὁ συλλογισμὸς ὄργανον, πᾶν δὲ ὄργανον χρήσιμον, ὁ συλλογισμὸς χρήσιμος· ἐν οἷς δὲ λόγοις ταὐτό τινι τῶν κειμένων ἐπιφέρεται, οὗτοι οὐ χρήσιμοι· ἐν οἷς ἄρα λόγοις τὸ αὐτό τινι τῶν κειμένων ἐπιφέρεται, οὗτοι οὐ συλλογισμοί. ὅτι δὲ τὸ ὄργανον χρήσιμον, δῆλον· ἐν πᾶσι γὰρ τοῖς ὀργάνοις ὁρῶμεν, ὅταν μὴ τὴν οἰκείαν χρείαν παρέχεσθαι δύνηται, ἀναιρούμενα αὐτά.

in Top.10 οὔτε γὰρ λύραν ἄν τις εἴποι ᾗ οὐχ οἷόν τε μουσικῶς χρῆσθαι, οὔτε σκέπαρνον ᾧ μὴ τεκτονικῶς· ὁ γὰρ καὶ τὰ ἐκπίπτοντα τῆς χρείας ἔτι λέγων τῷ αὐτῷ ὀνόματι ὁμωνύμως λέγει, ὡς καὶ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γεγραμμένα ἢ πεπλασμένα, ὡς χεῖρα τὴν λιθίνην. οὐδὲ συλλογισμὸς οὖν ἔτι εἴη ἂν ὁ μὴ τὴν χρείαν σώζων τὴν τοῦ συλλογισμοῦ. τοιοῦτος δὲ ὁ συλλογισμὸς ἐν ᾧ τὸ αὐτὸ ⟨τὸ⟩ συμπέρασμά τινι τῶν κειμένων· οἷοί εἰσι κατὰ τοὺς ἀπὸ τῆς Στοᾶς οἱ διφορούμενοί τε καὶ οἱ ἀδιαφόρως περαίνειν ὑπ’ αὐτῶν λεγόμενοι. διφορούμενοι μὲν γάρ εἰσι κατ’ αὐτοὺς οἱ τοιοῦτοι ‘εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν‘· ἀδιαφόρως δὲ περαίνοντες ἐν οἷς τὸ συμπέρασμα ταὐτόν ἐστιν ἑνὶ τῶν λημμάτων, ὡς ἐπὶ τῶν τοιούτων ‘ἤτοι ἡμέρα ἐστὶν ἢ φῶς ἐστιν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν‘. εἰ δή τις λέγοι καὶ τοὺς τοιούτους λόγους συλλογισμούς, ὁμωνύμως ἂν λέγοι. πῶς γὰρ οὐκ ἄτοπον τὸ ἤδη κείμενον συνάγεσθαι καὶ δείκνυσθαι λέγειν; πῶς δ’ οὐ τὰ ἐν ἀρχῇ λαμβανόντων; ὁ γὰρ τὸ δεικνύμενον ἐν ταῖς προδεικνυούσαις αὐτὸ προτάσεσι λαμβάνων τὸ ἐν ἀρχῇ λαμβάνει. ἄτοπον δὲ καὶ τὸ ἐπαγωγὴν μὲν μὴ λέγειν ἐν ᾗ τὸ συμπέρασμα τῶν εἰλημμένων τινὶ εἰς δεῖξιν ταὐτόν ἐστιν, ἐπεὶ μὴ παρέχει τὸ διὰ τῆς ἐπαγωγῆς χρήσιμον, συλλογισμὸν δὲ λέγειν τὸν μηδὲν δεικνύντα. οὐ γὰρ ἱκανὸν τὸ σχῆμα τῆς λέξεως ποιῆσαι συλλογισμόν, ἀλλ’ εἶναι δεῖ πρῶτον τὸ σημαινόμενον διὰ τῆς λέξεως δεῖξαί τι δυνάμενον. οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων ὀργάνων ἱκανὸν τὸ σχῆμα τὴν τοῦ ὀργάνου δηλῶσαι φύσιν, ἀλλὰ δεῖ καὶ τῆς οἰκείας ὕλης, σὺν ᾗ τὸ οἰκεῖον ἔργον ἀποδώσει· τῷ γοῦν πρίονι δεῖ καὶ τοιᾶσδε ὕλης· οὐδεὶς γὰρ ἐρεῖ πρίονα τὸ ἐν κηρῷ σχῆμα τοιοῦτον. δεῖ οὖν καὶ τὸν τοῦ συλλογισμοῦ ὅρον ὀργάνου ὄντος ἐν αὑτῷ ἔχειν καὶ τὴν οἰκείαν ὕλην. ὅτι δὲ ἄχρηστος ὁ τῶν κειμένων τι ἐπιφέρων, δῆλον ἐκ τοῦ μήτε πρὸς ἀπόδειξιν μήτε πρὸς τὸν διαλεκτικὸν συλλογισμὸν μήτε πρὸς τὸν σοφιστικὸν χρῆσθαί τινα δύνασθαι τούτῳ· ταῦτα δὲ εἴδη συλλογισμοῦ. ἔτι οἱ διφορούμενοι ἀσυλλόγιστοι, καθ’ ὅσον ἢ ἀμφότερα προσλαμβάνουσιν ἢ τὸ ἑπόμενον· τί γὰρ μᾶλλον τὸ ἡγούμενον ἢ τὸ ἑπόμενον; οἱ δὲ ἐξ ἀντιφάσεως διαιρετικοὶ οὐ ταὐτὸ τῶν κειμένων τινὶ ἐπιφέρουσιν ἀλλὰ τὸ ἀντικείμενον τοῦ λοιποῦ λόγου, ᾧ συμβαίνει διὰ τὸ ἐκ τοιούτων εἶναι τὸ διαιρετικὸν τὸ αὐτὸ γίνεσθαι τῇ προσλήψει· ἐπὶ γοῦν τῶν μὴ ἐκ τοιούτων διαιρετικῶν ἀσυλλόγιστος ὁ μὴ τὸ ἀντικείμενον τοῦ λοιποῦ ἐπιφέρων.

in Top.11 ἀλλ’ οὐδὲ λέγομεν συλλογισμὸν εἶναι τὸν ἐκ διαιρετικοῦ καὶ ἑνὸς τῶν ἐν τῷ διαιρετικῷ τὸ λοιπὸν ἐπιφέροντα. ἐπεὶ γὰρ τῷ ἐπιφερομένῳ ἐν τῷ διὰ τοιούτου διαιρετικοῦ συλλογισμῷ συμβέβηκεν ὄντι ἀντικειμένῳ τοῦ ἑτέρου τῶν ἐν τῷ διαιρετικῷ τὸ αὐτὸ κατὰ τὴν λέξιν εἶναι τῷ προσειλημμένῳ, ὃ μὴ ταὐτόν ἐστι μηδὲ κατὰ ταὐτόν, ἀντικείμενόν τε τῷ ἑτέρῳ τῷ καταλειπομένῳ ἐκ τοῦ διαιρετικοῦ καὶ ταὐτὸν τῷ προσειλημμένῳ, δεῖ ζητῆσαι κατὰ τὸ πότερον λαμβανόμενον τῶν συμβεβηκότων αὐτῷ καὶ εἰς ταὐτὸ συνδεδραμηκότων ποιεῖ συλλογιστικὸν τὸν λόγον. ὅτι γὰρ μὴ ταὐτόν ἐστιν ἄμφω μηδὲ κατὰ ταὐτὸν αὐτῷ ὑπάρχει, δῆλον ἐκ τοῦ μὴ ἐν ἅπασι τοῖς διαιρετικοῖς τῷ αὐτῷ ἄμφω ὑπάρχειν. καίτοι εἰ τὰ αὐτὰ ἦν ἀλλήλοις καὶ ἦν ταὐτὸν ἀντικειμένῳ τε εἶναι τῷ ἑτέρῳ τῶν ἐν τῇ διαιρέσει καὶ τὸ αὐτὸ τῷ ἑτέρῳ τῶν ἐν αὐτῷ, ἐν ᾧ τὸ ἕτερον, ὑπῆρχε καὶ θάτερον. εἰ δ’ ἔστιν οἷς τὸ μὲν ἀντικειμένοις εἶναι τοῖς ἑτέροις ὑπάρχει, τὸ δὲ τοῖς αὐτοῖς εἶναι τοῖς προσειλημμένοις οὐχ ὑπάρχει, οὐκ ἂν εἴη ἐν τοῖς διαιρετικοῖς ταὐτὸν τὸ ἀντικειμένῳ τε εἶναι τῷ ἑτέρῳ τῶν ἐκ τῆς διαιρέσεως καὶ τῷ ἑτέρῳ τῷ προσειλημμένῳ ταὐτό. ὥστε οὐδὲ ἐφ’ ὧν συνυπάρχει, ὡς τὰ αὐτὰ ἀλλήλοις ὄντα συνυπάρχει. εἰ δὲ μὴ ταὐτά, ζητεῖν δεῖ κατὰ πότερον αὐτῶν τῆς ἐπιφορᾶς γινομένης ὁ συλλογισμός. τοῦτο δὴ λάβοι τις ἂν ἐκ τῆς περιοχῆς τοῦ εἴδους τοῦ συλλογισμοῦ. ἔστι δὲ ἡ περιοχὴ αὕτη τοῦ τοιούτου συλλογισμοῦ ‘ὁ ἐκ διαιρετικοῦ καὶ ἑνὸς τῶν ἐν τῇ διαιρέσει τὸ ἀντικείμενον ἐπιφέρων τοῦ λοιποῦ‘. ἀλλ’ εἰ τοῦτο, δῆλον ὅτι ὡς ἀντικείμενον λαμβανόμενον ποιεῖ τὸν συλλογισμόν, ἀλλ’ οὐχ ὡς ταὐτὸν τῷ προσειλημμένῳ· οὐ γὰρ τοῦτο ἡ περιοχὴ βούλεται. ὡς γὰρ ἐν οἷς ἄλλο τὸ ἀντικείμενον καὶ ἄλλο τὸ προσλαμβανόμενον, ὁ μὲν τὸ ἀντικείμενον τῷ ἑτέρῳ ἐπιφέρων ἐμμένει τῇ περιοχῇ τῇ τοῦ συλλογισμοῦ τοῦ κειμένου καὶ συλλογίζεται κατ’ αὐτήν, ὁ δὲ τὸ προσειλημμένον ἐπιφέρων, ὅτι μὴ ταὐτὸν ἐν αὐτοῖς τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσειλημμένον καὶ τὸ ἀντικείμενον, οὔτε ἐμμένει οὔτε συλλογίζεται, οὕτως καὶ ἐφ’ ὧν ἄμφω συνδεδράμηκεν, ὁ συλλογισμὸς ἂν γένοιτο ὡς ἀντικειμένου τῷ ἑτέρῳ λαμβανομένου τοῦ ἐπιφερομένου, ἀλλ’ οὐχ ὡς τοῦ αὐτοῦ τῷ προσειλημμένῳ.

in Top.12 ὅτι δὲ οὐδὲ ταὐτὸν ἐν αὐτοῖς τῷ προσειλημμένῳ τὸ ἐπιφερόμενον, ἐκ τούτων ἄν τις μάθοι. ὥσπερ ἐν τοῖς οὐκ ἐξ ἀντικειμένων ἀντιφατικῶς διαιρετικοῖς, οἷόν ἐστι τὸ ‘ἤτοι ἡμέρα ἐστίν, ἢ νύξ ἐστι‘, τὸ ἀντικείμενον τῷ ‘νύξ ἐστιν‘, ὅπερ ἐστὶν ‘οὐκ ἔστι νύξ‘, σημαίνει μὲν τὸ ἡμέραν εἶναι, ἀλλ’ ἐπεὶ οὐ προηγουμένως τὸ ἡμέραν εἶναι σημαίνει, οὐ ταὐτὸν εἶναι λέγεται τῷ προσειλημμένῳ τῷ ‘ἡμέρα ἐστίν‘ (οὐ γάρ, διότι ἕτερον τῇ λέξει τὸ ‘οὐκ ἔστι νύξ‘ τοῦ ‘ἡμέρα ἐστί‘, διὰ τοῦτο οὐκ ἔστιν αὐτῷ ταὐτόν· ἐν οἷς γὰρ διαφέροντά τινα κατὰ τὴν λέξιν τοῦ αὐτοῦ τινος ὁμοίως καὶ προηγουμένως ἐστὶ δηλωτικά, ταῦτα τὴν αὐτὴν πρότασιν ποιεῖ, εἰ καὶ φωνὴν ἔχει διάφορον· τὸ γὰρ ‘οὗτος ξίφος ἔχει‘ τῷ ‘οὗτος μάχαιραν ἔχει‘, εἰ ἐπὶ τοῦ αὐτοῦ λέγοιτο, ἡ αὐτὴ πρότασις, ὅτι ὑπὸ τοῦ ξίφους καὶ τῆς μαχαίρας τὸ αὐτὸ προηγουμένως δηλοῦται. οὕτως οὖν, εἰ καὶ τὸ ‘οὐκ ἔστι νύξ‘ τὸ ἡμέραν εἶναι ὁμοίως ἐσήμαινεν [ἐν] τῷ ‘ἡμέρα ἐστίν‘, οὐ διὰ τὸ ἑτέραν εἶναι τὴν λέξιν ἕτεραι ἂν αἱ προτάσεις ἐγένοντο, ἥ τε λέγουσα ‘ἡμέρα ἐστί‘ καὶ ἡ λέγουσα ‘οὐκ ἔστι νύξ‘, ἀλλ’ ἐπεὶ ταὐτὸν προηγουμένως ἑκάτερον οὐ σημαίνει, τό τε ‘ἡμέρα ἐστί‘ καὶ ‘οὐκ ἔστι νύξ‘, διὰ τοῦτο ἕτερα καὶ οὐ ταὐτὰ ἀλλήλοις. τὸ μὲν γὰρ ‘ἡμέρα ἐστί‘ προηγουμένως μὲν τίθησι τὸ ἡμέραν εἶναι, κατὰ συμβεβηκὸς δὲ ἀναιρεῖ τὸ εἶναι νύκτα· τὸ δὲ μὴ εἶναι νύκτα προηγουμένως μὲν ἀναιρεῖ τὴν νύκτα, κατὰ συμβεβηκὸς δὲ τίθησι τὴν ἡμέραν τῷ μὴ οὔσης νυκτὸς ἐξ ἀνάγκης ἡμέραν εἶναι), ὡς οὖν ἐπὶ τούτων, οὕτως ἔχει καὶ τὸ ‘ἡμέρα ἐστί‘, τοῦτ’ ἔστι τό τε προσλαμβανόμενον καὶ τὸ ἐπιφερόμενον, ἐν τῷ προειρημένῳ διαιρετικῷ· οὐ γὰρ ὡς ταὐτὸν προηγουμένως σημαίνοντα λαμβάνεται. εἰ δὲ τοῦτο, οὐχ ὅτι τῇ λέξει ἐστὶ τὰ αὐτά, ἤδη καὶ ἁπλῶς τὰ αὐτὰ ἂν εἴη, ἀλλ’ ὅτι μὴ τοῦ αὐτοῦ προηγουμένως δηλωτικά, ἕτερα. ὅτι γὰρ οὐχ ἱκανὴ ἡ ταὐτότης τῆς λέξεως τὴν αὐτὴν πρότασιν ποιεῖν, ὥσπερ οὐδὲ ἡ ἑτερότης διαφέρουσαν, δηλοῦσιν αἱ ὁμωνυμίαι. ὅτι δὲ μὴ ὡς τοῦ αὐτοῦ δηλωτικὰ ἀμφότερα λαμβάνεται, δῆλον ἐκ τοῦ τὸ μὲν ἐν τῇ προσλήψει λαμβανόμενον ‘ἡμέρα ἐστίν‘ ὡς προηγουμένως τοῦ εἶναι ἡμέραν δηλωτικὸν προσλαμβάνεσθαι, τὸ δὲ ἐπιφερόμενον ὡς τοῦ ‘οὐκ ἔστιν ἡμέρα‘ ἀναιρετικὸν ἐπιφέρεσθαι, ὡς ἴσον ὂν τῷ ‘οὐκ ἄρα οὐκ ἔστιν ἡμέρα‘.

in Top.13 ὡς οὖν τοῦτο οὐ προηγουμένως τὸ ἡμέραν εἶναι τίθησιν, ἀλλ’ ἀναιρεῖ τὸ ‘οὐκ ἔστιν ἡμέρα‘, οὕτως καὶ τὸ ‘ἀλλὰ μὴν ἡμέρα ἐστί‘ τὸ ἀντ’ αὐτοῦ λαμβανόμενον· λαμβάνεται γὰρ ἐν τῇ ἐπιφορᾷ ὡς ἀναιροῦν ἐκεῖνο, οὐ ταὐτὸν δὲ τὸ ἢ ὡς ἀναιρετικῷ τοῦ μὴ εἶναι ἡμέραν χρῆσθαι αὐτῷ ἢ ὡς ἡμέραν εἶναι τιθέντι. ὁ μὲν γὰρ ὑπὲρ τοῦ ἀνελεῖν τὸ ἡμέραν μὴ εἶναι χρώμενος αὐτῷ, εἰ ἄλλο τι ἦν τὸ ἀναιροῦν αὐτὸ καὶ μὴ τὸ ἡμέραν εἶναι, ἐκείνῳ ἂν καὶ οὐ τούτῳ ἐχρήσατο· ὁ δὲ βουλόμενος τὸ ἡμέραν εἶναι σημῆναι οὐκ ἂν ἄλλῳ τινὶ ἢ τῷ τούτου δηλωτικῷ χρήσαιτ’ ἄν. Τὸ δ’ ἐξ ἀνάγκης προσκείμενον ἐν τῷ ὅρῳ τῆς ἐπαγωγῆς χωρίζει τὸν συλλογισμόν. ἔστι μὲν γὰρ καὶ ἡ ἐπαγωγὴ λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων συμβαίνε ι , ἀλλ’ οὐκ ἐξ ἀνάγκης · οὐ γὰρ ἀναγκαῖον τὸ δεικνύμενον ἐν ταῖς ἐπαγωγαῖς τῷ μήτε πάντα, δι’ ὧν ἡ δεῖξις τοῦ προκειμένου, δύνασθαι ληφθῆναι μήτε, εἰ μὴ πάντα ληφθείη, ἐξ ἀνάγκης δύνασθαι λέγειν οὕτως ἔχειν, ὡς ἕκαστον ἦν τῶν εἰλημμένων, καὶ τὸ καθόλου. ἔστι γὰρ τὸ ἐξ ἀνάγκης συμβαίνειν οὐ τοῦ ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα ἐν τοῖς συλλογισμοῖς δηλωτικόν (οὐ γὰρ ἐν πᾶσι τοῖς συλλογισμοῖς ἀναγκαῖον τὸ συμπέρασμα· ἔστι γὰρ ἐν πολλοῖς καὶ ἐνδεχόμενον συμπέρασμα· τὸ γὰρ ἐξ ἐνδεχομένων προτάσεων ἐνδεχόμενον), ἀλλὰ τοῦ ἐξ ἀνάγκης ἕπεσθαι ταῖς προτάσεσι τὸ δεικνύμενον δι’ αὐτῶν, ὃ ποιᾶς ἂν εἴη σχέσεως τῶν τεθέντων πρὸς τὸ συμπέρασμα, δηλωτικὸν τὸ ἐξ ἀνάγκη ς . εἰ γοῦν μὴ ἕποιτο τοῖς κειμένοις ἐξ ἀνάγκης τὸ ἐπιφερόμενον, κἂν ἀναγκαῖον ᾖ, οὐ συλλογισμὸς τοῦτο. Τὸ δὲ διὰ τῶν κειμένων προσκείμενον εἴη μὲν ἂν οὐ μόνον τοὺς μονολημμάτους λόγους λεγομένους ἀποκρῖνον τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συλλογισμῶν (οὐ γὰρ διὰ τῶν κειμένων τὸ ἐπιφερόμενον αὐτοῖς δείκνυται· λείπει γὰρ ἐν αὐτοῖς πρὸς τὴν συλλογιστικὴν δεῖξιν τὸ παραλειπόμενον, ὡς εἰρήκαμεν), ἀλλὰ καὶ τοὺς παρέλκοντας· ἐν οἷς γὰρ λόγοις πρότασίς τις εἴληπται παρέλκουσα, οὗτοι οὐ διὰ τῶν κειμένων συνάγουσι τὸ συμπέρασμα, εἴ γε καὶ ἀφαιρεθείσης ἐκείνης ἔτι οἷόν τε τὸ αὐτὸ συνάγεσθαι. εἰ γὰρ ἐκ τῶν ‘πᾶν δίκαιον καλόν, πᾶν καλὸν ἀγαθόν‘ συνάγεται τὸ ‘πᾶν δίκαιον ἀγαθόν‘, περιττὸν τὸ πρὸς τὴν τοῦ αὐτοῦ δεῖξιν προστιθέναι τὸ ‘πᾶν ἀγαθὸν δι’ αὑτὸ αἱρετόν‘ ἢ εἴ τι ἄλλο.

in Top.14 ἀλλ’ οὐδὲ ἐν οἷς μὴ τὸ οἰκεῖον συμπέρασμα ἐπιφέρεται, ἄλλο δέ τι ἑπόμενον ἐκείνῳ ἢ συμβεβηκός, οὐδ’ οὗτοι συλλογισμοί· οὐ γὰρ διὰ τῶν κειμένω ν . οἷον εἰ λαβών τις τὴν ἡδονὴν κατὰ φύσιν καὶ τὸ κατὰ φύσιν αἱρετὸν συμπεραίνοιτο τὴν ἡδονὴν ἀγαθὸν εἶναι· οὐ γὰρ τοῦτο δείκνυται ἐκ τῶν κειμένων, εἰ καὶ ἕπεται ἐξ ἀνάγκης τῷ συναγομένῳ. τοιοῦτος καὶ ὁ περὶ τοῦ θανάτου ὑπὸ Ἐπικούρου λόγος εἰρημένος· οὐ γὰρ ἐκ τῶν λεγουσῶν προτάσεων ‘τὸ διαλυθὲν ἀναισθητεῖ, τὸ ἀναισθητοῦν οὐδὲν πρὸς ἡμᾶσ‘ συνάγεται τὸ ‘ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶσ‘, ὡς αὐτὸς ἡγεῖται, ἀλλ’ ὅτι τὸ διαλυθὲν οὐδὲν πρὸς ἡμᾶς. ἀλλ’ οὐδὲ ὁ θάνατος τὸ διαλυθέν ἐστιν ἀλλὰ διάλυσις· οὐκ ἔδωκε δὲ ὁ δοὺς τὸ διαλυθὲν ἀναισθητεῖν τὸ καὶ τὴν διάλυσιν γίνεσθαι ἀναισθήτως· οὐ γὰρ ἡ διάλυσις τῷ ζῴῳ, ἥτις ἐστὶ τὸ ἀποθνήσκειν, ἀναίσθητος. διὸ πρὸς ἡμᾶς τὸ ἀποθνήσκειν καὶ τὸ μὴ τεθνηκέναι, εἰ καὶ μὴ τὸ ἀποθνήσκειν ἀεί. διὸ καὶ διττὸς ὁ θάνατος· ἢ γὰρ ὁ γεγονὼς ἢ ὁ γινόμενος. ὁ μὲν γὰρ γεγονὼς οὐκ ἂν εἴη πρὸς ἡμᾶς, ὁ δὲ γινόμενος πρὸς ἡμᾶς· τοῦτον δὲ καὶ φοβούμεθα. ἀλλ’ οὐδὲ ἐν οἷς λόγοις μηδεμία πρότασις εἴληπται καθόλου, οὐδὲ οὗτοι συλλογισμοί· καὶ γὰρ ἐν τούτοις τὸ δεικνύμενον οὐ διὰ τῶν κειμένων δείκνυται ἀλλὰ διὰ τὴν καθόλου πρότασιν τὴν παρειμένην. τοιοῦτοι δέ εἰσι λόγοι καὶ οἱ ὑπὸ τῶν ἀπὸ τῆς Στοᾶς λεγόμενοι ἀμεθόδως περαίνοντες. οὐ γάρ, εἰ τὸ Α ἴσον τῷ Β, ὁμοίως δὲ καὶ τῷ Β τὸ Γ ἴσον, διὰ τοῦτο καὶ τὸ Α τῷ Γ ἴσον ἂν εἴη δεδειγμένον συλλογιστικῶς· οὐ γὰρ διὰ τῶν κειμένων τὸ ἀναγκαῖον· ἕπεται γὰρ τοῖς κειμένοις τοῦτο διὰ τὸ ἀληθὲς εἶναι τὸ καθόλου τὸ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις εἶναι ἴσα. διὸ ἐκείνου τε κειμένου καὶ τοῦ διῃρημένου τούτου συντεθέντος καὶ συναχθέντος εἰς μίαν πρότασιν τὴν ‘τὸ δὲ Α καὶ Γ τῷ αὐτῷ, τῷ Β, ἴσα ἐστίν‘ συνάγεται συλλογιστικῶς ἤδη καὶ τὸ Α τῷ Γ ἴσον εἶναι. τοιοῦτον καὶ τὸ λέγειν ‘ἡμέρα ἐστίν· ἀλλὰ καὶ σὺ λέγεις ὡς ἡμέρα ἐστίν· ἀληθεύεις ἄρα‘· ἕπεται μὲν γὰρ καὶ ἐνταῦθα τοῖς κειμένοις τὸ ἐπενεχθέν, οὐ μὴν διὰ ταῦτα τὸ ἀναγκαῖον ἀλλὰ διὰ τὸ τὸ καθόλου ἀληθὲς εἶναι τὸ ‘πᾶς ὁ ἡμέρας οὔσης ἡμέραν εἶναι λέγων ἀληθεύει‘.

in Top.15 τούτου γὰρ ληφθέντος, ἂν συνέλῃ τις τὰ κείμενα εἰς μίαν πρότασιν τὴν ‘σὺ δὲ ἡμέρας οὔσης λέγεις ἡμέραν εἶναι‘, συλλογιστικῶς συνάξει τὸ ‘σὺ ἄρα ἀληθεύεισ‘. ἐν πᾶσι γὰρ τοῖς τοιούτοις λόγοις τὸ μὲν καθόλου ἀληθὲς ὂν παραλέλειπται, ἡ δὲ ἑτέρα πρότασις εἰς δύο διαιρεῖται ἢ καὶ πλείω, ὡς ἐπὶ τοῦδε τοῦ λόγου ‘ὁ νόμος ἀνομίᾳ ἐναντίον· ἀλλὰ καὶ ὁ νόμος οὐ κακόν· ἀλλὰ καὶ ἡ ἀνομία κακόν· ἀγαθὸν ἄρα ὁ νόμοσ‘. ἐν γὰρ τούτῳ παρεῖται μὲν τὸ καθόλου ὂν τοιοῦτον ‘ὃ μὴ ὂν κακὸν ἐναντίον ἐστὶ κακῷ, ἀγαθόν ἐστι‘, διῄρηται δὲ εἰς τρία ἡ πρότασις ἡ ἑτέρα ἔχουσα οὕτως ‘ὁ δὲ νόμος οὐκ ὂν κακὸν κακῷ οὔσῃ τῇ ἀνομίᾳ ἐναντίος ἐστί‘· ταύτης γὰρ μέρη τό τε ‘ὁ νόμος ἀνομίᾳ ἐναντίον‘ καὶ τὸ ‘ἀλλὰ καὶ ὁ νόμος οὐ κακόν‘ καὶ ἔτι τὸ ‘ἀλλὰ καὶ ἡ ἀνομία κακόν‘. ἐκ γὰρ τῶν προειρημένων δύο προτάσεων συλλογιστικῶς συνάγεται τὸ ἀγαθὸν εἶναι τὸν νόμον. ἀλλ’ οὐ καὶ ἐκ τῆς μιᾶς τῆς εἰς τρία διῃρημένης. p. 100a27 Ἀπόδειξις μὲν οὖν ἐστι ν , ὅταν ἐξ ἀληθῶν καὶ πρώτω ν . Ὁρισάμενος τὸν συλλογισμὸν ἑξῆς τὰ εἴδη τοῦ συλλογισμοῦ λαμβάνει τὰ κατὰ τὴν τῆς ὕλης διαφορὰν δεικνύμενα, καὶ ἕκαστον αὐτῶν, ὅ τι ποτ’ ἐστὶ καὶ ἐν τίνι τὸ εἶναι ἔχει, δείκνυσί τε καὶ ὁρίζεται· οὕτως γὰρ τὰς τῶν συλλογισμῶν διαφορὰς τὰς κατὰ τὸ εἶδος λαμβάνων, ᾧ διαφέρει τῶν ἄλλων συλλογισμῶν ὁ διαλεκτικός, δείξει. ἔστι γὰρ εἴδη συλλογισμοῦ παρὰ τὴν τῆς ὕλης διαφορὰν γινόμενα ἀπόδειξις, διαλεκτικὸς συλλογισμός,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σόφισμα. ὁ γὰρ συλλογιζόμενος ἢ ἐξ ἀληθῶν δείκνυσιν ἢ ἐξ ἐνδόξων ἢ ἐκ φαινομένων ἐνδόξων· οὐδεὶς γὰρ ἐκ ψευδῶν καὶ ἀδόξων ἅμα συλλογίζεται. καὶ πρῶτόν γε περὶ ἀποδείξεως λέγει· οὗτος γὰρ τῶν συλλογισμῶν κυριώτατος. ἔστι δὲ ἡ ἀπόδειξις ἐπιστημονικὸς συλλογισμός. φησὶ δὴ τὴν ἀπόδειξιν εἶναι ἐξ ἀληθῶν συλλογισμὸν καὶ πρώτω ν , ἢ ἐκ τοιούτων ἅ διά τινων πρώτων καὶ ἀληθῶν τῆς περὶ αὐτὰ γνώσεως εἴληφε τὴν ἀρχή ν , τοῦτ’ ἔστιν εἰ διὰ τοιούτων εἴη δεικνύμενόν τε καὶ συλλογιζόμενον τὸ προκείμενον, οἷς ἀρχαί τε καὶ αἴτια τῆς γνώσεως τὰ ἀληθῆ τε καὶ πρῶτα.

in Top.16 οὐ γὰρ πᾶς ὁ ἐξ ἀληθῶν συλλογισμὸς καὶ κυρίως ἀπόδειξις, ἀλλ’ εἰ πρὸς τῷ ἀληθῆ εἶναι τὰ δι’ ὧν ὁ τοιοῦτος δείκνυται συλλογισμός, καὶ πρῶτα εἴη. οὕτως γὰρ ἔσται καὶ αἴτια· ὁ γὰρ δι’ αἰτίων συλλογισμὸς ἀπόδειξις· τὰ γὰρ πρῶτα τῶν μετὰ ταῦτά ἐστιν αἴτια. οὐ μόνον δὲ δεῖ τὰ λαμβανόμενα πρῶτα εἶναι τῇ φύσει τῶν δι’ αὐτῶν δεικνυμένων, ἀλλὰ καὶ πρῶτα τῷ ἄμεσα εἶναι καὶ μὴ δείξεως δεῖσθαι. τοιαῦτα γὰρ ὄντα ἔσται γνώριμα ἐξ ἑαυτῶν τῇ φύσει· ἀρχαὶ δὲ ἀποδείξεως τὰ ἐξ αὑτῶν γνώριμα· τὰ δὲ ἄμεσα ἐξ αὑτῶν γνώριμα· ἀναπόδεικτα γάρ. διὰ τοῦτο ὁ μὲν δεικνὺς ὅτι ἐκλείπει ἡ σελήνη διὰ τὸ ἀντιφράττειν αὐτῇ τὴν γῆν ἀποδείκνυσιν· οἷον ἡ σελήνη ἀντιφράττεται ἢ ἐπισκοτεῖται ὑπὸ τῆς γῆς, τὸ ἀντιφραττόμενον ἢ ἐπισκοτούμενον ἐκλείπει· αἴτιον γὰρ τῆς ἐκλείψεως ἡ ἀντίφραξις. ἂν δέ τις τὸ ἀντιφράττειν τὴν γῆν τῇ σελήνῃ δεικνύῃ διὰ τοῦ ἐκλείπειν αὐτήν, οὐκέτι ἀποδείκνυσι κυρίως, καίτοι λαμβάνων ἀληθές· οὐ γὰρ διὰ πρώτου οὐδὲ δι’ αἰτίου δείκνυσι κυρίως τὸ ὕστερόν τε καὶ αἰτιατόν, ἀλλὰ διὰ τοῦ ὑστέρου τὸ πρῶτον· ὕστερον γὰρ ἡ ἔκλειψις τῆς ἀντιφράξεως καὶ δι’ ἐκείνην γινομένη. οὕτως δείκνυσι δι’ ὑστέρου ὁ δεικνὺς τὸ ‘αὕτη τέτοκε‘ διὰ τοῦ γάλα ἔχειν· οὐ γὰρ τὸ γάλα αἴτιον τοῦ τετοκέναι, ἀλλὰ τὸ τετοκέναι τοῦ γάλα ἔχειν· ὁ γοῦν διὰ τοῦ τετοκέναι δεικνὺς τὸ γάλα ἔχειν δι’ αἰτίου τε καὶ πρώτου δείκνυσιν. ὁμοίως καὶ ὁ δεικνὺς ὅτι ὁ ἄνθρωπος πνεύμονα ἔχει διὰ τοῦ ἀναπνευστικὸν αὐτὸν εἶναι δι’ ἀληθοῦς μὲν συλλογίζεται, οὐ μὴν διὰ πρώτου· διὸ οὐδὲ ἀποδείκνυσιν. ἂν δὲ ἔμπαλιν διὰ τοῦ πνεύμονα ἔχειν αὐτὸν δείξῃ ὅτι ἐστὶν ἀναπνευστικός, ἀποδείκνυσιν ἤδη. ἀλλὰ καὶ ὁ τὸ ζῷον δεικνὺς ὅτι αἴσθησιν ἔχει διὰ τοῦ αἰσθητικοῦ οὐκ ἀποδείκνυσιν· ἂν μέντοι διὰ τοῦ αἴσθησιν ἔχειν δείξῃ ὅτι καὶ αἰσθητικόν, ἀπέδειξεν. ἐπιζητήσειε δ’ ἄν τις, εἰ ἡ ἀπόδειξις διὰ πρώτων, ὁ δι’ ἀληθῶν μὲν ὑστέρων δὲ συλλογισμὸς τίς ἂν εἴη. ἢ καὶ οὗτος διαλεκτικός· τὰ γὰρ οὕτως ἀληθῆ ὡς ἔνδοξα λαμβάνεται· ἔνδοξον γὰρ τό τε τὴν γάλα ἔχουσαν τετοκέναι καὶ τὸ ἐκλεῖπον ἐπισκοτεῖσθαι. ἢ κυρίως μὲν ἐκεῖνος ἀπόδειξις, δευτέρως δὲ καὶ οὗτος· ὡς γὰρ πρὸς ἡμᾶς, ἐπεὶ ἡμῖν γνωριμώτερα τὰ λαμβανόμενα. πρώτως μὲν οὖν καὶ κυρίως ἀπόδειξις ὁ διὰ πρώτων, ὡς εἴρηται, συλλογισμός. παράδειγμα δὲ τοῦ διὰ πρώτων καὶ ἀμέσων συλλογισμοῦ καὶ τὸ τοιοῦτον ἂν εἴη.

in Top.17 ἑκάστου τῶν ὄντων εἶδός ἐστι τοῦτο καθ’ ὅ ἐστιν· αὕτη γὰρ ἡ πρότασις δι’ ἐπαγωγῆς μὲν συνίσταται, ἀναπόδεικτος δέ ἐστι καὶ πρώτη κειμένου τοῦ πᾶν τὸ ἐνεργείᾳ ὂν ἐξ ὕλης καὶ εἴδους εἶναι· ἕπεται γὰρ τούτου κειμένου [τῷ] παντὶ τῷ ἐξ ὕλης καὶ εἴδους ὄντι τὸ κατὰ τὸ εἶδος εἶναι τοῦτο ὅ ἐστι. τούτῳ εἰ προσληφθείη πρότασις ἡ λέγουσα ‘τὸ δὲ ζῷον ἐκ τούτων‘ ἐναργὴς καὶ αὕτη καὶ ἀναπόδεικτος, συνάγοιτο ἂν τὸ τοῦ ζῴου εἶδος εἶναι τοῦτο καθ’ ὃ ζῷόν ἐστιν. ᾧ συμπεράσματι εἰ προσληφθείη πάλιν ἐναργὴς πρότασις ἡ λέγουσα ‘ἀλλὰ μὴν τὸ ζῷόν ἐστι κατὰ τὴν ψυχὴν αἰσθητικόν‘, κατὰ τὴν ψυχὴν ἂν ζῷον εἴη· εἰ γὰρ καθ’ ὃ αἰσθητικόν, ζῷον, κατὰ δὲ τὴν ψυχὴν αἰσθητικόν, κατὰ τὴν ψυχὴν ἂν ζῷον εἴη. ὧν κειμένων συνάγοιτο ἂν οὐκέτι διὰ πρώτων ἀλλὰ διὰ τῶν δεδειγμένων διὰ τῶν πρώτων τὸ τοῦ ζῴου εἶδος εἶναι τὴν ψυχήν. πάλιν εἰ προσλάβοιμεν τὸ ‘ὅτι τὸ τοῦ ζῴου εἶδος ἔνυλον, ζωτικὸν εἶδος ἔνυλόν ἐστιν‘ ἐναργὲς καὶ προσθείημεν αὐτῷ τὸ τὸ ἔνυλον εἶδος ἀχώριστον εἶναι, συνάγοιτο ἂν ἡ ψυχή, ἥτις ἦν εἶδος τοῦ ζῴου, ἀχώριστος εἶναι τοῦ σώματος. καὶ γὰρ εἰ μὴ διὰ πρώτων καὶ ἀμέσων δέδεικται, ἀποδείκνυται καὶ τοῦτο. ὁ γὰρ δεικνὺς ὅτι ἡ σελήνη ἐστέρηται φωτός, διὰ τὸ ἐκλείπειν αὐτήν,

δι’ ἀμέσου μὲν οὐ δείκνυσιν οὐδὲ ἀναποδείκτου (οὐ γὰρ ἀναπόδεικτον τὸ ἐκλείπειν τὴν σελήνην ἀλλὰ δεικνύμενον, ὡς προειρήκαμεν, διὰ τοῦ ἀντιφράττειν αὐτῇ τὴν γῆν ἢ διὰ τοῦ ἐπισκοτεῖσθαι)· τῷ μέντοι τοῦτο δι’ ἀμέσων τε καὶ πρώτων δεδεῖχθαι γίνεται καὶ ὁ διὰ τούτου συλλογισμὸς ἀπόδειξις· τρόπον γάρ τινα καὶ αὐτὸς γίνεται δι’ ἀμέσων δεικνύμενος τῷ τὰ δι’ ὧν δείκνυται διὰ τοιούτων εἶναι προδεδειγμένα. σαφεῖς δὲ δι’ οὗ παρεθέμεθα περὶ τῆς ψυχῆς λόγου οἵ τε δι’ ἀναποδείκτων καὶ 〈οἱ〉 διὰ τῶν δεδειγμένων δι’ ἀναποδείκτων· οἱ γὰρ δεύτεροι τοιοῦτοι. οὕτως καὶ ἐν γεωμετρίᾳ τὸ μὲν πρῶτον θεώρημα τῶν ἐν τοῖς Εὐκλείδου Στοιχείοις δι’ ἀναποδείκτων δείκνυται (διὰ γὰρ τῶν ἀρχῶν), τὸ δὲ ὅτι αἱ τοῦ τριγώνου τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι, οὐκέτι δι’ ἀναποδείκτων· διὰ γὰρ τοῦ τῶν εἰς τὰς παραλλήλους ἐμπιπτουσῶν εὐθειῶν τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις εἶναι καὶ διὰ τοῦ τῶν εἰς τὰς παραλλήλους ἐμπιπτουσῶν εὐθειῶν τὴν ἐκτὸς τῇ ἐντὸς καὶ ἀπ’ ἐναντίας ἴσην εἶναι, ἃ οὐκ εἰσὶν ἀρχαὶ ἀλλὰ δι’ ἀποδείξεως εἰλημμένα.

in Top.18 κοινότερον μέντοι καὶ πάντα τὸν ἐξ ἀληθῶν συλλογισμὸν ἀπόδειξιν λέγει. λέγει μὲν οὖν περὶ ἀποδείξεώς τε καὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ προηγουμένως τε καὶ ἐπὶ πλέον ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς· νῦν δὲ ἐπὶ τοσοῦτον περὶ αὐτοῦ εἴρηκεν, ἐφ’ ὅσον αὐτῷ χρήσιμόν ἐστι πρὸς τὸ χωρίσαι τῶν ἄλλων συλλογισμῶν τὸν διαλεκτικόν. ἔστι δὲ συλλογισμὸς αἱ προτάσεις μετὰ τοῦ συμπεράσματος. Εἰπὼν δὲ περὶ ἀποδείξεως ἑξῆς λέγει περὶ τοῦ διαλεκτικοῦ συλλογισμοῦ, καὶ φησὶ τὸν δι’ ἐνδόξων γινόμενον συλλογισμὸν διαλεκτικὸν εἶναι. ὃ εἰπὼν ἐφεξῆς, τίνα μέν ἐστιν ἀληθῆ καὶ πρῶτα, δι’ ὧν εἶπε γίνεσθαι τὸν ἀποδεικτικὸν συλλογισμόν, τίνα δὲ τὰ ἔνδοξα, δι’ ὧν τὸν διαλεκτικόν, ἐξηγεῖται δεικνὺς αὐτῶν τὴν διαφοράν. ἀληθῆ μὲν οὖν καὶ πρῶτα ταὐτά φησιν εἶναι ἃ μὴ δ ι ’ ἑτέρων ἀλ λ ’ ἐξ αὑτῶν ἔχει τὴν πίστιν· τοιαῦται δέ εἰσιν αἱ ἄμεσοι προτάσεις. τὰς γὰρ ἐπιστημονικὰς ἀρχὰς ἐξ αὑτῶν φησι δεῖν ἔχειν τὸ πιστὸν καὶ μὴ ζητεῖσθαι τοῦ τοιαύτας εἶναι αὐτὰς τὴν αἰτίαν· οὐ γὰρ ἂν ἔτι αὐτὰ οὕτως ἔχοντα ἀρχαὶ εἶεν, ἔχοντα ἄλλας τινὰς ἀρχὰς καὶ αἰτίας. τοιοῦτοι δὲ οἱ ὁρισμοί· οὐ γὰρ δι’ ἀποδείξεως τὰ ἐν τοῖς ὁριστικοῖς λόγοις λαμβανόμενα· ἀλλὰ καὶ αἱ φυσικαὶ καὶ κοιναὶ ἔννοιαι λεγόμεναι, ὁποῖά ἐστι τὰ ἀξιώματα. ἀλλὰ καὶ ὅτι τὸ θερμὸν θερμαίνει καὶ τὸ ψυχρὸν ψύχει ἀρχή· ἀλλὰ καὶ ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται. τὸ δὲ οὐ δεῖ γὰρ ἐν ταῖς ἐπιστημονικαῖς ἀρχαῖς ἐπιζητεῖσθαι τὸ διὰ τί οὐχ ὡς νομοθετῶν εἶπεν, ἀλλὰ δεικνὺς ὅτι ἐφ’ ὧν ἂν ζητῆται τὸ διὰ τί, οὐκ ἔστιν ἀπόδειξις τοῦτο· δεῖ γὰρ τὴν ἀπόδειξιν ἔχειν διὰ γνωρίμων. ἔνδοξα δὲ τίνα ἐστί, δι’ ὧν ὁ διαλεκτικὸς γίνεται συλλογισμός, ἑξῆς λέγει, καὶ φησὶν ἔνδοξα εἶναι τὰ δοκοῦντα πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖ ς , καὶ τούτοις ἢ πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς μάλιστα γνωρίμοις τε καὶ ἐνδόξοι ς . καὶ εἴη ἂν κυριώτατα μὲν καὶ πρώτως ἔνδοξα τὰ πᾶσιν ἢ τοῖς πλείστοις δοκοῦντα, πᾶσι μὲν τὸ αἱρετὸν ἀγαθὸν εἶναι, τὸ δὲ αἱρετὸν εἶναι ὑγείαν, πλοῦτον, τὸ ζῆν· οἱ γὰρ ἄλλως λέγοντες οὐχ ὡς οὕτως διακείμενοι λέγουσιν, ἀλλὰ θέσει παρίστανται· μαρτυροῦσι δὲ αὐτοῖς ὡς τοιούτοις διὰ τῆς αἱρέσεως αὐτῶν. τοιαῦτα καὶ τὸ τὸ ἀγαθὸν ὠφελεῖν καὶ τὸ δεῖν τοὺς γονεῖς τιμᾶν· τοῖς δὲ πλείστοις τὸ τὴν φρόνησιν πλούτου αἱρετωτέραν εἶναι ἢ τὸ ψυχὴν σώματος εἶναι τιμιωτέραν 〈καὶ〉 τὸ θεοὺς εἶναι.

in Top.19 εἰ μὲν οὖν περὶ τῶν ἐν ταῖς κοιναῖς δόξαις κειμένων ἦν λόγος τῷ διαλεκτικῷ μόνων, μόνον τὸ πᾶσι δοκοῦν ἢ τὸ τοῖς πλείστοις ἦν ἂν αὐτῷ πρὸς τὸ συλλογίζεσθαι χρήσιμον καὶ τὸ οὕτως ἔνδοξον. ἐπεὶ δὲ ἤδη καὶ περὶ τοιούτων οἱ λόγοι τῷ διαλεκτικῷ, περὶ ὧν οὐδὲν οἱ πολλοὶ δοξάζουσιν, ἀλλὰ ἄλλοις περὶ αὐτῶν πιστεύουσι μᾶλλον (τοῖς γὰρ σοφοῖς τε καὶ περὶ ταῦτα ἔχουσι), περὶ πάντων ἄρ’ ἔσται συλλογιστικὸς ὁ διαλεκτικός. πάλιν, ὡς εἴρηται, καὶ τὸ ἐν τούτοις ἔνδοξον. ἔστι δὲ ἐν τούτοις ἔνδοξον πρῶτον μὲν τὸ πᾶσι δοκοῦν τοῖς σοφοῖς, οἷόν ἐστι τὸ τὰ τῆς ψυχῆς ἀγαθὰ μείζω εἶναι τῶν τοῦ σώματος, τὸ μηδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, τὸ τὰς ἀρετὰς ἀγαθὰ εἶναι· ἢ τὸ τοῖς πλείστοις αὐτῶν, ὡς τὸ τὴν ἀρετὴν δι’ αὑτὴν αἱρετὴν εἶναι, εἰ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὴ Ἐπικούρῳ δοκεῖ, καὶ τὴν εὐδαιμονίαν ὑπ’ ἀρετῆς γίνεσθαι, ὁμοίως τὸ μὴ εἶναί τι σῶμα ἀμερὲς μηδὲ κόσμους ἀπείρους· ἢ γοῦν τὸ τοῖς ἐνδοξοτάτοις, ὡς τὸ τὴν ψυχὴν ἀθάνατον διὰ Πλάτωνα ἢ πέμπτον τι εἶναι σῶμα δι’ Ἀριστοτέλην. εἰ γὰρ οἱ ἔνδοξοι κατὰ σοφίαν τῷ ὑπὸ τῶν πολλῶν ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι τοιοῦτοι, εἴη ἂν καὶ τὸ ὑπ’ ἐκείνων λεγόμενον τρόπον τινὰ ὑπὸ τῶν πολλῶν τιθέμενον. ἐπὶ γὰρ ταῖς τοιαύταις δόξαις αὐτοὺς ἀποδέχονται· δι’ ἃ γὰρ οὗτοι ἔνδοξοι, ἔνδοξα κἀκεῖνα, διὰ δὲ τὰς τοιαύτας δόξας ἔνδοξοι οἱ σοφοί. παραδώσει δὲ ἡμῖν καὶ τόπους ἐν τῷ περὶ διαλεκτικῶν προτάσεων λόγῳ, δι’ ὧν οἷοί τε ἐσόμεθα τὰ ἔνδοξα λαμβάνειν. διαφέρει δὲ τὸ ἔνδοξον τοῦ ἀληθοῦς οὐ τῷ ψευδὲς εἶναι (ἔστι γάρ τινα ἔνδοξα καὶ ἀληθῆ) ἀλλὰ τῇ ἐπικρίσει. ἔστι γὰρ τῷ μὲν ἀληθεῖ ἀπὸ τοῦ πράγματος, περὶ οὗ ἐστιν, ἡ ἐπίκρισις· ὅταν γὰρ τοῦτο αὐτῷ ὁμολογῇ, τότε ἐστὶν ἀληθές· τῷ δὲ ἐνδόξῳ οὐκ ἀπὸ τῶν πραγμάτων ἡ ἐπίκρισις ἀλλ’ ἀπὸ τῶν ἀκουόντων καὶ τῶν τούτων ὑπολήψεων, ἃς ἔχουσι περὶ τῶν πραγμάτων. p. 100b23 Ἐριστικὸς δέ ἐστι συλλογισμὸς ὁ ἐκ φαινομένων ἐνδόξων μὴ ὄντων δὲ καὶ ὁ ἐξ ἐνδόξων ἢ φαινομένων ἐνδόξων φαινόμενο ς . Εἴρηκε μὲν περὶ τοῦ ἐριστικοῦ συλλογισμοῦ ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις, ἔνθα ἦν καὶ προηγουμένως περὶ τῶν τοιούτων συλλογισμῶν αὐτῷ ὁ λόγος.

in Top.20 ὁρίζεται δὲ ἐνταῦθα ὁμοίως ὡς κἀκεῖ τὸν ἐριστικὸν συλλογισμόν. διττὸν δέ φησιν εἶναι τὸν τοιοῦτον συλλογισμόν, τὸν μὲν παρὰ τὴν ὕλην ἡμαρτημένον τὸ ἐριστικὸν ἔχοντα οὐκέτι δὲ παρὰ τὸ σχῆμα· τοιοῦτος γὰρ ὁ ἐκ φαινομένων ἐνδόξων μὴ ὄντων δὲ συλλογισμός. τίνα δέ ἐστι τὰ φαινόμενα ἔνδοξα μὴ ὄντα δέ, αὐτὸς λέγει· οὐ γὰρ πᾶ ν , φησί, τὸ φαινόμενον ἔνδοξον καὶ ἔστιν ἔνδοξο ν . καὶ δι’ ὅ τι ἐπιφέρει· οὐδὲν γὰρ τῶν λεγομένων ἐνδόξων ἐπιπόλαιον ἔχει παντελῶς τὴν φαντασία ν . ἐπιπόλαιον δέ ἐστι τὸ ἐκ βραχείας ἐπιστάσεως ἐλεγχόμενον. τοιοῦτον δὲ τὸ εἶδος τῶν προτάσεων τῶν ἐριστικῶν συλλογισμῶν· οἷον φαινόμενόν ἐστιν ἔνδοξον τὸ τὸν ὁρῶντα ὀφθαλμοὺς ἔχειν· δι’ οὗ συνάγεται ‘ὁ ἑτερόφθαλμος ὀφθαλμοὺς ἔχει‘. καὶ τὸ ‘ἃ λαλεῖς, διὰ τοῦ στόματός σου διέρχεται‘· ὃ λαβών τις συνάγει τὸ τὴν ἅμαξαν διὰ τοῦ στόματος διέρχεσθαι τοῦ ἅμαξαν λαλοῦντος. καὶ ‘ἃ οὐκ ἀποβέβληκας, ἔχεισ‘· τοῦτο γάρ τις λαβὼν συνάγει ὅτι κέρατα ἔχεις, οὐκ ἀποβέβληκας γὰρ κέρατα. ὁμοίως καὶ τὸ τὸν ὄψιν ἔχοντα ὁρᾶν, τὸν δὲ κοιμώμενον ὄψιν ἔχειν. τὰ γὰρ τοιαῦτα ἐπιπόλαιον ἔχει τὸ πιθανόν, καί, ὥς φησιν αὐτός, παραχρῆμα τοῖς καὶ μικρὰ συνορᾶν δυναμένοις κατάδηλον ἐν αὐτοῖς τὸ ψεῦδος γίνεται. ὃ οὐκ ἔχει τὰ ἀληθῶς ἔνδοξα· οὐ γὰρ ῥᾴδιον ἐν ἐκείνοις φωραθῆναι τὸ ψεῦδος. τὸ γοῦν τοὺς θεοὺς πάντα δύνασθαι ἔνδοξον ὂν οὐκ ἀληθὲς δὲ οὐ ῥᾴδιόν ἐστιν ἐλεγχθῆναι· ὁμοίως καὶ τὸ ‘τῷ μείζονι ἀγαθῷ ἐναντίον μεῖζόν ἐστι κακόν.‘ ἐπ’ ὀλίγων γὰρ ἄν τις εὕροι τοῦτο μὴ ἔχον οὕτως· ὡς δοκεῖ ἐπὶ τῆς εὐεξίας ἔχειν καὶ τῆς ὑγείας· τὸ γὰρ τῷ μείζονι ἀγαθῷ ἐναντίον (τοῦτο δέ ἐστιν ἡ καχεξία) ἔλαττον εἶναι δοκεῖ κακὸν τῆς νόσου, ἥτις ἐστὶν ἐναντία τῇ ὑγείᾳ, τῷ ἐλάττονι ἀγαθῷ, τῷ τοὺς μὲν νοσοῦντας πάντας καχεκτεῖν οὐ πάντας δὲ τοὺς καχεκτοῦντας ἤδη καὶ νοσεῖν. τὸ δὲ αἴτιον τούτου ἐστίν, ὅτι ἡ μὲν εὐεξία περιείληφεν ἐν αὑτῇ καὶ τὴν ὑγείαν· ἔστι γὰρ ὑγεία ἡ εὐεξία· διὸ περιέχουσα ἐν αὑτῇ ὑγείαν μεῖζόν ἐστιν αὐτῆς. ἀγαθόν· πρόσεστι γὰρ αὐτῇ τὸ εἶναι αὐτὴν τῶν δι’ ἑαυτὰ αἱρετῶν· ἡ δὲ καχεξία οὐκέτι ἐν αὑτῇ περιέχει τὴν νόσον, ἀλλ’ ἔστι μόνῳ ἐν ἐκείνῳ ἐν ᾧ ὑπερεῖχεν ἡ εὐεξία τῆς ὑγείας· ἡ δὲ νόσος ἐν αὑτῇ πάλιν περιέχει τὴν καχεξίαν· ἐπὶ γὰρ καχεξίᾳ γίνεται νόσος, ὡς καὶ ἡ εὐεξία ἐπὶ τῇ ὑγείᾳ.

in Top.21 Τοὺς μὲν οὖν τῶν ἐριστικῶν συλλογισμῶν παρὰ τὴν ὕλην φησὶ καὶ συλλογισμοὺς εἶναι. ὅταν γὰρ συλλογίσηταί τίς τι ἐν συζυγίᾳ συλλογιστικῇ διὰ τοιούτων προτάσεων, ἐριστικὸς συλλογισμὸς γίνεται· ὡς οἵ τε προειρημένοι ἔχουσι καὶ ὁ τοιοῦτος. ‘πᾶς ὁ ἀνδρεῖος ἀνδρείαν ἔχει· ἔστι δὲ ὁ χιτὼν ἀνδρεῖος· ὁ χιτὼν ἄρα ἀνδρείαν ἔχει‘· οὗτος γὰρ ἐριστικὸς ὁ συλλογισμὸς οὐ παρ’ ἄλλο τι ἢ παρὰ τὸ ληφθῆναι ὡς ἔνδοξον τὸ πάντα τὸν ἀνδρεῖον ἀνδρείαν ἔχειν, ἐπειδὴ ἐν συζυγίᾳ συλλογιστικῇ ἐν πρώτῳ οὔσῃ σχήματι ἐκ δύο καταφατικῶν, τῆς μὲν ἐπὶ μέρους τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ καθόλου, τῆς μείζονος. ἔστι δέ τις ἐριστικὸς συλλογισμὸς καὶ ὁ κατὰ τὸ εἶδος ἡμαρτημένος· οὗτος δὲ οὐκέτι οὐδὲ συλλογισμὸς ἁπλῶς ἐστιν, ἀλλὰ τὸ ὅλον τοῦτο ἐριστικὸς συλλογισμός. τοιοῦτοι δέ εἰσιν οἱ ἐν ἀσυλλογίστῳ συζυγίᾳ ἐρωτώμενοι λόγοι. οἷον εἰ συνάγοι τις ἤτοι τὸ ὅτι πᾶς ἄνθρωπος ἵππος ἐστὶ διὰ τοῦ λαβεῖν πάντα ἄνθρωπον ζῷον εἶναι καὶ πάντα ἵππον ζῷον· ἀσυλλόγιστος γὰρ ἡ τοιαύτη συμπλοκὴ καίτοι ἐξ ἀληθῶν οὖσα προτάσεων τῷ εἶναι δύο καταφάσεις ἐν δευτέρῳ σχήματι. ὁμοίως καὶ εἰ λάβοι τις τὰ νεκρὰ τῶν σωμάτων κινεῖσθαι καὶ ἀλλοιοῦσθαι, ἀλλὰ καὶ τὰ αἰσθανόμενα κινεῖσθαι, καὶ ἐκ τούτου οἴοιτο δεικνύναι ὅτι τὰ νεκρὰ τῶν σωμάτων αἰσθάνεται, ὡς ᾤετο Δημόκριτος. ὁ τοιοῦτος παραλογισμὸς γίνεσθαι μὲν δύναται καὶ ἐξ ἀληθῶν, ὥσπερ οὓς προειρήκαμεν. ὅμοιοι τούτοις καὶ οἱ τοιοῦτοι ‘ὁ ἄνθρωπος ζῷόν ἐστιν, τὸ ζῷον γένος ἐστίν, ὁ ἄρα ἄνθρωπος γένος ἐστίν‘· ἔνδοξοι μὲν γὰρ καὶ ἀληθεῖς αἱ προτάσεις, ἀσυλλόγιστος δὲ ἡ συμπλοκή, ὅτι ἐν πρώτῳ σχήματι οὐκ ἔστιν ἡ μείζων πρότασις καθόλου. τοιοῦτος καὶ ὁ τὴν ἐγκράτειαν σωφροσύνην οἰόμενος δεικνύναι, διότι ἀμφότεραι κρείττους ἡδονῶν ποιοῦσιν· ἀληθεῖς μὲν γὰρ αἱ προτάσεις καὶ ἔνδοξοι καὶ εἰδοποιοί, ἀλλ’ ἐν δευτέρῳ σχήματι δύο καταφάσεις πάλιν εἰσὶν εἰλημμέναι. διὰ ταὐτὰ δὲ οὐδὲ ὁ ἀνδρεῖος ἐπιστήμων, ἐπειδὴ ἑκατέρῳ αὐτῶν ὑπάρχει τὸ θαρραλέον. δεῖ δὲ περὶ τῶν ἐνδόξων τοῦτο προειληφέναι, ὅτι τὰ ἔνδοξα, καθ’ ὅσον ἐστὶν ἔνδοξα, οὔτε ἀληθῆ ἐστιν οὔτε ψευδῆ· καὶ γὰρ ἀληθῆ τινά ἐστιν ἔνδοξα, ὡς τὸ θεοὺς εἶναι, καὶ ψευδῆ, ὡς τὸ τοὺς θεοὺς δύνασθαι πάντα (οὐ γὰρ καὶ τὰ κακά, ἅ ἐστι καὶ αὐτὰ τῶν πάντων), ὡσπεροῦν καὶ ἀληθῆ πάλιν ἐστί τινα ἄδοξα, ὡς μὴ διὰ τὴν ἀπλανῆ πᾶν σῶμα ἐν τόπῳ εἶναι· ἀπὸ γὰρ τοῦ δοκεῖν ἡ τοῦ ἐνδόξου κρίσις, ὥσπερ εἴρηται.

in Top.22 Εἰπὼν δὲ ταῦτα καὶ περὶ τοῦ ἐριστικοῦ συλλογισμοῦ καὶ δείξας τὰς παρὰ τὴν ὕλην τῶν συλλογισμῶν γινομένας διαφοράς (οὐδεὶς γὰρ ἐκ ψευδῶν καὶ ἀδόξων συλλογίζεται, ὡς προεῖπον· αὕτη γάρ ἐστι παρὰ τὰς εἰρημένας ὕλας τῶν προτάσεων διαφορά· καὶ γὰρ ὁ πειραστικός, ὃν ἐν ἄλλοις τούτοις προστίθησιν, ἐξ ἐνδόξων πως καὶ αὐτός ἐστι, τούτῳ διαφέρων τοῦ διαλεκτικοῦ, ὅτι ὁ μὲν διαλεκτικὸς ἐκ τῶν ἁπλῶς ἐνδόξων, ὁ δὲ πειραστικὸς ἐκ τῶν τῷ ἀποκρινομένῳ δοκούντων τόν τε ἔλεγχον καὶ τὸν συλλογισμὸν ποιεῖται καὶ πείρας χάριν· ἐκ τῶν οὖν ἐκείνῳ ἐνδόξων ἐστίν), εἰπὼν δὴ περὶ τούτων παρὰ τοὺς προειρημένους φησὶ πάντας συλλογισμούς, τὸν ἀποδεικτικόν, ὃς ἐξ ἀληθῶν ἦν καὶ πρώτων, τὸν διαλεκτικόν, ὃς ἐξ ἐνδόξων, τὸν ἐριστικόν, ὃς ἐκ φαινομένων ἐνδόξων συλλογίζεται, ἄλλο φησὶν εἶδος εἶναι συλλογισμῶν τὸν καθ’ ἑκάστην ἐπιστήμην ἐκ τῶν οἰκείων ἀρχῶν τῇ ἐπιστήμῃ γινόμενον παραλογισμόν, ὁποῖά φαμεν εἶναι ἐν γεωμετρίᾳ τὰ ψευδογραφήματα. συγγενεῖς δὲ λέγοι ἂν γεωμετρίᾳ ἐπιστήμας ἀριθμητικήν (καὶ γὰρ αὕτη περὶ ποσόν, ἀλλὰ διωρισμένον), ἔτι δὲ ἀστρονομίαν καὶ ὀπτικὴν καὶ μηχανικήν· προσχρῶνται γὰρ αὗται ταῖς γεωμετρικαῖς ἀρχαῖς. τοῦτο δὲ τὸ εἶδος τῶν συλλογισμῶν ὅτι τῶν προειρημένων ἐστὶν ἄλλο, δείκνυσιν ἐκ τοῦ μηδένα τῶν λόγων τῶν ἀποδεδομένων ἐφαρμόζειν αὐτῷ. ὁ γὰρ ψευδογραφῶν οὔτε ἐξ ἀληθῶν καὶ πρώτων ψευδογραφεῖ (ἀδύνατον γὰρ ἐξ ἀληθῶν ψεῦδος συναχθῆναι) οὔτε ἐξ ἐνδόξων · οὐ γὰρ ὑποπίπτει τῷ τῶν ἐνδόξων λόγῳ τὰ ἐξ ὧν γίνεται τὰ ψευδογραφήματα. ὁ γὰρ ψευδογραφῶν οὔτε τὰ πᾶσι δοκοῦντα λαμβάνει οὔτε τὰ τοῖς πολλοῖς· τὴν ἀρχὴν γὰρ οὐδὲ ἐπαΐουσιν πάντες ἢ οἱ πολλοὶ περὶ τούτων· ἀλλ’ οὐδὲ τὰ πᾶσι τοῖς σοφοῖς, ἀλλ’ οὐδὲ τὰ τοῖς πλείστοις, οὐδὲ τὰ τοῖς γνωριμωτάτοις· καὶ γάρ, εἴ τινος τῶν σοφῶν δόγμα τι τοιοῦτόν ἐστιν, ἀλλ’ ὁ ψευδογραφῶν οὐ τὸ τινὶ δοκοῦν λαβὼν τίθησιν, ἀλλ’ ἐν τῷ περὶ αὐτῶν λόγῳ τὴν παραγωγὴν ποιεῖται. ἀλλ’ οὐδὲ ὁ τοῦ ἐριστικοῦ συλλογισμοῦ λόγος ἐφαρμόζοι ἂν τοῖς τοιούτοις παραλογισμοῖς· οὔτε γὰρ διὰ τὸ ἔνδοξον δοκεῖν τε καὶ φαίνεσθαι τὸ οὕτω πως περιγράφειν τι περιγράφει, οὔτε διὰ τὸ μὴ συλλογίζεσθαι ψευδογραφεῖ.

in Top.23

ὅτι δὲ μὴ τοιοῦτος ὁ τοῦ ψευδογραφοῦντος λόγος, ἐδήλωσεν διὰ τοῦ εἰπεῖν ἀλ λ ʼ ἐκ τῶν οἰκείων μὲν τῇ ἐπιστήμῃ λημμάτων οὐκ ἀληθῶν δὲ τὸν συλλογισμὸν ποιεῖται · οὐ γὰρ διὰ τοιούτων ὁ ἐριστικὸς συλλογισμός. ἄλλο ἄρα τι εἶδος τοῦτο παραλογισμῶν ἐστιν, ᾧ οὔτε ὁ διαλεκτικὸς οὔτε ὁ σοφιστικὸς χρῆται, ἀλλ' οἱ κατὰ τὰς ἐπιστήμας πείρας χάριν τῶν περὶ αὐτὰς καταγινομένων καὶ γυμνασίας πρὸς τὸ διορατικωτέρους αὐτοὺς γίνεσθαι τῶν ἐν αὐτοῖς ἀληθῶν. τοῦ δ' ἐκ τῶν οἰκείων ἀρχῶν τοὺς παραλογισμοὺς τοὺς κατὰ γεωμετρίαν γίνεσθαι παρέθετο δεικτικὸν τὸ τῷ γὰρ τὰ ἡμικύκλια περιγράφειν μὴ ὡς δεῖ ἢ γραμμάς τινας ἄγειν μὴ ὡς ἂν ἀχθείησαν τὸν παραλογισμὸν ὁ ψευδογραφῶν ποιεῖτα ι . οἱ δὲ οὕτως γινόμενοι παραλογισμοὶ χρωμένων ταῖς γεωμετρικαῖς ἀρχαῖς γίνονται· οὐ γὰρ ὡς ἄλλοις τισὶ δοκοῦν λαμβάνει τι τούτων ὁ δεικνὺς διὰ τούτων, ἀλλ' ὡς ἑπόμενον ταῖς γεωμετρικαῖς ἀρχαῖς, καὶ οὐ παρὰ τὸ λεγόμενον τὴν παραγωγὴν ποιεῖται ἀλλὰ παρὰ τὴν μὴ δέουσαν καταγραφήν. τὸ γὰρ παντὶ κέντρῳ καὶ διαστήματι κύκλον περιγράφεσθαι καὶ ἀπὸ παντὸς σημείου ἐπὶ πᾶν σημεῖον εὐθεῖαν ἐπιζευγνύναι, οἷς προσχρῆται ὁ τὰ ἡμικύκλια περιγράφων μὴ ὡς δεῖ καὶ γραμμὰς ἄγων μὴ ὡς ἂν ἀχθείησα ν , ἐν ταῖς γεωμετρικαῖς εἰσιν ἀρχαῖς. p. 101a13 Ἀλ λ ʼ ἐκ τῶν οἰκείων μὲν τῇ ἐπιστήμῃ λημμάτω ν . Ὅτι λήμματα αἱ προτάσεις παρὰ Ἀριστοτέλει, σημειωτέον. τῷ δὲ τῷ γὰρ ἢ τὰ ἡμικύκλια περιγράφειν μὴ ὡς δεῖ ἢ γραμμάς τινας ἄγειν μὴ ὡς ἂν ἀχθείησαν δύναται καὶ ἁπλῶς κεχρῆσθαι, καθόλου περὶ τὰ τοιαῦτα γινομένων τῶν ψευδογραφημάτων, δύναται καὶ ὡς παράδειγμα αὐτὸ εἰρηκέναι ψευδογραφήματος. ἔστι γάρ τι κατὰ γεωμετρίαν ψευδογράφημα παρὰ τὸ μήτε τὰ ἡμικύκλια περιγράφειν ὡς δεῖ μήτε τὰς γραμμὰς ἄγειν ὡς ἂν ἀχθείησα ν , τὸ μὲν δεικνύον τὰς δύο πλευρὰς τοῦ τριγώνου τῇ λοιπῇ ἴσας, τὸ δὲ καὶ ἐλάττους τὰς δύο τῆς λοιπῆς· κεῖται δὲ δεδειγμένον ἐν γεωμετρίᾳ ὅτι παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζους εἰσὶ πάντῃ μεταλαμβανόμεναι. ἴσας μὲν οὖν τὰς δύο τῇ λοιπῇ ὁ ψευδογραφῶν διὰ τῆς τῶν ἡμικυκλίων μὴ δεούσης περιγραφῆς καὶ τῆς τῶν τῶν γραμμῶν ἐπιζεύξεως μὴ προσηκούσης οὕτω δείκνυσι.

in Top.24 λαβὼν εὐθεῖαν τὴν Α Β δίχα τέμνει κατὰ τὸ Γ καὶ περὶ ἑκατέραν τῶν Α Γ, Γ Β ἡμικύκλια περιγράφει ἁπτόμενα ἀλλήλων κατὰ τὸ Θ σημεῖον, τεμνόντων ἄλληλα κατὰ τοῦτο τῶν Α Θ Γ, Γ Θ Β. καὶ τὰ κέντρα λαβὼν τῶν ἡμικυκλίων, τοῦ μὲν Α Θ Γ τὸ Δ τοῦ δὲ Γ Θ Β τὸ Ε, ἀπὸ τοῦ Θ, καθ' ὃ ἅπτεται ἀλλήλων τὰ ἡμικύκλια, εὐθείας ἐπὶ τὰ κέντρα τὰ Δ, Ε ἐπιζεύγνυσι. γίνεται δὴ τρίγωνον τὸ Δ Θ Ε. καὶ ἐπεὶ ἐκ τοῦ κέντρου εἰσὶν Δ Θ, Δ Γ ἐν τῷ Α Θ Γ ἡμικυκλίῳ, ἴσαι εἰσὶν ἀλλήλαις· διὰ τὰ αὐτὰ δὲ καὶ αἱ Ε Θ, Ε Γ· καὶ γὰρ αὗται ἐκ τοῦ κέντρου εἰσὶν ἐν τῷ Γ Θ Β ἡμικυκλίῳ. αἱ ἄρα δύο πλευραὶ τοῦ τριγώνου αἱ Δ Θ, Θ Ε τῇ βάσει τοῦ τριγώνου τῇ Δ Ε εἰσὶν ἴσαι. καὶ διὰ μὲν τούτου δείκνυσι τὰς δύο τοῦ τριγώνου πλευρὰς ἴσας τῇ λοιπῇ, οὔτε τὰ ἡμικύκλια περιγράψας ὡς δεῖ (οὐ γὰρ οἷόν τε αὐτὰ ἅπτεσθαι κατὰ τὸ Θ σημεῖον ἀλλήλων, ἀλλὰ μόνον κατὰ τὸ Γ, ἀφ' οὗ ἤρξαντο περιγράφεσθαι), οὔτε τὰς γραμμὰς ἄγων ὡς ἂν ἀχθείησα ν . οὐ γὰρ οἷόν τε ἀπὸ τῆς ἁφῆς τῶν ἡμικυκλίων ἀχθῆναί τινας γραμμὰς ἐπὶ τὰ κέντρα τῶν ἡμικυκλίων ποιούσας τρίγωνον· αἱ γὰρ ἀγόμεναι ἀπὸ τῆς ἁφῆς οὐκ ἄλλαι τινές εἰσιν ἢ ἐφ' ὧν τὰ κέντρα· ἡ γὰρ ἁφὴ αὐτῶν κατὰ τὸ Γ. πάλιν δὲ οἱ μείζω τὴν μίαν τῶν δύο ψευδογραφοῦντες οὕτω δεικνύουσι διὰ τῆς τῶν ἡμικυκλίων περιγραφῆς καὶ τῆς τῶν γραμμῶν ἐπιζεύξεως. λαβόντες εὐθεῖαν τὴν Α Β ἐπ' αὐτῆς σύνεγγυς ἀλλήλων λαμβάνουσι σημεῖα τὰ Γ, Δ, καὶ περὶ ἑκατέραν τῶν Α Γ, Δ Β εὐθειῶν ἡμικύκλια περιγράφουσι τέμνοντα ἄλληλα ἢ ἁπτόμενα ἀλλήλων κατὰ τὸ Ε σημεῖον, καὶ ἀπὸ τοῦ Ε σημείου, καθ' ὃ ἅπτεται ἀλλήλων τὰ ἡμικύκλια, ἐπὶ τὰ κέντρα τῶν ἡμικυκλίων τὰ Ζ, Η εὐθείας ἐπιζευγνύουσι. γίνεται δὴ τρίγωνον τὸ Ε Ζ Η. καὶ ἐπεὶ ἐκ τοῦ κέντρου αἱ Ε Ζ, Ζ Γ, ἴσαι ἀλλήλαις εἰσίν· ἴσαι δὲ καὶ αἱ Η Ε, Η Δ· καὶ γὰρ αὗται ἐκ τοῦ κέντρου εἰσὶ τοῦ Η ἐν τῷ Β Ε Δ ἡμικυκλίῳ· αἱ δύο δὴ πλευραὶ τοῦ τριγώνου αἱ Ε Ζ, Ε Η ἴσαι εἰσὶ ταῖς Ζ Γ, Δ Η, αἵ εἰσιν ἐλάττους τῆς Ζ Η βάσεως τοῦ τριγώνου.

in Top.25 ὥστε αἱ δύο τοῦ τριγώνου πλευραὶ αἱ Ζ Ε, Ε Η γίνονται τῆς λοιπῆς τῆς Ζ Η ἐλάττους. πάλιν οὖν τὸ ψευδογράφημα παρά τε τὴν περιγραφὴν τῶν ἡμικυκλίων (οὐ γὰρ οἷόν τε τὰ οὕτως περιγραφόμενα ἡμικύκλια ἢ τέμνειν ἄλληλα ἢ ὅλως ἅπτεσθαι ἀλλήλων) καὶ παρὰ τὴν τῶν γραμμῶν ἐπίζευξιν· οὐ γὰρ δεόντως ἤχθησαν αἱ Ε Ζ, Ε Η εὐθεῖαι ὡς ἀπὸ τῆς τῶν ἡμικυκλίων τομῆς· αὗται δὲ ἦσαν αἱ τὸ τρίγωνον ποιοῦσαι. εἴη δ' ἄν, ὡς τῷ διαλεκτικῷ παράκειται ὁ σοφιστικὸς ὁ ἐκ φαινομένων ἐνδόξων, οὕτω καὶ οὗτος ὁ παραλογισμὸς τῷ ἀποδεικτικῷ τῷ ἐκ τῶν οἰκείων τῷ προκειμένῳ ἀρχῶν παρακείμενος τοὺς λόγους ἄγων ἐπὶ ψεῦδος διά τινων ψευδῶν. p. 101a18 Εἴδη μὲν οὖν τῶν συλλογισμῶν ὡς τύπῳ περιλαβεῖν ἔστω τὰ εἰρημέν α . Ὡς ὑπογραφῇ τινι καὶ οὐκ ἀκριβῶς. οὕτως δὲ ἴσως εἶπεν ἤτοι ὡς μὴ ἀκριβῆ τὸν ὁρισμὸν ἀποδεδωκὼς ἑκάστου, ἢ ὡς μὴ ἐξειργασμένος αὐτὰ διὰ τὸ μὴ περὶ τούτων αὐτῷ τὴν πρόθεσιν εἶναι, ἢ ἐπεὶ προστίθησι τοῖς τρισὶ τοῖς πρώτοις εἰρημένοις ἐν ἄλλοις καὶ τὸν πειραστικὸν ὡς ἄλλον ὄντα παρὰ τοὺς νῦν εἰρημένους. ἢ ὁ αὐτός ἐστιν ὁ πειραστικὸς τῷ προειρημένῳ τῷ "ἐκ τῶν περί τινας ἐπιστήμας οἰκείων" γινομένῳ παραλογισμῷ· καὶ γὰρ τοῦ πειραστικοῦ τὸν λόγον ἀποδιδοὺς ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις οὕτως ἀπέδωκε "πειραστικοὶ δὲ οἱ ἐκ τῶν δοκούντων τῷ ἀποκρινομένῳ καὶ ἀναγκαίων εἰδέναι τῷ προσποιουμένῳ ἔχειν τὴν ἐπιστήμην", ὃ ἴσον ἂν εἴη τῷ τε "οἱ ἐκ τῶν περί τινας ἐπιστήμας οἰκείων γινόμενοι παραλογισμοί" καὶ τῷ "ἀλλ' ἐκ τῶν οἰκείων μὲν τῇ ἐπιστήμῃ λημμάτων"· τῷ γὰρ προσποιουμένῳ τὴν ἐπιστήμην ἔχειν δεῖ καὶ τὰς ἀρχὰς καὶ τὰ οἰκεῖα ἐκείνῃ τῇ ἐπιστήμῃ εἰδέναι καὶ κατ' ἐκεῖνα ἀποκρίνασθαι. καὶ εἴη ἂν πειραστικὸς μὲν ἀπὸ τῆς τοῦ ἐρωτῶντος προθέσεως λεγόμενος, ψευδογράφημα δὲ καὶ παραλογισμὸς ἀπὸ τοῦ γενομένου. ἀλλὰ καὶ τὸ ἐνθύμημα, εἰ καὶ μὴ ἁπλῶς συλλογισμός, ἀλλὰ ῥητορικός γε. οὐδὲ αὐτοῦ οὖν μνημονεύσας εἰκότως ἂν λέγοι τὸ ὡς τύπῳ εἰπεῖν. ἢ ὡς τύπῳ εἶπε διὰ τὸ καὶ κατὰ τὰς τῶν σχημάτων διαφορὰς εἴδη γίνεσθαι συλλογισμῶν.

in Top.26 p. 101a19 Καθόλου δὲ εἰπεῖν περὶ πάντων τῶν εἰρημένων καὶ τῶν μετὰ ταῦτα ῥηθησομένω ν . Εἰπὼν περὶ τῶν συλλογισμῶν, ὅτι εἴδη αὐτῶν "ὡς τύπῳ περιλαβεῖν ἔστω τὰ εἰρημένα", ἐπιφέρει ὅτι καὶ καθόλου δὲ χρὴ περὶ πάντων τῶν τε εἰρημένων καὶ τῶν ῥηθησομένων διωρίσθαι καὶ μεμνῆσθαι, ὅτι περὶ μηδενὸς τὸν ἀκριβῆ λόγον καὶ τὸν ἐπιστημονικόν τε καὶ ἀποδεικτικὸν ἀποδοῦναι προαιρούμεθ α , ἀλλὰ κοινότερον καὶ ἐν ὑποτυπώσει τινὶ διὰ τὸ κατὰ τὴν προκειμένην μέθοδον οὖσαν διαλεκτικὴν αὔταρκες εἶναι παντελῶς τὸ ὁπωσοῦν γνωρίζειν ἕκαστον τῶν λεγομένων. τὰ γὰρ ἔνδοξα καὶ δι' ἐνδόξων δεικνύμενα κεχώρισται τῆς ἐπιστημονικῆς ἀκριβολογίας· τοιαῦτα δὲ τὰ προκείμενα. περὶ μὲν γὰρ συλλογισμῶν, πῶς τε γίνονται καὶ κατὰ πόσα σχήματα καὶ πόσοι καθ' ἕκαστον, καὶ τίνες μὲν ἀποδεικτικοὶ τίνες δ' οὔ, καὶ τίνες μὲν τέλειοι συλλογισμοὶ τίνες δὲ ἀτελεῖς, καὶ τίνες μὲν συλλογιστικαὶ τίνες δὲ ἀσυλλόγιστοι συμπλοκαί, ὧν ἐμνημόνευσέ πως ὁριζόμενος τὸν ἐριστικὸν συλλογισμόν, καὶ ὅλως τῶν εἰς τὴν συλλογιστικὴν πραγματείαν χρησίμων ἐν τοῖς Προτέροις ἀναλυτικοῖς εἴρηκεν ἀκριβῶς, περὶ δέ γε ἀποδείξεως καὶ ὅρων ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς. λέγει δὲ περὶ ὁρισμῶν καὶ ἐν τοῖς Μετὰ τὰ φυσικά, ἀλλὰ καὶ περὶ γενῶν 〈, ὧν〉 ἁπάντων καὶ ἐν τούτοις μὲν μνημονεύει, ἀλλὰ ἐπιπολαιότερον. εἰ γὰρ τὰ ἐν ἐκείνοις εἰρημένα ἐνταῦθά τις μεταφέροι, ἐκβαίνοι ἂν τῶν ὅρων τῆς διαλεκτικῆς οὔσης, ὡς εἶπεν, ἐξ ἐνδόξων συλλογιστικῆς. p. 101a25 Ἑπόμενον δ ' ἂν εἴη τοῖς εἰρημένοις εἰπεῖν πρὸς πόσα τε καὶ τίνα χρήσιμος ἡ πραγματεί α . Εἰπὼν τίς ὁ διαλεκτικὸς συλλογισμὸς καὶ τίνι τῶν ἄλλων συλλογισμῶν διαφέρει, ὅτι τῷ δι' ἐνδόξων συλλογίζεσθαι, ἀκολούθως ἐφεξῆς πρὸς πόσα τε καὶ τίνα χρήσιμος ἡ διαλεκτική, δείκνυσι. πρὸ γὰρ τοῦ τὴν μέθοδον αὐτὴν παραδιδόναι ἀναγκαία ἡ τούτων διδασκαλία· οἱ γὰρ τὸ χρήσιμον τῶν λεγομένων εἰδότες προθυμότεροι περὶ ταῦτα γίνονται. ἅμα δὲ καὶ ἐπεὶ κεῖται δι' ἐνδόξων εἶναι συλλογιστική, δοκεῖ δὲ ἡ φιλοσοφία περὶ τὰ ἀληθῆ καὶ τὴν δι' ἀληθῶν δεῖξιν πραγματεύεσθαι, ἃ κεχώρισται τῆς περὶ τὰ ἔνδοξα πραγματείας, δείκνυσιν ὅτι καὶ πρὸς

φιλοσοφίαν καὶ τὴν εὕρεσιν τῶν ἀληθῶν χρήσιμος ἡ διαλεκτικὴ καὶ οὐκ ἔξω φιλοσοφίας ἡ προκειμένη πραγματεία.

in Top.27 p. 101a26 Ἔστι δὲ πρὸς τρί α , πρὸς γυμνασία ν , πρὸς τὰς ἐντεύξει ς , πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμα ς . Πρὸς τρία φησὶν εἶναι χρήσιμον τὴν διαλεκτικὴν πραγματείαν, πρός τε γυμνασία ν . λέγει δὲ γυμνασίαν ἤτοι τὴν γινομένην ἐν τῷ διαλέγεσθαι πρός τινας· δεχόμενοι γάρ τινα προβλήματα παρὰ τῶν προσδιαλεγομένων γυμναζόμενοι πειρῶνται τούτοις παρίστασθαι, δι’ ἐνδόξων τὰς ἐπιχειρήσεις ποιούμενοι· ἢ γυμνασίαν λέγοι ἂν τὴν εἰς ἑκάτερον μέρος ἐπιχείρησιν. ἦν δὲ σύνηθες τὸ τοιοῦτον εἶδος τῶν λόγων τοῖς ἀρχαίοις, καὶ τὰς συνουσίας τὰς πλείστας τοῦτον ἐποιοῦντο τὸν τρόπον, οὐκ ἐπὶ βιβλίων ὥσπερ νῦν (οὐ γὰρ ἦν πω τότε τοιαῦτα βιβλία), ἀλλὰ θέσεώς τινος τεθείσης εἰς ταύτην γυμνάζοντες αὑτῶν τὸ πρὸς τὰς ἐπιχειρήσεις εὑρετικὸν ἐπεχείρουν, κατασκευάζοντές τε καὶ ἀνασκευάζοντες δι’ ἐνδόξων τὸ κείμενον. καὶ ἔστι δὲ βιβλία τοιαῦτα Ἀριστοτέλους τε καὶ Θεοφράστου γεγραμμένα ἔχοντα τὴν εἰς τὰ ἀντικείμενα δι’ ἐνδόξων ἐπιχείρησιν. πρὸς δὴ τὴν τοιαύτην γυμνασίαν χρήσιμον εἶναί φησι τὴν διαλεκτικήν· μέθοδον γάρ τινα εὑρετικὴν τῶν ἐπιχειρημάτων ἔχοντες (αὕτη δέ ἐστιν ἡ τῶν τόπων γνῶσις) ῥᾷον ἐπιχειρεῖν δυνησόμεθα. ὡς γὰρ ἐν τοῖς ῥητορικοῖς γυμνάσμασιν οἱ διαιρεῖν δυνάμενοι τὰ προβλήματα καὶ τὴν τάξιν τῶν κεφαλαίων συνορῶντες ῥᾷον ἐπιχειροῦσιν, οὑτωσὶ καὶ ἐν τοῖς διαλεκτικοῖς οἱ τὴν μέθοδον εἰδότες ῥᾷον ἐπιχειρημάτων εὐποροῦσι πρὸς τὰ προκείμενα. χρήσιμος δὲ ἡ τοιαύτη κατὰ τοὺς λόγους γυμνασία πρὸς εὕρεσιν τῶν ζητουμένων τε καὶ ἀληθῶν, ὡς καὶ αὐτὸς ἐρεῖ δι’ ὧν τὸ πρὸς φιλοσοφίαν αὐτῆς ἐκθήσεται χρήσιμον· προπαρασκευάζει γὰρ τὴν ψυχήν. ὡς γὰρ τὰ τοῦ σώματος γυμνάσια γινόμενα κατὰ τέχνην εὐεξίαν περιποιεῖ τῷ σώματι, οὕτω καὶ τὰ τῆς ψυχῆς ἐν λόγοις γυμνάσια κατὰ μέθοδον γινόμενα τὴν οἰκείαν εὐεξίαν τῇ ψυχῇ περιποιεῖ· οἰκεία δὲ εὐεξία ψυχῆς λογικῆς ἡ δύναμις καθ’ ἣν εὑρετική τε τοῦ ἀληθοῦς καὶ κριτικὴ γίνεται. Δεύτερον τρόπον τῆς ὠφελείας αὐτῆς προσεκτίθεται τὸν πρὸς τὰς ἐντεύξει ς , ἐντεύξεις λέγων τὰς πρὸς τοὺς πολλοὺς συνουσίας, οἷς δεῖ μὲν ἐντυγχάνειν κοινωνικούς τε ὄντας καὶ φιλανθρώπους, καὶ ἐντυγχάνειν ὠφελίμως.

in Top.28 διὰ μὲν οὖν ἀληθῶν τε καὶ ἀποδεικτικῶν οὐχ οἷόν τε κοινολογεῖσθαι πρὸς αὐτούς· οὐδὲ γὰρ τὴν ἀρχὴν συνιέναι τῶν τοιούτων δύνανται· ἀλλ’ οὐδὲ μανθάνειν ὑπομένουσι. διὸ οὐδὲ ὠφελεῖσθαι δύναιντ’ ἂν διά τινος τῶν τοιούτων, ὧν γε τὴν ἀρχὴν μηδὲ συνιέναι δύνανται. εἰ δὲ διὰ τῶν ἐνδόξων τε καὶ δοκούντων καὶ αὐτοῖς ἐκείνοις τὰς πρὸς αὐτοὺς συνουσίας ποιούμεθα, παρακολουθοῖέν τε ἂν τοῖς λεγομένοις καὶ ῥᾳδίως μεταβιβάζοιντο διὰ τῶν τοιούτων λόγων, εἴ τι μὴ εἶεν ὀρθῶς τιθέμενοι. τῷ γὰρ τὴν ἡδονὴν ἀγαθὸν ἡγουμένῳ καὶ δουλεύοντι ταύτῃ ἂν μέν τις διὰ τοῦ λέγειν τὴν ἡδονὴν γένεσιν εἰς φύσιν αἰσθητὴν εἶναι, τὴν δὲ τοιαύτην φύσιν μὴ δύνασθαι ἀγαθὸν εἶναι τῷ τὴν γένεσιν ἀτελῆ εἶναι μηδὲν δὲ ἀγαθὸν ἀτελές, ἂν δὴ διὰ τούτου τις δεικνύναι θέλῃ τῷ τοιούτῳ ὅτι μή ἐστιν ἡ ἡδονὴ ἀγαθόν, οὐδὲν ἂν πλέον ποιοῖ τῷ μηδὲ τὴν ἀρχὴν εἰδέναι τί ποτέ ἐστι τὸ λεγόμενον. ἂν δὲ ἀπὸ τῶν κοινῶν τε καὶ ἐνδόξων ὁρμώμενος ἐξετάζῃ αὐτὸν εἰ μὴ δοκεῖ αὐτῷ τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖν, ὥσπερ καὶ τὸ λευκὸν λευκοὺς καὶ τὸ θερμὸν θερμούς, καὶ τούτου τεθέντος προσανέρηται εἰ ἡ ἡδονὴ δοκεῖ αὐτῷ ἀγαθοὺς ποιεῖν, λήψεται μὲν ὅτι μὴ ποιεῖ (ἐναργὲς γὰρ καὶ τοῦτο), συνάξει δὲ ὅτι μὴ ἀγαθὸν ἡ ἡδονὴ ἐκ τῶν ἐκείνου δοξῶν τε καὶ ἀποκρίσεων. διὸ καὶ μεταπείσειεν ἂν αὐτόν· εἴκει γάρ πως πᾶς τῷ ὑπ’ αὐτοῦ τεθέντι. Τρίτον τῆς ὠφελείας αὐτῆς ἐκτίθεται τρόπον τὸν πρὸς φιλοσοφίαν καὶ τὴν κατ’ ἐπιστήμην γνῶσιν, τοῦτ’ ἔστι πρὸς τὴν τοῦ ἀληθοῦς εὕρεσίν τε καὶ γνῶσιν. κατὰ φιλοσοφίαν δὲ ἐπιστήμας εἶπε τὴν φυσικήν, τὴν ἠθικήν, τὴν λογικήν, τὴν μετὰ τὰ φυσικά. οἱ γὰρ δυνάμενοι τὰ πιθανὰ πρὸς τὰ ἀντικείμενα συντελοῦντα διορᾶν καὶ εἰς ἀμφότερα ἐπιχειρεῖν ῥᾷον ἂν εὑρίσκοιεν ἐν ποτέρῳ αὐτῶν μέρει τῆς ἀντιφάσεως τὸ ἀληθές ἐστιν, ὥσπερ ἀντιδίκων ἀμφοτέρων τῶν μερῶν ἀκηκοότες. ὡς γὰρ ὁ δικαστὴς διὰ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφοτέρων ἀκοῦσαι τὸ δίκαιον γνωρίζει, οὕτως καὶ ἐν ταῖς κατὰ φιλοσοφίαν ζητήσεσιν ἐπὶ πολλῶν οὐχ οἷόν τε τὸ ἀληθὲς εὑρεῖν ῥᾳδίως μὴ πρότερον εἰς ἑκάτερον ἐπιχειρήσαντα.

in Top.29 συνᾴδει τούτῳ καὶ τὸ ὑπὸ Πλάτωνος εἰρημένον ἐν τῷ Παρμενίδῃ τὸ “ἕθισον σαυτὸν καὶ γύμνασον μᾶλλον διὰ τῆς δοκούσης ἀχρήστου εἶναι καὶ καλουμένης ὑπὸ τῶν πολλῶν ἀδολεσχίας, ἕως ἔτι νέος εἶ· εἰ δὲ μή, διαφεύξεταί σε ἡ ἀλήθεια”. ἔτι ὁ εἰδὼς τὴν τοῦ πιθανοῦ φύσιν οὐκ ἂν ὑπ’ αὐτοῦ παραχθείη ποτὲ ὡς ἀληθοῦς ὄντος, ἀλλὰ προκρίνοι ἂν τὰ φαινόμενα ἀληθῆ τῶν μὴ ἀληθῶν τῇ παραβολῇ αὐτῶν τῇ πρὸς ἄλληλα· δι’ ὧν γὰρ τὸ ἀληθές τινες ἀφανίζειν πειρῶνται, τούτοις τις ἐγγεγυμνασμένος οὐκ ἂν ὑπ’ αὐτῶν παράγοιτο. πρὸς δὲ τούτοις ὁ τῶν ὁμοίως φαινομένων τῷ ἀληθεῖ εὑρετικός (τοιαῦτα δὲ τὰ πιθανά) καὶ πρὸς τὴν τοῦ ἀληθοῦς εὕρεσιν ἑτοιμότερος. ἔτι δὲ εἰ δεῖ τὸν περί τινος ὑγιῶς τε καὶ ὀρθῶς λέγοντα τοιούτους τοὺς περὶ αὐτοῦ ποιεῖσθαι λόγους ὡς δύνασθαι δι’ αὐτῶν λύεσθαι καὶ τὰ ἀπορούμενα περὶ αὐτοῦ, δῆλον ὡς χρήσιμον τὸ γεγυμνάσθαι ἐν τοῖς πρὸς αὐτὸ ἀπορεῖσθαι δυναμένοις· οὕτω γὰρ συνορᾶν δύναιτ’ ἂν καὶ τὰς λύσεις τῶν ἀπορουμένων. p. 101a36 Ἔτι δὲ πρὸς τὰ πρῶτα τῶν περὶ ἑκάστην ἐπιστήμη ν . Προειπὼν πρὸς τρία χρήσιμον εἶναι τὴν διαλεκτικὴν καὶ ἐκθέμενος τίνα ταῦτα, προστίθησι τοῖς τρισὶ καὶ τέταρτον, ἤτοι ὑποδιαίρεσίν τινα τοῦ τρίτου ποιούμενος (ἦν δὲ τοῦτο τὸ “πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας”· εἰ γὰρ πρὸς τὰ πρῶτα τῶν περὶ ἑκάστην ἐπιστήμη ν , εἴη ἂν καὶ πρὸς τὰ κατὰ φιλοσοφίαν πρῶτα) ἢ προστιθεὶς ὡς ἄλλο τοῦτο παρὰ τὰ προειρημένα. ἔστι δὲ ὃ προστίθησι· χρήσιμόν φησιν εἶναι τὴν διαλεκτικὴν καὶ πρὸς τὰς καθ’ ἑκάστην ἐπιστήμην ἀρχάς· περὶ γὰρ τῶν οἰκείων ἀρχῶν οὐδεμία τῶν ἐπιστημῶν οἵα τε λέγειν διὰ τὸ δεῖν μέν, εἰ ἐπιστημονικῶς λέγοι περὶ αὐτῶν καὶ δεικνύοι ταῦτα, ἐκ πρώτων αὐτὰ δεικνύναι (τοιαῦται γὰρ αἱ ἐπιστημονικαί τε καὶ ἀποδεικτικαὶ δείξεις), μηδὲν δὲ ἔχειν τῶν ἀρχῶν πρῶτον. τὰς οὖν δεομένας τῶν ἀρχῶν τῶν κατὰ τὰς ἐπιστήμας συστάσεώς τινος τῷ μὴ δύνασθαι δείκνυσθαι δι’ ἀληθῶν τε καὶ πρώτων δι’ ἐνδόξων τινῶν 〈δεῖ〉 δείκνυσθαί τε καὶ πιστοῦσθαι· τὸ δὲ διὰ τοιούτων συλλογίζεσθαι διαλεκτικῆς ἴδιον.

in Top.30 ἴδιον δὲ αὐτῆς καὶ ἡ δι’ ἐπαγωγῆς τοῦ προκειμένου σύστασις, ὡς προϊὼν ἐρεῖ· μάλιστα δὲ τὸ πιστὸν ταῖς ἀρχαῖς δι’ ἐπαγωγῆς περιγίνεται. ὡς διαλεκτικὸς οὖν περὶ τῶν ἀρχῶν τῶν ἰδίων ὁ ἐπιστήμων ἐρεῖ, ἢ ὁ διαλεκτικὸς ὑπὲρ αὐτοῦ. εἰ δὲ πρὸς τὰ πρῶτα καὶ τὰς καθ’ ἑκάστην ἐπιστήμην ἀρχάς ἐστι χρήσιμος, εἴη ἄν, ὡς εἶπε, καὶ πρὸς φιλοσοφίαν τε καὶ τὰς ταύτης ἀρχάς, παρεχομένη καὶ ταύτῃ τὸ χρήσιμον. καὶ οὕτως ἂν δύναιτο καὶ τὸ τέταρτον τοῦτο ὑπάγεσθαι τῷ πρὸς φιλοσοφίαν χρησίμῳ, προσκεῖσθαι δὲ αὐτῷ τὸ ὅτι ὁμοίως φιλοσοφίᾳ κατὰ τοῦτο καὶ πρὸς ἄλλας ἐπιστήμας ἐστὶ χρήσιμος ἡ διαλεκτική. καὶ αὐτὸς δὲ πολλάκις δεικνύς τινα τῶν κατὰ φιλοσοφίαν προστίθησι τὸ “λογικῶς” λέγων διαλεκτικῶς, ὡς δεομένων τινῶν τῶν κατὰ φιλοσοφίαν καὶ τοιούτων δείξεων. οἵα ἐστὶ καὶ ἡ τοιαύτη· ‘πᾶν σῶμα ἐπιπέδῳ ὥρισται‘, ὅ ἐστιν ἔνδοξον διὰ τὸ κεῖσθαι σώματος πέρας εἶναι τὴν ἐπιφάνειαν, ᾧ ἐχρήσατο ἐν Φυσικοῖς δεικνὺς ὅτι μὴ ἔστιν ἄπειρόν τι σῶμα· ᾧ προσθεὶς τὸ ‘οὐδὲν δὲ ὡρισμένον ἄπειρον‘ ‘οὐδὲν ἄρα σῶμα ἄπειρον‘ συνήγαγεν. ὅτι δὲ διαλεκτικοῦ ἐστι τὸ περὶ ἀρχῶν λέγειν, ἐντεῦθεν δῆλον ἂν γένοιτο. ὁ γεωμέτρης τίθεται μὲν ἐν ταῖς ἀρχαῖς καὶ τὸ ἐπιφάνειαν εἶναι ὃ μῆκος καὶ πλάτος μόνον ἔχει, τίθεται δὲ καὶ γραμμὴν μῆκος ἀπλατές, καὶ σημεῖον οὗ μέρος οὐδέν. ἐνίστανται δὲ πρὸς ταῦτά τινες λέγοντες μήτε τι μέγεθος δύνασθαι διαστήματα δύο ἔχειν μόνα, ἔτι δὲ ἧττον ἕν. ἀλλὰ μηδὲ σημεῖόν τι ὅλως εἶναι· μηδὲν γὰρ εἶναι ὃ μήτε ἀφαιρούμενον μειοῖ τι μήτε προστιθέμενον αὔξει, ὡς ὁ Ἐλεάτης ἔλεγε Ζήνων· ἀδιαστάτου γὰρ μηδὲ φαντασίαν τινὰ δύνασθαι λαβεῖν. γεωμετρικῶς μὲν οὖν οὐχ οἷόν τέ τι τούτων ὡς ὃν δεῖξαι. ὁ δὲ διαλεκτικὸς οὐκ ἀπορήσει δι’ ἐνδόξων αὐτὰ συστῆσαι. λαβὼν γὰρ ἔνδοξον τὸ τὴν ἐπιφάνειαν πέρας εἶναι τοῦ σώματος καὶ τὸ τὸ πέρας εἶναι ἄλλο τοῦ οὗ ἐστι πέρας, καὶ τοῦτο τῇ ἐπαγωγῇ συστήσας συνάγει τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιφάνειαν ἄλλην εἶναι σώματος, τοῦτ' ἔστι τοῦ τριχῇ διεστῶτος· εἰ δὲ ἄλλη, οὐχ οἷόν τε ἔχειν αὐτὴν διαστάσεις τρεῖς· ἦν γὰρ ἂν οὕτως ἡ αὐτὴ τῷ σώματι· ἐν τούτῳ γὰρ ἐκείνῳ τὸ εἶναι· ἀλλὰ μὴν ὁρᾶται μῆκος καὶ πλάτος ἔχουσα· ἀδύνατον ἄρα αὐτὴν βάθος ἔχειν· τὰς δύο ἄρα μόνας ἔχει διαστάσεις, μῆκος καὶ πλάτος.

in Top.31 τῷ δ' αὐτῷ λόγῳ χρώμενος δείξει καὶ τὴν γραμμὴν μῆκος ἀπλατές· πέρας γὰρ οὖσα ἐπιφανείας ἐπιφάνεια οὐκ ἔστιν· ἀλλὰ μὴν ὁρᾶται μῆκος ἔχουσα· ἀπλατὲς ἄρα μῆκος ἔσται. καὶ ἡ στιγμὴ δέ, ἐπεὶ τῆς γραμμῆς μῆκος ἐχούσης ἓν μόνον πέρας ἐστὶν ἕτερον αὐτῆς ὄν, οὐδὲ ταύτην ἂν ἔχοι τὴν διάστασιν· ὃ δὲ μὴ ἔχει μῆκος, τοῦτο ἀδιάστατον· πᾶσα γὰρ διάστασις μετὰ μήκους. ἔνεστι καὶ οὕτως περὶ τοῦ σημείου λέγειν ἐνδόξως· τὸ σημεῖον, εἰ διέστηκεν, ἤτοι ἐφ' ἓν διέστηκεν ἢ ἐπὶ δύο ἢ ἐπὶ τρία· ἀλλ' εἰ μὲν ἐπὶ τρία, σῶμα ἔσται· εἰ δ' ἐπὶ δύο, ἐπιφάνεια· εἰ δὲ ἐφ' ἕν, γραμμή· ἀλλ' οὐδέν ἐστι τούτων· τὸ σημεῖον ἄρα ἀδιάστατον. ἔστι καὶ οὕτως· πᾶν πέρας μεγέθους τινὸς ἑνὶ διαστήματι ἐλαττοῦται αὐτοῦ, ὥσπερ ἡ ἐπιφάνεια μὲν σώματος (τούτου γὰρ αὕτη πέρας), ἡ γραμμὴ δὲ τῆς ἐπιφανείας· ἔστι δὲ καὶ τὸ σημεῖον πέρας τῆς γραμμῆς· ἐλαττοῦται ἄρα καὶ τοῦτο τῆς γραμμῆς διαστήματι· ἀλλὰ μὴν ἓν εἶχεν ἡ γραμμὴ διάστημα· οὗ τὸ πέρας αὐτῆς ἀπολειπόμενον ἀδιάστατον ἂν εἴη. καὶ οὕτως· ἡ ἀρχὴ οὐδέπω ἐστὶ τοῦτο οὗ ἐστιν ἀρχή· ἀλλὰ μὴν τὸ σημεῖον ἀρχὴ τοῦ πρώτου διαστήματος· τοῦτο δέ ἐστι τὸ μῆκος· ἀδιάστατον ἄρα τὸ σημεῖον. ὅτι δὲ καὶ ἔστι τι τὸ σημεῖον, οὕτως ἂν δεικνύοιτο διαλεκτικῶς· παντὸς πεπερασμένου πέρας τί ἐστι· τὸ δὲ πέρας ἄλλο ἐστὶ τοῦ οὗ ἐστι πέρας· οὐ γὰρ ταὐτὸν τὸ πέρας τε καὶ τὸ οὗ πέρας· καὶ τῆς γραμμῆς δὲ τῆς πεπερασμένης ἐστί τι πέρας καὶ ἄλλο τῆς γραμμῆς· ἀλλὰ μὴν εἰ μὴ γραμμή, σημεῖον· οὐ γὰρ δὴ ἐπίπεδον ἢ σῶμα οἷόν τε λέγειν τὸ τῆς γραμμῆς πέρας· μόνα δὲ ἐν διαστήματι ταῦτα. ὁμοίως ἂν ὁ διαλεκτικὸς καὶ περὶ μονάδος, ὅτι ἐστὶν ἀμερής, δεικνύοι· ᾧ καταμετρεῖται πᾶς ἀριθμός, ἐκεῖνο ἐλάχιστόν ἐστιν ἐν ἀριθμῷ· μονάδι δὲ πᾶς ἀριθμὸς καταμετρεῖται· ἐλάχιστον ἄρα ἐν ἀριθμῷ ἡ μονάς· καὶ ἀμερὲς ἄρα. καὶ οὕτως· ὃ ἐν ἀριθμῷ ὂν μή ἐστιν ἀριθμός, τοῦτο ἀδιαίρετόν ἐστι· τοιοῦτον δὲ ἡ μονάς. Τὸ δὲ τοῦτο δὲ ἴδιον ἢ μάλιστα οἰκεῖον τῆς διαλεκτικῆς ἐστ ι , τὸ ἐξ ἐνδόξων συλλογίζεσθαι, εἶπεν ἤτοι διὰ τὴν ῥητορικήν, ἐπειδὴ καὶ αὕτη διὰ τούτων, ἢ ὅτι καὶ ὁ φιλόσοφός ποτε διὰ τοιούτων δείκνυσί τινα, ὡς προείρηται.

in Top.32 p. 101b3 Ἐξεταστικὴ γὰρ οὖσα πρὸς τὰς ἁπασῶν τῶν μεθόδων ἀρχὰς ὁδὸν ἔχε ι . Ὅτι μὲν μεθόδους καὶ τὰς ἐπιστήμας καὶ τὰς τέχνας λέγει, γνώριμον ἐποίησεν αὐτός· εἰπὼν γὰρ "ἔτι δὲ πρὸς τὰ πρῶτα τῶν περὶ ἑκάστην ἐπιστήμην" τὰς ἐπιστήμας μεταλαβὼν μεθόδους εἶπεν. ἐξεταστικὴ δὲ ἀντὶ τοῦ 'ζητητικὴ καὶ ἐπιχειρηματική'. p. 101b5 Ἕξομεν δὲ τελέως τὴν μέθοδο ν , ὅταν ὁμοίως ἔχωμε ν . Εἰπὼν τίς ἐστιν ὁ ἔνδοξος συλλογισμός, καὶ ὅτι ἡ διαλεκτικὴ περὶ τὸν τοιοῦτον συλλογισμόν, δείξας δὲ καὶ πρὸς πόσα καὶ τίνα χρήσιμός ἐστι, νῦν λέγει τί ἔργον ἐστὶ τῆς διαλεκτικῆς, καὶ πότε καὶ πῶς ἔχοντες τελείως ἔχομεν τὴν μέθοδο ν . δυνάμεις δὲ εἶπε τὴν ἰατρικὴν καὶ τὴν κυβερνητικήν τε καὶ διαλεκτικήν, ἤτοι ὅτι ἔνεστιν αὐταῖς καὶ εὖ καὶ κακῶς χρῆσθαι, ἢ μᾶλλον ὅτι στοχαστικαὶ οὖσαι οὐ κατὰ ὡρισμένα τινὰ προΐασιν, ἀλλὰ δεῖ καὶ οἰκείας συνέσεως αὐταῖς πρὸς τὸ ἁρμόσασθαί τε τὰ προσπίπτοντα καὶ τάξαι τὰ γινόμενά τε καὶ λεγόμενα ὥστε ταχθέντα χρήσιμα γενέσθαι. ἢ μᾶλλον δυνάμεις κοινότερον τὰς τέχνας, ὡσανεὶ ἕξεις ἔλεγεν αὐτάς, καὶ εἴη ἂν ' τῶν τοιούτων τεχνῶν', τοῦτ' ἔστι τῶν στοχαστικῶν. φησὶ δὴ τότε ἡμᾶς τελείως ἕξειν αὐτήν, ὅταν τῶν ἐνδεχομένων εἰς τὸ προκείμενον ἐνδόξως ἐπιχειρηθῆναι μηδὲν παραλίπωμεν· οὐδὲ γὰρ τὸ πάντως εἰς ἀντίφασιν περιαγαγεῖν τὸν διαλεγόμενον ἔργον τοῦ διαλεκτικοῦ, ὥσπερ οὐδὲ τοῦ ῥήτορος τὸ πεῖσαι, ἀλλὰ καὶ τούτου τὸ μηδὲν τῶν εἰς πίστιν τοῦ προκειμένου πιθανῶν παραλιπεῖν. οὕτως δὲ ἔχει καὶ ἐπὶ ἰατρικῆς τε καὶ κυβερνητικῆς καὶ πασῶν τῶν στοχαστικῶν τεχνῶν. τοῦ τε γὰρ ἰατροῦ ἔργον τὸ πάντα τὰ ἐνδεχόμενα ποιῆσαι πρὸς τὸ σῶσαι, ἀλλ' οὐ τὸ σῶσαι· εἰ γὰρ τοῦτό τις λέγοι ἔργον εἶναι τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰατροῦ, καὶ ὁ ἀνίατρος ἰατρὸς ἔσται καὶ ὁ ἰατρὸς οὐκ ἰατρός· σώζουσι γὰρ πολλάκις καὶ οἱ ἀνίατροί τινας κάμνοντας, εὐτυχῶς τινα προσενέγκαντες αὐτοῖς, καὶ οὐ σώζουσιν οἱ ἰατροί, ὅταν μεῖζον ᾖ τὸ πάθος τῆς ἰατρικῆς βοηθείας ἢ μὴ σημειώσει ὑποπεσεῖν ῥᾴδιον· ὁμοίως καὶ ἐπὶ κυβερνητικῆς.

in Top.33 ὁ αὐτὸς δὴ λόγος καὶ ἐπὶ ῥητορικῆς τε καὶ διαλεκτικῆς· πολλάκις γὰρ τὸ μὴ εὐπορεῖν ἐπιχειρήματος ἢ πρὸς τὸ συλλογίζεσθαι τὸ προκείμενον ἢ πρὸς τὸ πεῖσαι τοὺς ἀκούοντας παρὰ τὴν τοῦ προβλήματος γίνεται φύσιν, ἀλλ' οὐ παρὰ τὸν διαλεκτικὸν ἢ τὸν ῥήτορα. ἐπὶ γὰρ τῶν τοιούτων τεχνῶν οὐκ ἀπὸ τῶν ἐπιγινομένων τελῶν ἡ κρίσις, ὡς γίνεται ἐπὶ οἰκοδομικῆς τε καὶ ὑφαντικῆς καὶ τῶν ἄλλων τῶν ποιητικῶν τεχνῶν, ἐφ' ὧν κατά τινας ὡρισμένας τε καὶ τεταγμένας ὁδοὺς ἡ κατ' αὐτὰς ἐνέργεια γίνεται πᾶσι, καὶ οὐχ οἷόν τε καὶ ἀπὸ τύχης αὐτῶν τὸ ἔργον γενέσθαι· ἐν γὰρ ταύταις τέλος τὸ προκείμενον ἔργον τῷ ἕπεσθαι τὸ ἔργον τοῖς χάριν αὐτοῦ γινομένοις· διὸ τοῦ καλῶς καὶ τεχνικῶς γεγονέναι τὰ πρὸ αὐτοῦ σημεῖον τὸ ἔργον γίνεται. ἐν δὲ ταῖς στοχαστικαῖς τῶν τεχνῶν οὐ πάντως ἐπὶ γινομένοις τοῖς κατὰ τέχνην ἀπαντᾷ τὰ ὧν χάριν ἐκεῖνα γίνεται. αἴτιον δὲ τὸ ἐν ταύταις καὶ ἀπὸ τύχης τινὰ γίνεσθαι καὶ μὴ ὡρισμένα εἶναι δι' ὧν τὰ ὑπ' αὐτῶν γινόμενα γίνεται. διὸ οὐκ ἔστι τὸ γινόμενον ὑπὸ τῶν τεχνῶν τῶν τοιούτων τέλος τῶν τεχνῶν, ὥσπερ ἐν αἷς δι' ὡρισμένων τινῶν γίνεταί τι καὶ χωρὶς τούτων οὐκ ἂν γένοιτο· ἐν ταύταις γὰρ τὸ ἔργον τέλος τε καὶ σημεῖον [ὂν], ὡς εἶπον, τοῦ πάντα κατὰ τὴν τέχνην γεγονέναι· οὐ γὰρ ἂν ἄλλως ἐγένετο. ἢ ἔργον μὲν ἐν πάσαις ταῖς τέχναις ἡ κατὰ τὴν ἕξιν τε καὶ τέχνην κατὰ τὰ οἰκεῖα ἐνέργεια γινομένη διὰ τῶν οἰκείων ὀργάνων· τέλος δέ, ἐν αἷς καὶ ποιᾶς ὕλης ἀλλ' οὐ τῆς τυχούσης τινὸς χρεία, οὐ τὸ ἔργον μόνον ἀλλὰ τὸ μετὰ τοῦ ἔργου καὶ ταῦτα ἔχον. τοῦ γὰρ ἰατροῦ ἔργον μὲν τὸ ποιῆσαι πάντα τὰ ἐνδεχόμενα γενέσθαι κατὰ τὴν τέχνην πρὸς τὸ σωθῆναι τὸν κάμνοντα, τέλος δὲ τὸ σῶσαι, οὗ χάριν καὶ ταῦτα ποιεῖ, ὃ δεῖται καὶ ἄλλων τινῶν πρὸς τοῖς γινομένοις κατὰ τὴν ἰατρικήν.

in Top.34 ἐπὶ μὲν γὰρ τῶν ὡρισμένων ὁμοίως καὶ τὸ τέλος ἐπ' αὐτοῖς ὥσπερ καὶ τὸ ποιῆσαι κατὰ τὴν τέχνην· ἐπὶ δὲ τῶν στοχαστικῶν οὐκέτι τὸ τέλος ἐπὶ τοῖς τεχνίταις, ὡς οὐδὲ τὸ εὐδαιμονεῖν ἐπὶ τοῖς σπουδαίοις, εἰ μὴ μόνον τὸ καλὸν καὶ ἀγαθὸν εἶναι. p. 101b11 Πρῶτον οὖν θεωρητέον ἐκ τίνων ἡ μέθοδο ς . Εἰπὼν πρῶτον τὰ περὶ τῆς διαλεκτικῆς (ταῦτα δὲ ἦν ἡ πρόθεσις τῆς μεθόδου, ἡ πρὸς τὰς ἄλλας τὰς συλλογιστικὰς μεθόδους αὐτῆς διαφορά, τὸ χρήσιμον τὸ ἀπ' αὐτῆς, ἡ τοῦ τέλους ἐπίκρισις) ἀκολούθως λοιπὸν λέγει περὶ τούτων ἐξ ὧν αὐτῇ τὸ εἶναι, καὶ ἐπὶ τὸν περὶ τούτων μέτεισι λόγον ζητῶν ἐν τίσιν αὐτῇ τὸ εἶναι, καὶ ἐκ τίνων συνέστηκε, καὶ περὶ τίνα χρὴ σπουδάζειν τὸν ἐσόμενον διαλεκτικόν, καὶ τίνα εἰδότες τε καὶ ποιεῖν δυνάμενοι ἐσόμεθα διαλεκτικοί. τὴν μὲν γὰρ κτῆσιν τῶν χρησίμων ἡ γνῶσις ἡμῖν παρέξει ἡ τοῦ ἐν τίσιν αὐτῇ τὸ εἶναι, τὴν δὲ χρῆσιν τούτων ἡ παράδοσις τῶν τόπων. πρῶτον οὖν φησι δεῖν θεωρῆσαι ἐκ τίνων ἐστὶν ἡ μέθοδο ς . ὃ προσθεὶς ἐπιφέρει εἰ δὴ λάβοιμεν πρὸς πόσα καὶ ποῖα καὶ ἐκ τίνων οἱ λόγο ι , καὶ πῶς τούτων εὐπορήσομε ν , ἔχοιμεν ἂν ἱκανῶς τὸ προκείμενο ν , τὸ θεωρῆσαι ἐκ τίνων ἡ μέθοδο ς . εἰ γὰρ μὴ περιληφθείη τισὶν εἴδεσι τὰ ἐξ ὧν καὶ ἐν οἷς ἡ μέθοδος, οὔτ' ἂν μάθησις αὐτῶν οὔτε γνῶσις γενέσθαι δύναιτο· τὰ γὰρ καθ' ἕκαστα ἄπειρα. εἴη δ' ἂν τὸ λεγόμενον 'εἰ εἰδείημεν ἐκ τίνων ἡ διαλεκτικὴ μέθοδος, καὶ ἐν τίσιν αὐτῇ τὸ εἶναι, καὶ μάθοιμεν πρὸς πόσα τε καὶ τίνα οἱ κατὰ ταύτην συλλογισμοὶ γίνονται καὶ ἐκ τίνων'. ἔστι δὲ τὸ μὲν πρὸς πόσα τε καὶ ποῖα εἰρημένον περὶ τῶν προβλημάτων, ὡς ἐρεῖ· περὶ γάρ τινος προκειμένου προβλήματος ὁ διαλεκτικὸς τὸν λόγον κινεῖ καὶ τὸν συλλογισμὸν ποιεῖται. δεῖ οὖν εἰδέναι πόσα τε καὶ τίνα ἐστὶ τὰ γένη τῶν προβλημάτων τῶν διαλεκτικῶν. τὸ δ' ἐκ τίνων περὶ τῶν προτάσεων. οὐχ ἁπλῶς δὲ σημαίνοι ἂν τὸ ἐκ τίνων τὸ ὅτι ἐκ προτάσεων, ἀλλὰ λέγοι ἂν καὶ ἐπὶ τούτων τὸ 'ἐκ πόσων καὶ τίνων'· οὐ γὰρ ἐκ πάσης προτάσεως ὁ διαλεκτικὸς συλλογισμός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

in Top.35 ἂν οὖν εἰδῶμεν τά τε προβλήματα τὰ διαλεκτικὰ πόσα ἐστὶ καὶ ποῖα ( πόσα μὲν τῷ γένει δῆλον ὅτι, ποῖα δὲ ἀντὶ τοῦ 'τίνα'· οὐδέπω γὰρ οἶδε τίνα ἐστὶ τὰ γένη τῶν προβλημάτων ὁ μόνον εἰδὼς ὅτι τέσσαρα), εἰδῶμεν δὲ καὶ τὰς προτάσεις ἐξ ὧν οἱ πρὸς τὰ τοιαῦτα προβλήματα γίνονται συλλογισμοί (λόγους γὰρ λέγοι ἂν τοὺς συλλογισμούς, ἢ καὶ τὰς ἐπαγωγάς· καὶ γὰρ ὁ ἐπακτικὸς λόγος διαλεκτικός, ὡς ἐρεῖ), πρὸς δὲ τούτοις εἰ εἰδείημεν καὶ ταῦτα δι' ὧν οἷόν τέ ἐστιν εὐπορεῖν τούτων (λέγοι δ' ἂν τοῦτο ἤτοι καὶ περὶ τῶν προβλημάτων καὶ τῶν προτάσεων, ἐπεὶ μὴ πᾶν πρόβλημα διαλεκτικόν, ἀλλὰ τὸ τοιοῦτον οἷον ἐρεῖ προελθών· ἢ περὶ τῶν προτάσεων, δι' ὧν οἱ συλλογισμοί, μόνον λέγει τὸ πῶς τούτων εὐπορήσομεν · ἐν γὰρ τῇ τῶν προτάσεων εὐπορίᾳ τὸ πλεῖστον τοῦ συλλογίζεσθαι· ἢ λέγοι ἂν τὸ καὶ πῶς τούτων εὐπορήσομεν περὶ τῶν διαλεκτικῶν λόγων, τοῦτ' ἔστι τῶν τε συλλογισμῶν καὶ τῶν ἐπαγωγῶν), εἴημεν ἂν τεθεωρηκότες ἐκ τίνων ἡ μέθοδός ἐστιν ἡ διαλεκτική. ὅτι γὰρ τοῦτο λέγειν δοκεῖ διὰ τοῦ καὶ πῶς τούτων εὐπορήσομεν (τῶν γὰρ λόγων περὶ ὧν προείρηκεν, ἀλλ' οὐ τῶν προβλημάτων τε καὶ τῶν προτάσεων), δηλοῖτο ἂν ἐκ τοῦ μετὰ τὸ εἰπεῖν αὐτὸν περί τε τῶν προβλημάτων τῶν διαλεκτικῶν καὶ τῶν προτάσεων καὶ τί ἐστιν ἑκάτερον αὐτῶν ἐπιδεῖξαι, ὅτι πᾶν τὸ διαλεκτικὸν πρόβλημα, ὁμοίως δὲ καὶ πρότασις, ἢ περί τινος τῶν "πρὸς αἵρεσιν ἢ φυγὴν" τὴν ἀναφορὰν ἐχόντων ἐστὶν ἢ περί τινος τῶν "πρὸς ἀλήθειαν καὶ γνῶσιν" ἢ περί τινος τῶν συνεργῶν πρός τι τούτων, λέγειν αὐτὸν "τὰ δὲ ὄργανα, δι' ὧν εὐπορήσομεν τῶν συλλογισμῶν, ἐστὶ τέτταρα". τοῦτο γὰρ εἰρηκέναι δοκεῖ ἀποδιδοὺς πρὸς τὸ καὶ πῶς τούτων εὐπορήσομεν · διὰ γὰρ τῶν ὀργάνων καὶ τῶν τόπων ἡ τούτων εὐπορία. ἢ καὶ ἡ τῶν προτάσεών τε καὶ τῶν προβλημάτων εὐπορία εἰς τὴν τῶν συλλογισμῶν εὐπορίαν συντελεῖ, ὡς ἐρεῖ καὶ αὐτὸς προελθών. δύναται δὲ τὸ πρῶτον οὖν θεωρητέον ἐκ τίνων ἐστὶν ἡ μέθοδος ἴσον τῷ 'πρῶτον οὖν θεωρητέον ἐκ τίνων ἄν τις διαλεκτικὸς γένοιτο'· ὁ γὰρ εἰδὼς ἐν τίσι τῇ διαλεκτικῇ τὸ εἶναι οἶδε καὶ διὰ τίνων ἄν τις διαλεκτικὸς γένοιτο. πρῶτον γὰρ δεῖ δεικνύναι ἐκ τίνων οἷόν τε γενέσθαι διαλεκτικόν, ἔπειτα μετιέναι ταῦτα πρὸς τὸ γενέσθαι διαλεκτικόν· οὐ γὰρ αὔταρκες τὸ εἰδέναι ἐν τίσιν ἡ διαλεκτικὴ πρὸς τὸ διαλεκτικοὺς εἶναι.

in Top.36 ἢ τὸ πρῶτον οὖν θεωρητέον ἐκ τίνων ἐστὶν ἡ μέθοδος ἴσον ἐστὶ τῷ 'ἐν τίσιν ἐστὶ τῇ μεθόδῳ ὡς ὕλῃ τε καὶ ὀργάνοις τὸ εἶναι'· μετὰ γὰρ τὴν τούτων γνῶσιν ἡ τῶν τόπων παράδοσις, καθ' οὓς ἡ χρῆσις αὐτῶν. δύναται καὶ τὸ εἰ δὴ λάβοιμεν πρὸς πόσα τε καὶ ποῖα καὶ ἐκ τίνων οἱ λόγοι μὴ περὶ τῶν συλλογισμῶν λέγειν μόνον ἀλλὰ καὶ κοινότερον περὶ τῶν λόγων τῶν διαλεκτικῶν. γίνονται μὲν γὰρ ὁμολογουμένως περὶ τῶν προβλημάτων οἱ συλλογισμοὶ τῶν διαλεκτικῶν· ἡ γὰρ διαλεκτικὴ πρότασις "ἐρώτησίς ἐστιν ἀντιφάσεως"· ἐξ ἐρωτήσεως δὲ οὐδεὶς γίνεται συλλογισμός, ἀλλ' ἐκ τῆς πρὸς τὴν τοιαύτην ἐρώτησιν ἀποκρίσεως· τοῦτο γὰρ ἤδη πρότασίς ἐστι συλλογιστική· λέγει δὲ νῦν οὐ περὶ τῶν τοιούτων προτάσεων ἀλλὰ περὶ τῶν διαλεκτικῶν, αἵ εἰσιν ἐρωτήσεις· διὰ τοῦτο γοῦν λέγει ἴσα καὶ τὰ αὐτὰ εἶναι τὰ προβλήματα καὶ τὰς προτάσεις καὶ τῷ τρόπῳ μόνῳ διαφέρειν τὴν πρότασιν καὶ τὸ πρόβλημα. εἴη ἂν οὖν τὸ λεγόμενον ' εἰ λάβοιμεν πρὸς πόσα τε καὶ ποῖα καὶ ἐκ τίνων οἱ διαλεκτικοὶ γίνονται λόγοι'. ἢ εἰ καὶ μὴ ἐξ αὐτῶν τῶν διαλεκτικῶν προτάσεων συντιθεμένων οἱ συλλογισμοί, ἀλλ' ἀπὸ τούτων γε καὶ αἱ πρὸς τὸν γινόμενον συλλογισμὸν προτάσεις λαμβάνονται· ἡ γὰρ ἐρώτησις αἰτία τῆς ἀποκρίσεως, ἥτις ἐστὶν ἐξ ἧς ὁ συλλογισμός, ἣν καὶ λῆμμα λέγουσιν. ἢ τὸ εἰ δὴ λάβοιμεν πρὸς πόσα τε καὶ ποῖα καὶ ἐκ τίνων οἱ λόγοι εἰπών, οὐ περὶ τῶν διαλεκτικῶν λόγων τὸ ἔστι δὲ ἀριθμῷ ἴσα καὶ τὰ αὐτὰ λέγει ἀλλὰ κοινῶς καὶ καθόλου. ἁπλῶς μὲν γὰρ ἴσα καὶ τὰ αὐτὰ αἱ προτάσεις καὶ τὰ προβλήματα τὰ τοιαῦτα, ὁποῖά ἐστι τὰ ἐν ἀντιφάσει προτεινόμενά τε καὶ προβαλλόμενα· οὐκέτι δὲ τὰ διαλεκτικὰ προβλήματα τὰ αὐτὰ ταῖς διαλεκτικαῖς προτάσεσιν, ὡς προελθὼν δείξει. δείξας γὰρ τοῦτο καθόλου, πόσα γένη τῶν προτάσεών τε καὶ τῶν προβλημάτων, καὶ τίνι διαφέρει τὰ προβλήματά τε καὶ αἱ προτάσεις, ὕστερον ἀπὸ τούτων

ἀποκρίνει τὰ διαλεκτικὰ προβλήματα καὶ τὰς διαλεκτικὰς προτάσεις. ἀλλὰ καὶ ἡ πρότασις περὶ ἧς νῦν λέγει, ἥν φησι τὴν αὐτὴν εἶναι τῷ προβλήματι, ἢ οὐ διαλεκτική ἐστιν (ἡ γὰρ διαλεκτικὴ πρότασις "ἐρώτησις ἀντιφάσεως"), ἢ οὐχ ἁπλῶς, ἀλλ' ἐν ταύτῃ μέν ἐστιν ἡ διαλεκτική, γίνεται δὲ διαλεκτική, ὅταν τὸ ἔνδοξος εἶναι προσλάβῃ. καὶ εἴη ἂν πᾶν μὲν τὸ οὕτως προβαλλόμενον πρόβλημα ὡς διαλεκτικὸν πρόβλημα προβαλλόμενον καὶ πᾶσα ἡ οὕτω προτεινομένη πρότασις ὡς διαλεκτικὴ προτεινομένη πρότασις· κυρίως δὲ εἴη ἂν διαλεκτικὸν πρόβλημα καὶ κυρίως διαλεκτικὴ πρότασις, ὅταν ἔχῃ τὸ μὲν τὸ ἀμφίδοξον καὶ τὰ ἄλλα ἃ ἐρεῖ, ἡ δὲ τὸ εἶναι ἔνδοξος.

in Top.37 Εἰπὼν δὲ τὸ δεῖν εἰδέναι τὸν ἐσόμενον διαλεκτικὸν πρὸς τίνα καὶ πόσα οἱ διαλεκτικοὶ λόγοι γίνονται καὶ διὰ τίνων, ἅπερ ἐστὶ τὰ προβλήματα καὶ αἱ προτάσεις, περὶ αὐτῶν ποιεῖται τὸν λόγον καθόλου, καὶ φησὶν ἴσα κατ' ἀριθμὸν καὶ τὰ αὐτὰ εἶναι τὰ προβλήματα, ἅ ἐστι περὶ ὧν οἱ συλλογισμοί, καὶ τὰς προτάσεις, αἵ εἰσιν ἐξ ὧν οἱ λόγοι, αἳ αἴτιαι καὶ τῶν συλλογιστικῶν προτάσεων· ἐκ τούτων γὰρ οἱ συλλογισμοί. εἰπὼν δὲ καὶ ταῦτα ἴσα εἶναι, τά τε περὶ ὧν οἱ λόγοι καὶ τὰ ἐξ ὧν οἱ λόγοι, καὶ δηλώσας τίνα περὶ ὧν οἱ λόγοι, ὅτι τὰ προβλήματα, τίνα δὲ ἐξ ὧν οἱ λόγοι, ὅτι αἱ προτάσεις, ὅτι ταῦτα ἴσα τε καὶ τὰ αὐτά ἐστι, δείκνυσι λέγων πᾶσα δὲ πρότασις καὶ πᾶν πρόβλημ α . εἰ γὰρ τῶν αὐτῶν δηλωτικὰ καὶ ἐν τοῖς αὐτοῖς ἥ τε πρότασις καὶ τὸ πρόβλημα, ἔτι δέ, ὡς προσθήσει, τῷ τρόπῳ τῆς ἐκφορᾶς τῆς κατὰ τὴν λέξιν μόνον αὐτοῖς ἡ διαφορά (τὸ γὰρ αὐτὸ ἐρώτημα μετὰ μὲν τοῦ 'πότερον' λεγόμενον πρόβλημά ἐστι, μετὰ δὲ τοῦ 'ἆρά γε' πρότασις), φανερὸν ὅτι ἴσα τε καὶ τὰ αὐτά ἐστι τά τε προβλήματα τὰ διαλεκτικὰ καὶ αἱ προτάσεις αἱ διαλεκτικαί· περὶ γὰρ τούτων ὁ λόγος αὐτῷ. διαιρεῖ δὲ τὰ γένη τῶν διαλεκτικῶν προβλημάτων καὶ δείκνυσι τίνα, εἰς μέθοδον ἀνάγων αὐτά. καὶ πρῶτον μὲν εἰς τρία ἡ διαίρεσις αὐτῶν γίνεται, εἰς γένος, εἰς ἴδιον, εἰς συμβεβηκός· ἔπειτα τὸ ἴδιον τέμνων εἴς τε τὸν ὁρισμὸν καὶ τὸ παρὰ τὸν ὁρισμὸν ἴδιον ὁμωνύμως τῷ κοινῷ ἰδίῳ λεγόμενον τέσσαρα ὄντα τῷ γένει δείξει τὰ προβλήματα. τοῦ δὲ τοσαῦτά τε καὶ τοιαῦτα εἶναι τὰ διαλεκτικὰ προβλήματα νῦν μὲν πίστιν λαμβάνει τὴν ἐξ ἐπαγωγῆς, ὅτι, εἰ πᾶν πρόβλημα καὶ πᾶσα πρότασις τούτων τι σημαίνει καὶ μηδὲν παρὰ ταῦτα ὑπὸ προβλήματός τινος δηλοῦται, εἴη ἂν ταῦτά τε καὶ τοσαῦτα γένη τῶν προβλημάτων. πειράσεται δὲ αὐτὸ προελθὼν δεῖξαι καὶ διὰ συλλογισμοῦ. ὃν μὲν οὖν αὐτὸς τίθησιν, ἐροῦμεν, ὅταν καὶ αὐτὸς αὐτοῦ μνημονεύῃ. ἔνεστι δὲ καὶ οὕτως συλλογίσασθαι. πᾶν πρόβλημα διαλεκτικὸν ὅρον τινὰ ἔχει κατηγορούμενον, ὃς κατηγορεῖται κατά τινος ὅρου ὑποκειμένου αὐτῷ· πᾶς δὲ ὅρος κατηγορούμενος κατά τινος ὅρου ὑποκειμένου αὐτῷ ἢ ἐν τῇ οὐσίᾳ κατηγορεῖται αὐτοῦ ἢ οὔ· πᾶν ἄρα πρόβλημα διαλεκτικὸν ὅρον τινὰ ἔχει κατηγορούμενον, ὃς ἢ ἐν τῇ οὐσίᾳ κατηγορεῖται αὐτοῦ ἢ οὔ.

in Top.38 ἀλλὰ τὸ μὲν ἐν τῇ οὐσίᾳ ἢ ὡς ὅρος ἢ ὡς γένος κατηγορεῖται καὶ οὐκ ἄλλως· ὃ δὲ μὴ ἐν τῇ οὐσίᾳ ἢ ὡς ἴδιον ἢ ὡς συμβεβηκὸς καὶ οὐκ ἄλλως· ὥστε πᾶν τὸ ἐν τῇ οὐσίᾳ τινὸς κατηγορούμενον καὶ τὸ μὴ ἢ ὡς ὅρος κατηγορεῖται ἢ ὡς γένος ἢ ὡς ἴδιον ἢ ὡς συμβεβηκὸς καὶ οὐκ ἄλλως. πᾶν ἄρα πρόβλημα διαλεκτικὸν ὅρον τινὰ ἔχον κατηγορούμενόν τινος ἢ ὡς ὅρον ἢ ὡς γένος ἢ ὡς ἴδιον ἢ ὡς συμβεβηκὸς ἔχει καὶ οὐκ ἄλλως. τὸ μὲν γὰρ ἐν τῇ οὐσίᾳ κατηγορούμενον, εἰ ἐπ' ἴσης, [ὁ] ὁρισμός ἐστιν αὐτοῦ, εἰ δ' ἐπὶ πλέον, γένος. καὶ γὰρ ἡ διαφορὰ τοιοῦτον· οὐδὲν γὰρ ἐπ' ἔλαττον ὄν τινος κατηγορεῖται αὐτοῦ κατὰ φύσιν. ὥστε εἴη ἂν καὶ τὰ ἐν τῇ οὐσίᾳ κατηγορούμενα τοῦ ὑποκειμένου, ὡς ἔλεγον, ἢ ὡς ὁρισμοὶ κατηγορούμενα ἢ ὡς γένη κατηγορούμενα. εἰ δὲ μὴ ἐν τῇ οὐσίᾳ τὸ κατηγορούμενον εἴη τοῦ ὑποκειμένου, ἢ μόνῳ καὶ παντὶ ὑπάρχει αὐτῷ καὶ ἀντικατηγορεῖται αὐτοῦ, καὶ ἔστιν ἴδιον, ἢ οὔτε μόνῳ οὔτε παντί, καὶ ἔστι συμβεβηκός. καὶ παρὰ ταῦτα οὐχ οἷόν τε ἄλλον κατηγορίας τρόπον γενέσθαι κατὰ φύσιν· ἔοικε γὰρ τὸ ἴδιον τοῦ συμβεβηκότος διαφέρειν μόνῳ τῷ παντὶ καὶ μόνῳ ὑπάρχειν. ὥστε πᾶν πρόβλημα σημαίνειν διὰ τοῦ κατηγορουμένου ἀνάγκη ἢ γένος ἢ ὅρον ἢ ἴδιον ἢ συμβεβηκός. καὶ ἔστιν ὁ συλλογισμὸς ἐν πρώτῳ σχήματι. ἀλλὰ περὶ μὲν τούτου ἔτι μᾶλλον προϊόντες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰσόμεθα· καὶ γὰρ αὐτὸς αὐτὸ δείξει διὰ συλλογισμοῦ ἄλλου παρ' ὃν νῦν ἡμεῖς εἰρήκαμεν. Εἰπὼν δὲ πᾶν πρόβλημα καὶ πᾶσαν πρότασιν δηλοῦν ἢ γένος ἢ ὅρον ἢ ἴδιον ἢ συμβεβηκός, ἐπεὶ δύναται καὶ διαφορᾶς εἶναι τὸ κατηγορούμενον δηλωτικόν, ἵνα μή τις οἰηθῇ ἔξω πίπτειν τὴν διαφορὰν τῶν εἰρημένων καὶ μὴ γεγονέναι αὐτῷ τὴν τῶν προβλημάτων διαίρεσιν ὁλόκληρον, προσέθηκε καὶ γὰρ τὴν διαφορὰν ὡς οὖσαν γενικὴν ὁμοῦ τῷ γένει τακτέο ν . διὰ τί δὲ ἡ διαφορὰ γενική; ὅτι ἐν τῇ οὐσίᾳ ἐστὶ τούτου οὗ κατηγορεῖται, ὥσπερ καὶ τὸ γένος, καὶ ἔστιν ἄμφω συμπληρωτικὰ τοῦ εἶναι ἑκάστου ὧν ἐστιν οἰκεῖα. ἔτι τε ἐπὶ πλέον ἐστὶ καὶ αὕτη καὶ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖται. μόνῳ γὰρ τῷ μὴ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι ἡ διαφορὰ τοῦ γένους διαφέρει, ἐπεὶ καὶ ἡ διαφορὰ δοκεῖ καὶ καθ' αὑτὴν λαμβανομένη τοῦ εἴδους εἶναι μᾶλλον ἀλλ' οὐ τοῦ συναμφοτέρου δηλωτική, ἐν οἷς ἐστι τὸ ὑποκείμενον τοιοῦτον, τὸ δὲ γένος τοῦ συναμφοτέρου.

in Top.39 τὸ δὲ εἶδος οὐκέτι συνέταξε τούτοις, ἐπεὶ ἡ περὶ τῶν γενῶν καὶ διαφορῶν ζήτησις περὶ τοιούτων γίνεται ὑποκειμένων ὧν εἰσι καὶ οἱ ὁρισμοί· ἐκ γὰρ τοῦ γένους καὶ τῶν διαφορῶν ὁ ὁρισμός· τοιαῦτα δὲ τὰ εἴδη. δεῖ οὖν τὰ ὑποκείμενα τοιαῦτα εἶναι. εἰ δὲ εἴη τὸ εἶδός τις κατηγορῶν, ἄτομον ἂν τὸ ὑποκείμενον λαμβάνοι, οὗ οὔτε διαφορά ἐστιν οὔτε ὁρισμός. εἰ δὲ καὶ περὶ εἴδους τινὸς πρόβλημα εἴη τὴν ζήτησιν ἔχον, πρόδηλον ὅτι γενικὸν τὸ τοιοῦτον· καὶ γὰρ κατὰ πλειόνων καὶ τὸ εἶδος, καὶ ἐν τῷ τί ἐστιν καὶ αὐτὸ κατηγορεῖται, ὥσπερ καὶ τὸ γένος, γένη τε καὶ εἴδη ἐπαλλάσσειν αὐτοῖς ἔθος ὡς κατὰ τῶν αὐτῶν φέρειν αὐτά. p. 101b19 Ἐπεὶ δὲ τοῦ ἰδίου τὸ μὲν τὸ τί ἦν εἶναι σημαίνε ι . Τὴν διαίρεσιν ποιεῖται τοῦ ἰδίου καὶ δείκνυσι δύο εἴδη προβλημάτων τὸ ἴδιον περιέχον. ἐπεὶ γὰρ τοῦ ἰδίου τὸ μὲν τὸ τί ἦν εἶναι σημαίνει καὶ τὴν οὐσίαν δηλοῖ τοῦ πράγματος οὗ ἐστιν ἴδιον, τὸ δ' οὐ σημαίνει, καὶ ἔστι τὸ τί ἦν εἶναι ὁρισμός, τὸ ἴδιον διῃρήσθω εἴς τε ὁρισμὸν καὶ εἰς τὸ ἴδιον τὸ μὴ σημαῖνον τὴν οὐσίαν οὗ ἐστιν ἴδιον, ὃ τῷ κοινῷ ὁμωνύμως καλείσθω ἴδιον. πολλὰ δὲ πρὸς τὰ κοινὰ καὶ τὰ γένη ὁμωνυμίαν ἔχει, ὡς τὸ μέλαν ᾧ γράφομεν πρὸς τὸ κοινὸν μέλαν, ὡς Ἄνθρωπος Ὀλυμπιονίκης πρὸς τὸν κοινὸν ἄνθρωπον, ὡς καὶ δικαιοσύνη ἡ κοινή τε καὶ ἡ ἐν μέρει. εἴη ἂν οὖν ἁπλῶς μὲν τὸ ἴδιον τὸ μόνῳ τε καὶ παντὶ ὑπάρχον· διαίρεσις δὲ αὐτοῦ κατὰ τὸ σημαίνειν τὴν οὐσίαν τοῦ ὑποκειμένου διὰ τοῦ λόγου ἢ μή. διελὼν δὲ τὸ ἴδιον εἰς δύο δῆλόν φησιν εἶναι ὅτι κατὰ τὴν νῦν διαίρεσιν τέσσαρα τὰ πάντα ἐστὶ γένη τῶν προβλημάτων. εἰπὼν δὲ τὰ ὀνόματα τῶν προβλημάτων ἐπιφέρει μηδεὶς δ ' ἡμᾶς ὑπολάβῃ λέγειν ὡς ἕκαστον τούτων κα θ ' αὑτὸ λεγόμενον πρόβλημα ἢ πρότασίς ἐστι ν , ἤτοι τοῦτο λέγων, ὅτι μηδεὶς ὑπολαμβανέτω λέγειν ἡμᾶς ὅτι αὐτὰ τὰ ὀνόματα τὰ ῥηθέντα προβλήματά ἐστι (ἐπεί, εἰ εἴπομεν οὕτως, τέσσαρα τὰ πάντα συμβαίνει γίνεσθαι προβλήματα, ἢ ὅρον ἢ γένος ἢ ἴδιον ἢ συμβεβηκός· οὐ γὰρ οἷόν τε ὄνομα ἢ πρόβλημα ἢ πρότασιν εἶναι)· ἤ ἐστι τὸ λεγόμενον ὅτι μηδεὶς ὑπολαμβανέτω τὸν ὁρισμὸν ἁπλῶς ῥηθέντα ἢ τὸ γένος ἢ τὸ ἴδιον ἢ τὸ συμβεβηκὸς ἢ πρόβλημα ἢ πρότασιν εἶναι διαλεκτικήν· δεῖ γὰρ αὐτοῖς καὶ ποιᾶς συντάξεώς τε καὶ προφορᾶς, ἵνα γένηται πρόβλημα ἢ πρότασις.

in Top.40 ὁ γὰρ εἰπὼν ‘ἄνθρωπός ἐστι ζῷον πεζὸν δίπουν‘ οὔτε πρόβλημα οὔτε πρότασιν εἴρηκε διαλεκτικήν· ὁμοίως οὐδὲ ὁ εἰπὼν ‘ἄνθρωπος μουσικός ἐστιν‘ ἢ ‘ὁ ἄνθρωπος ζῷόν ἐστιν‘ ἢ ‘ὁ ἄνθρωπος γελαστικός ἐστιν‘. ἀλλ' ἀπὸ τούτων πως σχηματισθέντων γίνεται τά τε προβλήματα καὶ αἱ προτάσεις· τὸ γὰρ πρόβλημα τὸ ‘πότερον ὁ ἄνθρωπος ζῷον πεζὸν δίπουν ἐστὶν ἢ οὔ;‘ ἀπὸ τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου γέγονεν, οὐκ ὂν αὐτοῦ ὁρισμός. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων, ὡς αὐτὸς δι' ὧν ἐπιφέρει δηλοῖ. p. 101b28 Διαφέρει δὲ τὸ πρόβλημα καὶ ἡ πρότασις τῷ τρόπ ῳ . Εἰπὼν τὸ αὐτὸ σημαίνειν τό τε πρόβλημα καὶ τὴν πρότασιν (ἕκαστον γὰρ αὐτῶν τῶν τεσσάρων προβλημάτων τι σημαίνει) νῦν λέγει τὴν διαφορὰν αὐτῶν, καθ' ἣν τὸ μὲν αὐτῶν πρόβλημα τὸ δὲ πρότασις καλεῖται. ἅμα δὲ καὶ πῶς ἀπὸ τῶν προειρημένων τεσσάρων τὰ προβλήματα γίνεται, δείκνυσι. λέγει δὲ περὶ προτάσεως τῆς διαλεκτικῆς· αὕτη γὰρ ἐρώτησίς ἐστι. τῷ δὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τρόπῳ τῷ τῆς ἐκφορᾶς φησιν αὐτοῖς εἶναι τὴν διαφοράν· τῆς γὰρ ἀντιφάσεως ἂν μὲν τὸ ‘πότερον‘ προτάξωμεν, πρόβλημα, οἷον ‘πότερον ὁ κόσμος σφαιροειδής ἐστιν ἢ οὔ;‘, ἂν δὲ τὸ ‘ἆρα‘, πρότασις, οἷον ‘ἆρά γε ὁ κόσμος σφαιροειδής ἐστιν ἢ οὔ;‘, ὃ οὐ προσέθηκεν ἐλλιπέστερον εἰπών. ἔστι δὲ ἣν ἐξέθετο διαφορὰν προβλήματός τε καὶ προτάσεως κατά τινα χρῆσιν καὶ συνήθειαν· καὶ γὰρ τῷ προβλήματι ἐφαρμόζει ὁ τῆς προτάσεως τῆς ἐν ἐρωτήσει λόγος· ἐρώτησις γάρ ἐστι τῆς ἀντιφάσεως καὶ ἐρώτησις, ἐξ ἧς δίδοται τῷ ἀποκρινομένῳ ἑλέσθαι ὁπότερον βούλεται μέρος τῆς ἀντιφάσεως· τοιοῦτον δὲ καὶ τὸ πρόβλημα. ἢ διαφέροι ἄν, ὅτι ἡ μὲν πρότασις ἀποκρίσεώς ἐστιν αἴτησις τοῦ ἑτέρου μορίου τῆς ἀντιφάσεως, τὸ δὲ πρόβλημα οὐκ ἀποκρίσεως ἀλλὰ δείξεως τοῦ ἑτέρου μορίου τῆς ἀντιφάσεως αἴτησίς ἐστιν. διὸ καὶ δοκεῖ πυσματικῇ μὲν ἐρωτήσει τὸ πρόβλημα ἐοικέναι (αἴτησις γὰρ κατασκευῆς ἐστι καὶ δείξεως καὶ διαλεκτικοῦ λόγου), διαλεκτικῇ δὲ ἐρωτήσει ἡ πρότασις. ἂν δέ τις τούτῳ βούληται διακρίνειν, τῷ τὸ μὲν πρόβλημα τὴν ἀντίφασιν ἐρωτᾶν τὴν δὲ πρότασιν τὸ ἕτερον μέρος τῆς ἀντιφάσεως, ἐπεὶ καὶ αὐτὸς οὕτως εἶπεν (ἐπὶ μὲν γὰρ τοῦ προβλήματος εἶπε τὸ πότερον τὸ ζῷον πεζὸν δίπουν ὁρισμός ἐστιν ἀνθρώπου ἢ ο ὔ ; προσθεὶς καὶ τὸ ἢ ο ὔ , ἐπὶ δὲ τῆς προτάσεως ἠρκέσθη μόνῳ τῷ ἑτέρῳ, εἰπὼν ἆρά γε τὸ ζῷον γένος τοῦ ἀνθρώπο υ ; ἐλλιπῶς εἰπών), ἂν δὴ ταύτην τις αὐτῶν διαφορὰν λέγῃ, πῶς ἔτι ἔσται ὅρος τῆς διαλεκτικῆς προτάσεως “ἐρώτησις ἀντιφάσεως”, ὃν ἀποδίδωσιν αὐτῆς ὅρον αὐτός; ἀλλ’ οὐδὲ τῷ τρόπῳ μόνον ἔτι γίνεται αὐτῶν ἡ διαφορά, εἴ γε τὸ μὲν πρόβλημα καὶ ἀντίφασιν περιέχει, ἡ δὲ πρότασις τὸ ἕτερον μέρος τῆς ἀντιφάσεως.

in Top.41 δείξας δὲ ἐπὶ ὁρισμοῦ καὶ γένους τὴν κατὰ τὸν τρόπον τῆς ἐκφορᾶς διαφορὰν προβλήματός τε καὶ προτάσεως προσέθηκεν ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλω ν , λέγων τοῦ τε ἰδίου καὶ τοῦ συμβεβηκότος, δῆλον ὅτι ἕξειν αὐτὰ τὰς διαφοράς. εἰπὼν δὲ μόνῳ τῷ τρόπῳ τῆς ἐκφορᾶς τὴν διαφορὰν αὐτῶν εἶναι, εὐλόγως ἐπήνεγκεν ὥστε εἰκότως ἴσα τῷ ἀριθμῷ τὰ προβλήματα καὶ αἱ προτάσεις εἰσ ί . καὶ τὴν αἰτίαν αὐτοῦ πάλιν προσέθηκεν. p. 101b38 Λεκτέον δὲ τί ὅρο ς , τί ἴδιο ν , τί γένο ς , τί συμβεβηκό ς . Δείξας τέσσαρα εἴδη ὄντα τῶν προβλημάτων καὶ εἰπὼν τίνα, νῦν περὶ ἑκάστου αὐτῶν τί ποτέ ἐστι προτίθεται εἰπεῖν, καὶ λέγει· p. 101b39 Ἔστι δὲ ὅρος μὲν λόγος ὁ τὸ τί ἦν εἶναι σημαίνω ν . Πρῶτον περὶ τοῦ ὁρισμοῦ τὸν λόγον ποιεῖται· τελειότερον γὰρ ὁ ὁρισμὸς καὶ πάντα τὰ ἄλλα ἐν ἑαυτῷ ἔχων· καὶ γὰρ τὸ γένος ἐν τῷ ὅρῳ καὶ τὸ ἴδιον καὶ τὸ ὑπάρχον, τοῦτ’ ἔστι τὸ συμβεβηκός. κἄπειτα ὁρίζεται καὶ ταῦτα. καὶ τί ποτε σημαίνει τὸ ὄνομα τοῦ ὁρισμοῦ, ἀποδίδωσι. μετενήνεκται δὲ τὸ τοῦ ὅρου καὶ τοῦ ὁρισμοῦ ὄνομα ἀπὸ τῶν ὅρων τῶν ἐπὶ τῶν χωρίων, οἷς περιγράφουσιν αὐτὰ καὶ τῶν ἄλλων χωρίζουσιν. οὐκ εἰ ὁρισμοῦ δὲ ὁρισμὸν ἀποδίδωσι, διὰ τοῦτο εἰς ἄπειρον προελεύσεται· παντὸς γὰρ ὁρισμοῦ, καθ’ ὅ ἐστιν ὁρισμός, οὗτος ἔσται λόγος, καὶ οὐκ ἄλλος ἄλλου. λόγον δέ φησιν εἶναι τὸν ὁρισμὸν τὸν τὸ τί ἦν εἶναι σημαίνοντα, ὃ μόνῳ τῷ λόγῳ ὑπάρχει τούτῳ.

in Top.42 τὸ δὲ τί ἦν εἶναι ὡς ὀνοματικὸν μὲν συλλαβὼν ἐξενήνοχε, σημαίνει δὲ ‘ὁ τὸ τί ἐστι τὸ εἶναι σημαίνων τῷ ὁριστῷ‘, τοῦτ’ ἔστι λόγος δηλωτικὸς τοῦ τί ποτέ ἐστι τὸ εἶναι ἐκείνῳ οὗ ἐστιν ὅρος. τῷ γὰρ ἦν οὐχ ὡς τοῦ παρεληλυθότος χρόνου δηλωτικῷ κέχρηται νῦν, ἀλλ’ ἀντὶ τοῦ ‘ἔστιν‘. συνήθης δὲ ἡ τοιαύτη χρῆσις· ὁ γὰρ λέγων ‘τοῦτο ἦν‘ ἴσον λέγει τῷ ‘τοῦτο ἔστι‘, τῷ ‘ἦν‘ ἀντὶ τοῦ ‘ἔστι‘ χρώμενος, καὶ ὁ λέγων ‘τίς ἦν ὁ κόπτων τὴν θύραν;‘ ἀντὶ τοῦ ‘τίς ἔστιν ὁ κόπτων τὴν θύραν;‘ λέγει. ὁ γὰρ ὅρος τὴν οὐσίαν καὶ ἐν ᾧ ἐστιν ἑκάστῳ τὸ εἶναι, τοῦτο δηλοῖ, οὐ συμβεβηκός τι οὐδὲ παρεπόμενον ἄλλως. πλειόνων γὰρ ὄντων τῶν ὑπαρχόντων ἑκάστῳ ὁ ὅρος ἀποκρίνων τὰ ἄλλα μόνα δηλοῖ ταῦτα τῶν ὑπαρχόντων οἷς ὁρίζεται, καὶ ἐν οἷς ἐστιν αὐτῷ τὸ εἶναι, καὶ καθ’ ἃ διαφέρον τῶν ἄλλων ἐστὶ τοῦτο ὃ εἶναι λέγεται. οὐ μάτην δὲ οὐδὲ ἐκ περιττοῦ τῷ ἦν τὸ εἶναι πρόσκειται ἀλλ’ ἀναγκαίως. εἰ γὰρ τὸ ἦν τὸ ‘ἔστι‘ σημαίνει, εἴη ἂν ὁ λόγος ὁ τὸ τί ἦν σημαίνων ὁ αὐτὸς τῷ ‘λόγος ὁ τὸ τί ἐστι σημαίνων‘, δῆλον ὅτι τὸ προκείμενον πρᾶγμα οὐ ἀποδίδοται. ἀλλ’ εἰ τοῦτο, πᾶς ὁ τῶν ἐν τῷ τί ἐστι κατηγορουμένων τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προκειμένου ἔχων τι λόγος ὁρισμὸς αὐτοῦ ἔσται· ἐν τῷ τί ἐστι δὲ κατηγορεῖται τῶν εἰδῶν τὰ γένη, συνωνύμως γάρ· ὁ ἐν τῷ γένει ἄρα τὸ εἶδος τιθεὶς λόγος εἴη ἂν ὁρισμὸς τοῦ εἴδους, δηλῶν τὸ τί ἐστιν, ὅπερ οὐκ ἀληθές. οὐκ ἄρα αὔταρκες τὸ ἦν, ὥς τινες ἡγοῦνται, ὧν δοκεῖ πρῶτος μὲν Ἀντισθένης εἶναι, εἶτα δὲ καὶ τῶν ἀπὸ τῆς Στοᾶς τινες, ἀλλὰ εὐλόγως τὸ εἶναι πρόσκειται. ὁ γὰρ τί ἐστι τὸ εἶναι αὐτῷ δηλῶν λόγος οὐκ ἔστιν ὁ τὸ γένος ἢ ἄλλο τι τῶν ἐν τῷ τί ἐστι κατηγορῶν αὐτοῦ· οὐ γὰρ τοῦτ' ἔστι τὸ εἶναι τῷ εἴδει τὸ τὸ γένος αὐτοῦ κατηγορεῖσθαι, ὅτι μὴ ταὐτόν ἐστι τὸ εἶδος τῷ γένει τῷ αὑτοῦ. καὶ ἔστιν ἴσον τὸ εἰρημένον τῷ 'λόγος ὁ τῆς τοῦ πράγματος οὐσίας δηλωτικὸς καὶ καθ' ὅ ἐστιν αὐτῷ τὸ εἶναι'. οἱ δὲ λέγοντες ὅρον εἶναι λόγον κατὰ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενον, ἀνάλυσιν μὲν λέγοντες τὴν ἐξάπλωσιν τοῦ ὁριστοῦ καὶ κεφαλαιωδῶς, ἀπαρτιζόντως δὲ τὸ μήτε ὑπερβάλλειν μήτε ἐνδεῖν, οὐδὲν ἂν λέγοιεν τὸν ὅρον διαφέρειν τῆς τοῦ ἰδίου ἀποδόσεως.

in Top.43 λόγος γὰρ καὶ τὸ 'ζῷον γελαστικόν', καὶ ἀπερίττως τε καὶ ἀνελλιπῶς σημαίνει τὸν ἄνθρωπον· οὔτε γὰρ ἐπὶ πλέον οὔτε ἐπ' ἔλαττόν ἐστι τοῦ ἀνθρώπου. ἀλλὰ πλεῖστον ὁρισμοῦ ὁ διὰ τοῦ ἰδίου λόγος ἀποδιδόμενος διαφέρει, ὅτι μὴ σημαίνει ἐν τίνι ἐστὶ τὸ εἶναι τῷ ἀνθρώπῳ. ὅτι γὰρ μὴ ἐν τῷ γελαστικῷ τῷ ἀνθρώπῳ τὸ εἶναι, δῆλον ἐκ τοῦ τὰς καθ' ὅ ἐστιν ἕκαστον ἐνεργείας ταύτας τελειοῦν αὐτό· οὐκ ἔστι δὲ τελειότης ἀνθρώπου τὸ γελᾶν. p. 102a1 Ἀποδίδοται δὲ ἢ λόγος ἀν τ ' ὀνόματος ἢ λόγος ἀντὶ λόγο υ . Ὁρισάμενος τὸν ὁρισμόν, πῶς ἡ ἀπόδοσις αὐτοῦ γίνεται, καὶ ἀντὶ τίνος καὶ ἐκ τίνος μεταλαμβάνεται, λέγει. ἢ γὰρ ἀν τ ' ὀνόματος ὅρος ἀποδίδοται (τὸ γὰρ ἀποδίδοται 〈δὲ〉 ἢ λόγος ἀν τ ' ὀνόματος εἴρηκεν ὡς ἴσον τῷ 'ἀποδίδοται δὲ ὁ τοιοῦτος λόγος, ὁποῖον εἰρήκαμεν τὸν ὁρισμόν, ἢ ἀν τ ' ὀνόματοσ ' , ὡς ὅταν τὸν ἄνθρωπον ὁριζόμενοι εἴπωμεν 'ὁ ἄνθρωπος ζῷόν ἐστι πεζὸν δίπουν'· ἀντὶ γὰρ τοῦ ὀνόματος τοῦ 'ἄνθρωποσ' τὸν λόγον, τοῦτ' ἔστι τὸν ὅρον, ἀποδεδώκαμεν, τὸ 'ζῷον πεζὸν δίπουν'), ἢ λόγος ἀντὶ λόγο υ , τοῦτ' ἔστιν ὁ ὁρισμὸς ἀντὶ λόγου. τοῦτο δὲ γίνεται μὲν καὶ ἐπὶ τούτων ἐφ' ὧν μὴ ἔστι τὸ ὁριστὸν γένος ἑνὶ ὀνόματι περιλαβεῖν, ὡς τὸ ζῷον πεζὸν ἢ ζῷον πτηνὸν ἢ ζῷον ἔνυδρον· ἕκαστον γὰρ τούτων ὁριζόμενοι λόγου εἰς λόγον καὶ ὅρον τὴν μετάληψιν ποιούμεθα· τοῦ γὰρ ζῴου πεζοῦ λόγου ὄντος τὸν ὁρισμὸν ἀποδίδομεν λέγοντες αὐτὸ οὐσίαν ἔμψυχον αἰσθητικὴν ἐπὶ γῆς τὰς διατριβὰς ποιεῖσθαι πεφυκός. δύναται δὲ καὶ ἐκ τῶν λόγων τῶν διὰ τοῦ ἰδίου ἀποδιδομένων, οἳ οὐκ εἰσὶν ὁρισμοί, εἰς τὸν ὁρισμὸν μετάληψις γίνεσθαι, οἷον ζῴου γελαστικοῦ εἰς ζῷον λογικὸν θνητὸν ἢ ζῴου ἐπιστήμης δεκτικοῦ· καὶ γὰρ τὸ ἐπιστήμης δεκτικὸν ἴδιον ἀνθρώπου· οὐ γὰρ δεκτικοὶ οἱ θεοί· οὐ γάρ ἐστιν ἐν αὐτοῖς τὸ δυνάμει. δύναται δὲ καὶ λόγος ἀντὶ λόγου λαμβάνεσθαι, ὅταν ἑκατέρου ἢ ἑκάστου ἐξ ὧν ὁ λόγος ἐστὶν ὁρισμόν τις ἀποδιδῷ. εἰ γὰρ ἑκάτερον τῶν ἐν τῷ λόγῳ ὁρίσασθαι ἔστιν, ἔστι καὶ τοῦ λόγου ὅρον ἀποδοῦναι· τοῦ γὰρ 'ἄνθρωπος περιπατεῖ' λόγου ὁρισμὸς ἂν εἴη 'ζῷον πεζὸν δίπουν, ὃ διὰ σκελῶν κινεῖται μεταβατικῶσ'. οὐ γὰρ δὴ λέγει ἀντὶ ὁρισμοῦ ὁρισμὸν ἀποδίδοσθαι. ἐπεὶ δὲ ἀποδίδοται πολλάκις ὑπὲρ σαφηνείας τινὸς καὶ ἀντὶ ὀνόματος ὄνομα, ὡς ὅταν εἴπῃ τις ἀγαθὸν εἶναι τὸ ὠφέλιμον ἢ δίκαιον τὸ ἴσον, οὔ φησι τὰς τοιαύτας ἀποδόσεις ὁρισμοῦ ἀποδόσεις εἶναι· ὁ γὰρ ὁρισμὸς κεῖται ἡμῖν ὅτι λόγος ἐστί.

in Top.44 δῆλον δὲ ὅτι οὐδ', ἂν ἀντὶ λόγου τις ὄνομ' ἀποδῷ, ὁρισμὸν ἀποδέδωκε. γίνεται γὰρ καὶ ἀντὶ λόγου ὄνομα ἀποδεδομένον· ὁ γὰρ εἰπὼν 'τὸ ἐπαινετὸν ἀγαθὸν καλόν ἐστι' λόγου εἰς ὄνομα τὴν μετάληψιν πεποίηται. ὅρον μὲν οὖν οὐχ οἷόν τε τὸ ὄνομα εἶναι. ὁρικὰς μέντοι φησὶν εἶναι καὶ τὰς τοιαύτας ἀποδόσεις τὰς εἰς δήλωσιν ὀνόματός τινος ἀσαφεστέρου ὄνομα μεταλαμβανούσας γνωριμώτερον· ὥστε καὶ τὰ τοιαῦτα ὑπάγοιτο ἂν τοῖς ὁρικοῖς προβλήμασιν. ὁρικὰ δὲ λέγει προβλήματα εἶναι καὶ ἐν οἷς ζητεῖται εἰ τόδε τῷδε ταὐτόν ἐστιν, οἷον εἰ ταὐτὸν αἴσθησις ἐπιστήμῃ ἢ ἕτερον, καὶ πότερον ταὐτὸν ἀκολασία καὶ ἀκρασία, ἢ ἐγκράτεια καὶ σωφροσύνη, ἢ οὔ. καὶ τοῦ καὶ ταῦτα ὁρικὰ εἶναι τὴν αἰτίαν ἀπέδωκε, διότι γὰρ καὶ ἐν τοῖς περὶ

τῶν ὁρισμῶν προβλήμασι, πότερον τὸ αὐτὸ ὁ ἀποδοθεὶς ὁρισμὸς σημαίνει καὶ τὸ ἀνθ’ οὗ ἀπεδόθη ὀνόματος ἢ λόγου ἢ ἕτερον, ἡ πλείστη γίνεται ζήτησις· τὸν γὰρ ὁρισμὸν πρῶτον δεῖ τὸ ταὐτὸν ἔχειν. καὶ καθόλου φησὶν ὁρικὰ προβλήματα πάντα λέγεσθαι τὰ ὑπὸ τὴν αὐτὴν μέθοδον πίπτοντα τοῖς ὅροις. τὰ γὰρ ὑπὸ τὴν περὶ ὁρισμῶν μέθοδον πίπτοντα ὁρικά· πάντα δὲ τὰ ἐν οἷς ἡ ζήτησις πότερον ταὐτὰ ἢ οὐ ταὐτά ἐστιν ἀλλήλοις, ὑπὸ τὴν περὶ ὁρισμῶν μέθοδόν ἐστιν. καὶ πῶς ὑπὸ ταύτην, ἐδήλωσε· τῇ γὰρ μεθόδῳ, καθ’ ἣν δυνάμεθα ὅτι ταὐτὸν ἢ ὅτι ἕτερον ἄλλο ἄλλου δεικνύναι, καὶ πρὸς τοὺς ὁρισμοὺς χρώμεθα. καὶ πῶς χρώμεθα, προσέθηκε· δείξαντες γὰρ τὸν ἀποδοθέντα λόγον ὡς ὁρισμόν, ὅτι μὴ ὁ αὐτός ἐστιν ἐκείνῳ οὗ ἀπεδόθη, δεδειχότες ἂν εἴημεν ὅτι μὴ ὁρισμὸς ὁ λόγος οὗτος. οὐ μήν, ἂν δείξωμεν ὅτι ταὐτὸν σημαίνει ὁ λόγος τῷ οὗ ἦν ἀποδεδομένος, ἤδη ἂν εἴημεν δεδειχότες ὅτι ὁρισμός· καὶ γὰρ ἐν ἄλλοις τὸ ταὐτόν. δεῖ μὲν γὰρ τὸν ὅρον τὸ ταὐτὸν ἔχειν· οὐ μήν, εἴ τι ταὐτόν, ἤδη καὶ ὅρος· οὐ γὰρ ἀντιστρέφει οὐδὲ ἐπ’ ἴσης ἐστὶν οὐδὲ ἀντικατηγορεῖται ὅ τε ὅρος καὶ τὸ ταὐτόν. διό, εἰ μὲν μὴ ταὐτόν, οὐχ ὅρος, εἰ δὲ ταὐτόν, οὐ πάντως καὶ ὅρος· λέγεται γὰρ τὸ ταὐτόν, ὡς ὀλίγον προελθὼν δείξει, πλεοναχῶς, καὶ οὔτε τὸ τῷ γένει ταὐτὸν οὔτε τὸ τῷ εἴδει ὁρισμός, ἀλλ’ οὐδὲ τὸ τῷ ἀριθμῷ πάντως. ὅτι τε οὖν τὸ ταὐτὸν χρήσιμον πρὸς τὰ ὁρικὰ προβλήματα, δέδεικται, καὶ ὅτι μὴ πάντῃ ταὐτόν ἐστιν ἥ τε περὶ ταὐτοῦ ζήτησις καὶ ἡ περὶ τοῦ ὁρισμοῦ.

in Top.45 οὐ γάρ, ἐπεὶ ταὐτόν ἐστιν ὁρατόν τε καθ’ αὑτὸ καὶ χρῶμα, καὶ ἀκουστὸν καὶ ψόφος, καὶ χυμὸς ὁμοίως καὶ γευστόν, διὰ τοῦτο ἢ τοῦ χρώματος ὅρος ἐστὶ τὸ καθ’ αὑτὸ ὁρατὸν ἤ, ὥς τινες ὁρίζονται, τὸ ἴδιον ὄψεως αἰσθητόν· οὐ γὰρ καθ’ ὃ χρῶμα καὶ καθ’ ὃ ψόφος τοιαῦτά ἐστιν, ἀλλὰ κατὰ τὴν σχέσιν τὴν σχέσιν τὴν πρὸς τὸν αἰσθανόμενον αὐτῶν. ταῦτα εἰπὼν περὶ τοῦ ὁρισμοῦ ὡς πρὸς τὴν προκειμένην μέθοδον αὐτάρκη, ἐπεὶ περί γε ὁρισμοῦ καὶ ἔν τε τοῖς Ὑστέροις ἀναλυτικοῖς καὶ ἐν τοῖς Μετὰ τὰ φυσικὰ πραγματεύεται μετὰ ἀκριβείας καὶ θεωρίας πλείονος, μέτεισιν ἐπὶ τὸν περὶ τοῦ ἰδίου λόγον. δεῖ δὲ μὴ ἀγνοεῖν ὅτι Θεόφραστος τὰ περὶ τοῦ αὐτοῦ προβλήματα ὑποτάσσει τοῖς γενικοῖς, ὥσπερ καὶ τὰ ἀπὸ τῶν διαφορῶν· λέγει γὰρ “καὶ τὴν διαφορὰν καὶ τὴν ταὐτότητα γενικὰ θῶμεν”. καὶ τοῦτο μὲν ἔξωθεν προσιστορήσθω. ὁρίζεται δὲ πάλιν τὸ ἴδιον οὕτως· p. 102a18 Ἴδιον δέ ἐστιν ὃ μὴ δηλοῖ μὲν τὸ τί ἦν εἶνα ι , μόνῳ δ ’ ὑπάρχει καὶ ἀντικατηγορεῖται τοῦ πράγματο ς . Κοινὸν μὲν οὖν ἔχει πρὸς τὸν ὁρισμὸν τὸ ἴδιον τό τε μόνῳ ὑπάρχειν καὶ τὸ ἀντικατηγορεῖσθαι, τοῦτ’ ἔστι τὸ παντὶ ὑπάρχειν· τὸ γὰρ μόνῳ καὶ παντὶ ὑπάρχον ἀντικατηγορεῖται. ἡ δὲ διαφορὰ αὐτῶν, καθ’ ὃ ὁ μὲν ὁρισμὸς τὸ τί ἦν εἶναι καὶ τὴν οὐσίαν δηλοῖ τοῦ πράγματος καὶ ἔστι πάντως λόγος, τὸ δὲ ἴδιον οὔτε ἀνάγκη λόγον εἶναι οὔτε τὴν οὐσίαν δηλοῦν τοῦ πράγματος οὗ ἐστιν ἴδιον, ἀλλὰ ἢ διάθεσίν τινα αὐτοῦ σημαίνει, ὡς ἐπὶ τοῦ ἀνθρώπου τὸ πλατυώνυχον καὶ τὸ ὄρθιον, ἢ δύναμιν, ὡς τὸ ἐπιστήμης δεκτικὸν καὶ γελαστικόν, ἢ ἐνέργειαν, ὡς τοῦ θείου σώματος τὸ ἀεικίνητον. διὰ τοῦτο ἴδια μὲν οἷόν τε τοῦ αὐτοῦ πλείω εἶναι, ὁρισμοὺς δὲ οὐκέτι, εἴ τις ἀκριβολογοῖτο, εἴ γε μία ἑκάστου ἡ οὐσία, ἧς ὁ ὁρισμὸς δηλωτικός. ὅτι δὲ τὸ ἴδιον οὐ δηλοῖ τὴν οὐσίαν τούτου οὗ ἐστιν ἴδιον, οἷον τὸ γελαστικὸν τὴν τοῦ ἀνθρώπου ἢ τὸ γραμματικῆς δεκτικόν, δῆλον, ὡς ἤδη προείρηται, ὅτι καθ’ ἣν δύναμιν ἑκάστῳ τῶν ζῴων ἐστὶ τὸ εἶναι, ὅταν κατὰ ταύτην ἀνεμποδίστως ἐνεργῇ, τότε τὴν τελειότητα 〈τὴν〉 αὑτοῦ δοκεῖ ἀπειληφέναι.

in Top.46 τέλειος γὰρ ἵππος ὁ καθ’ ἣν δύναμίν ἐστιν αὐτῷ τὸ εἶναι ἵππῳ, κατὰ ταύτην ἐνεργῶν ἀπαρεμποδίστως· ὥστε καὶ εἰ ἦν ἡ τοῦ ἀνθρώπου οὐσία ἐν τῇ τοῦ γελᾶν δυνάμει, τέλειος ἄνθρωπος εἴη ἂν ὁ ἀνεμποδίστως τε καὶ εὖ γελῶν. ἀλλ’ ἄτοπον τὸ τοῦ ἀνθρώπου τέλος ἐν τῷ ἀνεμποδίστως γελᾶν τίθεσθαι. τί οὖν ἐπὶ τοῦ πεζοῦ καὶ δίποδος λέγοι τις ἄν, οἷς ὁ ἄνθρωπος ὁρίζεται; μήποτε οὖν ἢ οὐκ ἀληθὲς τὸ κατὰ τοῦτο διαιρεῖν τὸ ἴδιόν τε καὶ τὸν ὁρισμόν, ἢ οἱ μὲν τοιοῦτοι λόγοι ὅροι δοκοῦσιν εἶναι τῷ χωρίζειν διὰ τῶν ὑπαρχόντων τῷ προκειμένῳ ἀπὸ πάντων αὐτὸ τῶν ἄλλων. κυρίως δ’ ἂν εἶεν ὅροι οἱ ἔχοντες πρὸς τούτῳ καὶ καθ’ ὃ μάλιστά ἐστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ ὁριστῷ τὸ εἶναι, ὡς τῷ ἀνθρώπῳ κατὰ τὸ λογικόν· διὸ καὶ εἷς ὁ κυρίως ὁρισμὸς ἑκάστου ἐστίν. τὸν γὰρ ὅρον δεῖ ἐκ διαφορῶν εἶναι· αὗται γὰρ τὸ γένος εἰς τὰ εἴδη διαιροῦσιν οὐ κατὰ συμβεβηκότα τινὰ ἀλλὰ κατὰ τὴν οὐσίαν· τὸ δὲ ἴδιον οὐ διαφορά. ὅτι δὲ δεῖ ἀντικατηγορεῖσθαι τὸ ἴδιον τοῦ πράγματος, συνέστησε διὰ τοῦ εἰπεῖν οὐδεὶς γὰρ λέγει ἴδιον τὸ ἐνδεχόμενον ἄλλῳ ὑπάρχει ν , οἷον τὸ καθεύδειν ἀνθρώπ ῳ , οὐ δ ' ἂν τύχῃ κατά τινα χρόνον μόνῳ ὑπάρχο ν . προστίθησι δὲ τοῦτο, ὅτι, κἂν λέγηταί ποτε τῶν μόνῳ τῷ πράγματι ὑπαρχόντων μὴ ἀντικατηγορουμένων δὲ αὐτοῦ ἴδιόν τι, ὅτι μὴ ἁπλῶς τοῦτο λέγεται ἴδιον ἀλλὰ ποτέ, ὡς τὸ ἐκ δεξιᾶς τινα εἶναί τινος ποτὲ ἴδιον· οὕτως καὶ τὸ καθέζεσθαι δύναται ποτὲ ἴδιόν τινος εἶναι· οὐ γὰρ ἂν εἴη πρός τι. τὸ γὰρ δίπουν τοῦ ἀνθρώπου πρὸς τὰ μὴ δίποδα ἴδιον, ἀλλ' οὐχ ἁπλῶς· πρὸς γὰρ ἵππον καὶ κύνα καὶ ὅσα μὴ δίποδα ἴδιον, οὐ μὴν καὶ πρὸς ὄρνεον. ἀεὶ μὲν οὖν τοῦτο, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ἀεὶ πρὸς ταῦτα ἴδιον. δύναται δέ τινα καὶ μόνῳ μὲν ὑπάρχειν, οὐ μὴν δὲ ὡς ἴδια, ὡς αἱ ἀπὸ τῶν δυνάμεων τῶν ἰδίων ἐνέργειαι, τὸ ἀριθμεῖν, τὸ λόγῳ χρῆσθαι, τὸ γελᾶν, τὸ ταριχοποιεῖν· ταῦτα γὰρ οὐκ ἴδια, ὅτι μὴ παντί· αἱ μὲν γὰρ δυνάμεις παντί τε καὶ ἀεί, αἱ δὲ ἐνέργειαι οὐ παντὶ ἅμα οὐδὲ ἀεί. δῆλον δὲ ὅτι οὐδὲ τῶν ἐνδεχομένων καὶ ἄλλῳ ὑπάρχειν οὐδὲν ἀντικατηγορεῖσθαι δύναται· τὸ μὲν γὰρ ἀντικατηγορούμενον ἐπ' ἴσης ἀνάγκη εἶναι· τὸ δὲ ἴδιον κεῖται ἡμῖν ὅτι ἀντικατηγορεῖται τοῦ πράγματος.

in Top.47 p. 102a31 Γένος δέ ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενο ν . Καὶ τὸν τοῦ γένους ὁρισμὸν ἀποδέδωκε δι' οὗ κεχώρικεν αὐτὸ τῶν ἄλλων, οἷς καὶ αὐτοῖς ὑπάρχει τὸ κατὰ πλειόνων κατηγορεῖσθαι· *** ἀλλὰ καὶ ταῖς διαφοραῖς. τῶν μὲν οὖν εἰδῶν χωρίζει τὸ γένος τῇ προσθήκῃ τοῦ διαφερόντων τῷ εἴδε ι . ὅταν γὰρ τὰ ὑπ' ἐκεῖνο κατ' εἶδος ἀλλήλων διαφέρῃ, ὡς ἄνθρωπος, ἵππος, κύων, τότε γένος τὸ ἐν τῷ τί ἐστι τούτων κατηγορούμενο ν . οὐ γὰρ καὶ τὸ εἶδος κατὰ διαφερόντων τῷ εἴδει κατηγορεῖται, ἀλλὰ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ κατηγορεῖται ἐν τῷ τί ἐστι, καθ' ὅ ἐστιν εἶδος. οὗ γὰρ κατηγορουμένου πλειόνων ἐν τῷ τί ἐστι τὰ ὑποκείμενα κατ' εἶδος ἀλλήλων διαφέρειν δύναται, τοῦτο ἀνάγκη γένος εἶναι. ἡ δέ γε διαφορὰ κατὰ πλειόνων μὲν καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖται καὶ αὐτή, οὐ μὴν ἐν τῷ τί ἐστιν, ἐπεὶ οὕτως ἂν ὁ αὐτὸς λόγος εἴη γένους τε καὶ διαφορᾶς, ἀλλ', ὡς ἐν ἄλλοις λέγει, ἡ διαφορὰ ἐν τῷ ποιόν τι μᾶλλον κατηγορεῖται ὧν ἂν ὡς διαφορὰ κατηγορῆται· ποῖον γάρ τι τὸ πρᾶγμά ἐστι, δηλοῖ. ὅθεν οὐχ ἡγητέον τὸ ἐν Κατηγορίαις εἰρημένον, τὸ ὅτι αἱ διαφοραὶ καθ' ὑποκειμένου κατηγοροῦνται, περὶ τῶν κυρίως λεγομένων εἰρῆσθαι διαφορῶν, ἀλλὰ τῶν ἤδη συνειλημμένων τῇ ὕλῃ· τὸ γὰρ καθ' ὑποκειμένου κατηγορούμενον ἅπαν ἐν τῷ τί ἐστιν ἐκείνου κατηγορεῖται· κατηγορούμεναι δὲ ἐν τῷ τί ἐστιν αἱ διαφοραὶ γένη ἂν εἶεν, ἀλλ' οὐ διαφοραί. καὶ εἰ τὸ συμβεβηκὸς δὲ πλειόνων κατηγορεῖται καὶ διαφερόντων τῷ εἴδει, ταύτῃ τοῦ γένους διαφέροι ἄν, ὅτι μὴ ἐν τῷ τί ἐστι. τὸ δὲ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι αὐτὸς ἐξηγεῖται· ὅσα γὰρ ἁρμόττει ἐρωτηθέντας ἀποδοῦναι τί ἐστι τὸ προκείμενο ν , ταῦτα ἐν τῷ τί ἐστι κατηγορεῖται. ὅτι δὲ καὶ ἡ διαφορὰ καὶ τὰ ἀπὸ τῶν διαφορῶν προβλήματα γενικά, φθάνει εἰρηκέναι· οἷόν ἐστι καὶ τὸ 'πότερον ὁ κύων λογικός ἐστιν ἢ οὔ;'. ἔστι δὲ διαφορὰ κυρίως καθ' ἣν γένος τι εἰς εἴδη τέμνεται· οὐ γὰρ πᾶν τὸ διαφέρον τινὸς τῇ κυρίως λεγομένῃ διαφορᾷ διαφέρει, ἐπεὶ τοῖς πλείστοις γε κατὰ συμβεβηκότα τινὰ ἡ διαφορὰ ἡ πρὸς ἄλληλα, ἀλλὰ κοινότερον τὰ τοιαῦτα καλοῦνται διαφοραί.

in Top.48 γενικὰ δέ φησιν εἶναι προβλήματα καὶ ἐν οἷς ζητεῖται πότερον τόδε τῷδε ἐν τῷ αὐτῷ γένει ἐστὶν ἢ οὔ, ὥσπερ ἦν ὁρικὸν καὶ τὸ ζητεῖν εἰ τόδε τῷδε ταὐτόν. καὶ δείκνυσί γε πῶς ἐστι γενικά. δεῖ γὰρ τὸν μέλλοντα δεικνύναι ὅτι ἐν τῷ αὐτῷ γένει τάδε τινά, οἷον ἵππος καὶ ἄνθρωπος, δεῖξαι ὅτι τὸ ζῷον γένος ἐστὶ καὶ τοῦ ἵππου καὶ τοῦ ἀνθρώπου· ταῦτα δὲ γενικὰ προβλήματα. καὶ τὸ δεικνύναι δὲ ὅτι τόδε τι μὴ ἐν τῷ αὐτῷ γένει γενικόν, οἷον ὅτι τὸ ὁρᾶν οὐκ ἔστιν ὑπὸ ταὐτὸν γένος τῷ βοᾶν· τοῦτο μὲν γὰρ ὑπὸ τὸ ποιεῖν, τοῦ δὲ ὁρᾶν οὐκ ἔστι γένος τὸ ποιεῖν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάσχειν γάρ τί ἐστι τὸ ὁρᾶν. ὅτι γὰρ μὴ ἐν τῷ αὐτῷ γένει τὸ ὁρᾶν τῷ βοᾶν, καίτοι τῷ σχήματι τῆς λέξεως ὅμοιον ὄν, οὕτως δείκνυται· τὰ δὲ τοιαῦτα διὰ τῶν πρὸς τὸ γένος τόπων δείκνυται.
p. 102b4 Συμβεβηκὸς δέ ἐστιν ὃ μηδὲν μὲν τούτων ἐστ ί , μήτε ὅρος μήτε ἴδιον μήτε γένο ς , ὑπάρχει δὲ τῷ πράγματ ι , ἢ ὃ ἐνδέχεται ὑπάρχειν ὁτῳοῦν ἑνὶ καὶ τῷ αὐτῷ καὶ μὴ ὑπάρχει ν . Δύο λόγους τοῦ συμβεβηκότος ἀποδέδωκε, τὸν μὲν ἐκ τῆς τῶν προειρημένων ἀποφάσεως δεικνύντα τὸ συμβεβηκός (ὃ γὰρ ὑπάρχον τῷ πράγματι κατὰ μηδένα τῶν προειρημένων τρόπων ὑπάρχει, τοῦτό ἐστι συμβεβηκός), τὸν δὲ ἀπ' αὐτῆς τῆς τοῦ συμβεβηκότος φύσεως· ὃ γὰρ οὕτως ὑπάρχει ὡς ἐνδέχεσθαι αὐτῷ τούτῳ καὶ ὑπάρχειν καὶ μὴ ὑπάρχειν, συμβεβηκός ἐστι. καὶ προκρίνει γε τοῦτον τὸν λόγον δι' ὃ καὶ λέγει. ὁ μὲν γὰρ δι' ἀποφάσεώς τινων μέλλων τι γνωρίζειν πρῶτον ἀνάγκην ἔχει γνωρίζειν ἐκεῖνα ὧν τῇ ἀποφάσει τοῦτο δηλοῦται· ὁ δὲ ἀπ' αὐτοῦ τοῦ πράγματος οὐδενὸς ἄλλου χρείαν εἰς γνῶσιν ἔχει τοῦ προκειμένου· τὴν γὰρ αὐτοῦ τοῦ πράγματος οὐσίαν τε καὶ φύσιν ὁ τοιοῦτος σημαίνει λόγος, ἐπεὶ ὁρισμός ἐστι "λόγος ὁ τὸ τί ἦν εἶναι σημαίνων", ὡς προείρηται, τὸ δὲ εἶναι ἑκάστῳ ἐν ὑπάρξει τινὶ καὶ ἐν καταφάσει. οὐκ ἂν οὖν ὁ ἐξ ἀποφάσεώς τινων λόγος κυρίως ὁρισμὸς εἴη. τί δήποτε οὖν ἀμφοτέρους ἔθηκε καὶ οὐ μόνον ὃν προέκρινεν; ὑπὲρ τοῦ ἐνδείξασθαι ὅτι καὶ τοιαύτη τις ἀπόδοσις γίνεται λόγων.

in Top.49 ἢ ἐπεὶ χρήσεται πρὸς τὰ ἑξῆς τῷ τοιούτῳ λόγῳ τοῦ συμβεβηκότος· διὰ γὰρ τοῦ λόγου τοῦ συμβεβηκότος κατασκευάζεται τὸ τοσαῦτα εἶναι τῶν προβλημάτων γένη. τάχα δὲ καὶ καθόλου μὲν ἀμείνων ἐκεῖνος ὁ τρόπος τῆς τῶν ὅρων ἀποδόσεως, ἐπ' ἐνίων δὲ ἀναγκαῖος οὗτος, ὥσπερ ἐπὶ τοῦ σιμοῦ. καὶ γὰρ ἐπὶ τοῦ συμβεβηκότος ὁ δεύτερος ἀποδοθεὶς οὐ πᾶν δοκεῖ τὸ συμβεβηκὸς περιλαβεῖν, ὁ δὲ πρῶτος πᾶν. ἐπιζητήσαι γὰρ ἄν τις εἰ ὁ λέγων λόγος συμβεβηκὸς εἶναι ὃ οἷόν τε ὑπάρχειν ὁτῳοῦν ἑνὶ καὶ τῷ αὐτῷ καὶ μὴ ὑπάρχει ν , πᾶσαν τὴν τοῦ συμβεβηκότος περιείληφε φύσιν. εἰ γὰρ τοῦτό ἐστι, τὰ συμβεβηκότα τὰ ἀχωρίστως μὲν ὑπάρχοντά τισι μήτε δ' ἐν τῇ οὐσίᾳ μήτε ὡς ἴδια ὑπὸ τί ἂν εἴη γένος; οἷον ἡ σιμότης τῇ ῥινί. εἰ γὰρ μὴ συμβεβηκότα, ἢ γένη ἔσται ἢ διαφοραὶ ἢ ἴδια ἢ ὁρισμοί· ἄτοπον δὲ τούτων τι λέγειν αὐτὰ εἶναι· ἄλλη ἄρα φύσις ὑπαρχόντων παρὰ τὰς εἰρημένας τέσσαρας ἡ τοιαύτη ἂν εἴη. εἰ δὲ τοῦτο, οὐδ' ἂν ὁ ἀριθμὸς τῶν προβλημάτων τε καὶ προτάσεων οὗτος ἂν εἴη, ἀλλὰ καὶ πέμπτον ἂν εἴη γένος τι προβλημάτων, ἐν ᾧ τὰ οὕτως ὑπάρχοντα κατηγορεῖται. διὸ κατὰ τοῦτο ὁ πρῶτος ἀποδοθεὶς λόγος ἀμείνων. ἢ ἀχώριστον ῥινὸς τὸ σιμόν, οὐχ ὅτι μὴ ῥὶς ἡ αὐτὴ καὶ σιμὴ καὶ γρυπὴ γίνεται (διὰ τοῦτο γὰρ οὐδὲ διαφορὰ ῥινὸς τὸ σιμόν), ἀλλ' ὅτι δοκεῖ τὸ σιμὸν ἐν αὑτῷ συνειληφέναι καὶ τὴν ῥῖνα· εἰ γὰρ κοιλότης ἡ σιμότης ἐν ῥινί, τὸ συναμφότερον οὖσα εἰκότως μετὰ τῆς ῥινὸς καὶ σὺν ταύτῃ ἐστὶ καὶ ἀχώριστος αὐτῆς ὥσπερ καὶ τῆς κοιλότητος· τὸ γὰρ συναμφότερον σιμόν. οὕτως δὲ οὐκέτ' ἂν εἴη συμβεβηκὸς ἡ σιμότης, ἀλλὰ τὸ συμβεβηκὸς μετὰ τοῦ ᾧ συμβέβηκεν· ἡ δὲ κοιλότης συμβεβηκὸς οὖσα οἵα τε καὶ παρεῖναι τῇ ῥινὶ καὶ μή. δύναται δὲ τὸ ἐνδέχεται ὑπάρχειν ὁτῳοῦν ἑνὶ καὶ τῷ αὐτῷ καὶ μὴ ὑπάρχειν οὐ τοῦ πάντως καὶ ὑπάρχειν δύνασθαι καὶ μὴ ὑπάρχειν τῷ αὐτῷ δηλωτικὸν εἶναι τὸ πρότερον ὑπάρξαν, ἀλλὰ τοῦ μηδὲν τὸ πρᾶγμα πρὸς τὸ εἶναί τι ἢ μὴ εἶναι δεῖσθαι τῆς τοῦ συμβεβηκότος παρουσίας· καὶ γὰρ χωρὶς τούτου ταὐτὸ ἂν ἦν· ἡ γὰρ ῥὶς 〈ῥὶσ〉 ἦν ἂν καὶ χωρὶς σιμότητος.

in Top.50 ὃ οὖν καὶ μὴ ὑπάρχον οὐκ ἀναιρεῖ τὸ πρᾶγμα, τοῦτο, ἂν ἀχωρίστως ὑπάρχῃ, οἷόν τε ὑπάρχειν καὶ μὴ ὑπάρχειν· τὸ γὰρ ἐκτός τε εἶναι τῆς οὐσίας καὶ φύσεως τοῦ πράγματος, κἂν μὴ δυνατὸν ᾖ μὴ ὑπάρχειν αὐτῷ, σημαίνει τὸ ἐνδέχεσθαι ὑπάρχειν τῷ αὐτῷ καὶ μὴ ὑπάρχειν. καὶ εἴη ἂν συμβεβηκὸς τοῦτο οὗ ὑπάρχοντος τῷ πράγματι ἡ ἀναίρεσις οὐκ ἀναιρεῖ τὸ ᾧ ὑπάρχει. ἐπιζητήσειε δ' ἄν τις εἰ οὕτως καὶ τῇ χιόνι καὶ τῷ κύκνῳ τὸ λευκὸν καὶ τῇ πίττῃ τὸ μέλαν· δοκεῖ γὰρ τὰ τοιαῦτα τῆς οὐσίας πως εἶναι τοῦ πράγματος. ἢ δεῖ λέγειν συμβεβηκότα καὶ ταῦτα τῷ γε μὴ ἐν τῇ οὐσίᾳ εἶναι τούτων οἷς ὑπάρχει· οὐ γὰρ ἡ οὐσία τῆς χιόνος ἐν τῷ λευκὴν εἶναι ἢ τῆς πίττης ἐν τῷ μέλαιναν, ἀλλ' ἔστιν ἐπακολουθοῦντα τῇ οὐσίᾳ αὐτῶν, καὶ ἀχώριστα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συμβεβηκότα ἐστίν. ἔτι λέγοιτ' ἂν ὅτι, εἰ καὶ μὴ τούτοις οἷά τε ὑπάρχειν καὶ μή, ἀλλ' ἄλλοις γε δύναταί τισιν καὶ ὑπάρχειν καὶ μή· ἃ δὲ οὕτως ἔχει πρός τινα τῶν ὄντων, συμβεβηκότα ἔσται. ἢ οὐδὲ τοῦτο ἀληθές· τὸ γοῦν θερμὸν ὑπάρχον τινὶ οὕτως ὡς δύνασθαι καὶ μὴ ὑπάρχειν οὐκ ἔστι τῷ πυρὶ συμβεβηκός. τὸ δὲ λευκὸν ἐν τῇ χιόνι ἢ γένος αὐτῆς ἢ ὁρισμὸς ἢ ἴδιον ἂν εἴη· οὐδὲν δὲ τούτων οἷόν τε λέγειν ἐπ' αὐτῆς. ἀλλ' οὐδὲ διαφορὰ ἂν εἴη· οὐδὲν δὲ δοκεῖ εἰδοποιὸς διαφορὰ σώματος εἶναι τὸ χρῶμα. πλέον μὲν οὖν τι ἢ κατὰ τὰ ἄλλα συμβεβηκότα τὰ τοιαῦτα ἂν ἔχοι τῷ τῇ ὕλῃ καὶ ταῖς ταύτης ποιότησί τε καὶ πάθεσιν, ἐξ ὧν τούτοις τὸ εἶναι, ἐξ ἀνάγκης παρακολουθεῖν. τῇ γὰρ τοῦ τοιοῦδε σώματος, οἷον τῇ νέφους, ὅ ἐστι χιόνος ὕλη, τοιᾷδε πήξει, τῇ δι' ὑπερβολὴν ψυχρότητος γινομένῃ μετὰ ἐναπολείψεως πνεύματός τινος, ἐξ ἀνάγκης ἡ λευκότης ἕπεται. ἡ γὰρ τοῦ ἀέρος τοῦ ἐνόντος ἐν τῷ νέφει ἐναπόλειψίς τε καὶ πῆξις καὶ τρῖψις ἐν τῇ τοῦ νέφους πήξει, ἥτις δι' ὑπερβολὴν ψυχρότητος γινομένη φθάνει τὴν ἔκκρισιν αὐτοῦ, τοῦ τοιούτου χρώματος αἰτία· τριβόμενον γὰρ καὶ κινούμενον τὸ πνεῦμα λευκαίνεται· διὰ τοῦτο γὰρ καὶ ὁ ἀφρὸς λευκός. τρῖψις δέ τις καὶ κίνησις γίνεται ἐν τῇ πήξει τοῦ νέφους τοῦ ἐν αὐτῷ πνεύματος συστελλομένου καὶ εἰς τὸ βάθος ἀποκλειομένου καὶ τὴν ἔκκρισιν ἐμποδιζομένου. καὶ ἔστιν ἐκεῖνα μὲν τῆς οὐσίας τῆς χιόνος, τὸ δὲ λευκὸν ἐπακολουθοῦν ἐκείνοις καὶ πάθος τι καὶ συμβεβηκός· καὶ τῇ χιόνι ἂν εἴη συμβεβηκὸς τῷ μὴ εἶναι τῆς χιόνος συμπληρωτικὸν τῆς οὐσίας· εἰ γὰρ μήτε ὕλη τῆς χιόνος τὸ λευκὸν μήτε εἶδος, οὐκ ἔστιν ἐν τῇ οὐσίᾳ τῆς χιόνος.

in Top.51 τῷ δὲ συμπτώματι τῆς ὕλης ἐπιγινόμενον ἐν τῇ εἰς τὸ τοιοῦτον εἶδος μεταβολῇ, τούτῳ ἀχώριστόν ἐστιν αὐτῆς. οὐ μὴν ἔτι ἔστιν ἐπὶ τούτου εἰπεῖν ὅτι ἐνδέχεται καὶ μὴ ὑπάρχειν αὐτὸ τῷ πράγματι. οὕτω καὶ τὸ θῆλυ πάθος ὂν καὶ συμβεβηκὸς δείκνυται. διὸ ἔοικεν ἐκ τῆς τῶν ἄλλων ἀποφάσεως ὁ δηλῶν τὸ συμβεβηκὸς λόγος μᾶλλον περιλαμβάνειν πάντα τὰ συμβεβηκότα τοῦ δευτέρου κειμένου· διὸ καὶ ἐχρήσατο αὐτῷ. ἄμεινον μὲν γάρ, ὡς εἶπεν, ἐκείνως ὁρίζεσθαι· ἐφ' ὧν δὲ μὴ οἷόν τέ ἐστι τοιούτῳ λόγῳ περιλαβεῖν πᾶν τὸ ὁριστόν, ἀγαπητὸν καὶ δι' ἀποφάσεως αὐτὸ δηλῶσαι. πέπονθε δὲ τοῦτο τὸ συμβεβηκός, διότι μή ἐστι μιᾶς φύσεως· τὰ γὰρ ἐννέα γένη τὰ παρὰ τὴν οὐσίαν συμβεβηκότα. διὸ οὐδὲ οἷόν τε ἕνα τινὰ λόγον ἀποδοῦναι αὐτοῦ. ἴδιον δὲ ἂν εἴη αὐτοῦ τὸ ἐν ὑποκειμένῳ, εἴ γε πᾶσα οὐσία μὴ ἐν ὑποκειμένῳ, ἀλλὰ καὶ τὰ εἴδη καὶ αἱ διαφοραὶ 〈αἱ〉 ἐν αὐτῇ ἀποκρίνονται τῷ ἐν ὑποκειμένῳ. αὐτὸς μέντοι τὴν τοιαύτην ἀκριβολογίαν παραιτούμενος ὡς οὐκ οἰκείαν τῇ προκειμένῃ πραγματείᾳ ἀρκεῖται τοῖς ἀποδεδομένοις λόγοις τοῦ συμβεβηκότος. p. 102b14 Προσκείσθωσαν δὲ τῷ συμβεβηκότι καὶ αἱ πρὸς ἄλληλα συγκρίσει ς , ὁπωσοῦν ἀπὸ τοῦ συμβεβηκότος λεγόμενα ι . Ὡς τοῖς ἀπὸ τοῦ ὅρου προβλήμασιν ὑπῆγε καὶ τὰ περὶ ταὐτοῦ καὶ τοῖς ἀπὸ τοῦ γένους τὰ ἀπὸ τῶν διαφορῶν καὶ τοῖς ἀπὸ τοῦ ἰδίου τὰ ποτὲ καὶ πρός τι ἴδια, οὕτως καὶ τοῖς ἀπὸ τοῦ συμβεβηκότος τὰ συγκριτικὰ πάντα· κατὰ γὰρ τὰ συμβεβηκότα μόνα ἡ σύγκρισις, ᾗ καὶ τὸ μᾶλλόν τε καὶ ἧττόν ἐστί τινος 〈οὔτε〉 γένος οὔτε ὁρισμὸς οὔτε [τὸ] ἴδιον, ἀλλὰ τῶν συμβεβηκότων μόνων τὸ τοιοῦτον πάθος. τούτων γὰρ ποτὲ μὲν ζητεῖται εἰ ὑπάρχει ἢ μὴ ὑπάρχει τί τινι, ὡς ὅταν ζητῶμεν εἰ ὁ πλοῦτος ἀγαθὸν ἢ οὔ, εἰ ἡ ἐγκράτεια ἀρετὴ ἢ οὔ, τὰ δὲ ποτέρῳ μᾶλλον ὑπάρχει τῶνδέ τινων, οἷον τὸ ἀγαθὸν ὑγείᾳ ἢ πλούτῳ, καὶ τὸ ἡδέως ζῆν ποτέρῳ μᾶλλον, τῷ κατ' ἀρετὴν βίῳ ἢ τῷ ἀπολαυστικῷ· ἐν γὰρ τῷ τοιούτῳ, ποτέρῳ μᾶλλον ὑπάρχει τὸ προκείμενον, ὅ ἐστι συμβεβηκός, ἡ ζήτησις γίνεται.

in Top.52 τὸ δὲ ὁπωσοῦν πρόσκειται ἤτοι ἀντὶ τοῦ 'καθ' ὃ ἂν ἡ σύγκρισις γίνηται', ὡς καὶ αὐτὸς διὰ τῶν παραδειγμάτων ἐνδείκνυται, ἢ ἐπεὶ ἡ σύγκρισις κατὰ πλείους γίνεται τρόπους, ἢ γὰρ ποτέρῳ μᾶλλον τῶν ὑποκειμένων τὸ κατηγορούμενον, ὡς ἐπὶ τοῦ 'πότερον ὁ πλοῦτος ἢ ἡ ὑγεία αἱρετώτερον;', ἢ πότερον μᾶλλον τῷ ὑποκειμένῳ ὑπάρχει, οἷον τῇ ὑγείᾳ τὸ ἡδὺ ἢ τὸ χρήσιμον, ποτὲ δὲ πότερον τῷδε τόδε ἢ τῷδε τόδε, οἷον πότερον τῇ ὑγείᾳ μᾶλλον ὑπάρχει τὸ ἀγαθὸν ἢ τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νόσῳ τὸ κακόν· ὅπως γὰρ ἂν αἱ συγκρίσεις γίνωνται, ἀπὸ τοῦ συμβεβηκότος λέγονται. καὶ κατὰ τὸ μᾶλλον δὲ γίνεται καὶ κατὰ τὸ ἧττον καὶ κατὰ τὸ ὁμοίως ἡ σύγκρισις· συγκριτικὰ γὰρ καὶ τὰ τοιαῦτα· εἰ ἡ ὑγεία μᾶλλον πλούτου οὖσα αἱρετὴ μή ἐστι δι' αὑτὴν αἱρετή, οὐδὲ ὁ πλοῦτος· καὶ εἰ ἡ ἡδονὴ μᾶλλον οὖσα ἀγαθὸν ἢ τέλος μή ἐστιν ἀγαθόν, οὐδ' ἂν τέλος εἴη· καὶ πάλιν εἰ ὁ πλοῦτος ἧττον ὑγείας ὢν ἀγαθὸν ἀγαθόν ἐστι, καὶ ἡ ὑγεία· καὶ εἰ ἡ ὑγεία ἧττον οὖσα ἀγαθὸν τοῖς ἐν εἰρήνῃ οὖσιν ἢ τοῖς πολεμοῦσιν ἀγαθόν ἐστι τούτοις, κἀκείνοις. τοιαῦται δὲ αἱ κατὰ τὸ ὅμοιον συγκρίσεις, ἢ ἑνὸς περὶ δύο ἢ δύο περὶ ἑνὸς ἢ δύο περὶ δύο λεγομένων, ὡς αὐτὸς ἐν τοῖς συγκριτικοῖς τόποις μνημονεύει. δύναται τὸ ὁπωσοῦν καὶ κατὰ τοῦτο προσκεῖσθαι, ὅτι καὶ τὰ συμβουλῆς ἐχόμενα προβλήματα καὶ αὐτὰ συγκριτικά πώς ἐστι· διὸ καὶ ὑπάγοιτο ἂν τοῖς ἀπὸ τοῦ συμβεβηκότος. τὸ γὰρ 'πότερον γαμητέον ἢ οὔ;' καὶ τὸ 'πότερον παῖδας ποιητέον ἢ οὔ;' συγκριτικὰ καὶ αὐτά· ζητεῖται γὰρ ἐν αὐτοῖς πότερον αἱρετώτερον τῶν ἐν τῷ προβλήματι. ἢ γὰρ τοῦτό ἐστι ζητούμενον, 〈ἢ〉 εἰ αἱρετόν ἐστι τὸ γαμεῖν ἢ τὸ παῖδας ἔχειν ἢ ὅ τι ἂν ᾖ ἐν τῷ προβλήματι κείμενον. τὸ δὲ τοιοῦτον πᾶν συμβεβηκός· ζητεῖται γὰρ εἰ συμβέβηκε τῷ ὑποκειμένῳ τὸ αἱρετόν· ὥστε ὑπάγοιτ' ἂν καὶ τὰ τοιαῦτα τῷ συμβεβηκότι. εἰσὶ δὲ οἳ λέγουσι τὰ τοιαῦτα προβλήματα ἀπὸ γένους εἶναι· ζητεῖσθαι γὰρ ἐν αὐτοῖς εἰ τὸ αἱρετὸν γένος. καίτοι οὐ ζητεῖται εἰ ἐν τῷ τί ἐστι κατηγορεῖται αὐτῶν τὸ αἱρετόν, ἀλλ' εἰ μόνον ὑπάρχει αὐτοῖς· καὶ οἱ ἀνασκευάζοντες οὐχ ὅτι μὴ γένος ἐστὶ δεικνύουσι, τὸ ἀγαθὸν φέρε εἰπεῖν τῆς ἡδονῆς, ἀλλ' ὅτι μὴ ὑπάρχει αὐτῇ. δεῖ δὲ ἐν τοῖς ἀπὸ τοῦ γένους προβλήμασι προσκεῖσθαι τὸ γένος, οἷον πότερον τόδε τοῦδε γένος ἢ οὔ· τὰ γὰρ χωρὶς τῶν τοιούτων προσθηκῶν προτεινόμενα ὡς συμβεβηκότα προτείνεται.

in Top.53 ζητεῖται δὲ καὶ περὶ τῶν τοιούτων προβλημάτων ὑπὸ τί δεῖ τάσσειν αὐτά, εἰ θεοί εἰσιν, εἰ ψυχή ἐστι. καὶ τινὲς μὲν λέγουσι γενικὰ εἶναι πάντα τὰ τοιαῦτα· ζητεῖσθαι γὰρ ἐν αὐτοῖς εἰ τὸ προκείμενον ἐν γένει τῷ ὄντι ἐστίν. ἢ εἴη ἂν ὑπὸ τὸ συμβεβηκὸς καὶ ταῦτα· καὶ γὰρ οἷς οὐ δοκεῖ γένος τὸ ὂν εἶναι, ὅμως ζητοῦσιν οἱ τὰ τοιαῦτα ζητοῦντες εἰ συμβέβηκεν αὐτοῖς εἶναι ἢ τὸ ἐν τοῖς οὖσιν εἶναι. περὶ γὰρ ὑπάρξεως ἁπλῆς ἡ ζήτησις καὶ ἐπὶ τούτων, οὐ περὶ τρόπου ὑπάρξεως· ἡ δὲ περὶ ἁπλῆς ὑπάρξεως ζήτησις διὰ τοῦ συμβεβηκότος. καὶ οὐδὲ πρόσκειται τῷ προβλήματι τὸ εἰ ὡς ἐν γένει οἱ θεοὶ τῷ ὄντι. p. 102b20 Δῆλον δὲ ἐξ αὐτῶν ὅτι τὸ συμβεβηκὸς οὐδὲν κωλύει καὶ ποτὲ καὶ πρός τι ἴδιον γίνεσθα ι . Ἐξ αὐτῶν τῶν συμβεβηκότων καὶ τοῦ ὁρισμοῦ αὐτῶν δῆλόν φησιν εἶναι τὸ εἰρημένον. εἰ γὰρ συμβεβηκός ἐστιν ὃ οἷόν τε ὑπάρχειν ἑνὶ τῷ αὐτῷ καὶ μὴ ὑπάρχειν, δῆλον ὡς ἐνδέχεται τὸ πλείοσιν οἷόν τε ὂν ὑπάρχειν ἑνὶ μόνῳ αὐτῶν ὑπάρξαι ποτέ· τὸ γὰρ καθέζεσθαι, συμβεβηκὸς ὂν τουδί, ποτὲ δύναται αὐτοῦ ἴδιον γενέσθαι, ὅταν μηδεὶς ἄλλος ᾖ καθεζόμενος, ἢ πρός τι · πρὸς γὰρ τοὺς μὴ καθεζομένους. ἁπλῶς μέντοι οὐδὲν τῶν οὕτω συμβεβηκότων ἴδιον. προεῖπε δὲ καὶ περὶ τούτου τοῦ κατὰ συμβεβηκὸς ἰδίου λέγων ὅτι "οὐδεὶς ἴδιον λέγει τὸ ἐνδεχόμενον ἄλλῳ ὑπάρχειν·" εἰ γὰρ καὶ λέγοιτό τι τῶν τοιούτων ἴδιον, οὐχ ἁπλῶς ἀλλὰ ποτὲ ἢ πρός τι ἴδιον ῥηθήσεται. p. 102b27 Μὴ λανθανέτω δὲ ἡμᾶς ὅτι τὰ πρὸς τὸ γένος καὶ τὸ ἴδιον καὶ τὸ συμβεβηκὸς πάντα καὶ πρὸς τοὺς ὁρισμοὺς ἁρμόσει λέγεσθα ι . Διαίρεσιν ποιησάμενος τῶν προβλημάτων καὶ δείξας ὅτι ἐστὶν αὐτῶν γένη τέσσαρα, καὶ τί ἐστιν ἕκαστον αὐτῶν δηλώσας, καὶ τίς ἐστιν αὐτῶν ἡ πρὸς ἄλληλα διαφορά, μὴ λανθανέτ ω , φησίν, ἡμᾶς ὅτι τὰ πρὸς τὸ γένος καὶ τὰ πρὸς τὸ ἴδιον καὶ τὰ πρὸς τὸ συμβεβηκὸς λεγόμενα, τοῦτ' ἔστι δι' ὧν οἷόν τε εὑρίσκειν τε καὶ δεικνύναι ὅτι μὴ ἴδιον τὸ ἀποδιδόμενον, ὁμοίως δὲ καὶ ὅτι μὴ γένος ἢ ὅτι μὴ συμβεβηκός, πάντα καὶ πρὸς τοὺς ὁρισμοὺς ἁρμόσει λέγεσθαι · δι' ὧν γὰρ ἕκαστον τούτων ἀναιρεῖται, δι' αὐτῶν τούτων ἔστι καὶ τὸν ὁρισμὸν ἀνελεῖν.

in Top.54 ἀναιρεῖται γὰρ τὸ μὲν συμβεβηκός, ἂν δειχθῇ μὴ ὑπάρχον τῷ πράγματι· τὸ γὰρ μὴ ὑπάρχον τινὶ οὐχ οἷόν τε αὐτῷ συμβεβηκέναι. τὸ δὲ γένος ἀναιρεῖται μέν, εἰ καὶ μὴ ὑπάρχει, ἀλλὰ οἰκεία τοῦ γένους ἀναίρεσις, ἂν μὴ ἐν τῇ οὐσίᾳ καὶ ἐν τῷ τί ἐστι κατηγορῆται. τὸ δὲ ἴδιον, κἂν μὴ ὑπάρχῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέν, ἀναιρεῖται, ἀλλὰ οἰκείως γε, ἂν μὴ μόνῳ καὶ παντὶ ὑπάρχῃ· τὸ γὰρ μὴ οὕτως ὑπάρχον οὐκ ἴδιον. δι' ἑκάστου δὲ τούτων ἀνασκευάζειν οἷόν τε καὶ τὸν ὁρισμόν· ἄν τε γὰρ μὴ ὑπάρχῃ τῷ πράγματι ὁ ἀποδιδόμενος αὐτοῦ λόγος, οὐκ ἂν εἴη αὐτοῦ ὁρισμός, ἄν τε ὑπάρχῃ μέν, μὴ ἐν τῇ οὐσίᾳ δὲ αὐτοῦ ὑπάρχῃ μηδὲ ᾖ γένος τοῦ πράγματος τὸ ἐν τῷ ὁρισμῷ ἀποδιδόμενον ἢ διαφορά, οὐκ ἔσται ὁρισμός· ἀλλὰ κἂν γένος μὲν αὐτοῦ τὸ ἐν τῷ ὁρισμῷ ἀποδιδόμενον ᾖ καὶ διαφορά, μὴ μόνῳ δὲ αὐτῷ καὶ παντὶ ὁ λόγος ὑπάρχῃ, οὐκ ἔσται ὁρισμός. δεῖ γὰρ τὸν ὁρισμὸν καὶ ἐνυπάρχειν τῷ πράγματι οὗ ἀποδίδοται, καὶ τὸ ὡς γένος ἐν τῷ ὁρισμῷ ἀποδιδόμενον καὶ τὰς διαφορὰς γένος τε εἶναι τοῦ πράγματος καὶ διαφορὰς καὶ μόνῳ καὶ παντὶ ὑπάρχειν αὐτῷ τούτῳ οὗ ἀποδίδοται, καὶ παρὰ ταῦτα ἔτι τὸ τί ἦν εἶναι καὶ τὴν οὐσίαν σημαίνειν αὐτοῦ· τοῦτο γὰρ ἴδιόν τέ ἐστιν αὐτοῦ καὶ ἐξαίρετον παρὰ τὰ ἄλλα. τούτου δ' οὕτως ἔχοντος ἅπαντα ἂν εἴη τὰ κατηριθμημένα γένη τρόπον τινὰ ὁρικὰ κατὰ τὸν ἔμπροσθεν ἀποδοθέντα λόγον · ἐρρήθη γὰρ πρὸ ὀλίγου ὅτι “ἁπλῶς ὁρικὰ πάντα λεγέσθω τὰ ὑπὸ τὴν αὐτὴν μέθοδον ὄντα τοῖς ὁρισμοῖς”. ὡς γὰρ ἡ περὶ ταὐτοῦ ζήτησις ὁρικὴ ἦν κατὰ τοῦτο (δείξαντες γὰρ ὅτι μὴ ταὐτόν, δεδειχότες ἂν εἴημεν ὅτι οὐδὲ ὅρος), οὕτως καὶ πάντα τὰ προβλήματα ὁρικὰ ἂν εἴη· τῇ γὰρ ἑκάστου αὐτῶν ἀναιρέσει ἀναιρεῖται καὶ ὁ ὁρισμός, ὥστε κατὰ τοῦτο ὑπὸ τὴν αὐτὴν ἂν εἴη καὶ ταῦτα μέθοδον τοῖς ὁρισμοῖς. Τοῦτο δ' εἰπὼν καὶ δείξας πῶς τρόπον τινὰ ἔστι λέγειν πάντα τὰ προβλήματα ὁρικά, ἐπήνεγκεν ἀλ λ ' οὐ διὰ τοῦτο μίαν ἐπὶ πάντων καθόλου μέθοδον ζητητέο ν . οὐ γάρ, εἰ χρήσιμα τὰ ἐκείνων ἀνασκευαστικὰ καὶ πρὸς τὴν τῶν ὁρισμῶν ἀνασκευήν, ἤδη χρὴ κἀκεῖνα συντάσσειν τοῖς ὁρικοῖς ὁρικὰ λέγοντας αὐτά· οὔτε γὰρ ῥᾴδιον εὑρεῖν τοῦ τ ' ἔστι ν , εἴ θ ' εὑρεθεί η , παντελῶς ἀσαφὴς καὶ δύσχρηστος ἂν εἴη πρὸς τὴν προκειμένην πραγματεία ν .

in Top.55 ἔστι δὲ ὃ λέγει, ὅτι μὴ δεῖ μίαν τινὰ καθόλου μέθοδον περὶ πάντων ζητεῖν, ὡς λέγειν πάντα τὰ προβλήματα ὁρικὰ καὶ ὡς ὁρικῶν αὐτῶν τάς τε ἀνασκευὰς καὶ κατασκευὰς ποιεῖσθαι, ὡς τῶν πρὸς τὸν ὁρισμὸν τόπων δυναμένων πρὸς πάντα ἁρμόζειν· οὔτε γὰρ ῥᾴδιον τοῦτο οὔτε δυνατόν. οὐδὲ γάρ, εἰ αἱ ἀνασκευαὶ τῶν ἄλλων ἀνασκευάζουσι τὸν ὁρισμόν, ἤδη καὶ αἱ κατασκευαὶ αὐτῶν πρὸς τὴν τοῦ ὁρισμοῦ κατασκευὴν χρήσιμοι. ὁ γὰρ κατασκευάζων συμβεβηκὸς εἶναι τὸ ἀποδιδόμενον διὰ τοῦ δεικνύναι οἷόν τε αὐτὸ ὑπάρχειν καὶ μὴ ὑπάρχειν τῷ πράγματι ἔστι μὲν ὑπὸ τὸ συμβεβηκός, οὐ μόνον δὲ οὐ συντελεῖ τι πρὸς τὴν τοῦ ὁρισμοῦ δεῖξιν, ἀλλὰ καὶ ἀναιρετικός ἐστιν αὐτοῦ· οὐ γὰρ ὁ αὐτὸς τρόπος τῆς τε τοῦ συμβεβηκότος ὑπάρξεως καὶ τῆς τοῦ ὁρισμοῦ. ἔτι δὲ οὐδὲ πᾶσα συμβεβηκότος ἀνασκευὴ ἀναιρεῖ τὸν ὅρον· ὁ γὰρ δείξας ὡς ἴδιον τὸ ὑπάρχον τινὶ ἀνῄρηκε μὲν τὸ συμβεβηκός, οὐκ ἀνῄρηκε δὲ τὸν ὅρον. ὥστε οὐκ ἀληθὲς πάντα καὶ πρὸς τοὺς ὁρισμοὺς ἁρμόζειν. ἀλλὰ καὶ ὁ δείξας ὅτι ἐν τῷ τί ἐστι μὲν καὶ ἐν τῇ οὐσίᾳ κατηγορεῖται τοῦ πράγματος, ἐπ' ἴσης δὲ ἀλλ' οὐ κατὰ πλειόνων, ἀνῄρηκε μὲν τὸ γένος, οὐκ ἀνῄρηκε δὲ τὸν ὁρισμόν· ἀλλὰ καὶ ὁ δείξας τὸ ἐπ' ἴσης κατηγορούμενον τὴν οὐσίαν σημαίνειν ἀναιρεῖ μὲν τὸ ἴδιον, κατασκευάζει δὲ τὸν ὁρισμόν. ὥστε οὐ μόνον τὰ πρὸς κατασκευὴν τῶν ἄλλων χρήσιμα πρὸς τοὺς ὅρους, ἀλλ' οὐδὲ τὰ πρὸς ἀνασκευὴν τούτων ῥηθέντα χρήσιμα πάντα πρὸς τὴν τοῦ ὁρισμοῦ ἀνασκευήν. διὰ μὲν οὖν ταῦτα οὔτε οἷόν τε ὁρικὰ πάντα λέγειν τὰ προβλήματα οὔτε μίαν τινὰ καθόλου μέθοδον περὶ αὐτῶν εὑρεῖν. καὶ Θεόφραστος δὲ ἐν τοῖς αὑτοῦ Τοπικοῖς καθόλου μίαν μέθοδον παραδιδόναι σπουδάσας ἐχώρισε μὲν τῶν ἄλλων τὸ συμβεβηκὸς ὡς μὴ ὑπαγόμενον τῷ ὅρῳ, τὰ ἄλλα δὲ πειραθεὶς τῷ ὁρισμῷ ὑποτάσσειν ἀσαφεστέραν ἐποίησε τὴν πραγματείαν. ἀλλὰ καὶ εἰ εὑρεθείη, φησί, μέθοδός τις μία, ἀλλὰ παντελῶς ἀσαφής τε καὶ δύσχρηστος ὁ τρόπος ἂν εἴη. ἢ γὰρ δεήσει τὸν δεῖξαι βουλόμενόν τι παρὰ τὸν ὁρισμὸν διὰ τούτων μόνων αὐτὸ δεικνύναι, ἃ δύναται καὶ εἰς τὴν τοῦ ὁρισμοῦ κατασκευὴν συντελεῖν, οἷον τὸν τὸ συμβεβηκὸς δεικνύντα δεικνύναι ὅτι ὑπάρχει, οὐκέτι δὲ καὶ ὅτι ἐνδέχεται καὶ ὑπάρχειν καὶ μὴ ὑπάρχειν ἔξω τοῦ ὁρισμοῦ τὰ οὕτως ὑπάρχοντα· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

in Top.56 δύσχρηστος δὴ καὶ ἀπεστενωμένη περὶ ἑκάστου ἡ ἐπιχείρησις γίνεται, καὶ ἔτι τὰ οἰκειότατα ἀφῄρηκε καὶ οἷς τῶν ἄλλων ἕκαστον αὐτῶν διαφέρει, ἐπειδὴ μὴ τὰ τοιαῦτα οἷόν τέ ἐστιν ὁρικὰ λέγειν. ἢ ἂν λέγοι τις πάντα μὲν ἐν τοῖς ὁρισμοῖς εἶναι, καὶ τὰ ἑκάστου τούτων ἀνασκευαστικὰ καὶ κατασκευαστικά, μὴ ὁμοίως μέντοι ἔχειν, ἀλλὰ τὰ μέν τινα τῶν τοῦ συμβεβηκότος ἀνασκευαστικῶν ἀνασκευαστικὰ εἶναι καὶ τοῦ ὅρου, ὡς τὸ μὴ ὑπάρχειν, τὰ δὲ ἔμπαλιν ἔχειν· ἀνασκευαστικὰ γὰρ ὄντα τοῦ συμβεβηκότος εἰς κατασκευὴν τοῦ ὅρου χρησιμεύει· τὸ γὰρ ὑπάρχον μέν, μὴ οὕτως δὲ ὡς οἷόν τε ὑπάρχειν τε καὶ μή, ἀναιρετικὸν μὲν τοῦ συμβεβηκότος, χρήσιμον δὲ πρὸς τὴν τοῦ ὅρου κατασκευήν· δεῖ γὰρ τὰ ἐν τῷ ὁρισμῷ μὴ οὕτως ὑπάρχειν ὡς δύνασθαι καὶ ὑπάρχειν καὶ μή. ὁμοίως καὶ ἐπὶ τοῦ γένους ὁ μὲν ἀνασκευάζων αὐτὸ διὰ τοῦ μὴ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι τῷ αὐτῷ καὶ τὸν ὁρισμὸν ἀνασκευάζει, ὁ δὲ διὰ τοῦ ἐν τῷ τί ἐστι κατηγορούμενον μὴ ἐπὶ πλέον αὐτοῦ εἶναι διὰ τούτων κατασκευάσει· αὐτὰ γάρ ἐστι κατασκευαστικὰ τοῦ ὁρισμοῦ· δεῖ γὰρ ἐπὶ τῶν ὁρισμῶν καὶ τοῦτο δείκνυσθαι, ὅτι μὴ ἐπὶ πλέον. καὶ ὁ τὸ ἴδιον δὲ ἀνασκευάζων διὰ τοῦ ἐπ’ ἴσης μὲν εἶναι σημαίνειν δὲ τὸ τί ἦν εἶναι ἄντικρυς τοῖς τοῦ ὁρισμοῦ κατασκευαστικοῖς χρῆται πρὸς ἀναίρεσιν τοῦ ἰδίου. ὡς δὲ τὰ τούτων ἀνασκευαστικὰ ὄντα αὐτοῦ ἦν κατασκευαστικά, οὕτως πάλιν καί τινα τῶν ἀνασκευαζόντων τὸν ὅρον πρὸς τὴν τούτων ἐστὶ κατασκευὴν χρήσιμα. ὁ γὰρ ἀναιρῶν τὸν ὅρον διὰ τοῦ οἷόν τε ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν κατασκευάσει διὰ τούτων τὸ συμβεβηκός· ὁμοίως καὶ ὁ ἀναιρῶν διὰ τοῦ ἐν τῷ τί ἐστι κατηγορούμενον ἐπὶ πλέον εἶναι τὸ γένος κατασκευάσει· καὶ ὁ διὰ τοῦ ἐπ’ ἴσης ὂν μὴ σημαίνειν τὸ τί ἦν εἶναι ἀνασκευάζων τὸν ὅρον τὸ ἴδιον κατασκευάζει. καὶ πάλιν ὁ κατασκευάζων ὅτι τὸ τί ἦν εἶναι σημαίνει ὁ ἀποδεδομένος λόγος καὶ διὰ τοῦτο ὁρισμός ἐστιν, ἀνασκευάζει τῶν ἄλλων ἕκαστον. ὁ δὴ τούτῳ τῷ τρόπῳ πειρώμενος πάντα μιᾷ μεθόδῳ ὑπάγειν ἀσαφῆ καὶ δύσχρηστον ἐνστήσεται πραγματείαν. ἐκείνως μὲν οὖν ἦν ἀδύνατον τὸ εὑρεῖν· οὕτως δὲ ἀσαφὴς καὶ δύσχρηστος εἴη ἂν ἡ μέθοδος, ὡς ἐδιδάξαμεν, εἰ καὶ εὑρεθείη.

in Top.57 εἰ δὲ ἰδίᾳ καθ’ ἕκαστον τῶν ἐκκειμένων τεσσάρων γενῶν ἀποδίδοιτό τις μέθοδος, ῥᾴων ἂν καὶ σαφεστέρα εἴη, ἐκ τῶν περὶ ἕκαστον οἰκείων γενομένη καὶ διακεκριμένη καὶ ἔχουσα ὅρον εὐσύνοπτον· εὐκολώτερον γὰρ καὶ σαφέστερον ἰδίᾳ περὶ τοῦ συμβεβηκότος λέγειν δι’ ὧν αὐτὸ κατασκευάζειν ἢ ἀνασκευάζειν οἷόν τε, ἢ ὡς πρὸς τὸν ὁρισμὸν ἐπιχειροῦντας λέγειν ‘ταῦτα μὲν τῶν περὶ τοῦ ὁρισμοῦ λεγομένων κατασκευαστικὰ τοῦ συμβεβηκότος ἐστί, ταῦτα δὲ ἀνασκευαστικά‘· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. διό φησιν ‘ὥσπερ εἴρηται, καθόλου μὲν εἰς τὰ προειρημένα γένη τέσσαρα τὴν διαίρεσιν ποιητέον (τὸ γὰρ τύπῳ τοῦ καθόλου δηλωτικόν), τῶν δὲ ἄλλων τὰ μάλιστα οἰκεῖα ἑκάστῳ προσαπτέον τε καὶ ὑπακτέον, τῷ μὲν ὅρῳ τὴν τῶν σαφεστέρων ὀνομάτων ἐκ τῶν ἀσαφεστέρων μετάληψιν καὶ τὴν περὶ ταὐτοῦ ζήτησιν, τῷ δὲ γένει τὰ ἀπὸ τῶν διαφορῶν, καὶ τῷ ἰδίῳ τὰ ποτὲ καὶ πρός τι ἴδια, τῷ δὲ συμβεβηκότι τὰ συγκριτικά‘. p. 103a6 Πρῶτον δὲ πάντων περὶ ταὐτοῦ διοριστέο ν , ποσαχῶς λέγετα ι . Ποιησάμενος τὴν διαίρεσιν τῶν γενῶν, ἐν οἷς τὰ προβλήματα καὶ αἱ προτάσεις, μέλλων δεικνύναι ὅτι ταῦτα μόνα γένη τῶν προβλημάτων, καὶ ἐπὶ τούτοις ἐν τίσιν ἐστὶ τὰ γένη τῶν προβλημάτων ταῦτα, καὶ τὰ ἄλλα ὅσα χρήσιμα ὄντα τοῖς προκειμένοις διὰ τῶν ἑξῆς προστίθησι, πρῶτόν φησι τῶν ἄλλων δεῖν περὶ ταὐτοῦ διορίσασθαι, ποσαχῶς λέγετα ι . ἐπεὶ γὰρ τά τε ἄλλα χρήσιμος πρὸς πολλὰ τῶν κατὰ διαλεκτικὴν ἡ τοῦ ταὐτοῦ διαίρεσις, προείρηκε δὲ καὶ ὅτι καὶ προβλήματά τινά ἐστιν ἔχοντα ζήτησιν περὶ ταὐτοῦ, ἃ ὑπάγεσθαι δεῖν εἶπε τοῖς ὁρικοῖς προβλήμασιν, οὐχ οἷόν τε δὲ ζητεῖν ὅλως εἰ ἄλλῳ ἄλλο ταὐτόν ἐστιν ἢ ἕτερον ἀγνοοῦντας τὴν τοῦ ταὐτοῦ διαίρεσιν, εὐλόγως, 〈ὡσ〉 τὰ γένη τῶν προβλημάτων ὡρίσατο ὑπὲρ τοῦ δῆλα εἶναι τὰ κατ’ αὐτὰ προβλήματα, οὕτω καὶ τὴν τοῦ ταὐτοῦ διαίρεσιν ποιεῖται πρὸς τὸ γνώριμα γενέσθαι τὰ περὶ ταὐτοῦ προβλήματα· οὐχ οἷόν τε γὰρ διαλέγεσθαι περὶ ταὐτοῦ μὴ εἰδότας ποσαχῶς λέγεται. p.

in Top.58 103a7 Δόξειε δ ’ ἂν τὸ ταὐτὸν ὡς τύπῳ περιλαβεῖν τριχῇ διαιρεῖσθα ι . Τὸ μὲν ὡς τύπῳ εἰπεῖν εἶπεν ἀντὶ τοῦ ‘ὡς κοινότερον καὶ καθόλου εἰπεῖν‘· ἐν ἄλλοις γὰρ εἴωθε πρὸς τοῖς τρισὶν οἷς νῦν ἐκτίθεται [σημαινομένοις] τρόποις τοῦ ταὐτοῦ καὶ τέταρτόν τινα προστιθέναι, τὸν κατὰ ἀναλογίαν, πορρώτερον ὄντα τῶν ἐνταῦθα νῦν λεγομένων. εἰς οὓς δὲ νῦν διαιρεῖ τὸ ταὐτὸν καὶ οἷς συνήθως χρῆται, εἰσὶ τρεῖς· ταὐτὸν γὰρ τὸ μὲν κατ’ ἀριθμὸν λέγεται, τὸ δὲ κατ’ εἶδος, τὸ δὲ τῷ γένει. ἀριθμῷ μὲν οὖν ταὐτά ἐστιν ἀλλήλοις ὧν ὀνόματα πλείω, τὸ δὲ πρᾶγμα τὸ ὑπ’ αὐτῶν σημαινόμενον ἕν, οἷά ἐστι τὰ πολυώνυμα· ἀριθμῷ γὰρ ἓν τὸ λώπιον καὶ ἱμάτιο ν , ὅτι τοῦ αὐτοῦ καὶ ἑνὸς κατ’ ἀριθμόν ἐστι δηλωτικά. κἂν λόγος δὲ κἂν ὄνομα ταὐτὸ σημαίνῃ, ἓν κατ’ ἀριθμὸν καὶ τοῦτο· κἂν λόγοι πλείους σημαίνωσι ταὐτό, καὶ ταῦτα ἀριθμῷ ταὐτά· τὸ γὰρ ἀριθμῷ τοῖς αὐτοῖς εἶναί ἐστι τούτοις τοῖς ὀνόμασιν ἢ λόγοις τὸ τῶν αὐτῶν εἶναι σημαντικοῖς. εἴδει δὲ ταὐτά ἐστιν ὅσα κατ’ ἀριθμὸν ὄντα πλείω ἀδιάφορα κατὰ τὸ εἶδός ἐστι, τοῦτ’ ἔστιν ὑπὸ ἓν καὶ ταὐτόν ἐστιν εἶδος, ὡς Σωκράτης καὶ Πλάτων (εἴδει γὰρ οἱ αὐτοί) καὶ ἵπποι Ξάνθος καὶ Πόδαργος. γένει δὲ τὰ αὐτὰ ὧν ταὐτόν ἐστι γένος· οὕτως ἄνθρωπος ἵππῳ ὁ αὐτός· γένος γὰρ τούτων ταὐτόν, τὸ ζῷον. τὰ μὲν οὖν ταὐτὰ τῷ εἴδει πάντως καὶ τῷ γένει ταὐτά ἐστιν, οὐ μήν, ὅσα τῷ γένει ταὐτά, ἤδη καὶ τῷ εἴδει· Σωκράτης μὲν γὰρ Πλάτωνι εἴδει ὁ αὐτὸς ὤν (ἄνθρωπος γὰρ τὸ εἶδος αὐτῶν) καὶ τῷ γένει ἐστὶν ὁ αὐτὸς αὐτῷ· ὁ γὰρ ἄνθρωπος καὶ ζῷον· ἄνθρωπος δὲ καὶ ἵππος τῷ μὲν γένει οἱ αὐτοί (ζῷα γάρ), κατὰ δὲ τὸ εἶδος ἕτεροι· ἄλλο γὰρ εἶδος ἵππος καὶ ἄλλο ἄνθρωπος. κατὰ ἀναλογίαν δὲ λέγει ταὐτὰ ἀλλήλοις ἐν ἄλλοις ὅσα κατὰ γένος διαφέροντα ἐν λόγῳ τὴν ὁμοιότητα ἔχει· διὸ πορρωτέρω οὗτος ὁ τρόπος τοῦ ταὐτοῦ τῶν ἐνταῦθα λεγομένων. κατὰ ἀναλογίαν δὲ ταὐτὰ καρδία, πηγή, μονάς, ὅτι, ὡς ἔχει πηγὴ πρὸς ποταμόν, οὕτω καὶ μονὰς μὲν ἐν ἀριθμῷ, καρδία δὲ ἐν ζῴῳ· ἀρχαὶ γὰρ τῶν ἐν οἷς εἰσι πάντα.

in Top.59 πάλιν ὄψις καὶ νοῦς κατὰ ἀναλογίαν τὰ αὐτά· ὃν γὰρ λόγον ἔχει ὄψις ἐν ὀφθαλμῷ, τοῦτον νοῦς ἐν ψυχῇ. οὕτως καὶ γαλήνη νηνεμίᾳ ἡ αὐτή· ὃ γὰρ γαλήνη ἐν θαλάσσῃ, τοῦτο νηνεμία ἐν ἀέρι· ἡσυχία γὰρ ἄμφω. ποιησάμενος δὲ τὴν διαίρεσιν τοῦ ταὐτοῦ ζητεῖ, εἰ τὸ ἀπὸ τῆς αὐτῆς κρήνης ὕδωρ ἄλλο καὶ ἄλλο κατ’ ἀριθμὸν λαμβανόμενον, ἢ εἰ ταὐτόν ἐστι κατά τινα τῶν προειρημένων. ἢ ἄλλος τις οὗτος ταὐτοῦ τρόπος παρὰ τοὺς εἰρημένους τρεῖς. ἀριθμῷ μὲν γὰρ οὐκ ἔστι ταὐτά· κεχώρισται γὰρ ἀπ’ ἀλλήλων. ἀλλ’ οὐδὲ εἴδει πάλιν ἁπλῶς δόξαιεν ἂν εἶναι ταὐτά· εἴδει γὰρ ταὐτὸν καὶ τὸ ἀπὸ διαφόρων κρηνῶν καὶ τὸ ἀπὸ ποταμοῦ καὶ πηγῆς καὶ λίμνης· καθόλου γὰρ πᾶν ὕδωρ παντὶ ὕδατι ὁμοειδές, καὶ μάλιστα, εἰ ἔτι τῆς αὐτῆς ποιότητος εἴη, οἷον γλυκὺ γλυκεῖ. τὸ δὲ ἀπὸ τῆς αὐτῆς κρήνης πλεῖόν τι δοκεῖ ἔχειν τῆς κατὰ τὸ εἶδος ὁμοιότητος καὶ εἶναι μεταξὺ τοῦ τε ἀριθμῷ ταὐτοῦ καὶ τοῦ τῷ εἴδει. οὐ μὴν ἀλλὰ καὶ τὰ οὕτως ταὐτὰ τῷ εἴδει ταὐτά φησιν εἶναι· οὐδὲν γὰρ ἄλλο αὐτοῖς ὑπάρχει ἢ ἡ κατὰ τὸ εἶδος ταὐτότης ἐπιτεταμένη τε καὶ σφοδροτέρα. ὡς ἔχει καὶ ἐπὶ τῶν διδύμων· καὶ γὰρ Κάστωρ καὶ Πολυδεύκης οἱ αὐτοὶ τῷ εἴδει· παρηλλαγμένη γὰρ ἡ τούτων κατὰ τὸ εἶδος τῆς τῶν ἄλλων ὁμοιότητος ἀνθρώπων πρὸς ἀλλήλους, οὐ μὴν ἡ τῆς ὁμοιότητος ἐπίτασις ἓν αὐτοὺς ἐποίησε κατ’ ἀριθμόν. τὸ δὲ διὰ τὸ ἔχειν τινὰ ὁμοιότητα ἐπὶ τοῦ ὕδατος εἶπεν ἀντὶ τοῦ ‘διὰ τὸ τὸν αὐτὸν εἶναι λόγον τὸν καθ’ ὃ ὕδωρ‘· τοιαῦτα γὰρ τὰ ὁμοειδῆ. p. 103a23 Μάλιστα δὲ ὁμολογουμένως τὸ ἓν ἀριθμῷ ταὐτὸν παρὰ πᾶσι δοκεῖ λέγεσθα ι . Δείξας τὴν τοῦ ταὐτοῦ διαίρεσιν μάλιστά φησιν ὑπὸ πάντων συγχωρεῖσθαι τὸ τὰ τῷ ἀριθμῷ ἓν ταὐτὰ εἶναι. ἐπὶ μὲν γὰρ τῶν κατ’ εἶδος ἢ γένος ταὐτῶν οὐκ εὐθέως. ἡ ταὐτότης προσπίπτει, ἀλλὰ δεῖ λόγου πρὸς τὸ συγχωρῆσαί τινα τὰ τοιαῦτα ταὐτὰ ἀλλήλοις εἶναι· οὔτε γὰρ Σωκράτην Πλάτωνι ἁπλῶς ἄν τις συγχωρήσειε τὸν αὐτὸν εἶναι, ἐπεὶ δῆλοί εἰσι καὶ διαφέροντες ἀλλήλων, οὔτε ἔτι μᾶλλον ἄνθρωπον ἵππῳ.

in Top.60 τὸ δέ γε κατ’ ἀριθμὸν ἓν ὁμολογεῖται ὑπὸ πάντων ταὐτὸν εἶναι. καὶ τοῦτο δέ φησι τὸ κατ’ ἀριθμὸν ἓν πλεοναχῶς λέγεσθαι, κυριώτατα μὲν καὶ πρώτω ς , ὅταν ἢ ἀντὶ ὀνόματος ὄνομα ληφθῇ τοῦ αὐτοῦ σημαντικόν (εἰς γὰρ ταὐτὸν ἡ μετάληψις καὶ ἐνταῦθα κατ’ ἀριθμόν) ἢ ἀντὶ

ὀνόματος ὅρος· τοῦ γὰρ αὐτοῦ κατ' ἀριθμὸν ταῦτα ὄντα δηλωτικὰ ταὐτὰ κατ' ἀριθμὸν διὰ τοῦτο λέγεται ἀλλήλοις· ἐπεὶ αὐτά γε τὰ ὀνόματα καθ' αὑτὰ οὐ ταὐτὰ κατ' ἀριθμόν, ἀλλὰ τό τε ὑπὸ τοῦ ὀνόματος καὶ τὸ ὑπὸ τοῦ ὁρισμοῦ σημαινόμενον, εἰκότως· ὁ 〈γὰρ〉 δείξας ὅτι μὴ ταὐτόν, ἔδειξεν ὅτι οὐδὲ ὁρισμός. ἔστι μὲν οὖν, ὡς ἐπιφέρει, καὶ τὸ ἴδιον τῷ ὀνόματι ταὐτὸν κατ' ἀριθμὸν δηλοῦν· ἀλλ' ἐπεὶ κυριώτερον καὶ πρῶτον ὡς εἰπεῖν ὁ ὁρισμός, εἰκότως τῷ ὁρισμῷ ὑπέταξε τὰ περὶ ταὐτοῦ προβλήματα ἀλλ' οὐ τῷ ἰδίῳ. μᾶλλον γὰρ ὁ ὁρισμὸς τὸ πρᾶγμα δηλοῖ καὶ φανερώτερον 〈ἢ〉 καὶ τὸ κύριον ὄνομα· οὐχ οὕτως δὲ τὸ ἴδιον· διὸ δευτέρως τὸ ταὐτὸν ἔχει τὸ ὄνομα καὶ τὸ ἴδιον. δευτέρως γὰρ κατ' ἀριθμὸν ταὐτὰ τό τε ὄνομα καὶ τὸ ἴδιον τοῦ πράγματος οὗ τὸ ὄνομα· ἀνθρώπῳ γὰρ ταὐτὸν κατ' ἀριθμὸν τὸ ζῷον γελαστικόν, ὅτι ἓν κατ' ἀριθμὸν τὸ ὑπ' ἀμφοτέρων σημαινόμενον. οὐ δεῖ δὲ θαυμάζειν, εἰ ἓν ἀριθμῷ τὸν ἄνθρωπον εἶπε· καὶ γὰρ τὸ εἶδος αὐτὸ πρὸς αὑτὸ συγκρινόμενον, ὁμοίως δὲ καὶ τὸ γένος, ἓν κατ' ἀριθμὸν εἶναι δοκεῖ. εἰ γὰρ μὴ εἴη τὸ εἶδος ταὐτὸ τῷ ἀριθμῷ, εἴη ἂν τῷ εἴδει τὸ αὐτό· ἀλλὰ μὴν τὰ τῷ εἴδει ταὐτὰ πλείω κατ' ἀριθμόν, ὡς Σωκράτης, Πλάτων· αὐτὸ ἄρα ἑαυτοῦ ἔσται κεχωρισμένον. καὶ ἐπεὶ τὰ ὁμοειδῆ ὑπὸ τῆς αὐτῆς ὕλης χωρίζεται, ἔσται τὸ κοινὸν εἶδος, καθ' ὃ κοινόν, ἐν ἄλλῃ καὶ ἄλλῃ ὕλῃ· τὸ δὲ ἐν ὕλῃ ἄτομον· καὶ τὸ κοινὸν ἄρα ἄτομον ἔσται. ἐπὶ δέ γε τοῦ γένους τοῦτό τε ἀπαντήσεται καὶ τὸ ἕτερον τῷ εἴδει αὐτὸ αὑτοῦ εἶναι, εἴ γε τὰ τῷ γένει ταὐτὰ μόνῳ ἕτερα κατὰ τὸ εἶδός ἐστιν. ἢ εἰ τὸ εἶδος αὐτὸ καθ' αὑτὸ ἦν ἢ τὸ γένος, ἐλέγετο ἄν τι· εἰ δὲ ἐν ἄλλοις ἐστίν, ὡς τὰ ἐν οἷς ἐστιν ὁ ἄνθρωπος εἶδος ὢν ἢ τὸ ζῷον γένος ὂν ταὐτά ἐστιν ἀλλήλοις, οὕτως καὶ ταῦτα ἀλλήλοις ταὐτὰ ἔσται. ὡς γὰρ οἱ ἄνθρωποι ἀλλήλοις οἱ αὐτοί, οὕτως καὶ ὁ ἄνθρωπος αὐτὸς αὑτῷ ὡς γένος καὶ ὡς εἶδος· ἐν ἐκείνοις γὰρ τὸ εἶναι αὐτῷ.

in Top.61 ἓν οὖν λέγοι ἂν κατ' ἀριθμὸν σημαίνεσθαι ὑπό τε τοῦ ὁρισμοῦ καὶ τοῦ ἰδίου, οὐχ ὅτι ἓν κατ' ἀριθμὸν τὸ εἶδος ἢ τὸ γένος οὗ ὁ ὁρισμὸς ἢ τὸ ἴδιον, ἀλλ' ὅτι κατὰ τοῦ αὐτοῦ τῷ ἀριθμῷ τῶν ὑπὸ τὸ γένος ἢ τὸ εἶδος ὁμοίως ἐστὶν ἀμφότερα ἀληθῆ καὶ οὐκ ἄλλο κατὰ ἄλλου. τρίτον δέ φησιν ἀποδίδοσθαι τὸ ἓν κατ' ἀριθμὸν ἀπὸ τοῦ συμβεβηκότο ς . ὅταν γὰρ συμβεβηκός τινος ληφθῇ τι, ὃ τῷ μόνῳ τότε ὑπάρχειν ἴδιον αὐτοῦ γίνεται, τότε ἓν κατ' ἀριθμὸν τῷ ὀνόματι τοῦ πράγματος τὸ οὕτω συμβεβηκός, ὅτι ἑνὸς τοῦ αὐτοῦ κατ' ἀριθμὸν σημαντικόν ἐστιν. ὅτι δὲ τὸ συμβεβηκὸς ποτὲ οἷόν τε ἰδίου χώραν ἐπέχειν, καὶ πρότερον εἶπε καὶ νῦν πάλιν λέγει δι' ὧν δείκνυσιν, ὅτι πολλάκις ὡς τῷ κυρίῳ ὀνόματι ταὐτὸν σημαίνοντι χρώμεθα τῷ συμβεβηκότι, τὸν καθήμενον προστάσσοντες καλέσα ι , εἰ εἴη ἀγνοῶν αὐτοῦ τὸ ὄνομα ὁ προστασσόμενος. ὁσαχῶς δὲ τὸ ταὐτὸν λέγεται, τοσαυταχῶς ἂν καὶ τὸ ἕτερον λέγοιτο· ἢ γὰρ τῷ ἀριθμῷ, ὡς Σωκράτης Πλάτωνος, ἢ τῷ εἴδει, ὡς ἄνθρωπος ἵππου, ἢ τῷ γένει, ὡς ζῷον ἐπιστήμης. ἔμπαλιν δὲ ἔχοι ἂν ἐπί τε τῶν ταὐτῶν καὶ ἐπὶ τῶν ἑτέρων ἡ ἀκολουθία. ἐπὶ μὲν γὰρ τοῦ ταὐτοῦ τὰ τῷ ἀριθμῷ ταὐτὰ καὶ κατὰ τοὺς ἄλλους τρόπους τοῦ ταὐτοῦ ταὐτὰ ἀλλήλοις εἶναι ἀνάγκη· καὶ γὰρ εἴδει καὶ γένει ταὐτὸν τὸ τῷ ἀριθμῷ ταὐτόν· οὐ γὰρ δὴ ἕτερον τῷ εἴδει ἔσται 〈αὐτὸ〉 αὑτοῦ ἢ τῷ γένει· τὰ μέντοι τῷ εἴδει ταὐτὰ ἀριθμῷ μὲν οὐκ ἀνάγκη ταὐτὰ εἶναι, γένει δὲ ἀνάγκη· τὰ δὲ τῷ γένει ταὐτὰ οὔτε εἴδει οὔτε ἀριθμῷ ἀνάγκη ταὐτὰ εἶναι. ἐπὶ δὲ τῶν ἑτέρων τὰ μὲν τῷ γένει ἕτερα καὶ εἴδει καὶ ἀριθμῷ ἀνάγκη ἕτερα εἶναι, τὰ δὲ εἴδει ἕτερα γένει μὲν οὐκ ἀνάγκη, ἀριθμῷ δὲ ἀνάγκη· τὰ δὲ τῷ ἀριθμῷ ἕτερα οὔτε εἴδει οὔτε γένει ἀνάγκη ἕτερα εἶναι. p. 103b2 Ὅτι δὲ ἐκ τῶν πρότερον εἰρημένων οἱ λόγοι καὶ διὰ τούτων καὶ πρὸς ταῦτ α . Εἰπὼν ἐν τοῖς ἐπάνω τέσσαρα γένη εἶναι ἐν οἷς τά τε προβλήματα καὶ αἱ προτάσεις, ὅρον, ἴδιον, γένος, συμβεβηκός, καὶ τούτων τί ἐστιν ἕκαστον δείξας, καὶ πῶς ἀπ' αὐτῶν τά τε προβλήματα καὶ αἱ προτάσεις γίνονται, νῦν δείκνυσιν ὅτι μὴ πλείω οἷόν τε γένη εἶναι τῶν τε προβλημάτων καὶ τῶν προτάσεων, ἀλλ' ἀεὶ ἐκ τούτων τε καὶ περὶ τούτων οἱ λόγοι καὶ οἱ συλλογισμοί.

in Top.62 εἰπὼν δὲ 'ἐκ τούτων οἱ λόγοι', πῶς ἐκ τούτων ἐδήλωσεν ἐπενεγκὼν καὶ διὰ τούτων καὶ πρὸς ταῦτ α , διὰ τούτων μὲν λέγων τῶν προτάσεων, πρὸς ταῦτα δὲ τὰ προβλήματα· τῷ γὰρ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προβλήματα, περὶ ὧν οἱ λόγοι, καὶ τῷ τὰς προτάσεις, ἐξ ὧν οἱ λόγοι, ἐν τούτοις εἶναι τοῖς εἰρημένοις τέσσαρσι γένεσι, τούτῳ ἐκ τούτων οἱ λόγοι. τὴν δὲ δεῖξιν ποιεῖται διά τε ἐπαγωγῆς καὶ συλλογισμοῦ, αἳ μόναι κυρίως πίστεις ἐν λόγοις· καὶ γὰρ καὶ τὸ παράδειγμα πίστις ὂν καὶ αὐτὸ τῇ ἐπαγωγῇ συντάσσεται (λέγεται γὰρ ἐπαγωγὴ ῥητορική), καὶ τὸ ἐνθύμημα καὶ αὐτὸ πίστις ὂν τῷ συλλογισμῷ (ἔστι γὰρ καὶ τοῦτο ῥητορικὸς συλλογισμός), ἑκάτερον αὐτῶν ἀφῃρημένον τὸ τέλειον καὶ τὸ ἁπλῶς εἶναι τοιοῦτον ἐφ’ ᾧ ἐστι, διὰ τὴν εἰς τὸ ἔλαττον συστολήν, ὡς δῆλόν ἐστιν ἐκ τῶν περὶ αὐτῶν ἐν ἄλλοις εἰρημένων. Τί μὲν οὖν ἐστι συλλογισμός, εἴρηκε. περὶ δὲ ἐπαγωγῆς ὀλίγον προελθὼν ἐρεῖ, ἐπειδὴ τοῖς διαλεκτικοῖς οἰκεία καὶ ἡ δι’ ἐπαγωγῆς πίστις· τὸ γὰρ πιθανὸν ἔχει, οὗ μάλιστα ὁ διαλεκτικὸς στοχάζεται. ὅτι δὲ ταῦτα μόνα γένη τῶν προβλημάτων, δι’ ἐπαγωγῆς δεικνύοιτο ἄν, εἰ ἕκαστον πρόβλημα καὶ ἑκάστην πρότασιν προχειριζόμενοι ζητοίημεν ἀπὸ τίνος ἐστίν· οὐ γὰρ ἐν ἄλλῳ τινὶ εὑρεθεῖεν ἂν προβλήματι παρὰ τὰ προειρημένα. τὰ μὲν γὰρ τοιαῦτα προβλήματα ‘πότερον ὁ χρόνος κίνησίς ἐστιν οὐρανοῦ ἢ οὔ;‘ ὁρικόν· ζητεῖται γὰρ εἰ ὅρος τοῦ χρόνου ὁ ἀποδεδομένος λόγος· τὸ δὲ ‘πότερον τὸ ἀγαθὸν ἐν οὐσίᾳ ἢ οὔ;‘ γενικόν· ζητεῖται γὰρ εἰ τοῦ ἀγαθοῦ γένος ἡ οὐσία ἢ οὔ· τὸ δὲ ‘πότερον τῷ πυρὶ μόνῳ ἡ ἄνω κίνησις κατὰ φύσιν ἢ οὔ;‘ περὶ ἰδίου τὴν ζήτησιν ἔχει· τὸ δὲ ‘πότερον τὸ πῦρ ἄνω κινεῖται ἢ οὔ;‘ περὶ συμβεβηκότος· ζητεῖται γὰρ εἰ ὑπάρχει αὐτῷ τὸ κινεῖσθαι ἄνω. ὁμοίως δὲ τούτοις ἔστι καὶ πᾶν πρόβλημα λαμβάνοντας δεικνύναι ὑπό τι τούτων ὂν τῶν γενῶν. ὡς δὲ τὰ προβλήματα, καὶ αἱ προτάσεις· ἡ γὰρ διαφορὰ αὐτῶν, ὡς εἶπε, κατὰ μόνον τὸν τῆς ἐκφορᾶς τρόπον. καὶ ἡ μὲν δι’ ἐπαγωγῆς δεῖξις τοῦ μόνα εἶναι τὰ προειρημένα τέσσαρα γένη τῶν προβλημάτων τοιαύτη. ἐπιζητήσαι δ’ ἄν τις ὑπὸ τί γένος τῶν προβλημάτων ὑπαχθήσεται τὰ τοιαῦτα προβλήματα· ‘διὰ τί ἡ λίθος ἡ μαγνῆτις λεγομένη ἕλκει τὸν σίδηρον;‘ καὶ ‘τίς φύσις μαντικῶν ὑδάτων;‘· δοκεῖ γὰρ μηδενὶ τῶν κειμένων ὑπάγεσθαι ταῦτα.

in Top.63 ἢ οὐδὲ διαλεκτικὰ προβλήματα ταῦτα· περὶ δὲ τούτων ὁ λόγος, καὶ τούτων αἱ διαιρέσεις. τὰ γὰρ διαλεκτικὰ προβλήματα ἴσα καὶ τὰ αὐτὰ ταῖς προτάσεσιν· αὗται δὲ ἦσαν ἐρωτήσεις ἀντιφάσεως· καὶ τῶν τοιούτων προβλημάτων τε καὶ προτάσεων ἡ διαφορὰ κατὰ τὸν τρόπον. ὥσπερ οὖν οὐ διαλεκτικὴ ἐρώτησίς ἐστι ‘τί ἐστιν ἄνθρωπος;‘, οὕτως οὐδὲ διαλεκτικὸν πρόβλημα τὸ ‘τίς φύσις μαντικῶν ὑδάτων;‘. ἐπεὶ οὖν μηδὲ τὴν ἀρχὴν προτάσεις τὰ οὕτω λεγόμενα, διὰ τί τόδε ἢ τί ἐστι τόδε, οὐδ’ ἂν διαλεκτικὰ εἴη προβλήματα, ἀλλὰ ἔστι τὰ οὕτω προβαλλόμενα φυσικὰ προβλήματα, ὡς καὶ ἐν τῷ Περὶ προβλημάτων εἴρηκεν· ὧν γὰρ φυσικῶν ὄντων τὰ αἴτια ἀγνοεῖται, ταῦτα φυσικὰ προβλήματα. γίνεται μὲν οὖν καὶ διαλεκτικὰ προβλήματα περὶ φυσικῶν, ὡσπεροῦν καὶ περὶ ἠθικῶν τε καὶ λογικῶν, ἀλλὰ τὰ μὲν ἐκείνως ἔχοντα διαλεκτικά, τὰ δὲ οὕτως φυσικά. καὶ εἴη ἂν τὰ διαλεκτικὰ προβλήματα πάντα ἀναγόμενα εἰς τὴν ζήτησιν τοῦ τε ‘ὅτι ἔστι‘ καὶ τοῦ ‘εἰ ἔστιν‘, ἅ ἐστι δύο τῶν τεσσάρων, ὧν εἶπεν ἀρχόμενος τοῦ δευτέρου τῶν Ἀναλυτικῶν τῶν ὑστέρων· τὸ γὰρ ‘δι’ ὅ τι ἐστί‘ καὶ ‘τί ἐστιν‘ οὐ διαλεκτικὰ προβλήματα. Διὰ συλλογισμοῦ δὲ 〈τὸ〉 τοσαῦτα γένη τῶν προβλημάτων εἶναι ἤδη μὲν καὶ ἡμεῖς ἐφθάσαμεν ἑπόμενοι τοῖς δοκοῦσιν αὐτῷ δεδειχέναι. αὐτὸς δὲ ᾧ χρῆται συλλογισμῷ, τοιοῦτός ἐστιν. ἐπειδὴ ἐν παντὶ προβλήματι καὶ πάσῃ προτάσει ἐστί τι κατηγορούμενόν τινος καὶ ἀπὸ τῶν κατηγορουμένων αἵ τε διαφοραὶ καὶ τὰ εἴδη τῶν προτάσεων καὶ τῶν προβλημάτων (λέγοιτο δ’ ἂν τὸ αὐτὸ καὶ περὶ τῶν ὑποθετικῶν προτάσεων· καὶ γὰρ ἐν ἐκείναις τὸ ἑπόμενον, ὃ κατηγορουμένου χώραν ἔχει, τούτων τι ἔστι λαμβάνειν), ὅτι πᾶν τὸ κατηγορούμενόν τινος ἀνάγκη ἢ ἐπ’ ἴσης αὐτῷ λέγεσθαι (καὶ ἀντικατηγορεῖται ταῦτα ἀλλήλων) ἢ μὴ ἐπ’ ἴσης, ὧν τὸ μὲν ἀντικατηγορούμενον ἢ ὅρος ἢ ἴδιον, τὸ δὲ μὴ ἀντικατηγορούμενον ἢ ἐν τῇ οὐσίᾳ καὶ τῷ ὁρισμῷ τοῦ πράγματός ἐστιν ἢ οὔ. καὶ εἰ μὲν τῶν ἐν τῷ ὁρισμῷ, γένος ἢ διαφορὰ ἂν εἴη, εἰ δὲ

μὴ ἐν τῷ ὁρισμῷ, συμβεβηκὸς ἂν εἴη· τὸ γὰρ συμβεβηκὸς ἦν ὃ μήτε ὅρος μήτε ἴδιον μήτε γένος ὂν ὑπῆρχε τῷ πράγματι.

in Top.64 εἴη δ' ἂν ὁ συλλογισμὸς κατηγορικὸς ἐν πρώτῳ σχήματι ἐκ διαιρέσεως ἔχων οὕτως· πᾶν τὸ κατηγορούμενόν τινος ἢ ἐπ' ἴσης αὐτοῦ κατηγορεῖται ἢ οὔ, πᾶν τὸ ἐπ' ἴσης ἢ μὴ ἐπ' ἴσης τινὸς κατηγορούμενον κατηγορεῖται αὐτοῦ ἢ ὡς ὅρος ἢ ὡς ἴδιον ἢ ὡς γένος ἢ ὡς συμβεβηκός, πᾶν ἄρα τὸ κατηγορούμενον ἢ ὡς ὅρος ἢ ὡς ἴδιον ἢ ὡς γένος ἢ ὡς συμβεβηκὸς κατηγορεῖται· ᾧ συμπεράσματι ἐλήφθη τὸ ἐν παντὶ προβλήματι τὸ κατηγορούμενον ἢ ὅρον εἶναι ἢ ἴδιον ἢ γένος ἢ συμβεβηκός. αὐτὸς δὲ τὴν δευτέραν πρότασιν μετὰ τῆς κατασκευῆς τῆς οἰκείας τιθεὶς δοκεῖ πλέον τι εἰρηκέναι. ἔστι δὲ καὶ ὡς συνθέτου λόγου ποιήσασθαι τὴν ἀνάλυσιν οὕτως· ὁ μὲν τελευταῖος λόγος 'πᾶν τὸ κατηγορούμενόν τινος ἢ ἀντικατηγορεῖται αὐτοῦ ἢ μόνον κατηγορεῖται, πᾶν τὸ ἀντικατηγορούμενον τῷ οὗ κατηγορεῖται ἢ κατηγορούμενον μόνον ἢ ὅρος ἐστὶν ἢ ἴδιον ἢ γένος ἢ διαφορὰ ἢ συμβεβηκός, πᾶν ἄρα τὸ κατηγορούμενόν τινος ἢ ὅρος ἐστὶν ἢ ἴδιον ἢ γένος ἢ διαφορὰ ἢ συμβεβηκόσ'. τούτου δὲ τοῦ λόγου τὴν δευτέραν πρότασιν κατεσκεύασε διὰ δύο συλλογισμῶν, ἑνὸς μὲν τοῦ 'πᾶν, εἴ τι ἀντικατηγορεῖταί τινος, ἤτοι τὸ τί ἦν εἶναι σημαίνει τούτου οὗ ἀντικατηγορεῖται ἢ μή· τοῦτο δὲ ἢ ὁρισμὸς ἢ ἴδιόν ἐστιν αὐτοῦ· πᾶν ἄρα τὸ ἀντικατηγορούμενον τοῦ ὑποκειμένου ἢ ὁρισμός ἐστιν αὐτοῦ ἢ ἴδιον', ἄλλου δὲ 'πᾶν, εἴ τι ἁπλῶς κατηγορεῖται τοῦ ὑποκειμένου καὶ μὴ ἐπ' ἴσης ἐστὶν αὐτῷ, ἢ τῶν ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου λεγομένων ἐστὶν ἢ τῶν ἁπλῶς κατηγορουμένων· ἀλλ' εἰ μὲν τῶν ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου λεγομένων ἐστί ν , ἢ γένος ἢ διαφορὰ ἂν εἴ η , εἰ δὲ μὴ τῶν ἐν τῷ ὁρισμῷ λεγομένων ἐστ ί , συμβεβηκὸς ἂν εἴη · πᾶν ἄρα ὃ ἁπλῶς κατηγορεῖταί τινος, ἢ γένος αὐτοῦ ἢ διαφορὰ ἂν εἴη αὐτοῦ ἢ συμβεβηκόσ'· ἃ συμπεράσματα τῶν συλλογισμῶν συντεθέντα τὴν δευτέραν ποιεῖ πρότασιν τὴν τοῦ συλλογισμοῦ τὴν 'πᾶν, εἴ τι ἢ ὡς ἀντικατηγορούμενον κατηγορεῖταί τινος ἢ ἁπλῶς, ἢ ὅρος ἐστὶν αὐτοῦ ἢ ἴδιον ἢ γένος ἢ διαφορὰ ἢ συμβεβηκός.

in Top.65 ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τῆς προτάσεως. p. 103b20 Μετὰ τοίνυν ταῦτα δεῖ ὁρίσασθαι τὰ γένη τῶν κατηγοριῶ ν , ἐν οἷς ὑπάρχουσιν αἱ ῥηθεῖσαι τέσσαρε ς . Δείξας τὰ προβλήματα καὶ τὰς προτάσεις ἐν τοῖς προειρημένοις τέσσαρσι γένεσιν οὔσας, ἐπεὶ τὰ προειρημένα γένη τέσσαρα οὐκ ἔστιν ἀνώτατα γένη ὄντα, ἀλλ' ἔστι πάλιν αὐτὰ ἐν ἄλλοις (ἔστι γὰρ ἐν τοῖς οὖσιν, ὧν τὰ ἀνώτατα γένη ἔστι δέκα, ἃς κατηγορίας ἰδίως ἔθος αὐτῷ καλεῖν), δεῖν φησιν ἐφεξῆς τοῖς εἰρημένοις διορίσαι καὶ ἐκθέσθαι τὰ γένη τῶν κατηγοριῶν, ἐν αἷς κατηγορίαις ὑπάρχουσιν αἱ εἰρημέναι τέσσαρες διαφοραὶ τῶν προβλημάτων τε καὶ προτάσεων. τὸ δὲ ἐν οἷς ὑπάρχουσιν αἱ ῥηθεῖσαι τέσσαρες ἐλλιπῶς εἶπε· λείπει γὰρ τὸ 'διαφοραὶ τῶν προβλημάτων τε καὶ προτάσεων'. ἔστι δ έ , φησί, ταῦτ α , λέγων τὰ γένη τῶν κατηγοριῶν, δέκ α , περὶ ὧν εἴρηκε μὲν ἐν τῷ Περὶ τῶν δέκα κατηγοριῶν, ἐκτίθεται δὲ καὶ νῦν αὐτά. ἅμα δὲ καὶ τὸ πρὸς διαλεκτικὴν χρήσιμον ἐκείνου τοῦ βιβλίου διὰ τούτων ἐνδείκνυται. ἀντὶ δὲ τῆς οὐσίας τὸ τί ἐστιν ἔλαβε· κυρίως τε γὰρ ὂν ἡ οὐσία, καὶ κυρίως τὸ τί ἐστι καὶ ὁ ὁρισμὸς οὐσίας, εἰ καὶ πλεοναχῶς τὸ τί ἐστιν. τοῦ δὲ ἐν ταῖς δέκα κατηγορίαις εἶναι τὰ γένη τὰ προειρημένα τῶν τε προβλημάτων καὶ τῶν προτάσεων δεικτικὸν παρέθετο τὸ καὶ τὸ συμβεβηκὸς καὶ τὸ γένος καὶ τὸ ἴδιον καὶ τὸν ὁρισμὸν τούτων τι σημαίνειν· πᾶσαι γὰρ αἱ διὰ τούτων τῶν γενῶν προτάσεις (τοῦτο γάρ ἐστι τὸ τῆς λέξεως πλῆρες) ἢ οὐσίαν ἔχουσι τὸ κατηγορούμενον ἢ ποιότητα ἤ τινα τῶν ἄλλων κατηγοριῶν. πᾶς γὰρ ὁρισμός τινός ἐστιν, ὃ πάντως ἢ οὐσία ἐστὶν ἢ ποσὸν ἢ ποιὸν ἢ πρός τι ἢ ποῦ ἢ ποτὲ ἢ κεῖσθαι ἢ ἔχειν ἢ ποιεῖν ἢ πάσχει ν . τὸν μὲν οὖν ὁρισμὸν καὶ τὸ ὁρικὸν πρόβλημα ἐν πάσαις ἐνδέχεται ταῖς κατηγορίαις εἶναι, ἐπεὶ οἷόν τε ὁρίσασθαί τινα τῶν ὑφ' ἑκάστην κατηγορίαν. ὁμοίως καὶ τὰ γένη καὶ τὰ γενικὰ προβλήματα· καθ' ἑκάστην γὰρ κατηγορίαν ἔστι καὶ γένος καὶ διαφορὰν λαβεῖν· ἐν αἷς γὰρ κατηγορίαις ἐστὶ τὰ λαμβανόμενα γένη περὶ ὧν ὁ λόγος, ἐν ταύταις καὶ αἱ τῶν γενῶν τούτων διαφοραί, ὡς ἐν ἄλλοις ἡμῖν εἴρηται· διὸ καὶ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐσίᾳ διαφοραὶ οὖσαι 〈οὐσίαι〉 καὶ αὐταί, καὶ τὰ ἀπὸ τῶν διαφορῶν προβλήματα καὶ ἐν οὐσίᾳ ἔσται.

in Top.66 ** προβλήματα τὸ μὲν ὁρικὸν ἐν οὐσίᾳ, τὸ δὲ ὁρικὸν ἐν ποιότητι ἢ ποσότητι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· πάλιν ἀπὸ γένους ἐν οὐσίᾳ ἢ ἀπὸ γένους ἐν ποιῷ, καὶ κατὰ τὰς ἄλλας κατηγορίας ὁμοίως. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῶν προτάσεων. ὡς γὰρ ἀπὸ τοῦ κατηγορουμένου ὅρου ἐν τῷ προβλήματι ἢ ἐν τῇ προτάσει τὸ γένος γνωρίζεται αὐτῶν (εἰ μὲν γὰρ ὁρισμὸς τὸ κατηγορούμενον, ὁρικόν, εἰ δὲ γένος, ἀπὸ γένους, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως), οὕτως ἀπὸ τοῦ κατηγορουμένου καὶ τὸ ἐν ποίᾳ κατηγορίᾳ τὸ πρόβλημα γνωρίζεται· ἂν μὲν γὰρ οὐσία ᾖ, ἐν οὐσίᾳ τὸ πρόβλημα, ἂν δὲ ποιότης, ἐν ποιότητι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τὰ μὲν οὖν ἐν τῷ τί ἐστι κατηγορούμενα τοῦ αὐτοῦ γένους ἔχει καὶ τὸ ὑποκείμενον αὐτοῖς, ὥστε οὐδὲν μᾶλλον ἀπὸ τοῦ ὑποκειμένου ἢ ἀπὸ τοῦ κατηγορουμένου ἡ κατηγορία καὶ τὸ γένος ἐν ᾧ τὸ πρόβλημα γνωρισθήσεται. ἐν οἷς δὲ ἄλλο ἄλλου κατηγορεῖται (ταῦτα δέ ἐστιν ἐν οἷς περὶ συμβεβηκότος ἡ κατηγορία), καὶ τὸ γένος ἀπὸ τοῦ κατηγορουμένου λαμβάνεται. ἐπεὶ δὴ οὐδεμία οὐσία οὐδεμιᾷ οὐσίᾳ συμβέβηκεν (οὐ γὰρ οἷόν τε συμβεβηκότος τινὸς οὐσίαν εἶναι), τὰ ἀπὸ τοῦ συμβεβηκότος προβλήματα ἐν μὲν τοῖς ἄλλοις γένεσιν ἔσται λαβεῖν, ἐν οὐσίᾳ δὲ οὐδαμῶς. περὶ δὲ ἰδίου, εἰ μὲν τὰ ἴδια τῶν οὐσιῶν οὐσίας οἷόν τε εἶναι, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν, ἔσται καὶ ἐν οὐσίᾳ τὰ ἀπὸ τοῦ ἰδίου προβλήματα καὶ ἐν πᾶσι τοῖς γένεσιν· εἰ δέ ἐστι πᾶν ἴδιον συμβεβηκὸς τῷ συμβεβηκότος εἶναι τρόπον τὸ ἴδιον, οὐδ' ἂν τὰ ἀπὸ τοῦ ἰδίου προβλήματα ἐν οὐσίᾳ εἴη, ἀλλ' ἐν ἐκείνῳ οὗ ἂν ᾖ γένος τὸ ἴδιον. ὅτι δὲ ἐν τοῖς δέκα γένεσίν ἐστι τὰ προειρημένα τέσσαρα προβλήματα καὶ οὐκ ἔξω πίπτει αὐτῶν, εἰ καὶ μὴ οἷόν τε πάντα ἐν πᾶσιν εἶναι τῷ μὴ δύνασθαι ἐν οὐσίᾳ εἶναι τὰ ἀπὸ συμβεβηκότος, δεικνὺς λέγει ‘ πᾶσαι γὰρ αἱ διὰ τούτων προτάσεις ἢ τί ἐστ ι , τοῦτ' ἔστιν ἢ ἐν τῇ οὐσίᾳ κατηγοροῦσί τινός τι, ἢ ἐν τῷ ποιῷ ἤ τι τῶν ἐν ταῖς ἄλλαις κατηγορίαις σημαίνουσιν‘. ἐν ᾗ δὲ κατηγορίᾳ τὸ σημαινόμενον ὑπὸ τοῦ προβλήματος ἢ τῆς προτάσεώς ἐστιν, ἐν τῇ αὐτῇ ἀνάγκῃ καὶ τὸ γένος εἶναι τῶν προβλημάτων καὶ τῶν προτάσεων. καὶ δείκνυσί γε τοῦτο καὶ τῇ ἐπαγωγῇ· ὁ γὰρ τὸ τί ἐστι σημαίνω ν , τοῦτ' ἔστι κατηγορῶν τινος, ἢ οὐσίας τὸ τί ἐστι σημαίνει ἢ ποιοῦ ἢ ποσοῦ ἤ τινος τῶν ἐν ταῖς ἄλλαις κατηγορίαις· τὸ γὰρ τί ἐστι τῶν πολλαχῶς λεγομένων. p.

in Top.67 103b29 Ὅταν μὲν γὰρ ἐκκειμένου ἀνθρώπου φῇ τὸ ἐκκείμενον ἄνθρωπον εἶναι ἢ ζῷο ν . Ὅτι καθ' ἑκάστην κατηγορίαν τὸ τί ἐστιν ἀποδίδοται, καὶ ὅτι τὸ ἐν τῷ τί ἐστι κατηγορούμενον καθ' ἑκάστην λαμβάνεται, τῇ ἐπαγωγῇ, ὡς εἶπον, δείκνυσιν. ἕκαστον γὰρ τῶν ὑφ' ἑκάστην κατηγορίαν, ἄν τε αὐτὸ περὶ ἑαυτοῦ λέγητα ι , οἷον ὅτι ὁ ἄνθρωπος ἄνθρωπός ἐστιν ἢ τὸ λευκὸν λευκόν ἐστι (καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως), 〈ἄν τε〉 τὸ οἰκεῖον γένος αὐτοῦ ἀποδιδῷ, τί ἐστι σημαίνε ι . ὁμοίως δὲ κἂν τὸν ὁρισμόν τις τὸν ἑκάστου ἀποδιδῷ, τὸ τί ἐστιν αὐτὸ λέγει· ἴσον γάρ ἐστι τὸν ἄνθρωπον ἄνθρωπον εἰπεῖν ἢ ζῷον πεζὸν δίπουν· ἐν ἀμφοτέροις γὰρ αὐτὸ περὶ ἑαυτοῦ λέγεται, καὶ ἐπ' ἴσης ἀμφότερα· διὸ ἀντὶ τοῦ ὁρισμοῦ τὸ ὄνομα ἔλαβεν. ὅταν δὲ τὸ κατηγορούμενον μὴ τοῦ αὐτοῦ γένους ᾖ τῷ ὑποκειμένῳ, ἀλλὰ περὶ ἄλλου λέγηται (τοῦτο γάρ ἐστι τὸ ὅταν δὲ περὶ ἑτέρο υ) , ἐξ ἧς ἂν κατηγορίας ᾖ τὸ κατηγορούμενον, ἐξ ἐκείνης καὶ τὸ γένος τοῦ προβλήματος ἔσται. καὶ οὐκέτι τὸ τί ἐστι τὸ ὑποκείμενον σημαίνει· οὐ γὰρ ἐν τῷ τί ἐστι κατηγορεῖται τὸ ἐξ ἄλλης κατηγορίας τοῦ ἐξ ἄλλης. περὶ ἑτέρου δὲ ἕτερον λέγεται, ἐν αἷς συμβεβηκός ἐστι τὸ κατηγορούμενον· διὸ ἀδύνατον, ὡς ἔφην, προβλήματα ἐν οὐσίᾳ τινὶ εἶναι ἀπὸ συμβεβηκότος εἰπεῖν, ὅτι μηδεμία οὐσία οὐσίᾳ συμβέβηκεν. ἢ συμβεβηκέναι μὲν οὐχ οἷόν τε οὐσίαν οὐσίᾳ, δύναται μέντοι ζητεῖν τις εἰ συμβέβηκεν οὐσίᾳ οὐσία ἢ συμβεβηκότι οὐσία, ὡς ἐν ταῖς παρὰ φύσιν ἔχει προτάσεσιν. εἰ δὲ τοῦτο, εἴη ἂν καὶ τὰ ἀπὸ τοῦ συμβεβηκότος προβλήματα καὶ ἐν οὐσίᾳ. εἰ δὲ τὰ προβλήματα καὶ τὰ γένη τῶν προβλημάτων ἐν ταῖς κατηγορίαις, δῆλον ὡς χρήσιμος ἡ περὶ τὰς κατηγορίας πραγματεία πρὸς διαλεκτικήν, εἴ γε

χρήσιμον τὸ εἰδέναι ἐν ποίῳ γένει τῶν ὄντων τὸ προκείμενον πρόβλημα. εἰπὼν δὲ τὰ τέσσαρα γένη ἐν οἷς αἱ προτάσεις καὶ τὰ προβλήματα, εἰπὼν δὲ καὶ τὰς κατηγορίας ἐν αἷς τὰ τέσσαρα γένη τῶν προβλημάτων καὶ τῶν προτάσεων, ἐπιφέρει ὅτι περὶ ὧν μὲν οἱ λόγοι καὶ ἐξ ὧ ν , ταῦτα καὶ τοσαῦτά ἐστ ι , λέγων τὰ προβλήματα καὶ τὰς προτάσεις· ταῦτα δὲ καὶ τοσαῦτα τῷ γένει δῆλον ὅτι. ἦν δὲ προκείμενον αὐτῷ ζητῆσαι πρὸς πόσα καὶ ποῖα καὶ ἐκ τίνων οἱ λόγοι οἱ διαλεκτικοί, καὶ πῶς τῶν λόγων τούτων εὐπορήσομεν· ἡ γὰρ μέθοδος ἐν τούτοις.

in Top.68 εἰπὼν δὴ περὶ τῶν πρώτων, περὶ τοῦ πῶς καὶ δι᾽ ὧν εὐπορήσομεν τῶν διαλεκτικῶν λόγων, ὃ τὸ λοιπὸν ὧν προέθετο ὑπολείπεται, μετὰ ταῦτά φησι λεκτέον. p. 104a3 Πρῶτον τοίνυν διωρίσθω τί ἐστι πρότασις διαλεκτικὴ καὶ τί πρόβλημα διαλεκτικό ν . Μέλλων δεικνύναι πῶς ἂν εὐποροίημεν προτάσεων διαλεκτικῶν (ἡ γὰρ εὐπορία τῶν προτάσεων συντελεῖ καὶ αὐτὴ πρὸς τὴν τῶν διαλεκτικῶν λόγων εὐπορίαν, περὶ οὗ πρόκειται λέγειν αὐτῷ, ὡς ἐρεῖ· ἓν γὰρ τῶν τεσσάρων ὀργάνων ὧν ἐρεῖ), καὶ τοῦτο κοινότερον εἰρηκὼς περὶ προτάσεών τε καὶ προβλημάτων, πρῶτόν φησι δεῖν ὁρίσασθαι τί ἐστι πρότασις διαλεκτικὴ καὶ τί πρόβλημα διαλεκτικό ν , ἵνα γνώριμον ᾖ ποίων προτάσεων εὐπορεῖν δεῖ καὶ περὶ ποίων ζητεῖν προβλημάτων· ὧν γὰρ χρὴ πρὸς εὐπορίαν ζητεῖν μέθοδον, ταῦτα ὡρίσθαι δεῖ καὶ γνώριμα εἶναι πρῶτον. οὔτε γὰρ πᾶσα πρότασις διαλεκτικὴ οὔτε πᾶν πρόβλημα· οὔτε γὰρ ἂν προτείναιτό τις νοῦν ἔχων καὶ ἐρωτήσειεν ἐν προτάσει τὸ μηδενὶ δοκοῦ ν . οἷον ‘ἆρά γε χρὴ ὑβρίζειν τοὺς γονεῖς ἢ ἀσεβεῖν εἰς τοὺς θεούς;‘ (προτείνει γὰρ ὁ διαλεκτικὸς ὃ λαβεῖν βούλεται· οὐδεὶς δὲ τὰ τοιαῦτα συγχωρεῖ), οὔτ᾽ ἂν προβάλοι πρόβλημα τὸ πᾶσι φανερὸν καὶ μὴ δεόμενον δείξεως, οἷον ‘ἡμέρας οὔσης πότερον ἡμέρα ἐστὶν ἢ οὔ;‘· τὰ μὲν γὰρ οὐκ ἔχει ἀπορίαν, δῆλον ὅτι ὡς πᾶσι γνώριμα, διὸ οὐδὲ προβλήματα (αἱ δὲ δείξεις τε καὶ ζητήσεις περὶ ἀπορουμένων τινῶν ἢ ἀγνοουμένων), τὰ δὲ οὐδεὶς ἂν θείη καὶ συγχωρήσειε, τὰ δῆλον ὅτι μηδενὶ δοκοῦντα, διὸ οὐδὲ προτάσεις. ζητήσαι δὲ ἄν τις, πῶς εἰπὼν ἴσα καὶ τὰ αὐτὰ τά τε προβλήματα καὶ τὰς προτάσεις καὶ τῷ τρόπῳ μόνῳ τῆς ἐκφορᾶς τὴν διαφορὰν αὐτῶν εἶναι, νῦν ὑπεναντίον πώς φησιν εἶναι τὸ διαλεκτικὸν πρόβλημα καὶ τὴν διαλεκτικὴν πρότασιν· τὸ μὲν γὰρ ἀπορεῖσθαι, τὴν δὲ γνώριμον εἶναι. ἢ οὐ τὰ διαλεκτικὰ προβλήματα ταῖς διαλεκτικαῖς προτάσεσιν ἴσα καὶ τὰ αὐτὰ εἶπεν, ἀλλὰ καθόλου τὰ προβλήματα καὶ τὰς προτάσεις τὰς ἐν τῇ τῆς ἀντιφάσεως ἐρωτήσει, ἐν οἷς προβλήμασι καὶ ἐν αἷς προτάσεσίν ἐστι καὶ τὰ διαλεκτικὰ προβλήματά τε καὶ αἱ προτάσεις, ὧν νῦν λέγει τὴν διαφοράν· τό τε 〈γὰρ〉 γνώριμον καὶ ἔνδοξον, ὁποία ἡ πρότασις ἡ διαλεκτικὴ εἶναι βούλεται, καὶ τὸ ἀμφιδοξούμενόν τε καὶ ἀπορούμενον, ὁποῖον δεῖ, φησίν, εἶναι τὸ διαλεκτικὸν πρόβλημα, πάντα ἐν ἀντιφάσει προτείνεταί τε καὶ προβάλλεται, ὧν τὰ μὲν ἔνδοξα προτάσεις, τὰ δὲ ζητούμενα προβλήματα.

in Top.69 τὴν δὲ κατὰ τοὺς τρόπους διαφορὰν εἶπε, τὴν κατὰ τὸ ‘ἆρα‘ καὶ ‘πότερον‘, ὑπὲρ τοῦ ἐνδείξασθαι τὴν κατὰ τὴν λέξιν ὁμοιότητα αὐτῶν καὶ πῶς ἕκαστον αὐτῶν προτείνεταί τε καὶ προβάλλεται. πᾶσα γὰρ πρότασις πρόβλημα γίνεται ἀλλαγέντος τοῦ κατὰ τὴν ἐκφορὰν τρόπου κατὰ τὴν λέξιν· οὐ μὴν διαλεκτικὸν ἤδη τὸ ἀπὸ προτάσεως μεταληφθέν, ὅτι μὴ ζητούμενον. p. 104a8 Ἔστι μὲν οὖν πρότασις διαλεκτικὴ ἐρώτησις ἔνδοξο ς . Οὔτε οὖν πᾶσα πρότασις ἐρώτησις, ἀλλὰ ἡ διαλεκτική, οὔτε πᾶσα ἐρώτησις πρότασις διαλεκτική· ἔστι γὰρ εἴδη πλείω τῆς ἐρωτήσεως. οὐ γὰρ μόνον ἐρώτησις προτάσεων γίνεται, ἀλλ᾽ ὡς Εὔδημος ἐν τοῖς Περὶ λέξεως διῄρηκεν, οἱ ἐρωτῶντες ἢ περὶ συμβεβηκότος ἐρωτῶσιν· ἢ γὰρ προθέντες τι καὶ ὁρίσαντες πυνθάνονται τὸ τούτῳ συμβεβηκός, ὡς οἱ ἐρωτῶντες τίς τοῦ πυρὸς ἡ κατὰ φύσιν κίνησις ἢ τί Σωκράτει συμβέβηκεν, ἢ ἔμπαλιν τὸ μὲν συμβεβηκὸς ὁρίζουσί τε καὶ λαμβάνουσιν ἐν τῇ ἐρωτήσει, ᾧ δὲ τοῦτο συμβέβηκεν, ἀξιοῦσι μαθεῖν, ὡς ὁ ἐρωτῶν τίνι τὸ λευκὸν ἢ τὸ μέλαν τῶν ζῴων συμβέβηκε, καὶ τί τῶν ἀγαθῶν δι᾽ αὑτό ἐστιν αἱρετόν, καὶ τίς ἐστιν ὁ καθήμενος. καὶ τοῦτο μὲν ἓν εἶδος ἐρωτήσεως. ἄλλο δὲ περὶ οὐσίας, ὅταν προενεγκάμενοι τί ποτέ ἐστι τοῦτο διὰ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐρωτήσεως ἐξετάζωμεν, ὡς ὁ ἐρωτῶν τί ἐστιν ἄνθρωπος· ὁ γὰρ οὕτως ἐρωτῶν τὴν οὐσίαν τοῦ πράγματος μαθεῖν ἀξιοῖ, ἀλλ' οὐχ ὃ συμβέβηκεν αὐτῷ. τρίτον εἶδος ἐρωτήσεώς ἐστιν, ὅταν περὶ προτάσεώς τις θῇ τὴν ἐρώτησιν, εἶτα ἀπόκρισιν αὐτῆς αἰτῇ τὸ ἕτερον τῆς ἀντιφάσεως μέρος, οἷον 'ἆρά γε ὁ κόσμος σφαιροειδής;'. ὑπὸ τοῦτο τὸ εἶδος τῆς ἐρωτήσεώς ἐστι καὶ ἡ διαλεκτικὴ πρότασις. οὐ γὰρ πᾶσα ἐρώτησις πρότασις διαλεκτική ἐστιν, ἐρώτησις μέντοι ἡ πρότασις ἡ διαλεκτική.

in Top.70 τῶν γὰρ προτάσεων, ὡς εἴρηται, αἱ μέν εἰσιν ἀποδεικτικαί, οἷαί εἰσιν αἱ ἄμεσοι καὶ πρῶται, αἱ δὲ διαλεκτικαί, οἷαί εἰσιν αἱ ἔνδοξοι, αἱ δὲ ἐριστικαί· οὔτε δὲ αἱ ἐπιστημονικαὶ ἐν ἐρωτήσει οὖσαι διαλεκτικαὶ γίνονται· οὐ γὰρ διαλεκτικὴ ἡ τοιαύτη, οἷον 'ἆρά γε στοιχεῖα τῶν ὄντων εἶδος καὶ ὕλη;', ἀλλ' οὐδὲ ἡ ἐριστική, οἷον 'ἆρά γε ὁ ὁρῶν ὀφθαλμοὺς ἔχει ἢ οὔ;', ἀλλά εἰσι προτάσεις διαλεκτικαὶ τῶν ἐν ἐρωτήσει προτάσεων αἱ ἔνδοξοι, οἷον 'ἆρά γε ἡ ὑγεία ἀγαθὸν ἢ οὔ; ἆρά γε αἱ τῆς ψυχῆς ἀρεταὶ αἱρεταὶ ἢ οὔ; ἆρά γε οἷόν τέ τι ἐκ τοῦ μὴ ὄντος γενέσθαι ἢ οὔ;'. "οὐδεὶς γὰρ προτείνειεν 〈ἂν〉 νοῦν ἔχων τὸ μηδενὶ δοκοῦν"· ἡ γὰρ ἔνδοξος ἐρώτησις διαλεκτικὴ πρότασίς ἐστιν. εἰπὼν δὲ τοῦτο, τίνα ἐστὶ τὰ ἔνδοξα, πάλιν ὑπομιμνήσκων ἡμᾶς προστίθησιν· ἔνδοξον γάρ, ὡς προείρηται, ἢ τὸ πᾶσι δοκοῦν ἢ τὸ τοῖς πλείστοις ἢ τὸ τοῖς σοφοῖ ς , καὶ τούτοις ἢ πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς μάλιστα γνωρίμοις καὶ ἐνδόξοις. εἰπὼν δὲ ἔνδοξα εἶναι καὶ τὰ τοῖς πάνυ γνωρίμοις τῶν σοφῶν δοκοῦντα, ἐπεὶ δύναταί τις γνωρίμου σοφοῦ δόξα μαχομένη ταῖς τῶν πολλῶν δόξαις εἶναι, αἷς δόξαις οὐκέτι οἱ πολλοὶ συγχωροῦσι, προσέθηκε τὸ μὴ παράδοξο ς , ἅμα διδάσκων ἡμᾶς ὅτι ταῖς τῶν σοφῶν δόξαις ὡς ἐνδόξοις χρηστέον, ταῖς περὶ τούτων περὶ ὧν οὐκ ἔχουσιν οἱ πολλοὶ δόξας, ἔνθα δὲ μάχεται ἡ τῶν πολλῶν δόξα τῇ σοφοῦ τινος, ἐνταῦθα ἔνδοξον μᾶλλον τὸ τοῖς πολλοῖς δοκοῦν. ἐπεὶ ὅτι γε μή ἐστιν ἡ ὑγεία ἀγαθόν, σοφῶν τινῶν ἐστι δόξα· ἀλλ' οὐδεὶς ἂν τοῦτο ἔνδοξον εἴποι· μάχεται γὰρ ταῖς πάντων προλήψεσιν· ἀλλὰ καὶ ὅτι τὸ ὂν ἀκίνητόν τε καὶ ἕν (Παρμενίδου γάρ), καὶ ὅτι τὰ ἐναντία ταὐτά (Ἡρακλείτου γάρ), καὶ ὅτι οὐκ ἔστιν ἀντιλέγειν (Ἀντισθένους γάρ). προτάσεις μὲν οὖν οὐκ εἰσὶ τὰ τοιαῦτα, θέσεις δέ, ὡς προιὼν ἐρεῖ. p. 104a12 Εἰσὶ δὲ προτάσεις καὶ τὰ τοῖς ἐνδόξοις ὅμοι α . Εἰπὼν τὴν διαλεκτικὴν πρότασιν ἐρώτησιν ἔνδοξον εἶναι, λέγει καὶ τὰ τοῖς ἐνδόξοις ὅμοια διαλεκτικὰς προτάσεις εἶναι, εὐπορίαν τινὰ ἡμῖν προϋποβάλλων διαλεκτικῶν προτάσεων. εἰ γὰρ ἔνδοξον τὸ τὴν αὐτὴν εἶναι τῶν ἐναντίων ἐπιστήμη ν , ἔνδοξον ἂν φανείη καὶ τὸ τὴν αὐτὴν αἴσθησιν τῶν ἐναντίων εἶνα ι . ὅτι δὲ ἔνδοξον τὸ τὴν αὐτὴν ἐπιστήμην τῶν ἐναντίων εἶνα ι , δῆλον· ἥ τε γὰρ ἰατρικὴ ὑγιεινῶν καὶ νοσερῶν ἐστιν ἐπιστήμη, καὶ ἡ ἀριθμητικὴ περιττοῦ καὶ ἀρτίου, καὶ ἡ μουσικὴ ἐμμελῶν καὶ ἐκμελῶν, καὶ ἡ γυμναστικὴ εὐεκτικῶν τε καὶ μή, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

in Top.71 ὁμοίως δὲ ἔχει ἡ ἐπιστήμη πρὸς τὰ ἐπιστητὰ καὶ ἡ αἴσθησις πρὸς τὰ αἰσθητά· ἑκάτερον γὰρ αὐτῶν κριτικόν ἐστι τῶν ὑφ' αὑτά. καὶ ἔστι τὸ ὅμοιον αὐταῖς κατὰ ἀναλογίαν. ἢ καὶ αὐταὶ συγγενεῖς, εἴ γε καὶ ἡ αἴσθησις ὑπὸ τὴν ἕξιν καὶ ὅλως ὑπὸ τὰ πρός τι. χρὴ δὲ τὰ παραδείγματα μὴ ἀκριβολογουμένους ἀκούειν, ἐπεὶ δόξει γε ἐναργέστερόν τε καὶ ἐνδοξότερον εἶναι τὸ τὴν αἴσθησιν τὴν αὐτὴν τῶν ἐναντίων εἶναι ἢ τὴν ἐπιστήμην. πάλιν εἰ ἔνδοξον τὸ μίαν ἀριθμῷ τὴν γραμματικὴν εἶνα ι , ἔνδοξον ἂν φανείη καὶ τὸ τὴν αὐλητικὴν μίαν τῷ ἀριθμῷ εἶναι. καὶ εἰ πλείους γραμματικὰς εἶναι ἔνδοξον, καὶ τὸ αὐλητικὰς εἶναι πλείους ἔνδοξον ἔσται· ὅμοια γὰρ καὶ τοῦ αὐτοῦ λόγου ἡντιναοῦν τέχνην εἶναι ἢ ἀριθμῷ μίαν ἢ εἴδει· συγγενῆ γὰρ τὰ τοιαῦτα καὶ ὑπὸ τὸ αὐτὸ γένος. καὶ ὥσπερ τὸ πρῶτον παράδειγμα τῇ ἀναλογίᾳ ὅμοιον, οὕτως τοῦτο τῷ γένει· διὸ εἶπε συγγεν ῆ . εἴη δ' ἂν τὸ μίαν τῷ ἀριθμῷ γραμματικὴν ἢ πλείους τοιοῦτον· εἰ λέγοι τις τὴν Ἀριστάρχου γραμματικὴν καὶ ὅλως ἑκάστην τῶν ἐν τῷ ἀτόμῳ μίαν κατ' ἀριθμὸν εἶναι, ὅτι καὶ τὸ ὑποκείμενον αὐτὸ τοιοῦτον, ἢ πάλιν εἰ λέγοι τις μίαν εἶναι τῷ εἴδει ταύτην τῷ ταῖς ἐνεργείαις συνδιαιρεῖσθαι αὐτὴν τὰς δὲ ἐνεργείας πλείους κατ' ἀριθμὸν εἶναι. Λέγει δὲ ἔνδοξα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶναι καὶ τὰ ἐναντία τοῖς ἐνδόξοις κα τ ʼ ἀντίφασιν προτεινόμεν α , τοῦτʼ ἔστι τὰς ἀποφάσεις τῶν ἐναντίων τοῖς ἐνδόξοις· ἐπεὶ γὰρ τὰ ἐναντία τοῖς ἐνδόξοις παράδοξα, εἶεν ἂν αἱ τῶν παραδόξων ἀποφάσεις ἔνδοξοι. οἷον εἰ ἔνδοξόν ἐστι τὸ δεῖν τοὺς φίλους εὖ ποιεῖ ν , τὸ τούτῳ ἐναντίον, τὸ δεῖν τοὺς φίλους κακῶς ποιεῖν, ἄδοξον ἔσται· ἡ δὴ τούτου ἀδόξου ὄντος ἀπόφασις ἔνδοξος ἂν καὶ αὐτὴ εἴη· ἔστι δὲ ἀπόφασις αὐτοῦ τὸ ʻοὐ δεῖ τοὺς φίλους κακῶς ποιεῖνʻ. πάλιν ἔνδοξον μὲν τὸ δεῖν τοὺς φίλους εὖ ποιεῖν· ἐναντίον δὲ τούτῳ καὶ ἄδοξον τὸ δεῖν τοὺς ἐχθροὺς εὖ ποιεῖν · οὗ ἡ ἀπόφασις, τὸ μὴ δεῖν τοὺς ἐχθροὺς εὖ ποιεῖν, ἔνδοξον ἂν εἴη.

in Top.72 τὴν μὲν οὖν πρώτην ἐναντίωσιν ἔλαβε τῶν προτάσεων κατὰ τὸ κατηγορούμενον· ἐναντίον γὰρ τὸ εὖ ποιεῖν τῷ κακῶς ποιεῖν· ὁ δὲ ὑποκείμενος ὅρος, ὁ φίλος, ὁ αὐτὸς ἐπʼ ἀμφοῖν. ἡ δὲ δευτέρα ἐναντίωσις τὸν μὲν κατηγορούμενον τὸν αὐτὸν ἔχει, τὸ γὰρ εὖ ποιεῖν, οἱ δὲ ὑποκείμενοι ὅροι ἐναντίοι· ἐναντίοι γὰρ οἱ φίλοι καὶ οἱ ἐχθροί. ἔνδοξον δ έ , φησίν, ἐν παραβολῇ δόξειεν ἂν εἶναι καὶ τὸ ἐναντίον περὶ τοῦ ἐναντίου λεγόμενον· ἔστι δὲ τὸ ἐν παραβολῇ τὸ ἐν παραθέσει. εἰ γὰρ ἔνδοξον τὸ τοὺς φίλους εὖ ποιεῖν, ἔνδοξον ἔσται καὶ τὸ ἐναντίον, τὸ κακῶς ποιεῖν, περὶ τοῦ ἐναντίου λεγόμενον· οὗτοι δέ εἰσιν ἐχθροί[· ἐναντίον δὲ τὸ εὖ ποιεῖν τῷ κακῶς ποιεῖν.] τῷ δὴ ἔνδοξον εἶναι τὸ τοὺς φίλους εὖ ποιεῖν προσχρωμένους ἔνεστι δεικνύναι ἔνδοξον καὶ τὸ τοὺς ἐχθροὺς δεῖν κακῶς ποιεῖν· εἰ γὰρ τοὺς φίλους εὖ, τοὺς ἐχθροὺς κακῶς. καὶ εἰ ἡ ἀρετὴ ὠφελεῖ, ἡ κακία βλάπτει· διὸ ἔνδοξον δοκεῖ καὶ τὸ ʻεἰ ἡ κακία αὐτάρκης πρὸς κακοδαιμονίαν, καὶ ἡ ἀρετὴ πρὸς εὐδαιμονίανʻ. καὶ γὰρ εἰ καθʼ αὑτὸ ῥηθὲν τὸ δεῖν τοὺς ἐχθροὺς κακῶς ποιεῖν μὴ ἔνδοξον, ἀλλὰ ἔνδοξον αὐτὸ φαίνεσθαι ποιεῖ παρατεθὲν τὸ τοὺς φίλους εὖ ποιεῖν δεῖν· τοῦτο γὰρ σημαίνει τὸ ἐν παραβολ ῇ . καὶ σημειωτέον ὅτι τὰς μὲν πρώτας προτάσεις, τήν τε τοὺς φίλους κακῶς ποιεῖν καὶ τὴν τοὺς ἐχθροὺς εὖ, ἐναντίας εἶπε τῇ τοὺς φίλους εὖ ποιεῖν, ὅ τι τὸ ἕτερον ἦν τῶν ἐν ταῖς προτάσεσιν ἐναντίων, τὴν δὲ ἀμφότερα ἔχουσαν ἐναντία οὐκέτι ἐναντίαν. διὰ τοῦτο γὰρ καὶ ἀμφότεραι ἔνδοξοι καὶ ἅμα ἀληθεῖς· τὸ δὲ τῷ ἐνδόξῳ ἐναντίον ὂν οὐχ οἷόν τε ἔνδοξον εἶναι. φανείη μὲν οὖν ἄν τισι, φησί, καὶ ταῦτα ἐναντία εἶναι· πότερον δὲ ἔχει οὕτως ἢ οὔ, ὑπερτίθεται σαφῆ ποιῆσαι εἰς τὸν περὶ τῶν ἐναντίων λόγον. ἐρεῖ δὲ περὶ αὐτῶν ἐν τῷ δευτέρῳ τῶν Τοπικῶν. εἴρηκε δὲ περὶ τούτου καὶ ἐν τῷ Περὶ ἑρμηνείας ἐπὶ τέλει ἐν οἷς λέγει "τὸ μὲν δὴ τούτῳ οἴεσθαι τὰς ἐναντίας δόξας ὡρίσθαι, τῷ τῶν ἐναντίων εἶναι, ψεῦδος· τοῦ γὰρ ἀγαθοῦ ὅτι ἀγαθὸν καὶ τοῦ κακοῦ ὅτι κακὸν ἡ αὐτὴ ἴσως καὶ ἀληθής, εἴτε πλείους εἴτε μία ἐστίν· ἐναντία δὲ ταῦτα, ἀλλʼ οὐ τῷ ἐναντίων εἶναι ἐναντία, ἀλλὰ μᾶλλον τῷ ἐναντίως". p.

in Top.73 104a33 Δῆλον δὲ ὅτι καὶ ὅσαι δόξαι κατὰ τέχνας εἰσί ν , διαλεκτικαὶ προτάσεις εἰσ ί . Δῆλον, φησίν, ὅτι ὅσαι κατὰ τὰς τέχνας εἰσὶν εὑρημέναι δόξαι ὑπὸ τῶν ἐπιστημόνων τε καὶ τεχνιτῶν, καὶ αὗται διαλεκτικαὶ προτάσεις εἰσ ί , τοῦτʼ ἔστιν ἔνδοξοι. καὶ διὰ τί δῆλον προστίθησι· θείη γὰρ ἄν τις καὶ συγχωρήσειε τὰ δοκοῦντα τοῖς ὑπὲρ τούτων ἐπεσκεμμένοι ς . καὶ ἀκόλουθον δὲ τοῖς προειρημένοις τοῦτο ἂν εἴη· αἱ γὰρ τῶν σοφῶν δόξαι ἦσαν ἔνδοξοι· σοφοὶ δὲ οἱ τεχνῖται περὶ τὰ οἰκεῖα· ὥστε καὶ τὰ ὑπὸ τούτων εὑρισκόμενα ἔνδοξα ἂν εἴη, ὅτι κοινὴ δόξα τὸ δεῖν περὶ ὧν μὴ ἐπίσταταί τις, πιστεύειν τοῖς ἐπισταμένοις. διὸ ἔνδοξα περὶ μὲν ἰατρικῶν τὰ τοῖς ἰατροῖς δοκοῦντα, περὶ γεωμετρικῶν δὲ τὰ τοῖς γεωμέτραις· λέγουσι γὰρ πρὸς τοὺς ἄλλως λέγοντας ʻἀλλὰ τοῦτο οὐ λέγουσιν οἱ ἰατροὶ ἢ οἱ γεωμέτραιʻ. οὐ τοῦτο δὲ λέγει, ὅτι αὕτη ἡ εὕρεσις ἡ κατὰ τὴν ἐπιστήμην ἢ τὴν τέχνην ἔνδοξος (ἀποδεικτικὴ γὰρ αὕτη), ἀλλʼ ὅτι τοῖς εὑρισκομένοις ὑπὸ τῶν περί τι καταγινομένων ὡς οὕτως ἔχουσι συγχωροῦσιν οἱ πολλοί, ἂν δῆλον ὅτι μὴ ᾖ μαχόμενα ταῖς κοιναῖς προλήψεσι· περὶ τούτου γὰρ προείρηται. ἢ οὐδὲ ἔστι περὶ τῶν κατὰ τὰς ἐπιστήμας τε καὶ τέχνας οἰκείων δοξῶν μάχη τοῖς πολλοῖς πρὸς τοὺς ἐπιστήμονας, ὅτι τὴν ἀρχὴν ἀδόξαστοι περὶ τούτων οἱ πολλοί. τοιαῦτα πολλὰ ἔστι λαβεῖν· τὰ ἰατρικὰ ἐκ τῶν Ἱπποκράτους Ἀφορισμῶν· τοιοῦτον τὸ "κόποι αὐτόματοι φράζουσι νούσους" καὶ τὸ "ὑγραὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίαιται τοῖς πυρεταίνουσι σύμφοροι”· πάλιν κατὰ γεωμετρίαν, ὅτι αἱ τοῦ τριγώνου τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, καὶ ὅτι παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζους εἰσὶ πάντῃ μεταλαμβανόμεναι. p. 104b1 Πρόβλημα δέ ἐστι διαλεκτικὸν θεώρημα τὸ συντεῖνον ἢ πρὸς αἵρεσιν καὶ φυγὴν ἢ πρὸς ἀλήθειαν καὶ γνῶσι ν , ἢ αὐτὸ ἢ ὡς συνεργὸν πρός τι ἕτερον τῶν τοιούτω ν . Εἰπὼν περὶ τῆς διαλεκτικῆς προτάσεως, ὅτι ἐστὶν ἔνδοξος ἐρώτησις, καὶ κατὰ πόσους τρόπους οἷόν τε τὸ ἔνδοξον λαμβάνειν, ἀκολούθως ἑξῆς περὶ τοῦ διαλεκτικοῦ προβλήματος λέγει, καὶ φησὶ δεῖν τὸ διαλεκτικὸν πρόβλημα εἶναι θεώρημ α , λέγων θεώρημα ἀντὶ τοῦ ‘ζήτημα‘· καὶ γὰρ τὸ ζητεῖν θεωρεῖν ἔθος αὐτοῖς λέγειν.

in Top.74 φησὶν οὖν τὸ λεγόμενον ‘ζήτησις περὶ θεωρήματος συντείνοντος ἢ πρὸς αἵρεσιν καὶ φυγὴν ἢ πρὸς ἀλήθειαν καὶ γνῶσι ν , ἢ αὐτοῦ ἢ ὡς συνεργοῦ πρός τι ἕτερον τῶν τοιούτων ζητούμενον‘. τρόπου γὰρ ζητήσεως δηλωτικὸν τὸ περὶ οὗ ἢ μηδετέρως δοξάζουσιν ἢ ἐναντίως οἱ πολλοὶ τοῖς σοφοῖς ἢ οἱ σοφοὶ τοῖς πολλοῖς ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖ ς , ὃ λέγει διαλεκτικὸν εἶναι πρόβλημα. εἴη δ’ ἂν τὸ θεώρημα λόγος γνώσεως ἡμῖν τινος τῶν προειρημένων αἴτιος, ἀπὸ τοῦ θεωρίας καὶ γνώσεως αἴτιον ἡμῖν εἶναι ὠνομασμένον θεώρημα. καὶ ἔσται πᾶν μὲν πρόβλημα διαλεκτικὸν θεώρημα ἢ ἠθικὸν ἢ φυσικὸν ἢ λογικόν (τούτων γὰρ δηλωτικὰ τὰ προειρημένα), οὐ μὴν πᾶν θεώρημα ἠθικὸν ἢ φυσικὸν ἢ λογικὸν πρόβλημα ἤδη διαλεκτικόν, ἀλλ’ ὅσα τῶν θεωρημάτων ἔχει τῶν προσκειμένων τινὰ ἀφορισμῶν· οὗτοι δέ εἰσι περὶ οὗ ἢ μηδετέρως δοξάζουσιν ἢ ἐναντίως οἱ σοφοὶ τοῖς πολλοῖς ἢ οἱ πολλοὶ τοῖς σοφοῖς ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖ ς . ὅσα μὲν οὖν τῶν ζητουμένων εἰς αἵρεσιν ἢ φυγὴν τὴν ἀναφορὰν ἔχει, ἠθικὰ τὰ τοιαῦτα προβλήματα. ἡ γὰρ περὶ τὸ ἀγαθόν 〈τε〉 καὶ κακὸν καὶ αἱρετόν τε καὶ φευκτὸν ζήτησις οὖσα ἠθικὴ εἰς αἵρεσιν καὶ φυγὴν τὴν ἀναφορὰν ἔχει, οὐκ εἰς ψιλὴν γνῶσιν· ὁ γὰρ ζητῶν πότερον ἡ ἡδονὴ ἀγαθόν ἐστιν ἢ οὔ, ἢ ὅλως περί τινος τῶν ἐπικτήτων ἀγαθῶν, ὑπὲρ τοῦ αἱρεῖσθαι ἢ φεύγειν αὐτὰ τὴν ζήτησιν ποιεῖται. πάλιν ὁ ζητῶν πότερον ὁ κόσμος σφαιροειδής ἐστιν ἢ οὔ, ἢ ἡ ψυχὴ ἀθάνατος ἢ οὔ, ἤ τι ἄλλο τῶν φύσει γινομένων τε καὶ ὄντων, τέλος ποιεῖται τὴν τοῦ ἀληθοῦς γνῶσιν, ὃ τῆς θεωρητικῆς ἐστιν ἴδιον· ἡ γὰρ γνῶσις τῆς ἐν τοῖς ἀρίστοις ἀληθείας τῆς θεωρίας τέλος. ὅσα δὲ μήτε ὡς πρακτικὰ ζητεῖται μήτε τέλος ἔχει τὴν γνῶσιν τῆς ἐν αὐτοῖς ἀληθείας, ἀλλ’ ὡς συνεργὰ ἢ πρὸς τὴν τῶν αἱρετῶν τε καὶ μὴ γνῶσιν ἢ πρὸς τὴν τῶν ἀληθῶν τε καὶ ψευδῶν εὕρεσιν ζητεῖται, ταῦτα προβλήματα λογικά· ἡ γὰρ λογικὴ πραγματεία ὀργάνου χώραν ἔχει ἐν φιλοσοφίᾳ. ὅσα δὴ κατὰ ταύτην ζητεῖται, τοῦ πρὸς ἐκείνην χρησίμου ζητεῖται χάριν· ὁ γὰρ ζητῶν περὶ ἀντιστροφῆς φέρε εἰπεῖν προτάσεως ἢ περὶ συλλογιστικῆς ἢ ἀσυλλογίστου συζυγίας ὡς συνεργὰ ταῦτα καὶ ὡς συντελοῦντα πρὸς τὴν τῶν προειρημένων εὕρεσιν ζητεῖ. σαφῶς δὲ καὶ ἐνταῦθα τὴν λογικὴν πραγματείαν ὄργανον εἶναι λέγει, διὰ τὸ συνεργεῖν αὐτὴν πρὸς τὴν τῶν πρώτων ῥηθέντων εὕρεσιν ἀξίαν εἶναι τοῦ ζητεῖσθαι λέγων.

in Top.75 εἰπὼν δὲ ἐν τίσιν ἐστὶ τὸ διαλεκτικὸν πρόβλημα, ἐφεξῆς προστίθησι τοὺς διορισμούς, οὓς εἶπον, δι’ ὧν χωρίζει τῶν ἐν τούτοις μὲν ὄντων θεωρημάτων οὐκ ὄντων δὲ διαλεκτικῶν προβλημάτων τὸ πρόβλημα. οὐχ ὡς οὐκ οὔσης δὲ καὶ τῆς προτάσεως τῆς διαλεκτικῆς ἐν τούτοις ἐν οἷς εἴρηκεν εἶναι τὸ πρόβλημα, οὐ προσέθηκε τῇ προτάσει αὐτά· ἔστι γὰρ ἀμφότερα ἐν τοῖς αὐτοῖς, ἀλλὰ αἱ μὲν προτάσεις αὐτόθεν ἔχουσι τὸ ἐν οἷς καὶ περὶ ἅ εἰσι γνώριμον· τὰ γὰρ ἔνδοξα καὶ τὰ τοῖς πολλοῖς ἐν τούτοις, οἷς διὰ τὸ ἔνδοξον καὶ τούτων ἂν εἴη δηλωτικόν. ἐν τούτοις μὲν οὖν καὶ αἱ προτάσεις εἰσίν, οὐ μὴν ζητήματα· τὰ δὲ προβλήματα τὰ ἐν τούτοις ἐστὶ ζητήματα. ἔτι αἱ μὲν προτάσεις εἰ καὶ ὅτι μάλιστα ἐν τούτοις (πᾶν γὰρ τὸ ἔνδοξον περὶ τούτων τινός), ἀλλ’ οὐκ ἀπὸ τοῦ περὶ τούτων τινὸς εἶναι τὸ εἶναι αἱ διαλεκτικαὶ προτάσεις ἔχουσιν, ἀλλ’ ἀπὸ τοῦ ἐνδόξου· διὸ τούτῳ ἐχρήσατο πρὸς τὸν ὁρισμὸν αὐτῶν. τὰ δὲ προβλήματα ἐπεὶ προβλήματά ἐστι τῷ ἄξια εἶναι ζητήσεως, ἄξια δὲ ζητήσεως οὐκ ἄλλα τινὰ παρὰ τὰ ἢ πρὸς αἵρεσιν καὶ φυγὴν συντελοῦντα ἢ πρὸς γνῶσιν καὶ ἀλήθειαν καὶ τὰ τούτοις συνεργοῦντα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰκότως ὁριζόμενος τὸ πρόβλημα τούτοις πάλιν ἐχρήσατο. οἱ δὲ προστιθέμενοι τῷ προβλήματι διορισμοὶ χωρίζουσι φανερῶς τὴν πρότασιν ἀπ' αὐτοῦ. Εἰπὼν δὲ τὸ πρόβλημα θεώρημά τι καὶ ζήτημα εἶναι καὶ ἐν γένει τούτῳ, ἀκολούθως προσέθηκε τὰς διαφορὰς καθ' ἃς τὸ περί τινος τούτων θεώρημά τε καὶ ζήτημα ἤδη καὶ πρόβλημα γίνεται· οὐ γὰρ πᾶν θεώρημα καὶ ζήτημα ἤδη καὶ πρόβλημα διαλεκτικόν. εἶναι δέ φησι τὸ ἐν τούτοις θεώρημα πρόβλημα διαλεκτικόν, περὶ οὗ ἢ οὐδετέρως δοξάζουσιν ἢ ἐναντίως οἱ πολλοὶ τοῖς σοφοῖς ἢ οἱ σοφοὶ τοῖς πολλοῖς ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖ ς . οὐδετέρως μὲν οὖν δοξάζουσιν οἱ πολλοὶ περὶ ὧν οὐδετέρῳ μέρει τῆς ἀντιφάσεως ἔχουσι συγκατάθεσιν, ἐν μὲν ἠθικοῖς οἷον φέρε εἰπεῖν εἰ ἀντακολουθοῦσιν αἱ ἀρεταὶ ἀλλήλαις, ἢ εἰ δι' αὑτάς εἰσιν αἱρεταὶ ἢ οὔ, ἢ εἰ ἐν τῷ λογιστικῷ τῆς ψυχῆς ἢ ἐν τῷ παθητικῷ γίνονται, ἐν δὲ φυσικοῖς εἰ ὁ κόσμος ἄπειρος ἢ οὔ, εἰ σφαιροειδὴς ἢ οὔ, εἰ ἡ ψυχὴ ἀθάνατος, ἐν δὲ λογικοῖς εἰ τετραχῶς τὰ ἀντικείμενα, εἰ σχήματα τρία καθ' ἃ αἱ συλλογιστικαὶ συζυγίαι.

in Top.76 δύναται καὶ περὶ πάντων τὸ οὐδετέρως λέγειν, οὐ γόνον τῶν πολλῶν· εἴη γὰρ ἄν τινα περὶ ὧν οὐδὲ οἱ σοφοὶ συγκατάθεσιν ἔχουσιν, οἷον περὶ τοῦ ἀρτίους ἢ περιττοὺς εἶναι τοὺς ἀστέρας· τῷ γὰρ δοξάζειν ἐπὶ τούτου νῦν κέχρηται. οἷά ἐστι πολλὰ ἐν τοῖς φυσικοῖς ζητήματα ἐξ εἰκότων τὰς πίστεις λαμβάνοντα· διαλεκτικοῦ γὰρ τὸ ἐν τοῖς τοιούτοις διά τινων ἐνδόξων ῥοπήν τινα καὶ πρόσκλισιν ἐμποιεῖν πρὸς θάτερον τῶν ἀντικειμένων, οἷον ὅτι ἀίδιος ὁ κόσμος ἢ ὅτι σφαιροειδής. ἐπιχειρήσαι γὰρ ἄν τις διαλεκτικῶς εἰς τοῦτο ὅτι τῷ τελειοτάτῳ τῶν σωμάτων οἰκεῖον τὸ τελειότατον σχῆμα, ὁ δὲ κόσμος τελειότατον τῶν σωμάτων· πάντα γὰρ τὰ ἄλλα ἐν ἑαυτῷ ἔχει· τῷ κόσμῳ ἄρα τὸ τελειότατον τῶν σχημάτων οἰκεῖον· ἀλλὰ μὴν τελειότατον ἡ σφαῖρα τῶν σχημάτων· οὔτε γὰρ προσθήκην οὔτε ἀφαίρεσιν δέχεται· οἰκεῖον ἄρα τὸ σφαιρικὸν σχῆμα τῷ κόσμῳ. ἀλλὰ καὶ περὶ τοῦ περιττοὺς ἢ ἀρτίους εἶναι τοὺς ἀστέρας ἀδόξαστοι μὲν ἅπαντες, ὁ διαλεκτικὸς δὲ καὶ πρὸς τοῦτο ἐξ ἐνδόξων ἐπιχειρήσαι ἂν λαμβάνων τὸ ἐν ἀριθμῷ ἄριστον οἰκεῖον τοῖς ἄστροις ἅτε δὴ οὖσι θεοῖς, τὸ δὲ ἄρτιον ἐν ἀριθμῷ ἄριστον· οἰκεῖος ἄρα τοῖς ἄστροις ὁ ἄρτιος ἀριθμός. ἐναντίως δὲ οἱ σοφοὶ τοῖς πολλοῖς περὶ τῶν τοιούτων δοξάζουσιν, οἷον πότερον εὐβουλία εὐτυχίας αἱρετώτερον ἢ οὔ, καὶ ὅλως τὰ τῆς ψυχῆς ἀγαθὰ τῶν τοῦ σώματος ἢ οὔ, καὶ πότερον ἡδονὴ τὸ μέγιστον τῶν ἀγαθῶν ἢ ὅλως ἀγαθὸν ἢ οὔ· τοῖς μὲν γὰρ πολλοῖς εὐτυχία μὲν εὐβουλίας, ὑγεία δὲ ἀρετῆς αἱρετώτερον δοκεῖ, τοῖς δὲ σοφοῖς ἀνάπαλιν· καὶ τοῖς μὲν πολλοῖς ἡ ἡδονὴ μέγιστον ἀγαθόν, τοῖς δὲ σοφοῖς τοῖς μὲν οὐ μέγιστον ἀγαθόν, τοῖς δὲ ἀδιάφορον, ἤδη δέ τισι καὶ κακόν. ἑκάτεροι δὲ ἑαυτοῖς ἐναντίως δοξάζουσιν, ἐν μὲν τοῖς σοφοῖς περὶ τῆς εἱμαρμένης, περὶ τῆς ἀθανασίας τῆς ψυχῆς, περὶ ἀπείρου, περὶ κενοῦ, περὶ τῶν τοιούτων, οἱ δὲ πολλοὶ πρὸς ἀλλήλους, ἐν οἷς οἱ μὲν αὐτῶν τὴν ὑγείαν τοῦ πλούτου αἱρετωτέραν οἱ δὲ ἔμπαλιν λέγουσι, καὶ οἱ μὲν ἰσχὺν κάλλους οἱ δὲ κάλλος ἰσχύος προτιμῶσι, καὶ ὅσα τοιαῦτα.

in Top.77 p. 104b12 Ἔστι δὲ προβλήματα καὶ ὧν ἐναντίοι εἰσὶ συλλογισμο ί . Εἰπὼν διαλεκτικὰ εἶναι προβλήματα περὶ ὧν "ἢ μηδετέρως δοξάζουσι", δῆλον ὅτι οἱ πολλοί (περὶ ὧν γὰρ οὗτοι μηδετέρῳ μέρει συγκατατίθενται καταληπτικῶς, προβλήματα ταῦτα· εἴη δ' ἂν τοῦτο, ὡς εἶπον, καὶ περὶ τῶν σοφῶν λεγόμενον), "ἢ ἐναντίως οἱ σοφοὶ τοῖς πολλοῖς ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖς", προστίθησι τοῖς εἰρημένοις καὶ τὰ ὧν εἰσιν ἐναντίοι συλλογισμο ί . καὶ τοῦ γε καὶ ταῦτα εἶναι ἐν τοῖς προβλήμασι τὴν αἰτίαν ἀπέδωκεν αὐτὸς προσθεὶς ἀπορίαν γὰρ ἔχει πότερον οὕτως ἔχει ἢ οὐχ οὕτως διὰ τὸ περὶ ἀμφοτέρων εἶναι λόγους πιθανού ς . τὸ γὰρ 'πότερον ἡ ἡδονὴ ἀγαθὸν ἢ οὔ;' διαλεκτικὸν ἂν εἴη πρόβλημα διὰ τὸ εἶναι περὶ ἑκατέρου μορίου τῆς ἀντιφάσεως συλλογισμὸν ἔνδοξον. ὅτι μὲν γὰρ ἀγαθόν, δείκνυσιν ὁ συλλογισμὸς ὁ τοιοῦτος· οὗ πάντ' ἐφίεται, ἀγαθόν, τῆς δὲ ἡδονῆς πάντ' ἐφίεται, ἡ ἡδονὴ ἄρα ἀγαθόν· τὸ δὲ μὴ εἶναι αὐτὴν ἀγαθὸν ὁ τοιοῦτος· τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖ, ἡ ἡδονὴ ἀγαθοὺς οὐ ποιεῖ, οὐκ ἄρα ἡ ἡδονὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγαθόν. ἐπιζητήσαι δὲ ἄν τις εἰ μὴ καὶ τοῦτο ἐμπεριείληπται τοῖς εἰρημένοις· οἱ γὰρ ἐναντίοι συλλογισμοὶ εἶεν ἂν ἐν οἷς “ἐναντίως οἱ σοφοὶ τοῖς πολλοῖς” δοξάζουσιν ἢ “ἑκάτεροι αὐτοὶ ἑαυτοῖς”. ἢ ἐκεῖνα μὲν εἶχεν ἐν τῇ μάχῃ τὴν ἑκατέρου τῶν μαχομένων συγκατάθεσιν μόνην χωρὶς συλλογισμοῦ· ἐνθάδε δὲ διὰ τοὺς ἀντικειμένους λόγους ἐπέχει τις, οὐ διὰ τοὺς προστάτας αὐτῶν. διὸ καὶ ἐπὶ τούτων τῷ μηδέπω συγκατάθεσίν τινα εἶναι γίνεται διαλεκτικὸν πρόβλημα τὸ ζητούμενον. λέγει δὲ διαλεκτικὰ εἶναι προβλήματα καὶ περὶ ὧν μὴ ἔχομεν λόγον τινὰ καὶ συλλογισμὸν πότερον οὕτως ἔχει ἢ οὔ, ὄντων μεγάλων καὶ ἀξίων γνώσεως καὶ δῆλον ὅτι ὄντων ἀγνώστων καὶ ἐχόντων τινὰς λόγους· τῶν γὰρ μικρῶν καὶ καταφρονοῦμεν ὡς οὐδὲ τὴν ἀρχὴν ἀξίων ζητήσεώς τε καὶ γνώσεως. παράδειγμα δὲ αὐτὸς ἐναργὲς παρέθετο τῶν μεγάλων μὲν καὶ ἀξίων γνώσεως ἀπορουμένων δὲ καὶ ζητουμένων διὰ τὸ μὴ ἔχειν περὶ αὐτῶν συλλογισμὸν δεικτικόν, τοῦτ᾽ ἔστιν ἀπόδειξιν πῶς ἔχει, πότερον ὁ κόσμος ἀίδιός ἐστιν ἢ οὔ · διὰ τί γὰρ ἀίδιος, χαλεπὸν εἰδέναι καὶ ἄξιον ζητεῖσθαι.

in Top.78 δύναται τὸ ἔστι δὲ προβλήματα καὶ ὧν εἰσιν ἐναντίοι συλλογισμοὶ εἰρῆσθαι οὐχ ὡς προστιθέντος αὐτοῦ ἄλλα τινὰ προβλημάτων εἴδη, ἀλλ᾽ ὡς περὶ τῶν προειρημένων λέγοντος, ὂν ἴσον τῷ ‘ἔστι δὲ καὶ ταῦτα κἀκεῖνα προβλήματα‘. ἐναντίοι μὲν γὰρ συλλογισμοὶ ἐν οἷς ἐναντίως δοξάζουσιν “ἢ οἱ σοφοὶ τοῖς πολλοῖς ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖς”· περὶ ὧν δὲ λόγον μὴ ἔχομεν ὄντων μεγάλω ν , εἴη ἂν ταῦτα τὰ αὐτὰ τοῖς περὶ ὧν “μηδετέρως δοξάζουσιν”, ὡς εἶναι τῶν προειρημένων ὡς καλῶς εἰρημένων ὑπόμνημα, ἴσον ὄν, ὡς εἶπον, τῷ ‘ἔστι δὲ καὶ ταῦτα προβλήματα‘. ἐν δὲ τούτοις τὰ διαλεκτικὰ προβλήματα, ὅτι περὶ ὧν οὐδετέρως δοξάζουσιν οἱ πολλοί, οὐδέτερον μόριον τῆς ἀντιφάσεως προείληπται ὡς ἔνδοξον εἶναι· γίνεται μὲν γὰρ οὕτως διὰ τὸ προειλῆφθαι ἔνδοξόν τε καὶ πρότασις μᾶλλον ἢ πρόβλημα, τὸ δὲ ἀντικείμενον αὐτῷ ἄδοξον· τὸ γὰρ ἐνδόξῳ ἀντικείμενον ἄδοξον. ἀλλὰ καὶ περὶ ὧν οἱ σοφοὶ τοῖς πολλοῖς διαφέρονται ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖς, ὅμοια· καὶ γὰρ ἐπὶ τούτων οὐδέτερον μόριον οὔτε ἁπλῶς ἔνδοξον 〈οὔτε ἁπλῶς ἄδοξόν〉 ἐστι διὰ τὸ ἑκατέρων αὐτῶν τοὺς προϊσταμένους ὡς πρὸς τὸ ἔνδοξον ἴσους πως εἶναι. p. 104b19 Θέσις δέ ἐστιν ὑπόληψις παράδοξος τῶν γνωρίμων τινὸς κατὰ φιλοσοφία ν . Εἰπὼν περὶ τοῦ διαλεκτικοῦ προβλήματος ἑξῆς λέγει περὶ θέσεως, ἐπεὶ δοκεῖ καὶ θέσις τὸ πρόβλημα εἶναι, καὶ δείκνυσι τὸ ποῖον πρόβλημα θέσις ἐστίν. οὐ γὰρ πᾶν πρόβλημα θέσις ἐστίν· ἡ γὰρ παρὰ τὰς κοινὰς δόξας ὑπόληψίς τινος τῶν ἐνδόξων κατὰ φιλοσοφίαν θέσις κατ᾽ αὐτόν, οὖσα παράδοξος διὰ τὴν πρὸς τὰς κοινὰς προλήψεις μάχην, τὸ ἄξιον εἶναι ζητεῖσθαι περὶ αὐτῆς διὰ τὸν προστάτην ὄντα γνώριμον κατὰ φιλοσοφίαν ἔχουσα.

in Top.79 διὸ δεῖ καὶ τὸν προστάτην τῆς δόξης τὸν συνιστάντα τὴν θέσιν προσκεῖσθαι τῷ τοιούτῳ προβλήματι· οἷον ‘πότερον πάντα συνεχῶς ῥεῖ καὶ ἀεὶ γίνεται, οὐδέποτε δὲ οὐδέν ἐστιν ἑστὼς καθ᾽ Ἡράκλειτον ἢ οὔ;‘ καὶ ‘πότερόν ἐστιν ἓν καὶ ἀκίνητον τὸ ὄν, ὡς Παρμενίδῃ δοκεῖ, ἢ οὔ;‘ καὶ ‘πότερον κίνησις ἔστιν ἢ οὔ, ὡς δοκεῖ Ζήνωνι;‘ καὶ ‘πότερον ἡ ὑγεία ἀγαθὸν ἢ οὔ, ὡς Χρύσιππος λέγει;‘ καὶ ‘πότερον ἔστιν ἀντιλέγειν ἢ οὔ, ὡς Ἀντισθένει δοκεῖ;‘. ἀναιρῶν γὰρ Ἀντισθένης τὸ εἶναι ἀντιλέγειν ἔλεγε δεῖν μὲν τοὺς περί τινος λέγοντας ἐκεῖνο λέγειν καὶ σημαίνειν δι᾽ ὧν λέγουσι τὸ περὶ οὗ λέγουσιν, ἀλλὰ καὶ τοὺς ἀντιλέγοντας περὶ τοῦ αὐτοῦ ὀφείλειν λέγειν. ταῦτα προλαμβάνων ἔλεγεν· οἱ ἀντιλέγειν δοκοῦντες ἀλλήλοις περί τινος ἤτοι ἀμφότεροι λέγοντες τὸν τοῦ πράγματος λόγον ἀντιλέγουσιν ἢ οὐδέτερος ἢ ὁ μὲν λέγων ὁ δὲ οὐ λέγων· ἀλλ᾽ οὔτε, εἰ ἀμφότεροι λέγοιεν τὸν τοῦ πράγματος λόγον, ἀντιλέγοιεν ἄν (ταὐτὰ γὰρ ἂν λέγοιεν), εἴ τε μηδέτερος τὸν τοῦ πράγματος λέγοι λόγον, οὐδὲ τὴν ἀρχὴν ἄν τι λέγοιεν περὶ τούτου· οἱ δὲ μὴ λέγοντες περὶ αὐτοῦ τούτου οὐδ᾽ ἂν ἀντιλέγοιεν περὶ αὐτοῦ· εἰ δ᾽ ὁ μὲν λέγοι ὁ δὲ μή, οὐδ᾽ οὕτως ἂν ἀντιλέγοιεν· ὁ γὰρ μὴ λέγων τὸν τοῦ πράγματος λόγον οὐδ᾽ ὅλως ἄν τι λέγοι περὶ αὐτοῦ, ἀλλὰ περὶ ἐκείνου ὃ σημαίνει δι᾽ ὧν λέγει· οὕτως δὲ οὐδ᾽ ἂν ἀντιλέγοι περὶ αὐτοῦ. τούτων δὲ οὕτως ἐχόντων οὐδ᾽ ἂν ἀντιλέγειν εἴη. ψεῦδος δὲ λαμβάνει τὸ τοὺς μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγοντας τὸν τοῦ πράγματος λόγον ἢ τὸν μὴ λέγοντα μηδ’ ὅλως ἄν τι λέγειν περὶ αὐτοῦ· οὐ γάρ, εἴ τις μὴ ἀληθῆ λέγει, οὗτος οὐδὲ λέγει περί τινος. ἔστι δὲ λέγειν περί τινος καὶ ψευδῆ λέγοντα (οὐδὲ γὰρ ἂν εἴη τὸ ψεύδεσθαι ὅλως, εἰ μόνος εἴη λέγων περί τινος ὁ τἀληθῆ περὶ αὐτοῦ λέγων), εἴ γε πᾶς μὲν ὁ ψευδόμενος περί τινος λέγων περί τινος ψεύδεται. εἰ δὲ ἔστι ψεύδεσθαι, εἴη ἂν καὶ ἀντιλέγειν τινὰ ψευδόμενον· καθόλου γὰρ τὸ ἀντιλέγειν ἐστὶ τὸ περὶ τοῦ αὐτοῦ τὰ ἀντικείμενα λέγειν. οὐ δυνατὸν δὲ τοὺς τὰ ἀντικείμενα περὶ ταὐτοῦ λέγοντας ἀληθεύειν ἀμφοτέρους. οὐ τοῖς συλλογισμοῖς δὲ καὶ λόγοις αὐτῶν χρῆσθαι λέγει, ἀλλὰ ταῖς δόξαις ψιλαῖς. Εἰπὼν δὲ τὴν γνωρίμου τινὸς κατὰ φιλοσοφίαν παράδοξον ὑπόληψιν θέσιν εἶναι (διὰ γὰρ τὸν προστάτην ἀξία ζητήσεως ἡ δόξα γίνεται, καὶ διὰ τοῦτο πρόβλημα οὐκ οὖσα καθ’ αὑτὴν τοιαύτη γίνεται), εὐλόγως προσέθηκε τὸ γὰρ τοῦ τυχόντος ἐναντία ταῖς δόξαις ἀποφηναμένου φροντίζειν εὔηθες · πανταχόθεν γὰρ εὐκαταφρόνητον, καὶ ἐξ αὐτοῦ τὸ ἄδοξον ἔχον καὶ ἐκ τοῦ προστάτου.

in Top.80 τὸ δὲ ἀποφηναμένου εἶπε δηλῶν ὅτι εἰ καὶ χωρὶς συλλογισμοῦ λέγοι· ἐπεὶ ἐρεῖ γε πρόβλημα γίνεσθαι καὶ τὴν τοιαύτην δόξαν, ὅταν μετὰ συλλογισμοῦ τιθῆται. λέγει οὖν θέσεις εἶναι καὶ ταῦτα περὶ ὧν ταῖς κοιναῖς δόξαις ἐναντίοι τινές εἰσι λόγοι τε καὶ συλλογισμοί. καὶ γὰρ εἰ μὴ ἔνδοξον ἔχοι τὰ τοιαῦτα προστάτην, ἀλλ’ οἱ περὶ αὐτῶν συλλογισμοὶ ἐναντίοι ταῖς προκαταβεβλημέναις δόξαις περὶ αὐτῶν ὄντες ἄξια αὐτὰ παρέχονται ζητήσεως· ὃ γὰρ ἡ τῶν σοφῶν ἐν ἐκείνοις ποιεῖ δόξα, τοῦτο ἐν τούτοις ἡ διὰ τοῦ συλλογισμοῦ δεῖξίς τε καὶ πίστις. καὶ παρατίθεται δὲ τῆς τοιαύτης θέσεως δεικτικὸν παράδειγμα τοιοῦτον· ἡ μὲν κοινὴ δόξα λέγει ‘ πᾶν τὸ ὂν ἤτοι ἀίδιόν ἐστιν ἢ γεγονόσ‘· οἱ δὲ σοφισταὶ τοῦτο ἀναιρεῖν πειρῶνται διὰ λόγου τινὸς παρεχόμενοί τινα οὔτε ἀεὶ ὄντα οὔτε γεγονότα. λαμβάνοντες γὰρ τὸ τῶν ὄντων τι εἶναι τὸ μουσικὸν ὄντα γραμματικὸν εἶναι δεικνύουσιν ὅτι τοῦτο οὔτε ἀίδιόν ἐστιν (οὐ γὰρ ἀεὶ ἦν ὁ μουσικὸς γραμματικός, ἀλλ’ ἦν ποτε ὅτε οὐκ ἦν), ἀλλ’ οὐδὲ γενόμενον · οὐ γὰρ γίνεται ὁ μουσικὸς γραμματικός· εἰ γὰρ γίνεται, ἤτοι ὡς ἐξ ὕλης τοῦ μουσικοῦ γίνοιτ’ ἂν ὁ γραμματικός, ὡς ἐκ τοῦ χαλκοῦ ὁ ἀνδριὰς καὶ ὡς ὁ ἄνθρωπος γραμματικός (ἀλλ’ οὐκ ἔστιν ὕλη τὸ μουσικὸν τοῦ γραμματικοῦ), ἢ ὡς ἐξ ἐναντίου· οὐκ ἔστι δὲ ἐναντίον τῷ μουσικῷ τὸ γραμματικόν, ὅ γε καὶ συνυπάρχει αὐτῷ· οὐκ ἄρα τὸ μουσικὸν γραμματικὸν γίνεται· ἐξ ὧν συνάγουσι τὸ οὐ πᾶν ἄρα τὸ ὂν ἢ γενόμενόν ἐστιν ἢ ἀίδιο ν . ἔτι εἰ μήτε ὁ γραμματικὸς γινόμενος μουσικὸς γραμματικὸς μουσικὸς ἐγίνετο, ἔστι δὲ μουσικὸς γραμματικός, ὃ μὴ γέγονεν, ἔστιν. ἔτι οὐδεμία τέχνη ἐστὶν ἢ ἐπιστήμη ἣ διδάσκει τὸν μουσικὸν γραμματικόν· οὐδεὶς γάρ, καθ’ ὃ μουσικός ἐστι, γραμματικὸς γίνεται (οὐ γὰρ ἀπὸ τούτου εἰς ἐκεῖνο ἡ μεταβολή), ἀλλ’ ἀμφότερα, καθ’ ὃ ἄνθρωπος. δύναται τὸ λεγόμενον ὑπὸ τῶν σοφιστῶν καὶ οὕτω λέγεσθαι· ἂν ᾖ γεγονώς τις γραμματικὸς πρῶτον, εἶτα μουσικός, οὗτος οὐ γέγονε μὲν μουσικὸς ὢν γραμματικός, ἔστι δὲ μουσικὸς ὢν γραμματικός· ὁ οὖν λέγων ‘μουσικὸς ὢν γραμματικός ἐστι‘ λέγει καὶ ‘μουσικός ἐστι γραμματικόσ‘. περὶ δὲ τῶν καθ’ αὑτὰ ὄντων ἦν λεγόμενον τὸ ἀίδια αὐτὰ ἢ γενόμενα εἶναι.

in Top.81 ἔτι ὡς ἔστι (κατὰ συμβεβηκὸς δέ ἐστιν), οὕτως καὶ ἐγένετο· ὁ γὰρ μουσικὸς γιγνόμενος, εἰ προϋπῆρχεν ὢν γραμματικός (οὐ γὰρ δὴ ἅμα ἄμφω), γίνεται μουσικός· κατὰ συμβεβηκὸς δὲ ὁ γραμματικὸς μουσικὸς ἐγίνετο. ὡς οὖν τὰ τοιαῦτα ἔστιν, οὕτως καὶ γίνεται. τὰ γὰρ τοιαῦτα, φησί, λέγων τὰ παράδοξα, εἰ καὶ μὴ ἁπλῶς δοκεῖ τινι ἄξια ζητήσεως εἶναι, ἀλλὰ τῷ συλλογισμῷ τινα αὐτῶν εἶναι, δόξαι ἂν καὶ αὐτὰ διὰ τοῦτο ἄξια ζητήσεως. ὅτι μὲν οὖν καὶ ἡ θέσις ἐν τῷ προβλήματί ἐστι, γνώριμον· ἦν γὰρ πρόβλημα περὶ οὗ ἐναντίως δοξάζουσιν οἱ σοφοὶ τοῖς πολλοῖς· καὶ ἡ θέσις δέ, παράδοξος οὖσα ὑπόληψις τῶν γνωρίμων τινὸς κατὰ φιλοσοφίαν ἢ περὶ τῶν αἱρετῶν καὶ φευκτῶν ἢ περὶ τῶν θεωρητῶν ἢ περὶ τῶν συντελούντων πρός τι ἐκείνων, ἔχει τὸ ἐναντίως δοξάζειν τοῖς πολλοῖς τῶν σοφῶν τινα. ὑπὸ ταὐτὸ δ’ ἂν ὑπάγοιτο εἶδος τῶν προβλημάτων καὶ τὸ προσκείμενον τῇ θέσει τὸ περὶ ὧν λόγον ἔχομεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐναντίον ταῖς δόξαις · ὁ γὰρ λόγος καὶ ὁ συλλογισμὸς τὴν τοῦ σοφοῦ χώραν μεταλαμβάνων πρόβλημα καὶ τὸ τοιοῦτον ποιεῖ· ὁ γὰρ τοιοῦτος συλλογισμὸς παράδοξος ὑπόληψίς ἐστι καὶ αὐτός. Ἔστι μὲν οὖν καὶ ἡ θέσις πρόβλημ α , οὐ μὴν ἀντιστρέφει. οὐ γὰρ ὥσπερ ἦν πᾶσα θέσις πρόβλημα, οὕτω καὶ πᾶν πρόβλημα θέσις ἐστίν· εἰσὶ γὰρ ἐν τοῖς προβλήμασι καὶ τὰ περὶ ὧν οὐδετέρως δοξάζομε ν , ὃ οὐκ ἂν εἴη θέσις. διὰ δὴ τοῦτον τὸν τρόπον τὸ πρόβλημα ἀπὸ τῆς θέσεως χωρίσας ἐνεδείξατο ἡμῖν ὡς δυναμένης τῆς θέσεως ὑπάγεσθαί τινι τῶν ἄλλων προβλημάτων τῶν διὰ τὸ ἀντικειμένας εἶναι περὶ αὐτῶν δόξας ὄντων διαλεκτικῶν προβλημάτων, καὶ κατασκευάζει τοῦτο καὶ δείκνυσι δι' ὧν ἐπιφέρει· ἐκ γὰρ τῶν εἰρημένων περὶ τῆς θέσεως ἀνάγκη ἢ τοὺς πολλοὺς τοῖς σοφοῖς ἀμφισβητεῖν ἢ ὁποτερουσοῦν ἑαυτοῖ ς , ἐπειδὴ παράδοξος ὑπόληψις ἡ θέσις ἐστί ν . ἡ γὰρ παράδοξος ὑπόληψις τοιαύτη τῷ εἶναι αὐτῇ ἀντικειμένην τινὰ ὑπόληψιν ἔνδοξον. ἡ γὰρ παράδοξος ὑπόληψις, ὅταν μὲν ἔχῃ προσκείμενον τῶν γνωρίμων τινὰ κατὰ φιλοσοφία ν , ἕξει τῶν σοφῶν τινα ἀμφισβητοῦντα ἢ τοῖς πολλοῖς ἢ τοῖς σοφοῖς· ὅταν δὲ ᾖ ἡ θέσις λαμβανομένη ἐπὶ τούτων ἐφ' ὧν ἔχομεν ἐναντίον συλλογισμὸν ταῖς δόξαις, δύναται καὶ ἐν τῇ τῶν πολλῶν κατὰ τὴν δόξαν διαφορᾷ εἶναι, εἴ γε μὴ σοφός ἐστιν ὁ προστάτης τοῦ συλλογισμοῦ· ὁ γὰρ μὴ σοφὸς τῶν πολλῶν.

in Top.82 διὸ εἶπεν ἢ ὁποτερουσοῦν ἑαυτοῖς · οἱ γὰρ τὸν λόγον καὶ οἱ τὸν συλλογισμὸν λέγοντες ἢ σοφοὶ ὄντες πρὸς σοφοὺς ἂν μάχοιντο ἢ πρὸς τοὺς πολλούς, ἢ τῶν πολλῶν ὄντες μάχονται ταῖς δόξαις ταῖς τῶν σοφῶν ἢ ταῖς τῶν πολλῶν. ὅτι δὲ πρὸ ὀλίγου λέγων περὶ τοῦ προβλήματος οὐχ ὡς ἄλλα τινὰ εἴδη προβλημάτων προσέθηκε τὸ "ἔστι δὲ προβλήματα καὶ ὧν ἐναντίοι εἰσὶ συλλογισμοί" καὶ τὸ "περὶ ὧν λόγον μὴ ἔχομεν ὄντων μεγάλων", ἀλλ' ὡς τὰ προειρημένα ἀνακεφαλαιούμενος, δύναταί τις πιστοῦσθαι καὶ ἐκ τῶν νῦν περὶ τῆς θέσεως εἰρημένων· ὅτι γὰρ μὴ ἐπ' ἴσης ἡ θέσις τῷ προβλήματι δεικνὺς οὔτε ἐκεῖνα λέγων, τὰ ἐν οἷς προβλήμασιν οὖσιν οὐκ ἔστιν ἡ θέσις, ἐμνημόνευσε τούτων οὔτε ταῦτα, ἐν οἷς εἶναι δύναται τῶν προβλημάτων. Εἰπὼν δὲ τὰ προειρημένα περὶ τῆς θέσεως, καὶ ὁποῖόν τι ἡ θέσις αὐτῷ εἶναι δοκεῖ παραστήσας (ὃ γὰρ οὐκ ὂν αὐτὸ καθ' αὑτὸ οὐδὲ τῇ αὑτοῦ φύσει ζητήσεως ἄξιον ἢ διὰ τὸν προστάτην ἢ διὰ τὸν λόγον ἐγκρίνεται τοῖς προβλήμασί τε καὶ ζητήμασι, θέσις, ἀντιδιαιρουμένου καὶ ἐνταῦθα τοῦ 'θέσει' τῷ 'φύσει', ὥσπερ καὶ ἐπὶ τῆς τῶν ὀνομάτων θέσεως· καὶ γὰρ ἐκεῖ θέσει λέγομεν τὰ ὀνόματα, σημαίνοντες ὅτι μὴ φύσει), προστίθησι δὴ τούτοις ὅτι ἡ συνήθεια σχεδὸν πάντα τὰ διαλεκτικὰ προβλήματα θέσεις λέγει· τοὺς γοῦν εἰς προβλήματα λέγοντας εἰς θέσιν λέγειν φασίν. ἤδη δέ τινες θέσεις καὶ τὰ ῥητορικὰ καλοῦσι προβλήματα, ἐφ' ὧν τὸ τῆς ὑποθέσεως ὄνομα συνηθέστερον τῷ δοκεῖν τὰ τοιαῦτα ἐπὶ ὑποκειμένοις τισὶ καὶ ὡρισμένοις συνίστασθαι· κοινότερα γὰρ τὰ διαλεκτικὰ καὶ καθολικώτερα. ὅτι δὲ θέσεις καλοῦσι καὶ ταῦτα οἱ αἰτοῦντες τὰς ὑποθέσεις λέγουσιν. οὐδὲν δέ φησι δεῖν διαφέρεσθαι περὶ τοῦ ὀνόματος τοῦ τῆς θέσεως, εἴτε κατὰ παντὸς προβλήματος αὐτὸ ὁ διαλεκτικὸς φέρει, ὡς ἡ συνήθεια, εἴτε καὶ κατὰ τοῦ νῦν διωρισμένου προβλήματος ( οὐ γὰρ ὀνοματοποιῆσαι βουληθέντες τὴν θέσιν οὕτως ὡρισάμεθα, ἀλλ' ὑπὲρ τοῦ δεῖξαι τὴν ἐν τοῖς προβλήμασι διαφοράν, ἧς οὔσης γνωρίμου οὐδὲν ἔτι δεῖ περὶ τοῦ ὀνόματος φιλοτιμεῖσθαι), ἐνδεικνύμενος ἡμῖν καὶ διὰ τούτων ὅτι δεῖ τῇ συνήθει χρήσει τῶν ὀνομάτων ἐπακολουθοῦντας δεικνύναι τὰς τῶν σημαινομένων διαφοράς, ἀλλὰ μὴ νομοθετεῖν αὐτοὺς καὶ ὀνοματοποιεῖν καθ' ἃς ἂν ἐπινοήσωμεν πραγμάτων διαφορὰς ὀνόματα, ὡς εἰώθασι ποιεῖν οἱ ἄλλο μὲν ἡδονὴν ἄλλο δὲ χαρὰν λέγοντες καὶ ἄλλο μὲν αἱρετὸν ἄλλο δὲ ληπτόν.

in Top.83 p. 105a3 Οὐ δεῖ δὲ πᾶν πρόβλημα οὐδὲ πᾶσαν θέσιν ἐπισκοπεῖ ν . Εἰπὼν ὁποῖόν τί ἐστι τὸ διαλεκτικὸν πρόβλημα, καὶ τί ποτε τῶν προβλημάτων ἰδίως θέσις καλεῖται, προσδιορίζει ταῦτα καὶ δείκνυσιν ὅτι εὐλόγως τὸ πρόβλημα τὸ διαλεκτικὸν τοιοῦτον ἡμῖν κεῖται· οὐ γὰρ πᾶν πρόβλημα οὐδὲ πᾶσαν θέσιν ἐπισκοπεῖν δεῖ (λέγοι δ' ἂν νῦν ἐκ παραλλήλου τὸ πρόβλημα καὶ

τὴν θέσιν), ἀλλὰ περὶ τούτων τῶν προβλημάτων ἃ λόγου τοῦ κατασκευάσοντος αὐτὰ καὶ δείξοντος δεῖται ἀλλ’ οὐκ αἰσθήσεως ἢ κολάσεω ς . τὰ δὲ αἰσθήσεως ἢ κολάσεως δεόμενα οὔτε ἐν τούτοις ἐστὶ περὶ ὧν “οὐδετέρως δοξάζουσιν” οἱ ἄνθρωποι, οὔτε ἐν τούτοις περὶ ὧν “ἐναντίως οἱ σοφοὶ τοῖς πολλοῖς ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖς”. ἢ λέγοι ἂν ὅτι, εἰ καὶ λόγοι τε καὶ συλλογισμοὶ τῶν τοιούτων εἶεν παράδοξοι καταβεβλημένοι, ὡς διὰ τοῦτο ὑποπίπτειν αὐτὰ τῷ τῆς θέσεως λόγῳ, ὅμως οὐ χρὴ τὰ τοιαῦτα προσίεσθαι, διορίζων τὸ προειρημένον. τίνα δέ ἐστι τὰ αἰσθήσεως δεόμενα καὶ τίνα τὰ κολάσεως, σαφῶς διὰ τῶν παραδειγμάτων ἐδήλωσεν. ἐπιζητήσαι δὲ ἄν τις διὰ τί μὴ καὶ τὰ τοιαῦτα προβλήματα· εἰ γὰρ τὸ πρόβλημα τὴν ἀντίφασιν περιέχει, οὐχ οὕτως ὁ προτείνων πότερον δεῖ τοὺς θεοὺς σέβειν ἢ μή, καὶ πότερον δεῖ τοὺς γονεῖς τιμᾶν ἢ οὔ, τὸ μὴ δεῖν σέβειν τοὺς θεοὺς ἀξιοῖ δείκνυσθαι ἢ τὸ μὴ δεῖν τοὺς γονεῖς τιμᾶν. ἤτοι οὖν λέγει ὅτι τὰ τοιαῦτα μέρη τῶν προβλημάτων οὐ δεῖ ἐπισκοπεῖν, ἢ οὐδ’ ὅλως τὰ τοιαῦτα προβλήματα διαλεκτικά· ὧν γὰρ ἀντιφάσεων τὸ ἕτερον μόριον οὐ λόγων ἀλλὰ κολάσεως δεῖται διὰ τὸ ἄδοξον εἶναι, τούτων οὐδὲ τὸ ἕτερον δεῖται λόγων διὰ τὸ ἐναργές τε καὶ ἔνδοξον· πρόβλημα γάρ ἐστι τὸ δεόμενον δείξεως. τὰ γὰρ οὕτω πεπιστευμένα ὁ πειρώμενος κατασκευάζειν διὰ λόγων πολὺ τῆς περὶ αὐτῶν προειλημμένης πίστεως ἀσθενεστέραν τὴν διὰ τῶν λόγων παρέξεται σύστασιν. διὸ οὐδ’ ὅλως τὰ τοιαῦτα ἦν προβλήματα διαλεκτικά, ἀλλὰ προτάσεις μᾶλλον διὰ τὸ ἔνδοξον. ἔτι καὶ διὰ τοῦτο χρὴ τὰ τοιαῦτα τῶν προβλημάτων φυλάσσεσθαι, ὅτι ἡ πρὸς ταῦτα εὐπορία τῶν ἐπιχειρημάτων χείρους ποιεῖ τὰ ἤθη πολλάκις καὶ τοὺς λέγοντας καὶ τοὺς ἀκούοντας, ὅπερ ἐναντιώτατόν ἐστι τῇ γυμναστικῇ, εἴ γε προπαρασκευὴ πρὸς φιλοσοφίαν ἐστίν. ἢ εἰ καὶ μὴ ποιεῖ χείρους, ἀλλὰ φαίνεσθαί γε χείρους ποιεῖ· ἄτοπον δὲ λόγους ἐνδόξους παρέχεσθαι πειρώμενον ἑαυτὸν ἄδοξον ποιεῖν δι’ αὐτῶν.

in Top.84 πρότασις μὲν οὖν ἐστι διαλεκτικὴ τὸ ἀντικείμενον τῷ κολάσεως δεομένῳ μορίῳ τοῦ προβλήματος, πρόβλημα δὲ οὐδέτερον· εἰ γὰρ “οὐδὲ ὧν σύνεγγυς ἡ ἀπόδειξις” προβλήματα, ὡς ἑξῆς λέγει, πολλῷ μᾶλλον οὐκ ἂν εἴη προβλήματα ἃ διὰ τὴν ἐνάργειαν κολάσεως ἀξίους παρέχεται τοὺς ἀντιλέγοντας αὐτοῖς. ἢ διὰ τοῦτο τὰ τοιαῦτα οὐ προβλήματα, ὅτι ἡ εἰς τὰ προβλήματα ἐπιχείρησις εἰς ἀμφότερα ἐγίνετο· ἀσύστατα γὰρ τὰ τὴν εἰς τὸ ἕτερον τῶν ἀντικειμένων ἐπιχείρησιν ἀφῃρημένα. p. 105a7 Οὐδὲ δὴ ὧν σύνεγγυς ἡ ἀπόδειξι ς , οὐ δ ’ ὧν λίαν πόρρ ω . Τοῦ μηδὲ τὰ τοιαῦτα προβλήματα εἶναι διαλεκτικά, ὧν τε ἡ ἀπόδειξις ἐμφανής τε καὶ γνώριμος, καὶ ὧν πόρρω τε καὶ σφόδρα ἀσαφής, αὐτὸς τὰς αἰτίας παρέθετο εἰπὼν τὰ μὲν γὰρ οὐκ ἔχει ἀπορία ν , τὰ δὲ πλείω ἢ κατὰ γυμναστική ν . τὰ μὲν γὰρ ὧν σύνεγγυς ἡ ἀπόδειξις ῥᾴδια καὶ εὔγνωστα καὶ διὰ βραχείας ἐπιστάσεως γνωριζόμενα, οἷον εἰ προτείνοι τις πότερον ὁ ἄνθρωπος ζῷόν ἐστιν ἢ οὔ. τοιαῦτά ἐστι καὶ τὰ ἐν τοῖς περὶ καθηκόντων ὑπὸ τῶν ἀπὸ τῆς Στοᾶς ζητούμενα, οἷον πότερον χρὴ συναριστῶντά τισιν ἢ τῷ πατρὶ ἐκτείνειν ἐπὶ τὰ πορρωτέρω μέρη τὴν χεῖρα, ἂν ᾖ μείζω, ἢ μή, ἀλλ’ ἀρκεῖσθαι τοῖς παρακειμένοις, ἢ εἰ χρὴ ἀκούοντας φιλοσόφου ἐπηλλαχέναι τοὺς πόδας. ἀλλ’ οὐδὲ περὶ τῶν σοφιστικῶς καὶ ἐπιπολαίως συγκειμένων προβλημάτων ποιήσεται τὸν λόγον· παραχρῆμα γὰρ κατάφωρον γίνεται τὸ ἐν αὐτοῖς ἀμφισβητεῖσθαι δοκοῦν, οἷον πότερον ὁ ἀνδρεῖος ἀνδρείαν ἔχει ἢ οὔ, καὶ πότερον ὁ δίκαιος ἄδικος ἢ οὔ, καὶ πότερον ὁ σοφὸς ἀμαθὴς ἢ οὔ· δόξει γὰρ μήτε ὁ ἀνδρεῖος ἀνδρείαν ἔχειν διὰ τὸν χιτῶνα τὸν ἀνδρεῖον καὶ ὁ δίκαιος ἄδικος εἶναι διὰ τὸ ἄδικά ποτε πράττειν καὶ ὁ σοφὸς ἀμαθὴς εἶναι διὰ τὸ μανθάνειν μὲν τὸν ἀμαθῆ τὸν δὲ σοφὸν μανθάνειν. τοιαῦτα καὶ τὰ ‘πότερον τὸν τυφλὸν οἷόν τέ ἐστιν ὁρᾶν ἢ οὔ, ἢ τὸν σιγῶντα λέγειν;’· τὰ γὰρ τοιαῦτα ἐριστικά τε καὶ ἐπιπόλαια καὶ παρὰ τὸ τῆς λέξεως διττὸν ἔχει τὴν κακουργίαν. ἐκλέγεσθαι δὲ δοκεῖ καὶ τὰ κατὰ τὰς ἐπιστήμας τε καὶ τέχνας προβλήματα τῶν διαλεκτικῶν, ὅτι κεῖται τὰ διαλεκτικὰ ἢ περὶ τῶν “πρὸς αἵρεσιν καὶ φυγὴν” εἶναι ἢ περὶ τῶν “πρὸς ἀλήθειαν καὶ γνῶσιν” ἢ περὶ τῶν συνεργούντων πρός τι τοιοῦτον· τὰ γὰρ κατὰ τὰς ἐπιστήμας τε καὶ

τέχνας ἢ πρὸς αἵρεσίν ἐστιν, ὡς τὰ ἐν ἰατρικῇ, ἢ πρὸς ἀλήθειαν καὶ γνῶσιν, ὡς τὰ ἐν γεωμετρίᾳ, συντελεῖ.

in Top.85 διὸ καὶ ταῦτα ἔσται διαλεκτικὰ προβλήματα, ἂν ἔχῃ τὰ προειρημένα, τοῦ διαλεκτικοῦ οὐ διὰ τῶν οἰκείων ἀρχῶν αὐτὰ δεικνύντος ἀλλὰ δι᾽ ἐνδόξων τινῶν· προείρηται γὰρ τὴν διαλεκτικὴν μέθοδον "περὶ παντὸς τοῦ προτεθέντος προβλήματος ἐξ ἐνδόξων" εἶναι συλλογιστικήν. διὸ ὅσα μὲν τῶν κατὰ τὰς ἐπιστήμας τε καὶ τὰ μαθήματα κοινοτέρας ἐπιχειρήσεις δέχεται, διαλεκτικὰ ἂν εἴη προβλήματα· ὅσα δὲ μὴ τοιαῦτα τῷ πλείω θεωρίαν ἔχειν ἢ κατὰ γυμναστική ν , ἐκπίπτοι ἂν τῶν διαλεκτικῶν προβλημάτων. οὐ γὰρ διαλεκτικὸν τὸ 'πότερον πᾶν τρίγωνον τὰς ἐντὸς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει ἢ οὔ;'· κρείττονος γὰρ καὶ ἀκριβεστέρας μεθόδου δεῖ πρὸς τὴν τῶν τοιούτων κατασκευὴν προβλημάτων· τοῦ γὰρ γεωμέτρου τὸ δεῖξαι τοῦτο ὅπως ἔχει. διὸ οὐδὲ τῶν κατὰ φιλοσοφίαν ἐστὶ πάντα τὰ τοιαῦτα διαλεκτικὰ προβλήματα, οἷον πότερον μία ὕλη πάντων ἢ οὔ, καὶ πότερον ἡ ὕλη ἥνωται ἢ οὔ, καὶ πότερον αἱ ἄτομοι ἀρχαὶ τῶν ὄντων ἢ οὔ, καὶ πότερον πᾶν τὸ κινοῦν κινούμενον κινεῖ ἢ οὔ, καὶ πότερον ἀίδιός ἐστιν ἡ κίνησις ἢ οὔ· πλείονος γὰρ καὶ ἀκριβεστέρας τὰ τοιαῦτα ἐπιστάσεως δεῖται. τῶν οὖν περὶ τὰ αἱρετὰ καὶ φευκτὰ καὶ τῶν πρὸς ἀλήθειάν τε καὶ γνῶσιν καὶ τῶν πρός τι τούτων συντελούντων ὅσα μὲν ἔνδοξά ἐστι, ταῦτα προτάσεις διαλεκτικαί· ὅσα δὲ τοιαῦτά ἐστιν ὡς μηδετέρως περὶ αὐτῶν δοξάζειν ἢ ἐναντίως τοὺς σοφοὺς τοῖς πολλοῖς ἢ ἑκατέρους αὐτοὺς ἑαυτοῖς, ταῦτα προβλήματα. p. 105a10 Διωρισμένων δὲ τούτων χρὴ διελέσθαι πόσα τῶν λόγων εἴδη τῶν διαλεκτικῶ ν . Προτίθεται εἰπεῖν πόσα καὶ τίνα εἴδη τῶν λόγων τῶν διαλεκτικῶ ν , καθ᾽ οὓς τὸ γυμνάζεσθαι γίνεται, καὶ πρὸς οὓς χρήσιμα τὰ παραδοθησόμενα. ὄργανα. δύο δέ φησιν εἶναι, ἐπαγωγήν τε καὶ συλλογισμόν. ὧν τί μέν ἐστι συλλογισμός, εἰρῆσθαι φθάνει· περὶ δὲ ἐπαγωγῆς νῦν τὸν λόγον ποιεῖται.

in Top.86 ὅτι δὲ ταῦτα τῶν λόγων δι᾽ ὧν αἱ δείξεις γίνονταί τινων, τὰ ἀνωτάτω γένη, δῆλον ἐκ τοῦ πάντα τὸν δεικνύντα τι ἢ διά τινος καθόλου τε καὶ κοινοτέρου δεικνύναι αὐτὸ ἢ διά τινων τῶν ὑπ᾽ αὐτό· αὐτὸ γὰρ δι᾽ ἑαυτοῦ οὐδὲν δείκνυται. 〈οὐκ〉 εἴη δ᾽ ἂν καὶ τὸ ἴσον καθόλου. ἡ μὲν οὖν διὰ τοῦ καθόλου δεῖξις συλλογιστική, ἡ δὲ διὰ τῶν ὑπὸ τὸ καθόλου ἐπακτική. ὑποτάσσεται δὲ τῷ μὲν συλλογισμῷ τὸ ἐνθύμημα, τῇ δὲ ἐπαγωγῇ τὸ παράδειγμα, τὸ μὲν ἐνθύμημα ῥητορικὸς συλλογισμὸς ὤν, τὸ δὲ παράδειγμα ῥητορικὴ ἐπαγωγή. λέγει δὲ τὴν ἐπαγωγὴν εἶναι τὴν διὰ τῶν κα θ ᾽ ἕκαστα ἐπὶ τὸ καθόλου πρόοδον. διὸ οὐχ ὑγιῶς λέγουσιν οἱ λέγοντες τὴν ἐπαγωγὴν λόγον εἶναί τινα ἀπὸ ὁμοίου ἐπὶ ὅμοιον· οὐ γὰρ ὅμοιον τὸ καθόλου τοῖς ὑπ᾽ αὐτό· τῆς δὲ τοῦ καθόλου δείξεως χάριν ἡ ἐπαγωγὴ μάλιστα. ὁ δὲ ἀπὸ ὁμοίων ἐπὶ ὅμοιον λόγος μᾶλλον ἂν τὸ παράδειγμα σημαίνοι. ὁ γὰρ λόγος ὁ διὰ τῶν καθ᾽ ἕκαστα τὸ καθόλου δεικνὺς καὶ πιστούμενος, οὗτός ἐστιν ἐπαγωγή. ὁ γὰρ δεικνὺς καθόλου ὅτι ἐν πᾶσιν ἄριστος ὁ ἐπιστάμενος διὰ τοῦ λαβεῖν ὅτι κυβερνήτης ἄριστος ὁ ἐπιστάμενος, ὁμοίως καὶ ἡνίοχος, ὁμοίως καὶ στρατηγός, ὁμοίως καὶ ἰατρός, ὁμοίως γεωμέτρης, μουσικός, τέκτων, δι᾽ ἐπαγωγῆς τοῦ ἐν πᾶσιν ἄριστον εἶναι τὸν ἐπιστάμενον τὴν δεῖξιν ποιεῖται. λέγει δὲ καὶ τὴν κατὰ τὸ χρήσιμον διαφορὰν τοῦ τε συλλογισμοῦ καὶ τῆς ἐπαγωγῆς ἥτις ἐστί. τὴν μὲν γὰρ ἐπαγωγὴν τὸ πιθανώτερόν φησιν ἔχειν καὶ σαφέστερο ν , καὶ ὅπως σαφέστερον προσέθηκε, διὰ γὰρ τὸ κατὰ τὴν αἴσθησιν γνωριμώτερο ν , ὃ κοινὸν τοῖς πολλοῖς ἐστιν· ἡ γὰρ ἐπαγωγὴ διὰ τῶν καθ᾽ ἕκαστα γίνεται, ἅ ἐστιν αἰσθητά, τὰ δὲ αἰσθητὰ καὶ τοῖς πολλοῖς κοινά τε καὶ γνώριμα. τὸ μὲν οὖν πιθανὸν ἡ ἐπαγωγὴ ἔχει, οὐ μὴν καὶ τὸ ἀναγκαῖον. οὐ γὰρ ἐξ ἀνάγκης ἐπὶ τοῖς κατὰ μέρος συγχωρηθεῖσι τὸ καθόλου διὰ τὸ μὴ οἷόν τε πάντα τὰ καθ᾽ ἕκαστα ἐπεξελθόντας διὰ τῆς ἐπαγωγῆς λαβεῖν· ἀδιεξίτητα γὰρ τὰ καθ᾽ ἕκαστα. καὶ γὰρ εἰ πάντα, ἤτοι καὶ τοῦτο λήψεται οὗ χάριν χρῆται τῇ ἐπαγωγῇ, καὶ οὐκέτι αὐτῷ τῆς τοῦ καθόλου λήψεως χρεία, ἀφ᾽ οὗ ἐπὶ τοῦτο μεταβήσεται, ὥστε οὐκέτ᾽ ἐπακτικὸς ὁ λόγος ἐστίν, ἢ οὐκ ἔστι τοῦτο ἐν τοῖς λαμβανομένοις,

καὶ ἔστιν ἐνστάσεως ἀφορμὴ πρὸς τὴν τοῦ καθόλου λῆψιν ἐπ' αὐτοῦ τούτου ὡς οὐχ ὁμοίως ἔχοντος τοῖς συγκεχωρημένοις.

in Top.87 ὁ δὲ συλλογισμὸς ἧττον ἔχων τὸ πιθανὸν τὸ ἀναγκαῖον καὶ τὸ βιαστικὸν ἔχει, καὶ ἔστι πρὸς τοὺς ἀντιλέγειν πειρωμένους ἐνεργέστερον καὶ μᾶλλον τὸ προκείμενον ἐργαζόμενόν τε καὶ περαινόμενον· οὐ γάρ ἐστι χώρα ἀντιλογίας τοῖς τὰς συλλογιστικὰς συγχωρήσασιν προτάσεις, ὃ ἐπὶ τῆς ἐπαγωγῆς χώραν ἔχει τῷ μὴ πάντα οἷόν τε ἐπεξελθεῖν τὰ καθ' ἕκαστα, ὡς εἶπον. ὥσπερ δὲ οὐ πᾶς συλλογισμὸς διαλεκτικός, οὕτως οὐδὲ πᾶσα ἐπαγωγή· καὶ γὰρ εἰ πᾶσα τὸ πιθανὸν ἔχει, ὃ οἰκεῖόν ἐστι τῆς διαλεκτικῆς, ἀλλ' οὐ διὰ τοῦτο διαλεκτικοῦ μόνου ἡ δι' ἐπαγωγῆς δεῖξις. ἢ ἡ μὲν χάριν δείξεώς τε καὶ λήψεως τοῦ καθόλου λαμβανομένη ἐπαγωγὴ μόνης ἢ μάλιστα τῆς διαλεκτικῆς οἰκεία· τῷ γὰρ πιστεύσαντα τοῖς λαμβανομένοις τῷ καθόλου συγχωρῆσαι χρώμεθα αὐτῇ. ἡ δὲ πρὸς τὴν τῶν ἀξιωμάτων λῆψιν συντελοῦσα, χάριν τοῦ σαφὲς ποιῆσαι τὸ λεγόμενον παραλαμβανομένη ἀλλ' οὐ τὸ καθόλου δεῖξαι (ἐξ αὐτοῦ γὰρ γνώριμον τοῦτο νοηθέν), οὔτε διαλεκτικὴ ἔτι οὔτε κυρίως ἐπαγωγή. p. 105a20 Τὰ μὲν οὖν γέν η . Λέγει ἃ ἐξέθετο τέσσαρα, τὸν ὅρον, τὸ ἴδιον, τὸ γένος, τὸ συμβεβηκός· περί τε γὰρ ὧν οἱ λόγο ι , ἅπερ ἐστὶ τὰ προβλήματα, ἐν τοῖς γένεσι τούτοις, καὶ ὁμοίως ἐξ ὧν οἱ λόγοι, ἅ εἰσιν αἱ προτάσεις, ἐν τούτοις καὶ αὐταί. εἴρηκε δὲ καὶ τί ἑκάτερον τούτων. ἐν ἀρχῇ δὲ τοῦτο εἶπε δεῖν διορισθῆναι, τίνα ἐστὶ περὶ ὧν τε οἱ λόγοι καὶ ἐξ ὧ ν . p. 105a21 Τὰ δὲ ὄργαν α , δ ι ' ὧν εὐπορήσομεν τῶν συλλογισμῶ ν , ἐστὶ τέσσαρ α . Περιττεῦον ἦν ἔτι τοῦτο καὶ τελευταῖον τῶν ἐν οἷς εἶπεν εἶναι τὴν μέθοδον τὴν διαλεκτικήν· εἰπὼν γὰρ “πρῶτον οὖν θεωρητέον ἐκ τίνων ἡ μέθοδος” ἐπήνεγκεν “εἰ δὴ λάβοιμεν πρὸς πόσα καὶ ποῖα καὶ ἐκ τίνων οἱ λόγοι καὶ πῶς τούτων εὐπορήσομεν, ἔχοιμεν ἂν ἱκανῶς τὸ προκείμενον”. εἰρηκὼς οὖν περί τε τῶν προτάσεων, ὧν ἦν δηλωτικὸν τὸ “ἐκ τίνων”, καὶ περὶ τῶν προβλημάτων, ἃ ἐδήλου διὰ τοῦ “πρὸς πόσα τε καὶ ποῖα”, νῦν καὶ περὶ τῶν ὀργάνων προτίθεται λέγειν, ἅ ἐστι συντελοῦντα πρὸς τὴν εὕρεσίν τε καὶ εὐπορίαν τῶν διαλεκτικῶν λόγων.

in Top.88 ταῦτα δέ ἐστι συλλογισμός τε καὶ ἐπαγωγή, ὡς προείρηκεν. αὐτὸς μέντοι τῶν συλλογισμῶν ἐμνημόνευσε μόνων, καὶ ἔστι τὸ λεγόμενον ἴσον τῷ ‘ τὰ δὲ ὄργανα δ ι ' ὧν εὐπορήσομεν τῶν διαλεκτικῶν λόγων, ἐστὶ τέσσαρα ‘ . ὧν ἓν μέν φησι εἶναι τὸ προτάσεις λαβεῖ ν , οὐ τὰς προτάσεις λέγων ὄργανα τῶν διαλεκτικῶν λόγων· μέρη γὰρ αὗται καὶ τῶν συλλογισμῶν καὶ τῶν ἐπαγωγῶν· οὐκ ἔστι δὲ τὰ μέρη τινὸς ὄργανα ἐκείνου· ἀλλὰ ὄργανον λέγει τὸ δι' οὗ δυνησόμεθα προτάσεων εὐπορεῖν· οὐ γὰρ αἱ προτάσεις ἀλλὰ τὸ εὐπορεῖν προτάσεων ποιοῦν δύνασθαι ὄργανον. δεύτερον δέ φησιν εἶναι τῶν ὀργάνων τῶν πρὸς τὴν εὐπορίαν τῶν προτάσεων συντελούντων τὸ δύνασθαι τὰ πολλαχῶς λεγόμενα γνωρίζειν τε καὶ διαιρεῖσθαι, εἴτε ἐν ὀνόμασιν εἴη ταῦτα εἴτε ἐν λόγοις. τρίτον τὸ δύνασθαι τὰς διαφορὰς γνωρίζειν τινῶν, καθ' ἃς ἀλλήλων διαφέρει. τέταρτον τὸ τὰς ὁμοιότητας τὰς ἐν τοῖς διαφέρουσιν εὑρίσκειν δύνασθαι. ὅτι μὲν οὖν ἡ τῶν προτάσεων ἐκλογή τε καὶ παρασκευὴ χρήσιμος πρὸς τοὺς συλλογισμούς, δῆλον· ἔχοντες γὰρ προτάσεις ἐκλελεγμένας διαλεκτικάς, τοῦτ' ἔστιν ἐνδόξους, ῥᾳδίως δυνησόμεθα περὶ τοῦ προτεθέντος προβλήματος συλλογίζεσθαι. τὴν δὲ τῶν ἄλλων ὀργάνων χρείαν, τήν τε τοῦ ἐπεσκέφθαι τὴν τῶν πολλαχῶς λεγομένων διαίρεσιν καὶ τὴν τοῦ τὰς διαφορὰς δύνασθαι γνωρίζειν τε καὶ εὑρίσκειν καὶ τὴν τοῦ ὁμοίου θεωρίαν, αὐτὸς προελθὼν λέγει μετὰ τὸ γράψαι τὰς καθ' ἕκαστον αὐτῶν μεθόδους. p. 105a25 Ἔστι δὲ τρόπον τινὰ καὶ τὰ τρία τούτων προτάσει ς . Τοῦτ' ἔστιν ‘ ἔστι δὲ καὶ τὰ τρία τούτων τρόπον τινὰ εἰς τὴν τῶν προτάσεων ἐκλογὴν συντελοῦντα, ἐξ ὧν οἵ τε συλλογισμοὶ καὶ αἱ ἐπαγωγαί‘. ἔκ τε γὰρ τῆς διαιρέσεως τῶν πολλαχῶς λεγομένων προτάσεων εὐπορία γίνεται καὶ ἐκ τῆς τῶν διαφορῶν εὑρέσεως καὶ ἐκ τῆς τῶν ὁμοίων θεωρίας· αὐτὸ γὰρ διαιρεθὲν τὸ πολλαχῶς λεγόμενον πρότασις γίνεται· ὁμοίως καὶ τῶν ἄλλων ἕκαστον. καὶ δείκνυσι τοῦτο διὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραδείγματος τοῦ ὅτι τὸ αἱρετόν ἐστι τὸ καλὸν ἢ τὸ ἡδὺ ἢ τὸ συμφέρο ν . ἐκ γὰρ τῆς τούτου διαιρέσεως ἔχοντες τὴν πρότασιν ταύτην ἐπιχειροίημεν ἂν πρὸς τὸ πρόβλημα τὸ 'πότερον τὸ τυραννεῖν αἱρετὸν ἢ οὔ;'· εἰ γὰρ πᾶν μὲν αἱρετὸν ἢ καλὸν ἢ ἡδὺ ἢ συμφέρον, ἡ δὲ τυραννὶς οὐδὲν τούτων ἔχει, οὐκ ἂν εἴη αἱρετή.

in Top.89 πάλιν ἐκ τῆς τοῦ σώματος διαιρέσεως ἔχοντες ὅτι τὸ σῶμα ἢ φυσικόν ἐστιν ἢ μαθηματικόν, πρὸς τὸ πρόβλημα τὸ 'πότερον ἡ ψυχὴ σῶμα ἢ οὔ;' εὐπορήσομεν συλλογισμοῦ δεικνύντες ὅτι μήτε φυσικὸν σῶμα μήτε μαθηματικὸν ἡ ψυχή. ὁμοίως καὶ ἐκ τῆς τοῦ ἀγαθοῦ διαιρέσεως πρὸς τὸ ὅτι μὴ μόνον τὸ καλὸν ἀγαθὸν ἢ ὅτι μὴ μόνον τὸ ἀγαθὸν ἐν ψυχῇ. καὶ ἐκ τῆς τῶν διαφορῶν δὲ γνώσεως δείκνυσι πάλιν διὰ παραδείγματος πῶς εὐπορία προτάσεων γίνεται. ὅτι γὰρ διαφέρει αἴσθησις ἐπιστήμης τῷ τὴν μὲν ἀποβαλόντα δυνατὸν εἶναι πάλιν λαβεῖν τὴν δὲ αἴσθησιν ἀδύνατο ν , εἰδότες εὐποροίημεν ἂν προτάσεων πρὸς τὸ πρόβλημα τὸ 'πότερον ταὐτὸν αἴσθησις καὶ ἐπιστήμη ἢ οὔ;'· εἰδότες γὰρ αὐτῶν τὰς πρὸς ἄλληλα διαφορὰς δεικνύοιμεν ἂν ὅτι οὐ ταὐτόν. ὁμοίως δὲ τῷ ὑπ' αὐτοῦ εἰρημένῳ καὶ διὰ τοῦ τὴν μὲν ἐπιστήμην δύνασθαι παρ' ἄλλου λαβεῖν τὴν δὲ αἴσθησιν μή. ἀλλὰ καὶ οὕτως· αἴσθησιν μὲν μᾶλλον καὶ ἧττον ἔχειν ἔστιν, ἐπιστήμην δὲ οὔ, καὶ ἔστιν ἡ μὲν αἴσθησις ἐκ γενετῆς, ἡ δὲ ἐπιστήμη οὔ, καὶ ἡ μὲν φύσει, ἡ δὲ οὔ, καὶ τῆς μὲν πάντα τὰ ζῷα κοινωνεῖ, τῆς δὲ τὰ λόγον ἔχοντα μόνα. ὁμοίως δὲ καὶ τῆς δόξης καὶ τῆς ἐπιστήμης εἰδότες διαφορὰν ἔχοιμεν ἂν προτάσεις πρὸς τὸ δεικνύναι ὅτι μὴ αἱ αὐταί, εἴ γε ἡ μὲν περὶ τῶν ἐνδεχομένων καὶ ἄλλως ἔχειν, ἐπιστήμη δὲ οὔ. πάλιν ἀπὸ τῆς τοῦ ὁμοίου θεωρίας παρέθετο πρότασιν εὑρισκομένην τὴν ὅτι ὁμοίως ἔχει τὸ ὑγιεινὸν πρὸς ὑγείαν καὶ τὸ εὐεκτικὸν πρὸς εὐεξία ν . ἔχοντες γὰρ ταύτην τὴν πρότασιν εὐποροίημεν ἂν πρὸς τὸ πρόβλημα τὸ 'πότερον τὰ εὐεκτικὰ ποιητικά ἐστιν εὐεξίας ἢ οὔ;'· εἰ γὰρ ὁμοίως μὲν ἔχει ταῦτα πρὸς εὐεξίαν καὶ τὰ ὑγιεινὰ πρὸς ὑγείαν, ποιητικὰ δὲ ὑγείας τὰ ὑγιεινά, ποιητικὰ ἂν εὐεξίας εἴη τὰ εὐεκτικά. πάλιν ζητουμένου πότερον ἡ γαλήνη ἡσυχία ἐστὶν ἢ οὔ, διὰ τῆς τοῦ ὁμοίου θεωρίας ἔχοντες πρότασιν τὴν 'ὁμοίως ἔχει νηνεμία ἐν ἀέρι καὶ γαλήνη ἐν θαλάσσῃ', προσλαβόντες ὅτι 'ἡ δὲ νηνεμία ἡσυχία' εἴημεν ἂν καὶ ὅτι ἡ γαλήνη ἡσυχία δεδειχότες. εἰ δὲ καὶ τὰ τρία τῶν ὀργάνων πρὸς τὴν εὐπορίαν τῶν προτάσεων ἔχει τὴν συντέλειαν, εὐλόγως κατὰ τὴν ἀρχὴν λέγων περὶ τίνα τῇ διαλεκτικῇ τὸ εἶναι εἰπὼν "εἰ δὴ λάβοιμεν πρὸς πόσα τε καὶ ποῖα καὶ ἐκ τίνων οἱ λόγοι" προσέθηκε τὸ "καὶ πῶς τούτων εὐπορήσομεν", εἴ γε τὰ ὄργανα πάντα πρὸς τὴν τῶν προτάσεων εὐπορίαν συντελεῖ, αἱ δὲ προτάσεις ὕλη τῶν συλλογισμῶν.

in Top.90 p. 105a34 Τὰς μὲν οὖν προτάσεις ἐκλεκτέον ὁσαχῶς διωρίσθη περὶ προτάσεω ν . Περὶ τῆς τῶν προτάσεων ἐκλογῆς πρῶτον λέγων τόπους τινὰς καὶ ἀφορμὰς τῆς τε ἐκλογῆς καὶ τῆς εὐπορίας αὐτῶν παραδίδωσιν. ὁσαχῶς γὰρ ὡρίσθη ἡ ἔνδοξός τε καὶ διαλεκτικὴ πρότασις, κατὰ πάντα χρὴ ταῦτα τὰς ἐκλογὰς αὐτῶν ποιεῖσθαι· καὶ γὰρ τὰ πᾶσι δοκοῦντα χρὴ ἔχειν ἐκλελεγμένα καὶ τὰ τοῖς πλείστοις, ὁμοίως καὶ ἐπὶ τῶν σοφῶν καὶ τὰ πᾶσι δοκοῦντα καὶ τὰ τοῖς πλείστοις καὶ τὰ τοῖς ἐνδοξοτάτοις. ἀλλὰ καὶ τὰς ἐναντίας ταῖς ἐνδόξοις φησὶ δεῖν ἐκλέγειν· ἐκ γὰρ τῆς τούτων ἐκλογῆς εὐπορία προτάσεων διαλεκτικῶν γίνεται κατ' ἀντίφασιν προτεινομένων· ὁ γὰρ ἔχων τὴν ὅτι δεῖ τοὺς φίλους κακῶς ποιεῖν, ἐναντίαν οὖσαν ἐνδόξῳ προτάσει, ἐν τῇ χρείᾳ ἀποφατικῶς αὐτὴν προτείνας εὐπορήσει διαλεκτικῆς προτάσεως. ὃ καὶ αὐτὸς ἐδήλωσε διὰ τοῦ εἰπεῖν τὸ δεῖ δὲ προτείνειν καὶ τὰς ἐναντίας ταῖς φαινομέναις ἐνδόξοις κα τ ' ἀντίφασιν · πῶς γὰρ δεῖ χρῆσθαι καὶ λαμβάνειν τὰς ἐναντίας ταῖς φαινομέναι ς , διώρισε διὰ τούτων. δεῖν δέ φησι καὶ ὅσαι κατὰ τὰς τέχνας δόξαι εὑρημέναι εἰσί, καὶ ταύτας ἐκλέγειν, οἷον τὰς ἐν γεωμετρίᾳ ὑπὸ τῶν γεωμετρῶν καὶ τὰς ἐν μουσικῇ ὑπὸ τῶν μουσικῶν ἢ τῶν διαφερόντων ἐν αὐτοῖς. θείη γὰρ ἄν τις ὡς ἔνδοξον τὸ ὑπὸ Ἱπποκράτους λεγόμενον ἐν ἰατρικῇ καὶ τὸ ὑπὸ Ἀρχιμήδους ἐν γεωμετρίᾳ καὶ τὸ ὑπὸ Ἀριστοξένου ἐν μουσικῇ. χρήσιμον δὲ λέγει πρὸς τὴν ἐκλογήν τε καὶ παρασκευὴν τῶν ἐνδόξων προτάσεων καὶ τὸ μὴ μόνον τὰς ἐνδόξους ἐκλέγειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλὰ καὶ τὸ τὰς ὁμοίας ταῖς ἐνδόξοις, τῇ παραθέσει τῇ τῶν ἐνδόξων ἐνδόξους αὐτὰς ποιοῦντας, ὡς εἶπε καὶ ἐν τῷ περὶ τῶν προτάσεων λόγῳ. ὄντος γὰρ ἐνδόξου τοῦ τῶν ἐναντίων τὴν αὐτὴν ἐπιστήμην εἶναι ὅμοιον μέν ἐστιν αὐτῷ τὸ αἴσθησιν τῶν ἐναντίων τὴν αὐτὴν εἶναι· ἔνδοξον δ' ἂν γένοιτο τῶν τοιούτων ἕκαστον τῇ τοῦ ὁμοίου παραθέσει ὄντος ἐνδόξου.

in Top.91 δεῖ γὰρ προτείνοντας λέγειν 'ἆρά γε τῶν ἐναντίων ἡ αὐτὴ αἴσθησι ς , ὥσπερ καὶ ἐπιστήμη;', ἢ οὕτως· 'ἆρά γε τῶν ἐναντίων ἡ αὐτὴ αἴσθησι ς , ἐπειδὴ καὶ ἐπιστήμη ἡ αὐτὴ τῶν ἐναντίων;' καὶ 'ἆρά γε ὁρῶμεν πασχούσης τι τῆς ὄψεως; καὶ γὰρ καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων ἡ ἀντίληψις οὕτωσ ' · ῥᾶον γὰρ συγχωροῦνται διὰ τὴν πρὸς τὰς ἐνδόξους ὁμοιότητα. οἷόν ἐστι καὶ τὸ τοιοῦτον· 'ἆρά γε ὥσπερ δεῖ τοὺς φίλους εὖ ποιεῖν, οὕτως καὶ μὴ ποιεῖν αὐτοὺς κακῶς χρή;'. p. 105b10 Ἔτι ὅσα ἐπὶ πάντων ἢ τῶν πλείστων φαίνετα ι , ληπτέον ὡς ἀρχὴν καὶ δοκοῦσαν θέσι ν . Δεῖν φησι καὶ τὰ ἢ ἐπὶ πάντων ἢ τῶν πλείστων οὕτως ἔχειν φαινόμενα καθόλου λαμβάνειν ὡς ἀρχὰς ὄντα καὶ ἀληθῆ καὶ δοκοῦντα πᾶσι καὶ οὕτω τιθέμενα (τῷ γὰρ τῆς θέσεως ὀνόματι νῦν ἐπὶ τοῦ συγχωρεῖσθαι καὶ τίθεσθαι κέχρηται), τοῦτ' ἔστι χρῆσθαι δεῖ καὶ ταῖς τοιαύταις προτάσεσιν ὡς ὁμολογουμέναις καὶ ἀρχαῖς, κἂν μὴ ἐπὶ πάντων οὕτως πρὸς ἀλήθειαν τὸ λεγόμενον ἔχῃ. τοιαῦτα δ' ἂν εἴη· 'τὸ τῷ μείζονι ἀγαθῷ ἐναντίον μεῖζόν ἐστι κακόν'· τοῦτο γάρ, εἰ καὶ μὴ ἐπὶ πάντων οὕτως ἔχει, ἀλλὰ φαίνεταί γε τῷ ἐπὶ τῶν πλείστων οὕτως ἔχειν. ἔστι μέντοι τινὰ δι' ἃ οὐκ ἔστιν ἀληθὲς τὸ καθόλου· ἐπὶ γὰρ ὑγείας καὶ νόσου καὶ εὐεξίας καὶ καχεξίας ἔμπαλιν ἔχον δείκνυται, ὡς καὶ ἐν τοῖς πρώτοις ἐπεσημηνάμεθα. ἡ μὲν γὰρ εὐεξία τῆς ὑγείας μεῖζον ἀγαθόν· συνεπιφέρει γοῦν ἡ εὐεξία τὴν ὑγείαν, ἡ μέντοι ὑγεία οὐκέτι τὴν εὐεξίαν· διὸ μεῖζον ἀγαθὸν ἡ εὐεξία· τὸ γὰρ συνεπιφέρον τι μεῖζον καὶ ἀγαθὸν καὶ κακὸν τοῦ συνεπιφερομένου μὲν μὴ συνεπιφέροντος δέ. οὐκέτι δὲ ἡ καχεξία, ἥτις ἐναντία τῇ εὐεξίᾳ, μεῖζον κακὸν τῆς νόσου, ἥτις ἐστὶν ἐναντία τῇ ὑγείᾳ, ἀλλ' ἔμπαλιν ἡ νόσος τῆς καχεξίας· ἡ μὲν γὰρ νόσος τὴν καχεξίαν συνεπιφέρει· πᾶς γὰρ ὁ νοσῶν ἐν καχεξίᾳ· οὐκέτι δὲ ἡ καχεξία τὴν νόσον· εἰσὶ γάρ τινες καὶ ὑγιαίνοντες καχέκται. ὅμοιον δὲ τῷ προειρημένῳ καὶ τὸ ἐν δύο συζυγίαις ἐναντίων, ἂν θάτερον ἕπηται τῶν ἐκ τῆς ἑτέρας συζυγίας ἐναντίων τῷ ἑτέρῳ τῶν ἐκ τῆς ἄλλης συζυγίας ἐναντίων, καὶ τὸ λοιπὸν τῶν ἐκ τῆς πρώτης τῷ λοιπῷ τῶν ἐκ τῆς δευτέρας ἕπεσθαι.

in Top.92 οὕτως, ἐπεὶ τῷ λευκῷ τὸ διακριτικόν, τῷ μέλανι τὸ συγκριτικόν, καὶ ἐπεὶ τῷ γλυκεῖ τὸ ἡδύ, τῷ πικρῷ τὸ λυπηρόν. ἐπὶ μὲν γὰρ τῶν πλείστων οὕτως ἔχει· ἔστι δὲ ἐφ' ὧν ἔμπαλιν, ὥσπερ ἐπὶ τῶν προειρημένων, ὑγείας καὶ νόσου καὶ εὐεξίας καὶ καχεξίας· οὐ γάρ, ἐπεὶ τῇ εὐεξίᾳ ἡ ὑγεία ἕπεται, ἤδη καὶ τῇ καχεξίᾳ ἡ νόσος, ἀλλ' ἔμπαλιν ἡ καχεξία τῇ νόσῳ. ὅμοιον τούτοις καὶ τὸ 'οὗ ἡ ἀκρότης καὶ τὸ εὖ αἱρετώτερον, καὶ αὐτὸ αἱρετώτερον'· ἐπὶ γὰρ τῶν πλείστων οὕτως ἔχει, οὐ μὴν ἐπὶ πάντων. τὸ μὲν γὰρ εὖ ἀποθνήσκειν τοῦ εὖ γράφειν αἱρετώτερον, ἀκρότης ὂν τὸ μὲν τοῦ γράφειν τὸ δὲ τοῦ ἀποθνήσκειν· οὐκέτι δὲ καὶ τὸ ἀποθνήσκειν τοῦ γράφειν αἱρετώτερον. τοιοῦτόν ἐστι καὶ καθόλου λαμβανόμενον τὸ τὴν καρδίαν ἀρχὴν τῶν ζῴων εἶναι· ἐπὶ μὲν γὰρ τῶν πλείστων οὕτως ἔχει, οὐ μὴν καὶ καθόλου· ἔστι γάρ τινα ζῷα ἃ τὴν ἀρχὴν οὐκ ἔχει καρδίαν. ἐπιζητήσαι δ' ἄν τις τίνι διαφέρει τὰ τοιαῦτα τῶν πᾶσιν ἢ τοῖς πλείστοις δοκούντων. ἢ λέγοι ἂν ὅτι τὰ τοιαῦτα οὐδ' ἐρωτᾶν τὴν ἀρχὴν δεῖ, ἀλλὰ χρῆσθαι αὐτοῖς ὡς ὁμολογουμένοις καὶ ὡς ἀρχαῖς· οὐδὲ γὰρ τὰς ἀρχὰς οὐδεὶς ἐρωτᾷ, ἀλλ' ὡς ὁμολογουμέναις αὐταῖς χρῆται. ἢ κἂν μὴ δοκῇ τὰ τοιαῦτα, ἐπακτικῶς αὐτὰ δεῖν φησι λαμβάνειν ὡς τοιαῦτα. p. 105b12 Ἐκλέγειν δὲ χρὴ καὶ ἐκ τῶν γεγραμμένων λόγω ν . Εἰπὼν πῶς χρὴ θηρᾶν τε καὶ ἀθροίζειν τὰς διαλεκτικὰς προτάσεις, δεῖν φησι μὴ μόνον ἐκ τῶν περιφερομένων δοξῶν τὰς προτάσεις τὰς διαλεκτικὰς λαμβάνειν, ἀλλὰ καὶ ἐκ τῶν γεγραμμένων λόγων ὅσα ἐνδόξως ἐν αὐτοῖς γέγραπται ἐκλέγειν καὶ ἔχειν παρεσκευασμένα· οὐ γὰρ ῥᾴδιον ἐκ τοῦ παραχρῆμα τῶν χρησίμων πρὸς τὸ προκείμενον πρόβλημα προτάσεων εὐπορεῖν μὴ προπαρεσκευασμένον. δεῖν δέ φησι τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκλογὰς ποιεῖσθαι μὴ πεφυρμένως ἀλλὰ κατὰ διαγραφὰς καὶ κεχωρισμένως καὶ ἰδίᾳ καθ' ἕκαστον γένος· οὕτως γὰρ ἡμῖν ἔσονται χρήσιμοι, εἰδόσιν ἐν οἷς αὐτὰς εὑρεῖν δυνησόμεθα, ὅταν δεηθῶμεν· ἀλλὰ καὶ καθ' ἕκαστον γένος τάξιν τινὰ ἐπιτιθέντας, οἷον ἰδίᾳ περὶ ζῴου καὶ ἰδίᾳ περὶ ἀγαθοῦ καὶ ἀγαθοῦ παντὸς ἰδίᾳ καὶ περὶ ἑκάστου καθ' ἕκαστον γένος, πρῶτον μὲν τὸ τί ἐστι τάσσοντας, οἷον ὅτι πᾶν ζῷον οὐσία ἐστὶν ἔμψυχος αἰσθητική, ἢ ὅτι οὐσία, εἶτα ποιόν τι, ὅτι ἔμψυχον, ὅτι αἰσθητικόν, ἢ ὅλως εἴ τι αὐτῷ ὑπάρχει, οἷον ὅτι πᾶν ζῷον ἢ πεζὸν ἢ ἔνυδρον ἢ πτηνόν, ἢ ὅτι οὐ πᾶν ζῷον ἀναπνεῖ, ἢ ὅτι οὐ πᾶν ζῷον κερασφόρον ἄμφοδον, ἀλλὰ καὶ εἰ ἐναντίον τί ἐστι τῷ προκειμένῳ, καὶ τί ποτέ ἐστιν αὐτῷ ἐναντίον, ἢ τίνι ἀκολουθεῖ αὐτό, ἢ τί αὐτῷ ἀκολουθεῖ.

in Top.93 χρήσιμα δὲ καὶ τὰ τοιαῦτα, οἷον ὅτι [καὶ] "ἡ ἀγχίνοιά ἐστιν εὐστοχία τις ἐν ἀσκέπτῳ χρόνῳ", ἢ ὁ ἥλιος "ἄστρον ἡμεροφαές", ἢ τὸ ἀγαθὸν τὸ πᾶσιν ἐφετόν, ἢ τὴν ἀρετὴν βελτίστην ἕξιν ἢ τὴν εὐδαιμονίαν εὔροιαν βίου, καὶ ὅτι ἀκόλουθον μέν ἐστιν ὃ ἀναγκαῖον εἶναι τῷ ἕτερον εἶναι, μαχόμενον δὲ ὃ ἀναγκαῖον μὴ εἶναι. οὕτως πεποίηκε καὶ ἐν ταῖς δέκα κατηγορίαις περὶ ἑκάστης κατηγορίας λέγων. τὰ γὰρ τοιαῦτα τῷ ἐναργῶς ἀποδίδοσθαι προσάγεται τὸν προσδιαλεγόμενον· διὸ δεῖ αὐτὰ ἔχειν ἐκλελεγμένα. δύναται τὸ ἀρξάμενον ἀπὸ τοῦ τί ἐστι περὶ τοῦ ἀγαθοῦ εἰρῆσθαι, ἐπεὶ δοκεῖ ἐν τοῖς δέκα γένεσιν εἶναι· περὶ παντὸς γὰρ τοῦ ἀγαθοῦ λέγειν φησὶ δεῖν ἀρξάμενον ἀπὸ τοῦ ἐν οὐσίᾳ ἀγαθοῦ· τὸ γὰρ τί ἐστι κυρίως ἐν οὐσίᾳ. δεῖν δέ φησιν ἐν ταῖς ἐκλογαῖς παρασημαίνεσθαι καὶ παραγράφεσθαι τὰς ἑκάστων δόξας · ῥᾶον γὰρ συγχωροῦσι τοῖς λεγομένοις πολλάκις μαθόντες τὸν εἰρηκότα, καὶ οἷς ἁπλῶς λεγομένοις οὐ συγχωροῦσι, ταῦτα τιθέασι μαθόντες τὸν εἰπόντα. p. 105b19 Ἔστι δὲ ὡς τύπῳ περιλαβεῖν τῶν προτάσεων καὶ τῶν προβλημάτων μέρη τρί α . Πρὸ ὀλίγου λέγων περὶ τοῦ προβλήματος εἶπε "πρόβλημα δέ ἐστι διαλεκτικὸν θεώρημα τὸ συντεῖνον ἢ πρὸς αἵρεσιν καὶ φυγὴν ἢ πρὸς ἀλήθειαν καὶ γνῶσιν, ἢ αὐτὸ ἢ ὡς συνεργὸν πρός τι ἕτερον τῶν τοιούτων". ὃ δὴ τότε περὶ τοῦ προβλήματος εἶπε (καὶ ἐπεσημηνάμεθα ὅτι οὐ τὰ προβλήματα μόνον ἀλλὰ καὶ αἱ προτάσεις ἐν τούτοις), τοῦτο καὶ αὖθις νῦν λέγει· μέρη γὰρ ἀντὶ τοῦ 'εἴδη' καὶ τῶν προτάσεων καὶ τῶν προβλημάτων κοινὰ καθόλου φησὶν εἶναι ταῦτα, λέγων τῶν διαλεκτικῶν, ἐπεί ἐστί τινα προβλήματα καὶ προτάσεις οὔτε ἠθικαὶ οὔτε φυσικαὶ οὔτε λογικαί, αἱ γὰρ κατὰ τὰς τέχνας τε καὶ τὰς ἐπιστήμας, οἷον ἐν γεωμετρίᾳ, ἐν μουσικῇ.

in Top.94 τῶν δὴ προτάσεων, ὁμοίως δὲ καὶ τῶν προβλημάτων, αἱ μέ ν , ὥς φησιν, εἰσὶν ἠθικα ί , ἠθικὰς λέγων τὰς περὶ τῶν "πρὸς αἵρεσιν καὶ φυγὴν" συντελούντων, αἱ δὲ φυσικαί · τοῦτο δὲ ταὐτὸν τῷ "πρὸς ἀλήθειαν καὶ γνῶσιν"· πάντα γὰρ τὰ φυσικὰ πρὸς τὴν γνῶσιν τοῦ ἀληθοῦς ἐν αὐτοῖς ἔχει τὴν κυριωτάτην ἀναφοράν, εἰ καί τινες ἤδη τῇ περὶ ταῦτα ἐμπειρίᾳ καὶ πρὸς πράξεις χρῶνταί τινας· τὰς δὲ λογικάς, ὃ ἐκεῖ εἶπεν "ἢ ὡς συνεργὸν πρός τι ἕτερον τῶν τοιούτων" νῦν λογικὸν ὀνομάσας, ὅτι τὸ λογικὸν ὀργανικόν ἐστι καὶ ὡς συντελοῦν τι πρὸς τὰ ἄλλα παραλαμβανόμενον δεικνύς. διὰ δὲ τῶν παραδειγμάτων ἔδειξε τίνες μέν εἰσιν αἱ ἠθικαί, τίνες δὲ αἱ φυσικαὶ καὶ τίνες αἱ λογικαί. τὸ δὲ ὡς τύπῳ περιλαβεῖν προσέθηκεν, ὅτι μὴ ἔστιν ἀκριβῶς ἀφορίσαντας εἰπεῖν τὰς μὲν "πρὸς αἵρεσιν καὶ φυγὴν" συντεινούσας ἠθικὰς εἶναι, τὰς δὲ "πρὸς ἀλήθειαν καὶ γνῶσιν" φυσικάς· ἔστι γὰρ ἐφ' ὧν ὑπαλλάσσει, ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται. ὡς δὲ περὶ προτάσεων μέλλων λέγειν προσθεὶς τὸ αἱ μὲν γὰρ ἠθικαὶ προτάσεις εἰσί ν , ἀλλὰ καὶ ἐπιφέρων τὸ ὁμοίως καὶ τὰ προβλήματ α , [καὶ] τὰ παραδείγματα λέγων ἐσχημάτισεν ὡς προβλήματα· τὸ γὰρ 'πότερον' εἶπεν, ὅ τι προβλήματος οἰκεῖον, ὥσπερ τὸ 'ἆρά γε' προτάσεως, ἴσως οὐκέτι τῇ λέξει τὴν διαφορὰν αὐτῶν τηρῶν. καθόλου μὲν γὰρ πρόβλημα διαλεκτικὸν ὅσον ἐπὶ τῇ λέξει πρότασιν ἔστι ποιῆσαι καὶ πᾶσαν πρότασιν πρόβλημα τῇ τοῦ 'πότερον' καὶ τῇ τοῦ 'ἆρά γε' ὑπαλλαγῇ· οὐκέτι μέντοι ἡ κατὰ τὰ πράγματα αὐτῶν διαφορὰ ταύτην ἐπιδέχεται τὴν ὑπαλλαγήν· τὰ μὲν γὰρ προβλήματα ἀμφισβητούμενα εἶναι δεῖ, τὰς δὲ προτάσεις ἐξ αὐτῶν

ἔχειν δεῖ τὸ πιστόν. Καθόλου δὲ περιλαβεῖν μὲν ὁρισμῷ τὰ προειρημένα εἴδη τῶν προτάσεων οὔ φησιν εἶναι ῥᾴδιον, δεῖν δὲ κατὰ τὰ προειρημένα παραδείγματα συνεθίζειν αὑτοὺς διὰ τῆς ἐπαγωγῆς τῷ δύνασθαι γνωρίζειν τὰς διαφορὰς αὐτῶν. οὔτε γὰρ ὁ λέγων ἠθικὰ εἶναι τὰ "πρὸς αἵρεσιν καὶ φυγὴν" συντείνοντα, ὡς ἐρρέθη πρὸ ὀλίγου, πάντα τὰ ἠθικὰ περιλήψεται· τὸ γοῦν περὶ τοῦ εἰ ἀντακολουθοῦσιν ἀλλήλαις αἱ ἀρεταὶ πρόβλημά ἐστι μὲν ἠθικόν, οὐ μὴν ἡ γνῶσις αὐτοῦ πρὸς αἵρεσιν ἔχει τὴν ἀναφορὰν ἀλλὰ πρὸς γνῶσιν. ὁμοίως καὶ τὸ 'πότερον ἡ ἡδονὴ λεία κίνησίς ἐστιν ἢ οὔ;' ἔστι μὲν ἠθικὸν πρόβλημα, οὐ μὴν πρὸς αἵρεσίν τι ἡ γνῶσις αὐτοῦ συντελεῖ ἢ φυγήν.

in Top.95 διὸ εὐλόγως εἶπε τὸ ποῖαι δὲ ἕκασται τῶν προειρημένω ν , ὁρισμῷ μὲν οὐκ εὐπετὲς ἀποδοῦναι περὶ αὐτῶν (ἠθικὰς μὲν γὰρ ἐροῦμεν τὰς τοιαύτας, ὅτι ὁ μὴ τοῦ καλοῦ χάριν κοινωνῶν οὐκ ἐλευθέριος, ὅτι ἡ ἀρετὴ δι' αὑτὴν αἱρετή, ὅσα περὶ αἱρετῶν, ὅσα περὶ πρακτῶν, φυσικὰς δὲ ὅσαι περὶ αὐξήσεως καὶ ὅσαι περὶ κινήσεως καὶ ὅσαι περὶ γενέσεως καὶ φθορᾶς, καὶ ὅτι πᾶν τὸ γενητὸν φθαρτόν, καὶ τὰς τούτων ἐχομένας· ἔστι δέ τινα προβλήματα καὶ προτάσεις καὶ ἐν τοῖς φυσικοῖς "πρὸς αἵρεσιν καὶ φυγὴν" τὴν ἀναφορὰν ἔχοντα· τὸ γὰρ 'πότερον πάντα καθ' εἱμαρμένην καὶ κατηναγκασμένως γίνεται;' φυσικὸν ὂν τὴν ἀναφορὰν ἔχει "πρὸς αἵρεσιν καὶ φυγήν"· εἰ γὰρ δοκεῖ βουλεύεσθαι περὶ τῶν πρακτέων ἢ μή, ἐντεῦθεν ἤρτηται· λογικὰς δὲ ὅτι τὰ πρός τι ἅμα τῇ φύσει, ὅτι τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη, ὅτι ἡ ἀντίφασις διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, τὰ περὶ γένους καὶ εἴδους, τὰ περὶ τῶν συλλογιστικῶν σχημάτων, τὰ περὶ τῶν συζυγιῶν, τὰ περὶ τῶν προτάσεων), ἐνδεικνύμενος ὅτι ἰδίᾳ περὶ ἑκάστου χρὴ ἐκλέγειν εἴδους, ἠθικὰς ἰδίᾳ, φυσικὰς ἰδίᾳ καὶ λογικὰς ἰδίᾳ. p. 105b30 Πρὸς μὲν οὖν φιλοσοφίαν κα τ ' ἀλήθειαν περὶ αὐτῶν πραγματευτέο ν . Εἰπὼν τῶν προβλημάτων τε καὶ τῶν προτάσεων τὰ μὲν ἠθικὰ εἶναι τὰ δὲ φυσικὰ τὰ δὲ λογικά, προστίθησιν ὅτι τῷ μὲν φιλοσόφῳ κατὰ τὸ ἀληθὲς δεῖ τὴν περὶ τούτων γίνεσθαι ἐξέτασίν τε καὶ πραγματείαν. καθ' ἕκαστον γὰρ εἶδος τῶν προειρημένων τῆς τοῦ ἀληθοῦς χάριν εὑρέσεως τὴν περὶ ταῦτα πραγματείαν ποιεῖται, ἐν μὲν ταῖς πολιτικαῖς τε καὶ ἠθικαῖς ἀκροάσεσι περὶ τῶν ἠθικῶν, ὥστε τὰς ἀληθῶς πρὸς αἵρεσιν καὶ ἀληθῶς πρὸς φυγὴν συντεινούσας προτάσεις ἐκλέξει καὶ περὶ τῶν ἀληθῶς αἱρετῶν, ἐν δὲ ταῖς θεωρητικαῖς τε καὶ φυσικαῖς τὰ ὡς ἀληθῶς ἀληθῆ ζητήσει, ἐν δὲ τοῖς Ἀναλυτικοῖς καὶ ἐν τοῖς περὶ προτάσεων καὶ ἐν τῇ τῶν πολλαχῶς λεγομένων διαιρέσει καὶ ὅσα τοιαῦτα τῶν ἀληθῶς χρησίμων τὴν ἐκλογὴν ποιήσεται λογικῶς. διαλεκτικῶς δὲ πρὸς δόξα ν , ὡς ἔν τε ταύτῃ τῇ πραγματείᾳ καὶ ἐν τοῖς ῥητορικοῖς καὶ ἐν τοῖς ἐξωτερικοῖς· καὶ γὰρ καὶ ἐν ἐκείνοις πλεῖστα καὶ περὶ τῶν ἠθικῶν καὶ περὶ τῶν φυσικῶν ἐνδόξως λέγεται. p.

in Top.96 105b31 Ληπτέον δὲ ὅτι μάλιστα καθόλου πάσας τὰς προτάσει ς . Πρὸς τὸ πλειόνων ἡμᾶς εὐπορεῖν προτάσεων καὶ λόγων καὶ τοῦτό φησιν εἶναι χρήσιμον τὸ πειρᾶσθαι ὡς ὅτι μάλιστα καθόλου λαμβάνειν τὰς προτάσεις ἐν ταῖς ἐκλογαῖς· οὕτως γὰρ ἀπὸ μιᾶς ληφθείσης πλειόνων εὐπορήσομεν, οἷον μὴ ὅτι τῶν ἐναντίων μία ἐπιστήμη, ἀλλὰ ὅτι τῶν ἀντικειμένων · ἔχοντες γὰρ τοῦτο ἔχομεν δι' αὐτοῦ καὶ ὅτι τῶν ἐναντίων καὶ ὅτι τῶν κατὰ ἕξιν καὶ στέρησιν καὶ τῶν πρός τι καὶ τῶν κατ' ἀντίφασιν ἀντικειμένων ἡ αὐτὴ ἐπιστήμ η . ἀλλὰ καὶ τούτων ἑκάστην πάλιν διαιρήσομεν λαμβάνοντες τὰ ὑφ' ἕκαστον αὐτῶν, οἷον τὰ ὑπὸ τὰ ἐναντία· ἀγαθοῦ γὰρ καὶ κακοῦ ἡ αὐτὴ ἐπιστήμη, καὶ λευκοῦ καὶ μέλανος ἡ αὐτὴ αἴσθησις, ὄψις γάρ· ἀλλὰ καὶ ψυχροῦ καὶ θερμοῦ ἡ αὐτή, ἁφὴ γάρ· ὁμοίως ξηροῦ καὶ ὑγροῦ. ἐπιστήμην δ' ἂν κοινότερον τὴν γνῶσιν λέγοι, ἥτις γνῶσις καὶ δι' αἰσθήσεως γίνεται. ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ ἐπὶ μὲν τῶν πρός τι διπλασίου καὶ ἡμίσεος ἡ αὐτή, καὶ βαρυτέρου καὶ κουφοτέρου ἡ αὐτή, ἀλλὰ καὶ τῶν ὁμοίων ἡ αὐτή. καὶ ἐπὶ ἕξεως δὲ καὶ στερήσεως τυφλοῦ καὶ βλέποντος ἡ αὐτὴ γνωστικὴ καὶ κωφοῦ καὶ ἀκούοντος. ἀλλὰ καὶ ἐπὶ ἀντιφάσεως τοῦ εἰδότος ὅτι ἤδε ἡ κατάφασις ἀληθής, ἔστι τὸ καὶ τὴν ἀντικειμένην αὐτῇ ἀπόφασιν εἰδέναι ὅτι ψευδής, καὶ ἔμπαλιν. πάλιν

ὅτι πᾶσα κίνησις μεταβολὴ ποθὲν ποὶ ληπτέον, ἀλλ’ οὐχ ὅτι ἡ τοπικὴ κίνησις· ἔχοντες γὰρ ἐκεῖνο ἕξομεν ὅτι καὶ ἡ γένεσις καὶ ἡ φθορὰ καὶ ἡ ἀλλοίωσις καὶ ἡ αὔξησις καὶ ἡ φθίσις. p. 106a1 Τὸ δὲ ποσαχῶ ς , πραγματευτέον μὴ μόνον ὅσα λέγετα ι . Τῶν τεσσάρων, ὧν ὡς ὀργάνων χρησίμων εἶπεν εἶναι πρὸς τοὺς συλλογισμούς, δεύτερον ἦν τὸ δύνασθαι τὸ πολλαχῶς λεγόμενον διαιρεῖν τε καὶ γνωρίζειν. ἐφ’ ὃ μετὰ τὸ ὑποθέσθαι, πῶς οἷόν τέ ἐστι τῶν προτάσεων εὐπορεῖν, μέτεισι, καὶ παραδίδωσι τόπους ἡμῖν τινας καὶ ἀφορμάς, δι’ ὧν γνωρίζειν δυνησόμεθα, εἴτε τῶν πολλαχῶς λεγομένων ἐστὶ τὸ προκείμενον εἴτε καὶ μοναχῶς λέγεται. διττοῦ δὲ ὄντος τοῦ πολλαχῶς, τοῦ μὲν ἐν ὀνόμασιν, ἃ ὁμώνυμα καλεῖται, τοῦ δὲ ἐν λόγῳ, ἃ εἰώθαμεν ἀμφίβολα λέγειν, πῶς τὸ ἐν ὀνόμασι διττὸν γνωρίζειν δυνησόμεθα, νῦν δείκνυσι.

in Top.97 πρὸ δὲ τούτων πρῶτον παράγγελμά τι ἡμῖν παραδίδωσι, διδάσκων πῶς δεῖ τὴν τῶν πολλαχῶς λεγομένων διαίρεσίν τε καὶ ἀπόδοσιν ποιεῖσθαι. οὐ γὰρ μόνον φησὶ δεῖν αὐτὰ τὰ διαφέροντα μὲν ἀλλήλων σημαινόμενα δὲ ὑπὸ τοῦ αὐτοῦ παρέχεσθαι, λέγοντας ἢ γράφοντας ὅτι ἄλλως μὲν φέρε εἰπεῖν τὸ ἀγαθὸν λέγεται κατὰ δικαιοσύνης καὶ ἀνδρείας, ἄλλως δὲ κατὰ τοῦ εὐεκτικοῦ τε καὶ ὑγιεινοῦ (λέγεται γὰρ καὶ ταῦτα ἀγαθά), ἀλλὰ καὶ προστιθέντας ὅτι τὰ μὲν ὡς ἕξεις ἀγαθὰ λέγεται καὶ καθ’ αὑτὰ τοιαῦτα, ὡς αἱ ἀρεταί ( ποιὰ γὰρ ἀντὶ τοῦ ‘ἀγαθὰ‘ εἶπεν, ἐπεὶ ἁπλῶς γε ποιὰ καὶ τὰ ὑγιεινά), τὰ δὲ ὡς ποιητικὰ ἀγαθοῦ τινος, ὡς τὰ εὐεκτικά τε καὶ ὑγιεινά· ταῦτα γὰρ ἀγαθά, ὅτι ἀγαθοῦ ποιητικά, ὡς εἴωθεν αὐτὸς ποιεῖσθαι τὴν διαίρεσιν τῶν ἀγαθῶν· διὸ καὶ τὰ μὲν ὡς ἕξεις λεγόμενα καὶ τῷ αὐτὰ ποιὰ εἶναι τοὺς ἔχοντας αὐτὰ ἀγαθοὺς ποιεῖ, τὰ δὲ οὕτω λεγόμενα ἀγαθὰ ὡς ποιητικά τινος ἀγαθοῦ οὔτε καθ’ αὑτά ἐστιν ἀγαθὰ οὔτε τοὺς ἔχοντας αὐτὰ ἀγαθοὺς ποιεῖ ἀλλὰ ἔχοντας ἀγαθόν. οὕτως γὰρ ἔστιν εἰδέναι σαφῶς ὅτι πολλαχῶς λέγεται, εἰ κατὰ τὸν οἰκεῖον λόγον διάφορον τοῖς σημαινομένοις τὴν ἀπόδοσιν ποιούμεθα ἑκάστου. p. 106a9 Πότερον δὲ πολλαχῶς ἢ μοναχῶ ς . Εἰπὼν πῶς χρὴ τὴν διαίρεσιν ποιεῖσθαι τῶν πολλαχῶς λεγομένων, ἐπὶ τὸ τὴν μέθοδον ἡμῖν παραδιδόναι, πῶς γνωρίσομεν αὐτά, μέτεισι. τῷ δὲ πότερον πολλαχῶς ἢ μοναχῶς τὸ τῷ εἴδει προσέθηκεν, εὐλόγως· ὅταν γὰρ τῷ εἴδει καὶ τῷ λόγῳ καὶ αὐτῷ τῷ ὁρισμῷ διαφέρῃ ἀλλήλων τὰ σημαινόμενα, τότε ἐστὶν ὁμώνυμα καὶ ἀμφίβολα καὶ πολλαχῶς λεγόμενα. ἐπεὶ πολλαχῶς γε καὶ τὸ γένος καὶ τὸ εἶδος λέγεται· κατὰ πλειόνων γὰρ ἑκάτερον κατηγορεῖται· ἀλλ’ ἐπεὶ μὴ τὰ ὧν κατηγορεῖται κατὰ τὸ εἶδος καὶ τὸν λόγον τὸν κατὰ τοὔνομα τὸ κοινὸν διαφέρει, οὐ λέγεται ὁμώνυμα ἢ ἀμφίβολα οὔτε τὸ γένος οὔτε τὸ εἶδος· ὁμώνυμα γάρ ἐστιν, ὡς ἐν Κατηγορίαις εἶπεν, “ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος”, ὃ νῦν εἶδος εἴρηκεν.

in Top.98 ὅτι δὲ τῷ εἴδει ἀντὶ τοῦ ‘τῷ λόγῳ‘ εἶπεν, αὐτὸς ἐδήλωσε δι’ ὧν ἐπιφέρει, ἄν τε τῷ εἴδει λέγων ἄν τε τῷ ὀνόματι διαφων ῇ . p. 106a10 Πρῶτον μὲν ἐπὶ τοῦ ἐναντίου σκοπεῖν εἰ πολλαχῶς λέγετα ι . Ἀπὸ τῶν ἀντικειμένων ἀφορμὰς παραδιδοὺς τῆς τῶν πολλαχῶς λεγομένων εὑρέσεώς τε καὶ κρίσεως, πρῶτον, πῶς ἀπὸ τῶν ἐναντίων οἷόν τε γνωρίζειν τι πολλαχῶς λεγόμενον, δείκνυσι. δεῖν γάρ φησιν, εἰ ἔστιν ἐναντίον τι τῷ προκειμένῳ τε καὶ ζητουμένῳ εἰ πολλαχῶς λέγεται, σκοπεῖν εἰ τὸ ἐναντίον αὐτῷ πολλαχῶς λέγεται, ἢ κατὰ τὸ πρᾶγμα μόνον ἢ καὶ κατὰ τὸ ὄνομα, οἷς πλείοσιν οὖσι τοῦτο λέγεται εἶναι· τοῦτο γάρ ἐστι τὸ ἐάν τε τῷ εἴδει ἐάν τε τῷ ὀνόματι διαφωνῇ · λέγει γὰρ ‘ἄν τε καὶ τῷ ὀνόματι καὶ μὴ τῷ εἴδει μόνῳ‘. ἔστι γὰρ ἐφ’ ὧν καὶ τὰ ὀνόματα εὐθὺς τῶν ἐναντίων τινὶ διαφέροντά ἐστιν, ὥσπερ ἐφ’ ὧν αὐτὸς παρατίθεται· τῷ γὰρ ὀξεῖ ἐναντίον ἐστὶ καὶ τὸ βαρὺ καὶ τὸ ἀμβλύ, ἐν φωνῇ μὲν τὸ βαρ ύ , ἐν ὄγκῳ δὲ τὸ ἀμβλ ύ , ἀλλὰ καὶ ἐν χυμῷ τὸ γλυκύ, οὐ μόνον τῷ εἴδει, τοῦτ’ ἔστι τῷ ὑποκειμένῳ πράγματι, διαφέροντα ἀλλήλων ἀλλὰ καὶ τοῖς ὀνόμασιν· ἄλλο γὰρ ὄνομα τὸ βαρὺ καὶ ἄλλο τὸ ἀμβλὺ καὶ ἄλλο τὸ γλυκύ. καὶ τὸ ὀξὺ ἄρα πλεοναχῶς λέγεται ὄν γε ἢ ἀμφοτέροις ἢ πᾶσιν ἐναντίον, καὶ ἔσται αὐτοῦ τὸ μὲν ἐν φωνῇ, ὅ ἐστιν ἐναντίον τῷ βαρεῖ, τὸ δὲ ἐν ὄγκῳ, ὅ ἐστιν ἐναντίον τῷ ἀμβλεῖ, τὸ δὲ ἐν χυμῷ, ὅ ἐστιν ἐναντίον τῷ γλυκεῖ· οὐ γὰρ δὴ τὸ αὐτὸ ὀξὺ καὶ τῷ βαρεῖ καὶ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμβλεῖ καὶ τῷ γλυκεῖ οἷόν τε εἶναι ἐναντίον. ἔστι δὲ ἑκάστῳ αὐτῶν ὀξὺ ἐναντίον· ὥστε διαφέροντα τὰ ὀξέα. σημειωτέον δὲ ὅτι διὰ τῶν ἑξῆς αὐτὸς τῷ ἐν χυμῷ ὀξεῖ τὸ ἐναντίον ἀμβλὺ ὀνομάζει. ὁμοίως πάλιν τῷ βαρεῖ καὶ τὸ ὀξὺ καὶ τὸ κοῦφόν ἐστιν ἐναντία, ἐν φωνῇ μὲν τὸ ὀξ ύ , ἐν ὄγκῳ δὲ τὸ κοῦφον · πολλαχῶς ἄρα καὶ τὸ βαρύ. ὁμοίως καὶ τὸ καλὸν δειχθήσεται τῶν πολλαχῶς λεγομένων ὄν, ἐπειδὴ ἐναντία ἐστὶν αὐτῷ τό τε αἰσχρὸν καὶ τὸ μοχθηρόν, ἐπὶ μὲν ζῴου καὶ τῆς τοῦ ζῴου μορφῆς τὸ αἰσχρόν (λέγεται γὰρ ζῷον καλὸν καὶ αἰσχρόν), ἐπὶ δὲ οἰκίας τὸ μοχθηρόν · οὐκέτι γὰρ οἰκία λέγεται αἰσχρά, ἢ οὐ καλή, ἀλλὰ μοχθηρά.

in Top.99 ἀλλὰ τούτῳ γε ἔνεστι τῷ τόπῳ χρωμένους δεικνύναι καὶ τὴν δειλίαν τῶν πολλαχῶς λεγομένων οὖσαν· ἐναντία γὰρ αὐτῇ ἥ τε ἀνδρεία καὶ ἡ θρασύτης, πλείω ὄντα καὶ διαφέροντα ἀλλήλων. ἢ οὐκ ἀνάγκη· οὐ γάρ, ὥσπερ ἐπ' ἐκείνων καθ' ἑκάτερον ἦν τὸ ὁλοκλήρως ὑπὸ τοῦ ὀνόματος σημαινόμενον ἐναντίον, οὕτω καὶ ἐπὶ τούτων. τὸ γὰρ αὐτὸ ἀμφοτέροις ἐναντίον, οὐ μὴν κατὰ ταὐτόν· ἐν οἷς γὰρ τῇ δειλίᾳ τὸ εἶναι, τούτων κατὰ μέν τι τῇ ἀνδρείᾳ ἐστὶν ἐναντία, κατὰ δέ τι τῇ θρασύτητι, εἴ γέ ἐστιν ἡ δειλία κακία καὶ ἔνδεια [τῇ] περὶ τάδε τινὰ τὰ πάθη. καὶ γὰρ κατὰ μὲν τὸ κακία εἶναι καὶ ἀσυμμετρία περὶ τάδε τὰ πάθη ἐναντία ἐστὶ τῇ ἀνδρείᾳ, κατὰ δὲ τὸ ἔνδεια περὶ τάδε εἶναι τῇ θρασύτητι· οὔτε γὰρ τῇ θρασύτητι ἡ δειλία ἐναντία κατὰ τὸ κακία εἶναι περὶ τάδε τὰ πάθη (κοινωνεῖ γὰρ αὐτῇ τούτου), οὔτε τῇ ἀνδρείᾳ κατὰ τὸ ἔνδεια εἶναι κατὰ τάδε· οὐ γάρ ἐστιν ἐναντίον τὸ περὶ τάδε ἐνδεὲς τῷ περὶ τὰ αὐτὰ μέσῳ. οὐ μὴν ἑκάτερον ἰδίᾳ λαμβανόμενον δειλία, ἀλλὰ τὸ συναμφότερον ἡ δειλία· διὸ σύνθετον μὲν ἂν δεικνύοιτο, οὐ μὴν καὶ πολλαχῶς λεγόμενον. ἀλλὰ καὶ ἡ ἀνδρεία, ἐναντία οὖσα τῇ τε δειλίᾳ καὶ τῇ θρασύτητι ἑτέραις οὔσαις, ἐναντία αὐταῖς ἐστι καθ' ὃ κοινωνοῦσιν ἀλλήλαις· καθ' ὅσον γὰρ ἀσυμμετρίαι καὶ κακίαι περὶ τάδε τὰ πάθη, ἡ ἀνδρεία αὐταῖς ἐναντία, ὥστε ὡς μιᾷ ἀμφοτέραις. Ἐπ' ἐνίων δὲ ὀνόματα μὲν οὐ κεῖται διαφέροντα τοῖς ἐναντίοις, φανερᾶς δὲ οὔσης τῆς κατὰ τὰ πράγματα [λέγων] διαφορᾶς δεικνύοιτο ἂν καὶ τὸ προκείμενον τῶν πολλαχῶς λεγομένων ὄν, ᾗ διαφέρουσι πράγμασιν ἐναντίον. τῷ γὰρ λευκῷ ἐναντίον μέν ἐστι τὸ μέλαν· ἀλλὰ τὸ μέλαν τὸ μέν ἐστιν ἐν φωνῇ (λέγεται γὰρ μέλαινα φωνή) τὸ δὲ ἐν χρώματι· ἃ ἐπεὶ διαφέρει ἀλλήλων τῷ εἴδει τε καὶ τῷ λόγῳ, δῆλον ὡς καὶ τὸ λευκὸν πλεοναχῶς ἔσται λεγόμενον· ἑκατέρῳ γὰρ τῶν μελάνων οἰκεῖόν τι λευκὸν ἐναντίον ἔσται, τὸ μὲν ἐν φωνῇ ὂν τὸ δὲ ἐν χρώματι. ὅτι δὲ ἄλλο τὸ ἐν φωνῇ μέλαν τοῦ ἐν χρώματι ἔδειξεν, ἅμα καὶ μέθοδον ἡμᾶς διδάσκων τῆς τῶν διαφερόντων ἐπικρίσεως· τῶν γὰρ αὐτῶν τῷ εἴδει ἡ αὐτὴ αἴσθησι ς . εἰ δὲ τοῦτο, ὧν μὴ ἡ αὐτὴ αἴσθησις, ταῦτα οὐκ ἔστι ταὐτὰ τῷ εἴδει· οὐχ ἡ αὐτὴ δὲ αἴσθησις κριτικὴ τοῦ τε ἐν φωνῇ μέλανος καὶ τοῦ ἐν χρώματι, ἀλλὰ τούτου μὲν ὄψις, ἐκείνου δὲ ἀκοή· εἰ δὲ ὧν διαφέροντα τὰ κριτήρια, ταῦτα ἕτερα ἀλλήλων, καὶ ταῦτα ἄρα ἕτερα ἀλλήλων ἔσται.

in Top.100 ἔνεστι καὶ μὴ ἐπὶ ἐναντίων χρώμενον τούτῳ ἀλλ' ἐπ' αὐτοῦ τοῦ προκειμένου μόνον δεικνύναι τινὰ ὅτι ἐστὶν ὁμώνυμα, οἷον ἐπὶ χρώματος, ἐπεὶ τοῦ μὲν ὄψις ἐστὶ κριτικὴ τοῦ δὲ ἡ τοῦ μουσικοῦ ἀκοή, ὁμώνυμον τὸ χρῶμα· καίτοι οὐδὲν αὐτῷ ἐστιν ἐναντίον. καὶ εἴη ἂν καὶ οὗτος ὁ τόπος πρὸς τὴν τοῦ πολλαχῶς λεγομένου θήραν ὅμοιος τοῖς φθάνουσιν εἰρῆσθαι. δειχθήσεται δὲ καὶ τὸ ἀμβλὺ πολλαχῶς λεγόμενον, ὅτι καὶ τὸ ὀξὺ ἐναντίον ὂν αὐτῷ πολλαχῶς λέγεται· ὀξὺ γὰρ τὸ μέν ἐστιν ἐν φωνῇ τὸ δὲ ἐν ὄγκῳ· καὶ τὸ ἀμβλὺ ἄρα διττόν, τὸ μὲν ἐν φωνῇ (λέγεται γὰρ ἀμβλεῖα φωνή) τὸ δὲ ἐν ὄγκῳ. εἰπὼν δὲ οὔτε ἐ π ' αὐτῶν οὔτε ἐπὶ τῶν ἐναντίω ν , πῶς οὐδὲ ἐπὶ τῶν ἐναντίων διαφωνεῖ τοῖς ὀνόμασιν, ἔδειξεν εἰπὼν ἀμβλὺ γὰρ καὶ τὸ ἐναντίον ἑκατέρ ῳ . αὐτὸς δὲ οὐ τὸ ἐν ὄγκῳ ἔλαβεν ἀλλὰ τὸ ἐν χυμῷ. p. 106a36 Ἔτι εἰ τῷ μέν ἐστί τι ἐναντίον τῷ δὲ ἁπλῶς μηδέ ν . Δεύτερον τόπον τῆς τοῦ πολλαχῶς λεγομένου εὑρέσεως ὄντα καὶ αὐτὸν ἀπὸ τῶν ἐναντίων ἐκτίθεται τοῦτον, εἰ τῶν σημαινομένων ὑπὸ τοῦ προκειμένου, περὶ οὗ ἡ ζήτησις εἴτε πολλαχῶς λέγεται εἴτε μή, τῷ μὲν εἴη τι ἐναντίον τῷ δὲ μηδέν· δῆλον γὰρ ὅτι τῶν πλεοναχῶς λεγομένων ἔσται τοῦτο, σημαῖνόν γε φύσεις διαφόρους. οἷον ἐπὶ ἡδονῆς, ἐπεὶ τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν ἀπὸ τοῦ πίνειν ἡδονῇ ἐστιν ἐναντία λύπη ἡ ἀπὸ τοῦ διψῆ ν , τῇ δὲ ἀπὸ τοῦ θεωρεῖν ἢ τῶν κατὰ γεωμετρίαν τι, οἷον ὅτι ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρ ᾷ , ἢ τῶν κατὰ φιλοσοφίαν τι ἢ τῶν κατά τινα ἄλλην ἐπιστήμην μηδέν ἐστιν ἐναντίον, ἡ ἡδονὴ ἔσται τῶν πολλαχῶς λεγομένων· διαφέρει γὰρ κατ' εἶδος τὸ ᾧ μηδέν ἐστιν ἐναντίον τοῦ ἔχοντός τι ἐναντίον. ὁμοίως δεικνύοιτ' ἂν καὶ τὸ φιλεῖν ὁμώνυμον, διότι τῷ μὲν κατὰ τὴν διάνοιαν φιλεῖν τὸ μισεῖν ἐστιν ἐναντίο ν , τῷ δὲ κατὰ τὴν σωματικὴν ἐνέργεια ν , ἐφ' ἧς εἰώθαμεν καὶ τὸ καταφιλεῖν κατηγορεῖν, οὐδέν ἐστιν ἐναντίον. οὕτως ἂν δεικνύοιτο καὶ ἡ οὐσία ὁμώνυμος· τῇ μὲν γὰρ κατὰ τὸ εἶδος ἐναντίον ἡ στέρησις, τῇ δὲ κατὰ τὴν ὕλην οὐδέν. ἐπιζητήσαι δὲ ἄν τις, μήποτε ὁ δεύτερος οὗτος τόπος ἀναιρετικός ἐστι τοῦ πρὸ αὐτοῦ ῥηθέντος· ὁ μὲν γὰρ ἐδείκνυεν ὅτι, ἂν τὸ ἐναντίον πολλαχῶς, καὶ τὸ ἐναντίον· ἐκ δὲ τούτου δείκνυται ὅτι ἐνδέχεταί τι τοῦ ἐναντίου αὐτῷ πολλαχῶς λεγομένου [τὸ ἐναντίον] μὴ λέγεσθαι πολλαχῶς.

in Top.101 ἂν γὰρ ἀντιστρέψαντες λάβωμεν τὸ μισεῖν, εὑρήσομεν τὸ μὲν ἐναντίον αὐτῷ, τὸ φιλεῖν, πολλαχῶς λεγόμενον, αὐτὸ μέντοι τὸ μισεῖν μηκέτι. ἢ οὐκ ἔστιν οὗτος ὁ τόπος ἀναιρετικὸς ἐκείνου· ἐπὶ μὲν γὰρ ἐκείνου ἐλαμβάνετο, εἰ τὸ ἐναντίον τῷ προκειμένῳ πολλαχῶς καὶ πᾶσι τοῦτο ἐναντίον ἐκείνοις, καὶ τοῦτο πολλαχῶς· "ἑκατέρῳ" γὰρ εἶπε "τὸ ὀξὺ ἐναντίον"· διὸ πολλαχῶς· ἐνταῦθα δὲ οὐκέτι γίνεται τὸ εἰλημμένον πᾶσιν ἐναντίον τοῖς ὑπὸ τοῦ ἐναντίου σημαινομένοις, μᾶλλον δὲ οὐδέ ἐστιν τῷ μισεῖν ἐναντίον τὸ φιλεῖν πολλαχῶς λεγόμενον· μέρος γάρ τι τοῦ φιλεῖν τοῦ πολλαχῶς λεγομένου ἐναντίον ἐστὶ τῷ μισεῖν. διὸ οὐ διαβληθήσεται ὁ τόπος ἐκεῖνος ὡς μὴ δεικνὺς τὸ προκείμενον. p. 106b4 Ἔτι ἐπὶ τῶν ἀνὰ μέσο ν , εἰ τῷ μέν ἐστί τι ἀνὰ μέσον τῷ δὲ μηδέ ν . Οἱ μὲν προειρημένοι δύο τόποι ἀπὸ τοῦ ἐναντίου τὸ ἐναντίον ἐδείκνυον πολλαχῶς λεγόμενον· οὗτος δὲ τρίτος ὢν ἀπὸ τῶν μεταξὺ τῶν ἐναντίων ἀμφότερα τὰ ἐναντία δείκνυσιν ὁμώνυμα. ἐπεὶ γὰρ τῶν ἐναντίων τὰ μὲν ἄμεσά ἐστι τὰ δὲ ἔμμεσα, ὡς ἐν Κατηγορίαις δέδεικται, καὶ οὐκ ἔστι τὰ αὐτὰ τὰ ἔμμεσα τοῖς ἀμέσοις, ἀλλ' οὐδὲ ὧν διαφέροντα τὰ μέσα, οὐδὲ ταῦτα ταὐτά ἐστιν, ἐπιβλέπειν φησὶ δεῖν ἐπὶ τὰ ἐκκείμενα ἐναντία. κἂν εὑρίσκωμεν τῶν σημαινομένων ὑπ' αὐτῶν τὰ μὲν ἔμμεσα ὄντα τὰ δὲ ἄμεσα, ἑκάτερον τῶν ἐναντίων τῶν εἰλημμένων ὁμώνυμον ἐροῦμεν εἶναι· οἷον λευκὸν καὶ μέλαν ἐναντία, καὶ σημαίνει γε ἑκάτερον αὐτῶν καὶ τὸ ἐν χρώμασι λευκόν τε καὶ μέλαν καὶ τὸ ἐν φωνῇ. ὅτι οὖν ταῦτα ἕτερα ἀλλήλων τῷ εἴδει, γνωρίζομεν ἐκ τοῦ τὰ μὲν ἐν τοῖς χρώμασιν ἔχειν αὐτῶν μεταξύ τινα τὰ δὲ ἐν τῇ φωνῇ [οὔ. ὅτι ἦν ταῦτα ἕτερα ἀλλήλων] ἢ μηδὲν ἤ, εἴπερ ἄρ α , τὸ σομφό ν , ὃ ἄλλο ἐστὶ φαιοῦ καὶ ὠχροῦ καὶ τῶν ἄλλων ἃ τῶν ἐν χρώμασιν ἐναντίων ἐστὶ μεταξύ.

in Top.102 καθόλου γάρ, ἄν τε τῶν μὲν ᾖ τι ἐναντίων τῶν δὲ μή, ἄν τε τῶν μὲν πλείω τῶν δὲ ἓν ᾖ ἢ ὅλως διαφέροντα καὶ μὴ τὰ αὐτά, ὁμώνυμα ἔσται τὰ ἐν ταῖς τοιαύταις διαφοραῖς ἐναντία. p. 106b13 Πάλιν ἐπὶ τοῦ κα τ ' ἀντίφασιν ἀντικειμένο υ . Παραδοὺς ἡμῖν τόπους τῆς τῶν ὁμωνύμων εὑρέσεως ἀπὸ τῶν ἐναντίων, πάλιν ἀπὸ τῶν κατ' ἀντίφασιν ἀντικειμένων παραδίδωσι, καί φησιν 'εἰ τὸ κατ' ἀντίφασίν τινι ἀντικείμενον πολλαχῶς λέγεται, καὶ αὐτὸ πολλαχῶσ'. οἷον εἰ τὸ μὴ βλέπειν πλεοναχῶς λέγετα ι , καὶ τὸ βλέπειν πλεοναχῶς ῥηθήσεται· λέγεται δὲ τὸ μὴ βλέπειν πλεοναχῶς· καὶ γὰρ τὸ μὴ ἔχειν ὄψιν σημαίνει καὶ τὸ μὴ ἐνεργεῖν τῇ ὄψει · καὶ τὸ βλέπειν ἄρα σημαίνει καὶ τὸ ἔχειν ὄψιν καὶ τὸ ἐνεργεῖν τῇ ὄψει. δεῖ δὲ προστιθέναι τοῖς κειμένοις ὑποκείμενόν τινα ὅρον· οὕτως γὰρ ἔσται κατάφασις καὶ ἀπόφασις. ὡς δὲ ἐπὶ τοῦ βλέπειν καὶ μὴ βλέπειν, οὕτως καὶ ἐφ' ἑκάστης αἰσθήσεως ἔστι δεικνύναι τὴν κατάφασιν πλεοναχῶς, ἐπεὶ καὶ ἡ ἀπόφασις οὕτως, καὶ καθόλου ἐπὶ τοῦ αἰσθάνεσθαι· λέγεται γὰρ τὸ αἰσθάνεσθαί τινος αἰσθητοῦ δι' αἰσθητηρίου· καὶ τὸ μὴ αἰσθάνεσθαι ἄρα τοσαυταχῶς. τὰ αὐτὰ δὲ ταῦτα καὶ ἐπὶ τῶν κατὰ στέρησιν καὶ ἕξιν ἀντικειμένων δύναται λέγεσθαι, ὡς ἐρεῖ. οὗτος μὲν οὖν ὁ τόπος κοινὸς τοῖς ἀντιφατικῶς ἀντικειμένοις πρὸς τὰ ἐναντία. οὐκέτι δὲ ἐπὶ τούτων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἁρμόζουσιν οἱ ἄλλοι, οὓς παρέδωκεν ἐπὶ τῶν ἐναντίων τόπους· οὔτε γὰρ οἷόν τε τῷ τινὶ μέρει τῆς καταφάσεως ἀπόφασιν ἀντικεῖσθαι. οὔτε ἔτι μᾶλλον οἷόν τε ἀπὸ τῶν ἀμέσων· τὰ γὰρ κατ' ἀντίφασιν ἀντικείμενα ἄμεσα. p. 106b21 Ἔτι ἐπὶ τῶν κατὰ στέρησιν καὶ ἕξιν λεγομένω ν . Μεταβέβηκεν ἐπὶ τὰ κατὰ στέρησιν καὶ ἕξιν ἀντικείμενα, καὶ λέγει καὶ ἐπὶ τούτων 'ἂν θάτερον αὐτῶν πλεοναχῶς λέγηται, καὶ θάτερον πλεοναχῶς ῥηθήσεται'. εἰ γὰρ τὸ αἰσθάνεσθαι πλεοναχῶς, καὶ τὸ ἀναισθητεῖν στέρησις ὂν τοῦ αἰσθάνεσθαι πλεοναχῶς ῥηθήσεται· λέγεται δὲ τὸ αἰσθάνεσθαι καὶ κατὰ τὴν ψυχήν (τὸ γὰρ συνιέναι τε καὶ νοεῖν αἰσθάνεσθαι λέγεται) καὶ κατὰ τὸ σῶμα τὸ δι' αἰσθητηρίου αἰσθητοῦ τινος ἀντιλαμβάνεσθαι· καὶ τὸ ἀναισθητεῖν ἄρα καὶ ἐπὶ τοῦ μὴ συνιέντος καὶ ἐπὶ τοῦ μὴ ἀντιλαμβανομένου αἰσθητοῦ τινος δι' αἰσθητηρίου ῥηθήσεται.

in Top.103 ὅτι δὲ καὶ ἐπὶ τῆς ψυχῆς τὸ αἰσθάνεσθαι καὶ ἀναισθητεῖν καὶ ἐπὶ τοῦ σώματος ὡς ἕξις καὶ στέρησις ἀντίκειται, ἔδειξεν εἰπὼν ἑκατέραν τῶν εἰρημένων αἰσθήσεων ἔχειν τὸ ζῷον · τὸ δὲ πεφυκός τι ἔχειν, ὅτε πέφυκεν ἔχειν, εἰ μὴ ἔχει, ἐστέρηται αὐτοῦ· διὰ τοῦτο γὰρ ἐπὶ τοῦ τοίχου τὸ ἀναισθητεῖν οὐ κατηγορεῖται, ὅτι μὴ πέφυκεν αἰσθάνεσθαι, ἢ εἰ λέγοιτο, οὐχ ὡς στερητικὸν ἂν ἐπ' ἐκείνου λέγοιτο ἀλλ' ὡς ἀποφατικόν. εἴη δ' ἂν αὐτῷ δεικτικὸν τοῦτο τοῦ εὐλόγως τούτῳ τῷ παραδείγματι κεχρῆσθαι τῶν καθ' ἕξιν καὶ στέρησιν ἀντικειμένων. ἅμα δὲ διὰ τῆς προσθήκης ταύτης ἔδειξε διὰ πάντων τῶν εἰδῶν τοῦ ἀντικειμένου ὅτι, ὅταν κατὰ πάντα τὰ σημαινόμενα ὑπὸ τοῦ ἑτέρου τὸ ἕτερον ἀντικείμενον ᾖ αὐτῷ, τότε πλεοναχῶς ῥηθήσεται καὶ αὐτό, λύων τῇ τοιαύτῃ προσθήκῃ τὴν δυναμένην ἔνστασιν ἐπὶ τῶν ἐναντίων ἢ πρὸς τὸν πρῶτον τόπον ἢ πρὸς τὸν δεύτερον ὡς ἀλλήλων ὄντας ἀναιρετικοὺς φέρεσθαι, ἧς ἐμνημόνευσα. εἰπὼν δὲ καὶ περὶ τῶν κατὰ στέρησιν καὶ ἕξιν ἀντικειμένων, οὐκέτι τῶν κατὰ πρός τι ἀντικειμένων ἐμνημόνευσε· πρόδηλον γὰρ ἐπ' ἐκείνων ἀπ' αὐτοῦ τοῦ τῶν πρός τι λόγου ὅτι ἀνάγκη, ἂν θάτερον αὐτῶν λέγηται πλεοναχῶς, καὶ θάτερον οὕτω λέγεσθαι, ἐπεὶ τοῖς πρός τι τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν. διό, ἐπεὶ τὸ φιλητὸν πλεοναχῶς, καὶ ἡ φιλία τοσαυταχῶς εἴη ἂν φιλία πρὸς τὸ φιλούμενον. ἔτι δὲ φανερώτερον, ἐπεὶ ἡ ἐπιστήμη διχῶς, καὶ δυνάμει καὶ ἐνεργείᾳ, καὶ τὸ ἐπιστητὸν ἰσαχῶς. ὁ αὐτὸς καὶ ἐπὶ τῆς αἰσθήσεως λόγος. ἔτι εἰ τὸ ὑπερέχον πολλαχῶς (καὶ γὰρ κατὰ ποσὸν καὶ κατά τινα δύναμιν ἢ ἕξιν ἢ ἐνέργειαν), καὶ τὸ ὑπερεχόμενον ἰσαχῶς ἔσται λεγόμενον. καὶ ἐπεὶ τὸ κινητὸν πολλαχῶς (καὶ γὰρ ἐν ποιότητι καὶ ἐν ποσότητι καὶ ἐν τῷ ποῦ), καὶ ἡ κίνησις πλεοναχῶς. ἀλλὰ καὶ εἰ ἡ ἕξις καὶ ἔχοντος καὶ ἐχομένου, καὶ τὸ ἑκτὸν πολλαχῶς. p. 106b29 Ἔτι ἐπὶ τῶν πτώσεων ἐπισκεπτέο ν . Πτώσεις λέγουσι κοινότερον καὶ τὰς ὁπωσοῦν ἐγκλίσεις τε καὶ ἐκφοράς· οὐ μὴν καὶ νῦν οὕτως, ἀλλὰ ἔστι σύστοιχα καὶ πτώσεις καὶ παρώνυμα, παρακεῖσθαι μὲν ἀλλήλοις δοκοῦντα διαφέροντα δέ.

in Top.104 σύστοιχα μὲν γὰρ λέγεται ἀλλήλοις καὶ τὰ ὁμοίως ἔχοντα πρός τινα, ἃ καὶ κατ' ἀναλογίαν εἴη ἄν, ὡς τὰ τοιαῦτα, ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις· ἑκάτερον γὰρ αὐτῶν ὁμοίως ἔχει πρὸς τὰ ὑφ' αὑτά· ὁμοίως καὶ τὸ αἰσθητὸν καὶ τὸ ἐπιστητόν· ἑκάτερον γὰρ αὐτῶν ὁμοίως ἔχει πρὸς τὰ ὧν ἐστι. σύστοιχα λέγουσι καὶ πάντα τὰ ἀπό τινος παρωνομασμένα ἀλλήλοις τε καὶ ἐκείνῳ ἀφ' οὗ παρωνόμασται, οἷον ἀπὸ τῆς δικαιοσύνης παρωνόμασται ὁ δίκαιος καὶ τὸ δίκαιον καὶ τὸ δικαίως· ταῦτα δὴ καὶ ἀλλήλοις ἐστὶ σύστοιχα καὶ αὐτῇ τῇ δικαιοσύνῃ. παρώνυμα δὲ μόνα τὰ ἀπό τινος παρωνομασμένα ἐκείνῳ λέγουσιν ᾧ παρωνόμασται, ἀλλ' οὐκ ἀλλήλοις, οὐδὲ ἐκεῖνο τούτοις· τῇ γὰρ γραμματικῇ ὁ γραμματικός, οὐκέτι δὲ καὶ ἡ γραμματικὴ τῷ γραμματικῷ. πτώσεις δὲ ἰδίως τὰ οὕτως παρά τινα ἐσχηματισμένα ὡς τὸ γραμματικῶς· πτῶσις γὰρ τοῦτο τοῦ γραμματικόν· ὁμοίως τὸ δικαίως, μουσικῶς, φρονίμως, ἀνδρείως· πτώσεις γὰρ ταῦτα τοῦ δίκαιον, 〈μουσικόν,〉 φρόνιμον, ἀνδρεῖον. ἔστι δὴ ὁ παραδιδόμενος τόπος τοιοῦτος· ἂν ἡ πτῶσίς τινος ᾖ ὁπωσοῦν λεγομένη πλεοναχῶς, καὶ αὐτὸ πλεοναχῶς, καὶ εἰ αὐτό, καὶ ἡ πτῶσις.

οἷον ἐπεὶ τοῦ δίκαιον τὸ δικαίως πτῶσις, ἂν τὸ δικαίως πλεοναχῶς, καὶ τὸ δίκαιον, καὶ ἔμπαλιν. λέγεται δὲ τὸ δικαίως πλεοναχῶς· ὅ τε γὰρ κατὰ τὴν ἑαυτοῦ γνώμην κρίνας καὶ τὸ δόξαν αὐτῷ δίκαιον εἶναι ἀποφηνάμενος δικαίως λέγεται κεκρικέναι, κἂν μὴ ὄντως δίκαιον ᾖ τοῦτο· λέγεται δικαίως κεκρικέναι καὶ ὁ ὡς δεῖ κρίνας· ἀλλὰ καὶ ὁ τῷ νόμῳ πεισθείς, κἂν μὴ τὸ ταῖς ἀληθείαις δίκαιον οὕτως ἔχῃ. καὶ τὸ δίκαιον οὖν τῶν πλεοναχῶς λεγομένων καὶ τοσαυταχῶς· καθ' ἕκαστον γὰρ τῶν δικαίως· τό τε γὰρ κατὰ τὴν ἑαυτοῦ γνώμην καὶ τὸ ὡς δεῖ δίκαιον τοιοῦτον καὶ τὸ νόμιμον. καὶ δῆλον ὅτι ἀντιστρέψει ὁ τόπος· καὶ γὰρ εἰ αὐτὸ πάλιν πλεοναχῶς τὸ δίκαιον, καὶ ἡ πτῶσις ἡ ἀπ' αὐτοῦ, τὸ δικαίως, πλεοναχῶς. πάλιν τοῦ ὑγιεινὸν πτῶσις τὸ ὑγιεινῶς· εἰ δὴ τὸ ὑγιεινὸν πολλαχῶς, καὶ τὸ ὑγιεινῶς πολλαχῶς· εἰ γὰρ ὑγιεινὸν λέγεται τὸ μὲν ὡς ποιητικὸν ὑγείας, ὡς φάρμακον, τὸ δὲ φυλακτικό ν , ὡς δίαιτα, τὸ δὲ σημαντικό ν , ὡς χρῶμα, σφυγμός, εὔπνοια, οὖρα, ἔσται καὶ τὸ ὑγιεινῶς τὸ μὲν ποιητικῶ ς , ὡς τὸ θεραπεύεσθαι, τὸ δὲ φυλακτικῶ ς , ὡς τὸ ὑγιεινῶς διαιτᾶσθαι, τὸ δὲ σημαντικῶ ς , ὡς τὸ ὑγιεινῶς ἀναπνεῖν.

in Top.105 οὐκέτι μέντοι ἀναγκαῖόν ἐστιν, εἰ ταῦτα πλεοναχῶς, καὶ τὴν ἕξιν, τὴν ὑγείαν, ἀφ' ἧς ταῦτα παρωνόμασται (καὶ ἔστιν ἀλλήλοις τε κἀκείνῃ σύστοιχα), λέγεσθαι πλεοναχῶς· οὐ γάρ, εἰ τὸ ὑγιεινῶς πολλαχῶς, ἤδη καὶ ἡ ὑγεία· ὥστε οὐ τὸ ἐπὶ τῶν πτώσεων ἤδη τοῦτο καὶ ἐπὶ τῶν συστοίχων. εἰπὼν δὲ εἰ τὸ ὑγιεινὸν πλεοναχῶ ς , καὶ ἡ πτῶσις ἡ ἀ π ' αὐτοῦ πλεοναχῶ ς , ὁμοίως φησὶν ἕξειν καὶ ἐπὶ τῶν ἄλλων · οὐ γὰρ ἐπὶ τῶν εἰρημένων μόνον παραδειγμάτων, ἂν ἡ πτῶσις πλεοναχῶς, 〈καὶ αὐτὸ πλεοναχῶσ〉 , ὡς εἶπε κατὰ τὴν ἀρχὴν τῆς τοῦ τόπου παραδόσεως, καὶ ἀνάπαλιν, ἂν αὐτὸ πλεοναχῶς, καὶ ἡ πτῶσις. αὐτὰ μὲν οὖν ἔσται τὰ οὕτως ἔχοντα, ὡς τὸ δίκαιον, τὸ ὑγιεινόν, τὸ μουσικόν, τὸ ἀνδρεῖον· πτώσεις δὲ τούτων τὸ ἀνδρείως, τὸ δικαίως, τὸ ὑγιεινῶς, τὸ μουσικῶς. ἐν ὁποτέρῳ ἂν οὖν φανερὸν ᾖ τὸ πολλαχῶς, ἀπὸ τούτου δεικνύοιτο ἂν καὶ τὸ λοιπόν. p. 107a3 Σκοπεῖν δὲ καὶ τὰ γένη τῶν κατὰ τοὔνομα κατηγοριῶ ν , εἰ ταὐτά ἐστιν ἐπὶ πάντω ν . Δεῖν φησιν ἐπισκοπεῖν καὶ τὰ γένη τῶν κατηγοριῶν, ὑφ' ἅς ἐστι τὰ ὑπὸ ταὐτὸν ὄνομα, τοῦτ' ἔστι τὰς κατηγορίας· ταῦτα δέ ἐστι τὰ ἀνωτάτω γένη. δεῖν δέ φησι καὶ τὰς τῶν σημαινομένων ὑπὸ τῶν ὀνομάτων τῶν προκειμένων κατηγορουμένας κατηγορίας ἐπισκοπεῖν, εἰ κατὰ πάντων τῶν ὑπὸ τοῦ ὀνόματος σημαινομένων αἱ αὐταὶ κατηγοροῦνται· ἂν γὰρ ὑπὸ πλείους κατηγορίας ᾖ τὰ σημαινόμενα ὑπ' αὐτοῦ καὶ πλείους αὐτοῦ κατηγορῶνται, ὁμώνυμον ἔσται, ὡς ἐπὶ τοῦ ἀγαθοῦ. τὸ γὰρ ἀγαθὸν ποτὲ μὲν τὸ ποιεῖν, ὥς φησι, σημαίνει· ἔστι γάρ τινα ἀγαθὰ ὡς ποιητικά· λέγεται γὰρ τὸ ἀγαθοῦ ποιητικὸν ἀγαθόν, οἷον τὸ ὑγείας ποιητικὸν ἢ τὸ ἡδονῆς καὶ ὅλως τὸ ὠφέλιμον· τὸ γὰρ ἐν τῷ ἐδέσματι ἀγαθὸν ὡς ποιητικὸν ἀγαθοῦ ἀγαθόν· τὸ δὲ ποιητικὸν ὑπὸ τὴν τοῦ ποιεῖν κατηγορίαν. ποτὲ δὲ τὸ ποιόν, ὡς ἐπὶ ψυχῆς · ὅταν γὰρ κατηγορήσωμεν τὸ ἀγαθὸν ψυχῆς λέγοντες αὐτὴν ἀγαθήν, τὸ ποιὰν αὐτὴν εἶναι σημαίνομεν, οἷον σώφρονα ἢ ἀνδρείαν ἢ δικαίαν · ποιότητος δὲ παρουσίᾳ τὰ ποιὰ ποιά· ὥστε, εἰ ποιὰ ἡ ψυχὴ τῇ τούτων παρουσίᾳ, ποιότητες ταῦτα· ὁμοίως καὶ ἀνθρώπου ὅταν τὸ ἀγαθὸν κατηγορήσωμεν, τὸ ποιὸν αὐτὸν εἶναι σημαίνομεν, σώφρονα, ἀνδρεῖον, δίκαιον, φρόνιμον.

in Top.106 ἐνίοτε δὲ τὸ ἀγαθὸν τὸ ποτὲ σημαίνει· τὸ γὰρ ἐν τῷ προσήκοντι καιρῷ γινόμενον ἀγαθὸν λέγεται. σημαίνει δέ ποτε τὸ ἀγαθὸν καὶ τὸ ποσόν · τὸ γὰρ μέτριον καὶ μήτε ὑπερβάλλον μήτε ἐνδέον εἴη ἂν ποσόν, καθ' ὅσον τοσοῦτόν τι λέγεται. λέγεται καὶ ὡς οὐσία τι ἀγαθόν, ὡς θεὸς καὶ νοῦς. λέγεται καὶ ὡς πρός τι· τὸ γὰρ σύμμετρον οὕτως ἀγαθόν. ἔστι τι ἀγαθὸν καὶ ἐν τῷ πάσχειν, ὡς τὸ θεραπεύεσθαι καὶ διδάσκεσθαι. ἔστι τι τοῦ ἀγαθοῦ καὶ ἐν τῷ ποῦ, οἷον τὸ ἐν Ἑλλάδι εἶναι, τὸ ἐν ὑγιεινοῖς χωρίοις εἶναι, τὸ ἐν ἡσυχίαν ἄγουσιν ἢ εἰρήνην. εἴη δ' ἂν καὶ ἐν τῷ κεῖσθαι, ὡς ὅταν, ᾧ μὲν λυσιτελὲς τὸ καθέζεσθαι, καθέζηται, ᾧ δὲ τὸ ἀνακεῖσθαι, ἀνακείμενος ᾖ, ὡς τῷ πυρέττοντι φέρε εἰπεῖν. ἐπεὶ οὖν τὰ δέκα γένη κατὰ τοῦ ἀγαθοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατηγορεῖται, δῆλον ὅτι ὁμώνυμον τὸ ἀγαθό ν . ὁμοίως δειχθήσεται καὶ τὸ λευκὸν ὁμώνυμον· τὸ μὲν γὰρ ἐπὶ τοῦ σώματος λεγόμενον τὸ λευκὸν χρῶμα σημαίνει, ὅπερ ἐστὶν ὑπὸ τὴν ποιότητα, τὸ δὲ ἐπὶ τῆς φωνῆς τὸ ποιεῖν· λευκὴ γὰρ λέγεται φωνὴ ἡ εὐήκοος· εὐήκοος δέ ἐστιν ἡ τὴν ἀκοὴν σφοδρῶς καὶ ταχέως ἀλλοιοῦσα. ὁμοίως καὶ τὸ ὀξὺ δεικνύοιτ᾽ ἂν ὁμώνυμον· οὐ γὰρ πάντα ὧν κατηγορεῖται ὑπὸ ταὐτόν ἐστι γένος. τὸ μὲν γὰρ ἐν φωνῇ ὀξὺ ὑπὸ τὸ ποιεῖν, εἴ γέ ἐστιν ὀξεῖα φωνὴ ἡ ταχεῖα· ταχὺ γὰρ τὸν ἀέρα τέμνει τε καὶ διαιρεῖ ἡ τοιαύτη πληγή τε καὶ φωνή· ταχεῖα γὰρ ἡ κίνησις αὐτῆς. φασὶ γὰρ οἱ περὶ τοὺς ἀριθμοὺς ἁρμονικοί (οὗτοι δέ εἰσι τῶν Πυθαγορείων οἱ μάλιστα περὶ τὰ μαθήματα γεγυμνασμένοι· περὶ τοὺς ἀριθμοὺς δὲ ἁρμονικοὶ οἱ τὰς ἁρμονίας κατὰ σύνθεσιν ἀριθμῶν ποιοῦντες· πάντα γὰρ ἀνάγοντες εἰς τοὺς ἀριθμοὺς καὶ τὰς ἁρμονίας ἀνῆγον), οὗτοι δὴ λέγουσιν ὅτι πληγῆς πρὸς τὸν ἀέρα γινομένης καὶ κινήσεως δι᾽ αὐτὴν τοῦ ἀέρος οἱ ψόφοι γίνονται, ὧν εἰσι καὶ αἱ φωναί· ἀλλὰ ταχείας μὲν τῆς κινήσεως γινομένης ἐν ἀριθμῶν ἀναλογίᾳ τοιᾷδε ὀξὺς ὁ ψόφος· γίνεται δὲ τοιαύτη ἡ κίνησις ὑπὸ σφοδρότητος τῆς πληγῆς· εἰ δὲ βραδεῖα ἡ κίνησις, βαρὺς ὁ ψόφος, ὥσπερ καὶ ἀθρόας μὲν καὶ πολλῆς τῆς κινήσεως τοῦ ἀέρος γινομένης μέγας τε καὶ σφοδρὸς ὁ ψόφος, ἠρεμαίας δὲ καὶ ὀλίγης καὶ ὁ ψόφος ἥσυχός τε καὶ μικρός.

in Top.107 εἰ οὖν τὸ ταχέως κινεῖν τὸν ἀέρα ποιεῖν ἐστιν, ἡ δὲ ὀξεῖα φωνὴ ἐν τῷ ταχὺ κινεῖν τὸν ἀέρα τοιαύτη ἐστίν, εἴη ἂν ἐν τῷ ποιεῖν. τὸ δέ γε ἐπὶ τῆς γωνίας πρός τι δηλοῖ· τὸ γὰρ ἔλαττον ἐν τῷ πρός τι· ἔλαττον γάρ τινος· λέγεται δὲ ὀξεῖα γωνία ἡ ἐλάττων ὀρθῆ ς . τὸ δὲ ἐπὶ τῆς μαχαίρας ὀξὺ ποιότητός ἐστι δηλωτικόν· τὸ γὰρ σχῆμα ὑπὸ τὴν ποιότητα· κατὰ δὲ τὸ σχῆμα ἡ μάχαιρα ὀξεῖα. καὶ τὸ ὀξυγώνιον δὲ σχῆμα σημαίνει. εἰ οὖν τοῦ ὀξέος τὸ μὲν ὑπὸ τὸ ποιεῖν, τὸ δὲ ὑπὸ τὸ πρός τι, τὸ δὲ ὑπὸ τὸ ποιόν, ὁμώνυμον τὸ ὀξύ. p. 107a18 Σκοπεῖν δὲ καὶ τὰ γένη τῶν ὑπὸ τὸ αὐτὸ ὄνομ α , εἰ ἕτερα καὶ μὴ ὑ π ᾽ ἄλληλ α . Προστίθησι τῷ προειρημένῳ τόπῳ ὄντι ἀπὸ τῶν γενῶν καὶ τοῦτον ὄντα μὲν καὶ αὐτὸν ἀπὸ τῶν γενῶν, οὐ μὴν τὸν αὐτὸν ἐκείνῳ· ἐκεῖνος μὲν γὰρ ἦν ἀπὸ τῶν ἀνωτάτω γενῶν, ἃς κατηγορίας λέγει, οὗτος δὲ καθόλου λαμβάνεται, εἰ ὑπὸ διαφέροντα γένη τὰ σημαινόμενα ὑπὸ τοῦ ὀνόματος καὶ μὴ ὑ π ᾽ ἄλληλ α . ἔσται γὰρ τῶν πολλαχῶς λεγομένων, εἰ οὕτως ἔχοι· οὐ γὰρ μόνα τὰ ὑπὸ διαφόρους κατηγορίας ὁμώνυμα, ἀλλὰ κἂν ὑπὸ μίαν ᾖ κατηγορίαν τὰ σημαινόμενα ὑπὸ τοῦ ὀνόματος, ὑπὸ μέντοι διαφέροντα γένη τῶν ὑπὸ τὴν αὐτὴν κατηγορίαν ὄντων ἕκαστον αὐτῶν, εἰ καὶ μὴ εἴη τὰ γένη ταῦτα ὑπ᾽ ἄλληλα, καὶ οὕτως ὁμώνυμα. φησὶ γὰρ δεῖν ἐπιβλέπειν τὰ γένη τῶν ὑπὸ τὸ αὐτὸ ὄνομα, τοῦτ᾽ ἔστιν ἐν τίσιν ἐστὶ γένεσι τὰ ὑπὸ τοῦ αὐτοῦ ὀνόματος σημαινόμενα, κἂν ᾖ τὰ γένη αὐτῶν ἕτερα καὶ μὴ ὑπ᾽ ἄλληλα, ἡγεῖσθαι τὸ ὄνομα ὁμώνυμον εἶναι τὸ τῶν τοιούτων σημαντικόν. εἰ μὲν γὰρ καθ᾽ ὧν τὸ ὄνομα ἀληθεύεται, ἐν πλείοσιν εἴη γένεσιν ὑπαλλήλοις μέντοι, οὐκ ἀνάγκη τῶν πολλαχῶς αὐτὸ λεγομένων εἶναι. κατὰ γὰρ οὗ ὁ κόραξ τὸ ὄνομα κατηγορεῖται, καὶ ὑπὸ τὸ ὄρνεόν ἐστιν ὡς γένος καὶ ὑπὸ τὸ ζῷόν ἐστι, καὶ οὐ γίνεται τὸ ὄνομα ὁ κόραξ κατὰ τοῦτο ὁμώνυμον· ὅ τε γὰρ εἰπὼν ὄρνεον καὶ ζῷον λέγει καὶ ὁ ζῷον πτηνὸν δίπουν πάλιν ὄρνεον· διὸ καὶ ἀμφότερα τὰ γένη τοῦ αὐτοῦ κατηγορεῖται. ὁ μέντοι ὄνος, ἐπεὶ καθ᾽ ὧν ἀληθεύεται, ταῦτα ὡς ὑπὸ γένη ἐστὶ τό τε ζῷον καὶ τὸ σκεῦος, καὶ οὐκ ἔστι ταῦτα ὑπ᾽ ἄλληλα· ἓν μὲν γὰρ αὐτῶν κοινὸν γένος καὶ μία κατηγορία κοινή, ἡ οὐσία, ἀλλ᾽ ὅτι τὰ ἐν οἷς ἐστι προσεχέσι γένεσι τὰ σημαινόμενα ὑπὸ τοῦ ὄνου, διαφέροντά τέ ἐστιν ἀλλήλων καὶ οὐχ ὑπ᾽ ἄλληλα, διὰ τοῦτο ὁ ὄνος τὸ ὄνομα ὁμώνυμον.

in Top.108 οὔτε γὰρ ὁ σκεῦος εἰπὼν καὶ ζῷον λέγει, οὔτε ὁ τὸ ζῷον καὶ σκεῦος· ὥστε οὐχ ὑπ᾽ ἄλληλα. καὶ ὁ κόραξ, ὅταν μὴ μόνον ἐπὶ τοῦ ζῴου λεγόμενος λαμβάνηται, ὑπὸ διαφέροντα γένη ἔσται· τὸ μὲν γὰρ ὑπὸ τὸ ζῷον γένος, τὸ δὲ ὑπὸ τὸ ὄργανον. p. 107a32 Σκοπεῖν δὲ μὴ μόνον ἐπὶ τοῦ προκειμένου εἰ ἕτερα τὰ γένη καὶ μὴ ὑ π ᾽ ἄλληλ α . Δεῖν φησι μὴ μόνον ἐπὶ τοῦ προκειμένου ζητεῖν εἰ τὰ σημαινόμενα ὑπ᾽ αὐτοῦ ἑτέρων ἐστὶ γενῶν καὶ μὴ ὑπ᾽ ἄλληλα, ἀλλὰ καί, εἰ

ἐναντίον ἐστί τι τῷ προκειμένῳ, καὶ ἐπ' ἐκείνου ταὐτὸ ζητητέον, εἰ τὰ ὑπ' αὐτὸ ἑτέρων γενῶν ἐστι καὶ μὴ ὑπ' ἄλληλα ὄντων. δεικνύοιτο γὰρ ἂν οὕτως ἐκεῖνο τῶν πολλαχῶς λεγομένων· εἰ δὲ ἐκεῖνο δειχθείη πολλαχῶς λεγόμενον, ἔσται καὶ τὸ προκείμενον δεδειγμένον ὅτι ὁμώνυμόν ἐστι, τῷ κεῖσθαι ἡμῖν, ἂν τὸ ἐναντίον τινὶ πολλαχῶς λέγηται, κἀκεῖνο τῶν πολλαχῶς λεγομένων εἶναι. εἰ γὰρ εἴη ζητούμενον περὶ τοῦ ἀμβλέος εἰ τῶν πολλαχῶς λεγομένων ἐστί, τὸ ἐναντίον αὐτῷ λαβόντες, τὸ ὀξύ, καὶ δείξαντες ὅτι καθ' ὧν τὸ ὀξύ, ταῦτα ἐν διαφόροις γένεσίν ἐστι καὶ οὐχ ὑπ' ἄλληλα οὖσι (τὸ μὲν γὰρ ἐν φωνῇ, τὸ δὲ ἐν χυμῷ, τὸ δὲ ἐν μαχαίρᾳ, καὶ ἔστι γένος τοῦ μὲν ψόφος τοῦ δὲ χυμὸς τοῦ δὲ σχῆμα, τοῦ γὰρ ἐν μαχαίρᾳ γένος τὸ σχῆμα, ἃ οὐκ ἔστιν ὑπ' ἄλληλα), δεδειχότες ἐσόμεθα ὅτι καὶ τὸ ἀμβλὺ ὁμώνυμον· τὸ μὲν γὰρ αὐτοῦ ἐν φωνῇ καὶ ψόφῳ ἔσται, τὸ δὲ ἐν χυμῷ, τὸ δὲ ἐν μαχαίρᾳ τε καὶ σχήματι· τὰ γὰρ ἀλλήλοις ἐναντία ἐν τῷ αὐτῷ δοκεῖ γένει εἶναι. p. 107a36 Χρήσιμον δὲ καὶ εἰς τὸν ὁρισμὸν ἐπιβλέπειν τὸν ἐκ τοῦ συντιθεμένου γινόμενο ν . Ὃν παραδίδωσι τόπον, τοιοῦτός ἐστιν. ὅταν ὄνομά τι κατὰ πλειόνων κατηγορῆται, ἄδηλον δὲ ᾖ πότερον ταῦτα τὰ ὑπὸ τὸ κοινὸν ὄνομα ὁμωνύμως ἀλλήλοις λέγεται ἢ συνωνύμως, δεῖ, φησίν, ἕκαστον λαμβάνοντας τούτων, καθ' ὧν κατηγορεῖται, μετὰ τοῦ κοινοῦ ὀνόματος ὁρίζεσθαι, ἔπειτα ἐκ τῶν ὁρισμῶν τῶν τοῦ συνθέτου τὸν ἴδιον ἑκάστου λόγον τῶν εἰς τὸ κοινὸν ὄνομα προσκειμένων ἀφελόντας ὁρᾶν τὸν καταλειπόμενον λόγον, εἰ ὁ αὐτός ἐστιν ἐν ἀμφοτέροις.

in Top.109 εἰ μὲν γὰρ ὁ αὐτός, οὐχ ὁμώνυμον ἔσται τὸ ζητούμενον· εἰ δὲ μὴ ὁ αὐτός, ὁμώνυμον ἠξίωσε δὲ τοῦ συναμφοτέρου τὸν λόγον λαμβάνειν ὑπὲρ τοῦ τὸ οἰκεῖον ἑκάστῳ τῶν οἷς ὑπάρχει τὸ πολλαχῶς λεγόμενον λαμβάνεσθαι. οἷον ὁ ἄνθρωπος καὶ κατὰ ἄρρενος καὶ κατὰ θηλείας κατηγορεῖται· ζητοῦντες οὖν εἰ ὁμωνύμως κατὰ τούτων ὁ ἄνθρωπος κατηγορεῖται, ἑκατέρου αὐτῶν μετὰ τοῦ ἄνθρωπος τὸν λόγον λαμβάνομεν, ἄρρενος ἀνθρώπου καὶ θηλείας ἀνθρώπου. ἔστι δὴ τοῦ μὲν 'ζῷον πεζὸν δίπουν ἐν ἄλλῳ γεννᾶν δυνάμενον', τῆς δὲ 'ζῷον πεζὸν δίπουν ἐν ᾧ ἕτερον γεννᾶν πέφυκεν'. ἂν δὴ ἀφέλωμεν ἀπ' αὐτῶν τὰ ἴδια τοῦ τε ἄρρενος καὶ τῆς θηλείας (ἦν δὲ τὸ ἐν ἄλλῳ γεννᾶν δύνασθαι καὶ τὸ ἐν ᾧ ἄλλο γεννᾶν δύναται), ἐπεὶ τὸ καταλειπόμενον τὸ 'ζῷον πεζὸν δίπουν' ἐν ἀμφοτέροις ἐστὶ τὸ αὐτό, τοῦτο δὲ ἦν ὁ τοῦ ἀνθρώπου λόγος, οὐ γίνεται ὁ ἄνθρωπος τῶν πολλαχῶς λεγομένων· εἷς γὰρ ὁ τοῦ κοινοῦ φαίνεται λόγος ὤν. ἂν μέντοι ἀφαιρεθέντων ἀπὸ τῶν συνθέτων λόγων τῶν ἰδίων τῶν προσκειμένων τὸ καταλειπόμενον μὴ ταὐτὸν ᾖ, γίνεται τὸ κοινὸν πολλαχῶς λεγόμενον. τὸ γὰρ λευκὸν κατηγορεῖται μὲν καὶ κατὰ σώματος, κατηγορεῖται δὲ καὶ κατὰ φωνῆς· ἂν δὴ λευκοῦ σώματος καὶ λευκῆς φωνῆς ὅρον ἀποδιδόντων ἡμῶν μετὰ τὴν ἀφαίρεσιν τοῦ λόγου, ὃς ἴδιός ἐστι τοῦ σώματος καὶ τῆς φωνῆς, ὁ καταλειπόμενος λόγος ὢν τοῦ λευκοῦ μὴ ὁ αὐτὸς ἐν ἀμφοτέροις ᾖ, ὁμώνυμον τὸ λευκόν. λευκοῦ μὲν οὖν σώματος λόγος 'μέγεθος τριχῇ διεστὼς ἔχον χρῶμα διακριτικὸν ὄψεωσ', τῆς δὲ λευκῆς φωνῆς 'ψόφος ἐμψύχου γινόμενος διὰ τῶν φωνητικῶν μορίων κατὰ ὁρμὴν εὐήκοοσ'· ὧν λόγων ἂν ἀφέλωμεν τό τε 'ψόφος ἐμψύχου γινόμενος διὰ τῶν φωνητικῶν μορίων κατὰ ὁρμήν' φωνῆς ὂν ἴδιον καὶ τὸ 'μέγεθος τριχῇ διαστατόν' σώματος ὂν δηλωτικόν, τὰ καταλειπόμενα γίνεται ἐν μὲν τῷ τὸ 'ἔχον χρῶμα διακριτικὸν ὄψεωσ', ἐν δὲ τῷ τὸ εὐήκοον, ἃ τοῦ ἐν ἀμφοτέροις λευκοῦ ἐστι δηλωτικά· 〈ἃ〉 ἐπεὶ μὴ ταὐτά ἐστι, τὸ λευκὸν ἂν ἐν τοῖς ὁμωνύμοις εἴη. Πολλάκις δ έ , φησί, καὶ ἐν αὐτοῖς τοῖς λόγοις τε καὶ διορισμοῖς τοῖς λαμβανομένοις ἢ τῶν συγκειμένων ἢ ὅλως τούτων, ἃ ζητοῦμεν εἰ πολλαχῶς λέγεται, λανθάνει παρακολουθοῦσα ἡ ὁμωνυμί α , ὡς μήπω κατάδηλον εἶναι τὸ προκείμενον ὅτι ἐστὶ τῶν πολλαχῶς λεγομένων.

in Top.110 διὸ οὐ δεῖ ἀφίστασθαι, ἀλλὰ ζητεῖν πάλιν καὶ τοῦ ἐν τῷ ὁρισμῷ κοινοῦ λόγου ποῖον τὸ ἴδιον· οὕτως γὰρ εὑρεθήσεται αὐτῶν ἡ πρὸς ἄλληλα διαφορά. οἷον εἴ τις, ἐπεὶ τὸ ὑγιεινὸν λέγεται καὶ ὡς ποιητικὸν καὶ ὡς σημαντικό ν , βουλόμενος τῷ προειρημένῳ τόπῳ χρήσασθαι ὁρίσαιτο τὰ

σύνθετα, τό τε ὡς ποιητικὸν ὑγιεινὸν καὶ τὸ ὡς σημαντικὸν ὑγιεινόν, καὶ τοῦ μὲν ἀποδοίη λόγον ‘ τὸ συμμέτρως ἔχον πρὸς τὸ ὑγείαν ποιεῖν‘, τοῦ δὲ ‘ τὸ συμμέτρως ἔχον πρὸς τὸ ὑγείαν σημαίνειν‘, ἐπεὶ τῶν λόγων τούτων ἀφαιρεθέντων τῶν ἰδίων, τοῦ μὲν τοῦ ‘πρὸς τὸ ὑγείαν ποιεῖν‘. ὃ ἦν τοῦ ποιητικοῦ, τοῦ δὲ τοῦ ‘πρὸς τὸ ὑγείαν σημαίνειν‘, ὃ ἦν πάλιν τοῦ ὡς σημείου ὑγιεινοῦ, τὸ καταλειπόμενον ἐν ἀμφοτέροις ταὐτόν ἐστι, τὸ συμμέτρως ἔχειν, ὃ ἦν λόγος τοῦ ὑγιεινοῦ, οὐ δόξει τὸ ὑγιεινὸν ὁμώνυμον εἶναι ἀλλὰ συνώνυμον, εἴ γέ ἐστιν αὐτοῦ εἷς καὶ ὁ αὐτὸς λόγος. δεῖ οὖν, ὥς φησι, πάλιν καὶ αὐτὸ τὸ συμμέτρως ἔχειν καθ’ ἑκάτερον ζητεῖν τί σημαίνει· οὕτω γὰρ εὑρεθήσεται ἡ τοῦ ὑγιεινοῦ ὁμωνυμία. σημαίνει γὰρ ἐν μὲν τῷ ποιητικῷ τὸ ποσόν· τὸ γὰρ κατὰ ποσὸν σύμμετρον ποιητικὸν ὑγείας· ἐν γὰρ τῇ τοιαύτῃ συμμετρίᾳ τὸ ὡς ποιητικὸν ὑγιεινόν· ἐν δὲ τῷ ὡς σημείῳ τὸ συμμέτρως ἔχον οὐκέτι σημαίνει τὸ τοσοῦτον ἀλλὰ τὸ τοιοῦτον εἶναι, ὡς σημαίνειν τὴν ἕξιν ὅτι τοιαύτη. ὥστε τῶν σημαινομένων ὑπὸ τοῦ συμμέτρου ληφθέντων τῶν ὁρισμῶν μετὰ τοῦ τοῦ συμμέτρου ὁρισμοῦ καὶ τῶν ἰδίων τῶν ὁρισμῶν τούτων ἀφαιρεθέντων οὐ καταλέλειπται ὁ τοῦ συμμέτρου ὅρος· εἰ τοίνυν τὸ τοσοῦτον καὶ τὸ τοιοῦτον διαφέροντα, καὶ τὸ ὑγιεινὸν ὁμώνυμον. οὕτως εὑρίσκοιτ’ ἂν καὶ ὅτι ἡ κίνησις ὁμώνυμος καίτοι δοκοῦσα ἕνα λόγον ἔχειν· λέγεται γὰρ ἐνέργεια εἶναι τοῦ κινητοῦ ᾗ τοιοῦτον. ἀλλ’ ἐπεὶ μηδὲ τὸ κινητὸν κατὰ πᾶσαν κίνησιν ταὐτὸν ἀλλὰ ἄλλο καὶ ἄλλο, καθ’ ἣν μὲν τὸ κατ’ οὐσίαν μεταβλητόν, καθ’ ἣν δὲ τὸ κατὰ ποιότητα, καθ’ ἣν δὲ τὸ κατὰ ποσόν, ὡς δηλοῖ ἡ ἐνέργεια (ἄλλη γὰρ ἡ τῶν κατ’ εἶδος διαφερόντων τελειότης· τὸ γὰρ δυνάμει καθ’ ἕκαστον τῶν κινητῶν ἄλλο τῷ εἴδει· διὸ καὶ ἡ ἐνέργειά τε καὶ ἡ ἐντελέχεια· ἡ μὲν γὰρ φορά, ἡ δὲ ἀλλοίωσις, ἡ δὲ αὔξησις, ἡ δὲ μείωσις, ἡ δὲ γένεσις, ἡ δὲ φθορά), ἡ δὴ κίνησις ὁμώνυμος.

in Top.111 p. 107b13 Ἔτι εἰ μὴ συμβλητὰ κατὰ τὸ μᾶλλον ἢ ὁμοίω ς . Καὶ τοῦτον τὸν τόπον πρὸς τὴν ἐπίκρισίν τε καὶ εὕρεσιν τῶν πολλαχῶς λεγομένων παραδίδωσι, τὸν ἀπὸ τῆς συγκρίσεως. ἐπεὶ γὰρ πάντα τὰ τοῦ αὐτοῦ λόγου τε καὶ εἴδους κοινωνοῦντα συμβλητά ἐστιν ἀλλήλοις καὶ συγκριτικά (πάντα γὰρ τὰ τοῦ αὐτοῦ τινος μετέχοντα ἢ ὁμοίως αὐτοῦ μετέχει καὶ ἔστι συμβλητὰ κατὰ τὸ ὅμοιον, οἷον ὡς οἱ κύκλοι πάντες ὁμοίως ἀλλήλοις κύκλοι οἱ τὸν τοῦ κύκλου λόγον ἀναδεχόμενοι· ὁμοίως καὶ οἱ ἄνθρωποι, καὶ ὅλως ἐν οἷς μή ἐστι τὸ μᾶλλόν τε καὶ ἧττον, ταῦτα ὁμοίως τοῦ κοινοῦ μετέχει καὶ κατὰ τὸ ὅμοιόν ἐστι συμβλητά· ἐν οἷς δέ ἐστι καὶ τὸ μᾶλλον, δύναται ἡ τούτων σύγκρισις γίνεσθαι μὲν καὶ κατὰ τὸ ὅμοιον, γίνεσθαι δὲ καὶ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον, ὡς ἐπὶ λευκοῦ· τὰ γὰρ τοῦ λευκοῦ τοῦ ὡς χρώματος μετέχοντα πάντα ἢ ὁμοίως αὐτοῦ μετέχει ἢ τὸ μὲν μᾶλλον τὸ δὲ ἧττον· καὶ τὰ ὁμοίως δὲ αὐτοῦ μετέχοντα κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον συγκριτικά), εἰ δὴ τὰ μετέχοντα τοῦ αὐτοῦ συγκριτικά, τὰ μὴ συγκριτικὰ δῆλον ὅτι οὐκ ἂν μετέχοι τοῦ αὐτοῦ. δεῖ οὖν, φησίν, ἐπιβλέπειν ἐπὶ τὰ ὑπὸ ἑνός τινος ὀνόματος σημαινόμενα, εἰ κατὰ τὸ σημαινόμενον ὑπὸ τοῦ ὀνόματος καθ’ ἕκαστον αὐτῶν μή ἐστι συμβλητά· ἂν γὰρ μὴ ᾖ, ὁμώνυμον ἔσται τὸ ὄνομα, ὃ κοινὸν ἔχοντα ταῦτα οὐκ ἔστιν ἀλλήλοις κατ’ αὐτὸ συμβλητά. οἷον τὸ λευκὸν καὶ κατὰ φωνῆς καὶ κατὰ ἱματίου κατηγορεῖται· ἀλλ’ οὐκ ἔστι συμβλητὰ φωνὴ καὶ ἱμάτιον κατὰ τὸ λευκόν· οὐδεὶς γὰρ ζητεῖ πότερον μᾶλλον λευκὸν τὸ ἱμάτιον ἢ ἡ φωνή, ὡς ζητεῖ ἐπὶ γύψου καὶ χιόνος· οὔτε γὰρ ὁμοίως οὔτε τὸ μὲν μᾶλλον αὐτῶν τὸ δὲ ἧττόν ἐστι τοιοῦτον· διὸ οὐ τοῦ αὐτοῦ σημαντικὸν ἐφ’ ἑκατέρου αὐτῶν ὂν τὸ λευκὸν ὁμώνυμον ἂν εἴη. οὐκέτι δὲ ὁμώνυμον τὸ κατὰ γύψου καὶ χιόνος.

in Top.112 πάλιν τὸ ὀξὺ καὶ ἐπὶ χυμοῦ καὶ ἐπὶ φωνῆς κατηγορεῖται, καὶ οὐκ ἔστι ταῦτα συμβλητὰ κατὰ τὸ ὀξύ, ὥστε ὁμώνυμον τὸ ὀξύ. p. 107b19 Ἐπεὶ δὲ τῶν ἑτέρων γενῶν καὶ μὴ ὑ π ’ ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφορα ί . Ὅτι τῶν ἑτέρων γενῶν καὶ μὴ ὑ π ’ ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφορα ί , εἴρηκεν ἐν Κατηγορίαις· ἀπὸ δὴ τούτου τόπον τινὰ ἡμῖν παραδίδωσι πρὸς εὕρεσιν τῶν πολλαχῶς λεγομένων. ἂν γάρ τι ὄνομα κατὰ πλειόνων κατηγορῆται, ἃ διαφοραί εἰσι διαφερόντων γενῶν καὶ μὴ ὑπ’ ἄλληλα ὄντων, ὁμώνυμον ἔσται

τὸ ταῦτα σημαῖνον ὄνομα· τῷ γὰρ διαφερόντων εἶναι γενῶν διαφορὰς ταῦτα καὶ ἕτερα τῷ εἴδει ἀλλήλων ἔσται, ἐπεὶ τῶν ἑτέρων γενῶν καὶ μὴ ὑ π ' ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφορα ί . διὰ τοῦτο τὸ ὀξὺ ὁμώνυμον, ὅτι τὸ ὀξὺ καὶ φωνῆς ἐστι διαφορὰ καὶ ὄγκου, ἃ ἕτερά ἐστι γένη καὶ οὐχ ὑπ' ἄλληλα. ἐπιζητήσαι δ' ἄν τις πῶς τὸ λεγόμενον ἀληθὲς ἐπὶ πάντων. τὸ γὰρ δίπουν δοκεῖ καὶ τοῦ ζῴου πεζοῦ καὶ τοῦ ζῴου πτηνοῦ διαφορὰ εἶναι ἑτέρων γενῶν καὶ μὴ ὑπ' ἄλληλα ὄντων, καὶ οὐκ ἔστιν ὁμώνυμον. ἢ δεῖ ἐπὶ τούτων τῶν γενῶν χρῆσθαι τῷ προκειμένῳ, ἂν πάντῃ ᾖ ἕτερα ἀλλήλων καὶ μὴ ὑπὸ ἓν κείμενα γένος, ὥσπερ ἐφ' ὧν αὐτὸς τὸν λόγον ἐποιήσατο· ζῷον γὰρ καὶ ἐπιστήμη καὶ φωνὴ καὶ ὄγκος οὕτως ἕτερα. τὰ δὲ προειρημένα, εἰ καὶ μὴ ὑπ' ἄλληλά ἐστιν, ἀλλ' ὑπὸ ἕν γε κοινὸν γένος, τὸ ζῷον· διὸ ἡ διαφορὰ ἡ δίπουν ὥσπερ ἑκατέρου τούτων ἐστὶ διαφορά, οὕτως καὶ τοῦ ζῴου εἴη ἂν διαφορά· οὖσα δὲ ἐν ἑνὶ γένει ἡ αὐτὴ ἂν εἴη κατὰ τὸ εἶδος. p. 107b27 Πάλιν εἰ αὐτῶν τῶν ὑπὸ τὸ αὐτὸ ὄνομα ἕτεραι αἱ διαφορα ί , οἷον χρώματο ς . Δείξας τὸ τῶν διαφορῶν ὄνομα τῶν πολλαχῶς λεγομένων ὄν, διότι ἦν τὰ σημαινόμενα ὑπ' αὐτοῦ διαφερόντων γενῶν διαφοραί, πάλιν δείκνυσι τὸ τῶν γενῶν ὄνομα τῶν πολλαχῶς λεγομένων ὄν, ἂν ὦσι τῶν ὑπ' αὐτοῦ σημαινομένων ἕτεραι διαφοραί.

in Top.113 οὐ μόνον γάρ, ἂν τὰ σημαινόμενα ὑπό τινος ὀνόματος "ἑτέρων γενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων" ὦσι διαφοραί, ὁμώνυμον ἔσεσθαι τὸ ταῦτα σημαῖνον ὄνομα λέγει, ἀλλὰ κἂν αὐτῶν τῶν ὑπό τινος ὀνόματος σημαινομένων γενῶν ἕτεραι ὦσι διαφοραί, καὶ τὸ ταῦτα σημαῖνον ὄνομα ὁμώνυμον ἔσεσθαί φησι, καὶ εἰκότως· εἰ γὰρ τῶν ἑτέρων γενῶν ἕτεραι διαφοραί, καὶ ὧν ἕτεραι διαφοραί, ταῦτα ἕτερα. χρῶμα γὰρ σημαίνει καὶ τὸ ἐν τοῖς σώμασιν, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὰ τούτων μεταξύ, σημαίνει καὶ τὸ ἐν τοῖς μέλεσι· λέγεται γάρ τι καὶ κατὰ μουσικὴν χρῶμα· τρία γὰρ μέρη τῆς μελῳδίας οἱ ἁρμονικοὶ εἶναί φασιν, ἁρμονίαν, χρῶμα, διάτονον, ὧν τοῦ χρώματος διαφοράς φασιν, ἃς ἰδίως χρόας καλοῦσι, τήν τε τοῦ μαλακοῦ χρώματος καὶ τὴν τοῦ ἡμιολίου καὶ τὴν τοῦ τονιαίου χρώματος. ἐπεὶ οὖν εἰσιν ἄλλαι μὲν διαφοραὶ τοῦ ἐν τοῖς σώμασι χρώματος, ὡς τὸ συγκριτικὸν καὶ διακριτικὸν ὄψεως, ἄλλαι δὲ τοῦ ἐν τοῖς μέλεσι (τὸ γὰρ ἡμιτονιαῖον καὶ διεσιαῖον καὶ τὸ μαλακόν), ὁμώνυμον τὸ λευκόν. εἰ γὰρ ἦν ἕν τι τὸ σημαινόμενον ὑπ' αὐτοῦ, οὐκ ἂν εἶχεν ἑτέρας τῷ εἴδει διαφοράς· τῶν γὰρ αὐτῶν γενῶν αἱ αὐταὶ διαφοραί. p. 107b33 Ἔτι ἐπεὶ τὸ εἶδος οὐδενός ἐστι διαφορ ά . Δεῖν φησι καὶ τοῦτο ἐπισκοπεῖν, εἰ τῶν ὑπὸ τοῦ αὐτοῦ σημαινομένων ὀνόματος τὸ μὲν εἶδός τινός ἐστι τὸ δὲ διαφορά. εἰ γὰρ εἴη τι σημαῖνον τοιαῦτα, ὁμώνυμον ἂν εἴη, ἐπεὶ τὸ εἶδός τινος οὐχ οἷόν τε διαφορὰν εἶναί τινος· τὸ μὲν γὰρ ποιητικόν ἐστιν εἴδους, ἡ διαφορά, τὸ δὲ γινόμενον ὑπ' αὐτῆς, τὸ εἶδος, καὶ τὸ μὲν ἐν τῷ τί ἐστι κατηγορεῖται, τὸ εἶδος, τὸ δὲ ἐν τῷ ποιόν τί ἐστι, καὶ τὸ μὲν εἶδος ὅπερ τὸ γένος ἐστίν, ἡ δὲ διαφορὰ τοῦ μὲν γένους ἐστίν, οὐχ ὅπερ δὲ τὸ γένος, καὶ εἴδη μέν ἐστιν εἰς ἃ τὰ γένη διαιρεῖται, διαφοραὶ δὲ καθ' ἃς διαιρεῖται ἢ καθ' ἃς τὰ εἴδη διαφέρει ἀλλήλων. τὸ δὴ λευκὸν διὰ τοῦτό ἐστιν ὁμώνυμον, ὅτι τὸ μέν τι εἶδός ἐστι τῶν ὑπ' αὐτοῦ σημαινομένων (τὸ γὰρ ἐν χρώματι λευκὸν εἶδος χρώματος), τὸ δὲ διαφορά· τὸ γὰρ ἐν φωνῇ λευκὸν οὐκ εἶδός ἐστι φωνῆς ἀλλὰ διαφορά· διαφέρει γὰρ φωνὴ φωνῆς τῷ λευκὴ εἶναι ἢ μή. p.

in Top.114 107b38 Περὶ μὲν οὖν τοῦ πολλαχῶς διὰ τούτων καὶ τῶν τοιούτων σκεπτέο ν . Παραδοὺς τοὺς κυριωτάτους τόπους δι' ὧν ἄν τις γνωρίζοι τὰ πολλαχῶς τε καὶ ὁμωνύμως λεγόμενα, ἐπεὶ ἐνδέχεταί τινας καὶ παρὰ τοὺς εἰρημένους τόπους εὑρεθῆναι τρόπους τῆς τῶν πολλαχῶς λεγομένων εὑρέσεως, διὰ τοῦτο εἶπε διὰ τούτων καὶ τῶν τοιούτω ν . δύναται γάρ τις γνωρίζειν τι ὁμωνύμως λεγόμενον καὶ ἀπὸ τοῦ τῶν σημαινομένων ὑπ' αὐτοῦ τὸ μὲν εἶδος εἶναι τὸ δὲ ἄτομον, ὡς τὸ ἄνθρωπος· ἦν γὰρ καὶ ἴδιον ὄνομα τοῦτο τοῦ Ὀλυμπιονίκου πύκτου, οὗ ἐν Ἠθικοῖς ἐμνημόνευσεν. ὁμοίως καὶ τὸ κόραξ ὄνομα οὐ τὸ εἶδος τὸ τοῦ ὀρνέου μόνον ἐσήμαινεν ἀλλὰ καὶ τὸν ῥήτορα. ἀλλὰ κἂν τὸ κοινόν τι σημαίνῃ καί τι τῶν ὑπὸ τὸ κοινὸν εἶδος,

ὁμώνυμον κἀκεῖνο, ὡς τὸ ἴδιον· καὶ γὰρ τὸ κοινόν, ὃ καὶ κατὰ τοῦ ὁρισμοῦ κατηγορεῖται καὶ κατὰ τοῦ οὕτως λεγομένου ἰδίου, σημαίνει καὶ τὸ ἀντιδιαιρούμενον τῷ γένει ἐκ τοῦ κοινοῦ ἰδίου. ἀλλὰ καὶ ἡ δικαιοσύνη καὶ τὴν κοινὴν ἀρετὴν σημαίνουσα καὶ τὴν ἀντιδιαιρουμένην ταῖς ἄλλαις ἀρεταῖς ὁμώνυμος. ὁμοίως καὶ τὸ μέλαν· καὶ γὰρ τὸ ἀντιδιαιρούμενον τῷ λευκῷ χρώματι μέλαν καλεῖται, καὶ ἰδίως καλεῖται ᾧ γράφομεν. εἴη δ' ἂν καὶ ἀπὸ τῶν πρός τι λαμβανόμενον τὸ πολλαχῶς, ὡς ἐρρέθη, οὗ οὐδὲ αὐτοῦ ἐμνημόνευσεν. ἀλλὰ κἂν ὑπὸ διαφερουσῶν αἰσθήσεων κρίνηται τὰ ὑπό τινος σημαινόμενα, ὁμώνυμον καὶ τοῦτο, ὡς ἐλέγομεν ἐπὶ τοῦ χρώματος· τὸ μὲν γὰρ ὑπὸ ὄψεως τὸ δὲ ὑπὸ ἀκοῆς. ἢ τούτου ἐμνημόνευσε. διὰ δὴ τὰ τοιαῦτα οὕτως εἶπε. p. 107b39 Τὰς δὲ διαφορὰς ἐν αὐτοῖς τοῖς γένεσι τοῖς πρὸς ἄλληλα θεωρητέο ν . Τρίτον ἦν εἶδος τῶν ὀργάνων τῶν πρὸς τὴν εὐπορίαν τῶν διαλεκτικῶν λόγων συναίρεσθαι κειμένων ἡ τῶν ἐν ἑκάστοις διαφορῶν γνῶσις, περὶ οὗ νῦν τὸν λόγον ποιεῖται. χρήσιμος δέ, ὡς ἐρεῖ, ἡ τῶν διαφορῶν γνῶσις πρός τε τὰ περὶ ταὐτοῦ προβλήματα (δυνάμενοι γὰρ γνωρίζειν τὰς διαφορὰς τῶν προκειμένων δεικνύοιμεν ἂν ὅτι μὴ ταὐτά, οἷον δόξα καὶ ἐπιστήμη μηδὲ αἴσθησις καὶ ἐπιστήμη μηδὲ ἐγκράτεια καὶ σωφροσύνη, ἀλλὰ καὶ ὅτι ἡ ἀρετὴ μὴ τέχνη), ἀλλὰ καὶ πρὸς τὰς τῶν γενῶν διαιρέσεις τὰς εἰς τὰ εἴδη· ἡ γὰρ εὕρεσις τῶν διαφορῶν τῶν ἐν τῷ αὐτῷ γένει εὐπορία τῆς εἰς τὰ εἴδη διαιρέσεως αὐτῶν.

in Top.115 ἔτι πρὸς τὰς ἐνστάσεις τῶν ἐπακτικῶν λόγων· ἂν γὰρ εἰδῶμεν τίνι διαφέρει τὸ λαμβανόμενον, ἐνίστασθαι ἂν δυναίμεθα τῷ ἐπάγοντι ὡς μὴ ὅμοια λαμβάνοντι. ἔτι πρὸς τὰς ἐνστάσεις τὰς πρὸς τὰς ὑπολήψεις τινὸς τῶν φυσικῶν, οἷον ὅτι ἓν τὸ ὄν, ὡς ἐδόκει Παρμενίδῃ τε καὶ Μελίσσῳ· δυνάμενοι γὰρ τὰς τῶν ὑπὸ τὸ ὂν συνορᾶν διαφορὰς ἀναιροίημεν ἂν τήνδε τὴν δόξαν. χρήσιμος δὲ ἡ τῶν διαφορῶν γνῶσις καὶ πρὸς τὴν γνῶσιν τῶν ἠθικῶν ἀρετῶν, πότερόν εἰσι πολλαὶ κατ' εἶδος ἀλλήλων διαφέρουσαι ἢ μία ἐξ ἁπασῶν ὅλη. ἀλλὰ καὶ πρὸς τοὺς ὁρισμούς, εἴ γε ὁ ὁρισμὸς ἐκ γένους καὶ διαφορῶν. ἐρεῖ δὲ καὶ αὐτὸς τὸ χρήσιμον ἑκάστου τῶν προειρημένων ὀργάνων, ὡς προεῖπον. λέγων δὲ περὶ τῶν διαφορῶν τόπους μὲν οὐ παραδίδωσι δι' ὧν γνωσόμεθα αὐτάς, ὥσπερ παρέδωκεν ἐπί τε τῶν προτάσεων καὶ ἐπὶ τῆς τῶν ὁμωνύμων διαιρέσεως· ἐν οἷς δὲ δεῖ ζητεῖν τὰς διαφορὰς καὶ περὶ ἃ γυμνάζεσθαι πρὸς τὴν ῥᾳδίαν ἐπίγνωσιν τῶν ἐν ἑκάστοις διαφερόντων, ὑποτίθεται. δεῖν γάρ φησι ζητεῖν τὰς διαφορὰς μὴ τῶν πόρρω διεστώτων (φανερὰ γὰρ ἡ τῶν οὕτως ἑτέρων πρὸς ἄλληλα διαφορά· οὐδὲ γὰρ ζητεῖ τις τίνι ἄνθρωπος ξύλου διαφέρει) ἀλλὰ ἐν τοῖς σύνεγγυς ἀλλήλων, περὶ ἃ δύναται καὶ πλάνη τις ὡς ὄντα τὰ αὐτὰ γενέσθαι, οἷον ἔν τε τοῖς ὑπὸ ταὐτὸ γένος (τῶν γὰρ οὕτως ἐγγὺς ἀλλήλων οὐ πρόδηλοι αἱ διαφοραί· τοῦτο γάρ ἐστι τὸ ἐν αὐτοῖς τοῖς γένεσιν ἀντὶ τοῦ 'ἐν τοῖς ὑπὸ ταὐτὸ γένοσ', καὶ εἶεν ἂν αἱ τούτων διαφοραὶ αἱ κυρίως λαμβανόμεναι διαφοραί) καὶ τῶν ἐν τοῖς διαφέρουσι μὲν γένεσιν ὄντων μὴ πολὺ μέντοι διεστώτων ἀλλήλων. καὶ σχεδὸν ἀξιοῖ ἐν τοῖς αὐτοῖς κατά τι τὰς διαφορὰς ἐπιζητεῖν· ἢ γὰρ ἐν τοῖς ὁμογενέσιν ἢ ἐν τοῖς κατ' ἀναλογίαν τοῖς αὐτοῖς. οὐ γὰρ ῥᾴδιον τὰ δοκοῦντα ταὐτὰ ἀλλήλοις εἶναι χωρίζειν ταῖς διαφοραῖς· δεῖ δὲ τοὺς γυμναζομένους ἐν τοῖς χαλεπωτέροις τὰς γυμνασίας ποιεῖσθαι· ῥᾳδία γὰρ ἡ ἀπὸ τῶν χαλεπωτέρων ἐπὶ τὰ ῥᾴω μετάβασις. οἷον ζητήσαι ἄν τις τίνι τύχη τοῦ αὐτομάτου διαφέρει, καὶ τίνι κίνησις γενέσεως καὶ φθορᾶς, καὶ τίνι ἐγκράτεια σωφροσύνης καὶ ἀκρασία ἀκολασίας καὶ θηριότης κακίας καὶ ἴδιον ὅρου.

in Top.116 παραδείγματι δὲ τῶν μὲν ὁμογενῶν ἐχρήσατο αὐτὸς δικαιοσύνῃ καὶ ἀνδρείᾳ ὡς οὐσῶν ὑπὸ γένος ἕν, τὴν ἀρετήν· τίνι γὰρ διαφέρει δικαιοσύνη ἀνδρεία ς ; ὁμοίως καὶ τῶν ἄλλων ἀρετῶν ἑκάστη, οἷον ὅτι ἄλλως μὲν ἡ ἀνδρεία μεσότης ἄλλως δὲ ἡ δικαιοσύνη· ἡ μὲν γὰρ δύο κακιῶν, θρασύτητος καὶ δειλίας, ἡ δὲ πλεονεξίας καὶ μειονεξίας, ἐξ ὧν ἡ ἀδικία· ἐν γὰρ τούτοις τῇ ἀδικίᾳ τὸ εἶναι· καὶ περὶ ἄλλα μὲν ἡ ἀνδρεία, περὶ γὰρ τὰς τῶν κινδύνων ὑπομονάς, περὶ ἄλλα δὲ ἡ δικαιοσύνη, περὶ γὰρ τὸ ἴσον τό τε ἐν διανομῇ καὶ τὸ ἐν συναλλάγμασι. τῶν δὲ

ἀνομογενῶν μὲν μὴ πολὺ δὲ διεστώτων αἰσθήσει καὶ ἐπιστήμῃ, ἅ ἐστι μὲν ἕτερα ἀλλήλων κατὰ γένος (τῆς μὲν γὰρ ἐπιστήμης ἡ ὑπόληψις γένος, ἡ δὲ αἴσθησις οὐχ ὑπόληψις), κατὰ ἀναλογίαν μέντοι ταὐτά ἐστιν· ὡς γὰρ αἴσθησις πρὸς αἰσθητά, οὕτως ἐπιστήμη πρὸς ἐπιστητά, καὶ ἀμφότερα κριτικά· ἤδη γοῦν τινες διὰ τὴν ὁμοιότητα αὐτῶν ταὐτὸν ἐπιστήμην τε καὶ αἴσθησιν εἶπον εἶναι. διαφέρουσι δὲ ἀλλήλων· ἡ μὲν γὰρ αἴσθησις καὶ περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν, ἐπιστήμη δὲ οὐδενὸς ἐνδεχομένου· καὶ ἡ μὲν ἐπιστήμη τῆς ἑκάστου τῶν ἐπιστητῶν οὐσίας γνωστική, ἡ δὲ αἴσθησις οὐδενὸς τῶν αἰσθητῶν τῆς οὐσίας ἐστὶν ἐπιγνωστική· καὶ ἡ μὲν ἐπιστήμη ἐπίκτητος, ἡ δὲ ἐξ ἀρχῆς· καὶ ἡ μὲν κοινὴ καὶ τῶν ἄλλων ζῴων, ἡ δὲ ἴδιος ἀνθρώπων ἢ ὅλως λογικῶν· καὶ ἡ μὲν φύσει, ἡ δὲ διδασκαλίᾳ· καὶ τῆς μὲν αἰσθήσεως προάγει ἡ ἕξις τὰς ἐνεργείας (ὁρατικοὶ γὰρ ὄντες εἴδομεν), τὰς 〈δὲ〉 κατὰ τὰς ἐπιστήμας ἕξεις [ἃς] διὰ τῶν ἐνεργειῶν κτώμεθα· ἐνεργοῦντες γὰρ κατὰ τὰ γραμματικὰ γραμματικοὶ γινόμεθα· καὶ αἰσθήσεως μὲν ἀναιρουμένης συναναιρεῖται καὶ τὸ ζῷον· ἀδύνατον γὰρ ζῷον εἶναι χωρὶς ἁφῆς· ἐπιστήμη δὲ ἀναιρουμένη οὐκ [ἂν] ἀναιρεῖ τὸν ἔχοντα αὐτήν· ἔτι ἐπιστήμην μὲν οἷόν τε ἀποβαλόντας πάλιν ἀναλαβεῖν, αἴσθησιν δὲ ἀδύνατον· καὶ ἡ μὲν χωρὶς λόγου, τῇ δὲ ἐν λόγῳ τὸ εἶναι· καὶ αἴσθησις μὲν παρόντων μόνον, ἐπιστήμη δὲ καὶ παρεληλυθότων καὶ ἐνεστώτων καὶ μελλόντων. ἔτι δὲ ἐπιστήμης μὲν αἴσθησις ἀρχή, οὐκέτι δὲ καὶ αἰσθήσεως ἐπιστήμη· ἐκ γὰρ αἰσθήσεως μνήμη, ἐκ δὲ μνήμης ἐμπειρία, ἥτις ἐστὶν ἐπιστήμης ἀρχή. ἔοικε δὲ νῦν κοινότερον διαφορὰν λέγειν καθ' ἣν ἄλλο ἄλλου διαφέρει, οὐ μόνον ταύτην καθ' ἣν ἡ τῶν γενῶν εἰς τὰ εἴδη διαίρεσις γίνεται· οὐ γὰρ ἂν καὶ τὰς τῶν ἀνομογενῶν διαφορὰς ἠξίου ζητεῖν.

in Top.117 p. 108a7 Τὴν δὲ ὁμοιότητα σκεπτέον ἐπί τε τῶν ἐν ἑτέροις γένεσ ι . Τοῦτο ἔτι ὑπελείπετο τῶν προτεθέντων ὑπ' αὐτοῦ τεσσάρων ὀργάνων ὡς χρησίμων πρὸς τὴν εὕρεσίν τε καὶ εὐπορίαν τῶν διαλεκτικῶν λόγων, ἡ τοῦ ὁμοίου γνῶσις. ἔμπαλιν δέ φησι δεῖν τὴν τοῦ ὁμοίου θήραν ποιεῖσθαι τῆς τῶν διαφορῶν. τὰς μὲν γὰρ διαφορὰς τὰς ἐν τοῖς ὁμοίοις ἠξίου πειρᾶσθαι γνωρίζειν· τοῦτο γὰρ χαλεπώτερον καὶ περὶ τούτων ἡ ἀμφισβήτησις εἰ διαφέρει ἢ μή, οἷον τίνι φάττα περιστερᾶς, καὶ τίνι κύων λύκου, καὶ τίνι ἀκολασία ἀκρασίας ἢ σωφροσύνη ἐγκρατείας ἢ ἐλευθεριότητος μεγαλοπρέπεια· τὰ γὰρ φανερῶς διεστῶτα φανερὰς πᾶσιν ἔχει τὰς πρὸς ἄλληλα διαφοράς. τὴν δέ γε ὁμοιότητα χαλεπώτερον πάλιν τὴν ἐν τοῖς πολὺ διεστῶσι συνιδεῖν· οὐ γὰρ ζητεῖ τις εἰ ᾠὸν ᾠῷ ὅμοιον ἢ ἡμίονος ὄνῳ ὅμοιος ἢ Κάστωρ Πολυδεύκει, ἀλλ' εἰ Ἀχιλλεὺς Θερσίτῃ, εἰ ἄνθρωπος ἵππῳ, εἰ αἴσθησις ἐπιστήμῃ. δεῖ οὖν, φησί, γυμνάζεσθαι περὶ τὴν τοῦ ὁμοίου γνῶσιν ἐν τοῖς πολὺ διεστῶσι καὶ κατὰ γένος διαφέρουσιν. καὶ ἔστιν ἴσον τὸ εἰρημένον ἐπ' ἀμφοτέρων τῷ λεγομένῳ ὑπὸ τῶν ῥητορικῶν 'τὰ κοινὰ ἰδίως καὶ τὰ ἴδια κοινῶς δεῖ λέγειν'· ὁ μὲν γὰρ ἀξιῶν τὰ κοινὰ ἰδίως λέγειν ἀξιοῖ ἐν τοῖς ὁμογενέσι τε καὶ κοινοῖς εὑρίσκειν τινὰς διαφοράς, ὁ δὲ τὰ ἴδια κοινῶς ἐν τοῖς διαφέρουσιν ἀξιοῖ πάλιν λαβεῖν ὁμοιότητας. καὶ διχῶς γέ φησι δεῖν τὴν ἐν τοῖς διαφέρουσι γένεσι ζητεῖν ὁμοιότητα. ἢ γὰρ λαμβάνοντάς τι ἔχον σχέσιν πρός τινα ὁμογενῆ ἀλλήλοις χρὴ ζητεῖν, τί οὕτως [ἢ] πρὸς ἄλλα τινὰ ὁμογενῆ μὲν ἀλλήλοις ἀνομογενῆ δὲ τοῖς προειρημένοις ἔχει· ἂν γὰρ εὑρεθῇ, ὅμοια ταῦτα ἔσται κατ' ἀναλογίαν ἀλλήλοις ὄντα ἐν γένεσι διαφόροις. οἷον ἐπεὶ ἡ ἐπιστήμη πρὸς ἐπιστητὸν ἔχει οὕτως ὡς τῶν ἀντικειμένων εἶναι γνωστική, ζητεῖν ἄλλο τι ἀνομογενὲς τῇ ἐπιστήμῃ, ὃ πρὸς τὸ ὑπ' αὐτὸ οὕτως ἔχει ὡς ἡ ἐπιστήμη πρὸς τὰ ἐπιστητά· τὸ γὰρ εὑρεθὲν ἔσται τῷ κειμένῳ κατὰ ἀναλογίαν ὅμοιον. ἐπεὶ οὖν ἡ αἴσθησις καὶ αὐτὴ οὕτως ἔχει πρὸς τὰ αἰσθητὰ ὡς ἡ ἐπιστήμη πρὸς τὰ ἐπιστητά, ὅμοια ἐπιστήμη καὶ αἴσθησις κατὰ ἀναλογίαν.

in Top.118 ὅτι δὲ ἕτερα γένη ἐπιστήμη καὶ αἴσθησις, δῆλον ἐκ τοῦ ἄλλα μὲν ἐπιστήμης εἴδη εἶναι ἄλλα δὲ αἰσθήσεως. εἶεν δ' ἂν καὶ ὑπὸ ἕτερα γένη δεικνύμεναι, καθ' ὅσον ἡ μὲν αἴσθησις ὑπὸ τὰ φύσει, ἡ δὲ ἐπιστήμη οὐ φύσει ἀλλὰ διδασκαλίᾳ. πάλιν ἐπεὶ ὡς νοῦς πρὸς ἐπιστήμην (ἀρχὴ γάρ), οὕτως αἴσθησις πρὸς δόξαν, ὅμοια νοῦς τε καὶ αἴσθησις. καὶ ἐπεὶ ὡς ἡδὺ πρὸς ἡδονήν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(ποιητικὸν γὰρ ἡδονῆς τὸ ἡδύ), οὕτως συμφέρον πρὸς ἀγαθόν, ὅμοια τὸ ἡδὺ καὶ τὸ συμφέρον. καὶ ἡ μὲν κατὰ τὴν πρός τι σχέσιν ἐν τοῖς διαφέρουσι κατὰ γένος τῆς ὁμοιότητος θήρα τοιαύτη. ἄλλην δὲ ὑποτίθεται ἀφορμὴν τῆς τοῦ ὁμοίου ζητήσεως τῆς ἐν διαφέρουσι γένεσιν, ἂν λαβόντες γένος τι ὂν ἔν τινι ζητήσωμεν τί οὕτως ἄλλο ἐν ἄλλῳ γένει ἐστίν. οἷον ἐπεὶ ὡς ὄψις ἐστὶν ἐν ὀφθαλμ ῷ , οὕτως νοῦς ἐν ψυχῇ (ἐν ἑκατέρῳ γὰρ ὡς κυριώτατον τῶν γινομένων ἐν αὐτοῖς), ὅμοια κατὰ τοῦτο νοῦς τε καὶ ὄψις. πάλιν εἰ ὡς ἀρετὴ ἐν ψυχῇ, οὕτως ὑγεία ἐν σώματι (τελειότητες γὰρ τῶν ὑποκειμένων αὐταῖς), ὅμοια ἀρετὴ καὶ ὑγεία. καὶ ἐπεὶ ὡς γαλήνη ἐν θαλάσσ ῃ , νηνεμία ἐν ἀέρι (ἠρεμία γὰρ τῶν ὑποκειμένων), ὅμοια γαλήνη τε καὶ νηνεμία. οὕτως καὶ δικαιοσύνη κάλλει ὅμοιον· ἑκάτερον γὰρ αὐτῶν ἐν ἰσότητι τῇ κατὰ ἀναλογίαν, τὸ μὲν κάλλος τῶν μερῶν τε καὶ μελῶν τοῦ σώματος, ἡ δὲ δικαιοσύνη ἐν διανομαῖς τε καὶ συναλλάγμασι τῶν νεμομένων. Ἡ μὲν οὖν ἐν τοῖς διαφόροις γένεσιν ὁμοιότης κατὰ ἀναλογίαν εὑρίσκεται οὕτως. λέγει δὲ δεῖν καὶ ἐπὶ τῶν ὁμογενῶν μὲν ἀλλήλοις ἀνομοειδῶν δέ, τί πᾶσιν αὐτοῖς ὑπάρχει ταὐτό, ζητεῖν· κατὰ γὰρ τὸ κοινὸν τοῦτο καίτοι ὄντα ἀνομοειδῆ ὅμοια ἔσται. ἣν ὅπως δεῖ 〈θήραν〉 θηρᾶν λέγει. εἰ γάρ τισιν ἐν τῷ αὐτῷ γένει οὖσι καὶ κατ' εἶδος ἀλλήλων διαφέρουσι ταὐτόν τι ὑπάρχει, ταῦτα ὅμοια κατὰ τοῦτο. ἀνθρώπῳ γὰρ καὶ ἵππῳ καὶ κυνὶ τὸ πεζὸν κοινόν· διὸ ὅμοια ταυτὶ κατὰ τοῦτο· καὶ ἀνθρώπῳ καὶ κόρακι καὶ ἰχθύι τὸ αἰσθητικόν· καὶ ἰχθύσιν, ὅσοι βράγχια ἔχουσι, καὶ τοῖς ἐντόμοις τῶν πτηνῶν τὸ μὴ ἔχειν πνεύμονα. βοῒ δὲ καὶ ἐλάφῳ καὶ προβάτῳ καὶ αἰγὶ τὸ μὴ ἄμφοδον· πάλιν ἐπὶ δένδρων πλατάνῳ μὲν καὶ ἀμπέλῳ καὶ συκῇ τὸ πλατύφυλλόν τε καὶ λεπτόφυλλον, διὸ φυλλορροεῖ, ἐλαίᾳ δὲ καὶ δάφνῃ καὶ μυρρίνῃ τὸ πιόφυλλόν τε καὶ στενόφυλλον, διὸ ἀείφυλλα ταῦτα. p.

in Top.119 108a18 Χρήσιμον δὲ τὸ μὲν ποσαχῶς λέγεται ἐπεσκέφθαι πρὸς τὸ σαφέ ς . Εἰπὼν περὶ ἑκάστου τῶν τεσσάρων, ἃ ὄργανα εἶπεν εἶναι τῆς εὐπορίας τῶν διαλεκτικῶν λόγων τε καὶ συλλογισμῶν, ἀκολούθως, τί ἕκαστον αὐτῶν συντελεῖ πρὸς αὐτοὺς καὶ κατὰ τί ὄργανα λέγεται, δείκνυσι. καὶ τὸ μὲν ἀπὸ τῆς τῶν προτάσεων ἐκλογῆς τε καὶ παρασκευῆς γινόμενον χρήσιμον πρὸς τὴν τῶν συλλογισμῶν εὐπορίαν ὡς γνώριμον παρέλιπεν εἰπεῖν. ὕλη γὰρ καὶ μέρη τῶν συλλογισμῶν αἱ προτάσεις· ἐκ γὰρ τῶν προτάσεων οἱ συλλογισμοί· καὶ δῆλον ὅτι ἡ τούτων εὐπορία τε καὶ παρασκευὴ εὐπορίαν ἡμῖν συλλογισμῶν παρέξει. πρὸς δὲ τί χρήσιμον τῶν ἄλλων ἕκαστον, λέγει. καὶ πρῶτόν γε περὶ τῆς τῶν πολλαχῶς λεγομένων διαιρέσεως ποιεῖται τὸν λόγον, καί φησιν αὐτὸ χρήσιμον εἶναι πρός τε τὸ σαφές · σαφὲς γὰρ γίνεται τὸ τιθέμενον, πρὸς ὃ δεῖ τοὺς λόγους ποιεῖσθαι, διορισθέν, ἡ δὲ σαφήνεια τοῦ τιθεμένου χρήσιμος πρὸς τοὺς συλλογισμοὺς τοὺς πρὸς αὐτό· ῥᾷον γάρ τις τῶν οἰκείων πρὸς τὸ προκείμενον εὐπορεῖ λόγων εἰδὼς σαφῶς τί ποτέ ἐστι καὶ μὴ ὑπὸ τοῦ διττοῦ παραγόμενος. ὅλως δὲ ἡ σαφήνεια χρήσιμος καὶ πρὸς κατασκευὴν καὶ πρὸς ἀνασκευήν τινων· διὰ γοῦν τὸ μὴ διελέσθαι τὸ ὂν ποσαχῶς λέγεται Παρμενίδην τε καὶ Μέλισσον ἄδηλός ἐστι νῦν ἡ δόξα αὐτῶν ἡ περὶ τοῦ ἓν τὸ ὂν εἶναι. τὸ δὲ μᾶλλον γὰρ ἄν τις εἰδείη τί τίθησιν εἴη ἂν λέγων περὶ τοῦ ἀποκρινομένου καὶ συγχωροῦντος ταῖς προτάσεσιν· ὅταν γὰρ ᾖ γνώριμον περὶ οὗ ἐρωτῶνται ποσαχῶς λέγεται, ῥᾷον συγχωροῦσι τοῖς ἠρωτημένοις, γνωρίσαντες καθ' ὃ συγχωροῦσι. δευτέραν χρείαν τῆς τῶν πολλαχῶς λεγομένων διαιρέσεως ἐκτίθεται τὴν πρὸς τὸ κα τ ' αὐτὸ τὸ κείμενον πρᾶγμα καὶ πρὸς αὐτὸ καὶ περὶ αὐτοῦ γίνεσθαι τοὺς συλλογισμούς τε καὶ λόγους καὶ μὴ πρὸς τὸ ὄνομα καὶ τὴν λέξιν· σοφιστικὸς γὰρ ὁ πρὸς τοὔνομα καὶ τὴν λέξιν λόγος ἀλλ' οὐ διαλεκτικός. ἀδήλου γὰρ ὄντος ποσαχῶς τὸ προκείμενον λέγετα ι , ἐνδέχεται ἐπ' ἄλλο μὲν τὸν ἐρωτῶντα ἐπ' ἄλλο δὲ τὸν ἀποκρινόμενον τῶν σημαινομένων ὑπὸ τοῦ ὀνόματος τὴν διάνοιαν φέρειν· οὕτως δὲ πρὸς τὸ ὄνομα ἂν οἱ λόγοι ἀλλ' οὐ περὶ τοῦ πράγματος γίνοιντο. ὁρισθέντος δὲ κατὰ τί τῶν σημαινομένων ὑπὸ τῆς λέξεως τίθησιν ὃ τίθησιν ὁ ἀποκρινόμενος καὶ γνωρίμου γενομένου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γελοῖον ἔτι πρὸς ἄλλο τῶν ὑπὸ τοῦ ὀνόματος σημαινομένων καὶ μὴ πρὸς τὸ κείμενον ποιεῖσθαι τὰς ἐρωτήσεις τε καὶ τοὺς λόγους τὸν ἐρωτῶντα.

in Top.120 ἁπλῶς μὲν γὰρ κειμένου τοῦ τὴν ἐπιστήμην μὴ χωρίζεσθαι τῆς ψυχῆς δύναταί τις ἐπιχειρῶν συλλογίζεσθαι ὅτι πᾶσα ψυχὴ ἣν ἔχει ἐπιστήμην ἀεὶ ἔχει· εἰ γὰρ ἀχώριστος ἡ ἐπιστήμη τῆς ψυχῆς, τὸ δὲ ἀχώριστον ἀχωρίστου ἀχώριστον, καὶ ἡ ψυχὴ ἂν ἀχώριστος εἴη τῆς ἐπιστήμης· εἰ δὲ τοῦτο, σύμφυτος ἂν αὐτῇ ἡ ἐπιστήμη εἴη. διορισθέντος μέντοι τοῦ ἀχωρίστου, ὅτι τὰ μὲν οὕτως ἀχώριστα ὡς τὰ ἐν τῇ οὐσίᾳ ἑκάστου, τὰ δὲ οὕτως ἀχώριστα, ὅτι μὴ δύναται καθ' αὑτὰ εἶναι, ἀλλ' ἔστιν αὐτοῖς φθορὰ τὸ μὴ σὺν ἐκείνοις εἶναι (ὧν ἐστι καὶ ἡ ἐπιστήμη καὶ πάντα τὰ ἐν ὑποκειμένῳ), οὐκέτ' ἂν δεικνύοιτο σύμφυτον τῇ ψυχῇ καὶ ἐν τῇ οὐσίᾳ αὐτῆς ἡ ἐπιστήμη διὰ τοῦ ἀχωρίστου. εἴη δ' ἂν τὸ μὲν πρῶτον εἰρηκὼς περὶ τῶν ἀποκρινομένων, τὸ δὲ δεύτερον περὶ τῶν ἐρωτώντων τε καὶ συλλογιζομένων. Χρήσιμον δέ φησιν εἶναι τὴν γνῶσιν τῶν πολλαχῶς λεγομένων καὶ πρὸς τὸ μὴ παραλογισθῆναι · εἰδὼς γάρ τις, πόσα σημαίνει τὸ λεγόμενον, οὐ συγχωρεῖ ταῖς κατ' ἄλλο τι σημαινόμενον παρὰ τὸ ὑφ' αὑτοῦ τιθέμενον ἐρωτωμέναις προτάσεσιν. ὁ γὰρ θέμενος τὸν πλοῦτον ἀγαθόν, ἂν εἰδῇ τὴν τοῦ ἀγαθοῦ ὁμωνυμίαν, οὐ συγχωρήσει τῷ λέγοντι τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖν· οὐ γὰρ τὸ ὡς κτῆμα ἀγαθὸν οὐδὲ τὸ ὡς δύναμις ἀγαθοὺς ποιεῖ· ὡς κτῆμα δὲ καὶ ὡς δύναμις ἀγαθὸν ὁ πλοῦτος. χρήσιμον δέ φησιν εἶναι τὴν γνῶσιν τῶν πολλαχῶς λεγομένων καὶ πρὸς τὸ παραλογίσασθαί τινα, εἰ βουληθείη· εἰδὼς γὰρ τὰ σημαινόμενα ὑπὸ τῆς κειμένης λέξεως ἐπ' ἄλλο τι σημαινόμενον μεταφέρων τὸν λόγον, ἐφ' οὗ οὐκ ἔστιν ἀληθῆ τὰ ὑπὸ τοῦ ἀποκρινομένου λεγόμενα, παρακρούοιτ' ἂν αὐτὸν καὶ παραλογίζοιτο. οἷον εἰ ὁ μὲν λέγοι τοὺς οὐκ εἰδότας μανθάνειν, ὁ δὲ δεικνύοι τοὺς γραμματικοὺς εἶναι τοὺς μανθάνοντας, οἵ εἰσιν εἰδότες τε καὶ ἐπιστήμονες· καὶ εἰ συγχωρήσαντός τινος τὸν κινούμενον ἀμείβειν τόπον ὁ δὲ λαβὼν τὸν ἀλλοιούμενον κινεῖσθαι συνάγοι τὸν ἀλλοιούμενον κινεῖσθαι κατὰ τόπον. προσέθηκε δὲ καὶ ἐφ' ὧν οἷόν τε ἔσται τὸ ποιεῖσθαι παραλογισμὸν παρὰ τὸ πολλαχῶς λεγόμενον, ἐφ' ὧν γὰρ τῷ μὲν ὑπάρχει τὸ λεγόμενον τῷ δὲ μή· ἂν γὰρ πᾶσιν ὁμοίως ἢ ὑπάρχῃ ἢ μὴ ὑπάρχῃ τὸ λεγόμενον τοῖς σημαινομένοις ὑπὸ τοῦ ὀνόματος, οὐ χρήσιμος ἡ ἀπ' ἄλλου ἐπ' ἄλλο μετάβασις. τὸ γὰρ 'Αἴας ἐπὶ Ἴλιον ἐστράτευσεν' ἀληθὲς ἐπ' ἀμφοτέρων τῶν Αἰάντων· διὸ ἐφ' ὃν ἂν μεταφέρηται, οὐδεὶς γίνεται παραλογισμός· τὸ μέντοι 'Αἴας Ἕκτορι ἐμονομάχησεν' οὐκέτ' ἐπ' ἀμφοτέρων ἀληθές· διὸ ἂν κειμένου τοῦ 'Αἴας Ἕκτορι ἐμονομάχησεν' ἐπὶ τὸν Ὀιλέως μεταβὰς ἐξετάζῃ εἰ μὴ Αἴας ἐστὶν ὁ Ὀιλέως, καὶ λαβὼν ὅτι ἔστι προσλάβῃ ὅτι μὴ ἐμονομάχησεν Ἕκτορι, παραλογίζοιτο ἂν τὸν θέμενον ὅτι Αἴας Ἕκτορι ἐμονομάχησεν ὡς ψευδόμενον.

in Top.121 ὁμοίως καὶ ἐπὶ τοῦ 'ὁ ἀνδρεῖος ἀνδρείαν ἔχει'· τῶν γὰρ ὑπὸ τοῦ ἀνδρείου σημαινομένων ὁ μὲν ἔχει τὸ κατηγορούμενον ὁ δὲ οὔ. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ τὸν κινούμενον ἀμείβειν τόπον. τὸν δὲ παρὰ τὸ πολλαχῶς λεγόμενον παραλογισμὸν οὔ φησιν οἰκεῖον εἶναι τῆς διαλεκτικῆς· ἐπιπόλαιος γὰρ καὶ σοφιστικός· διό φησι δεῖν εὐλαβεῖσθαι πρὸς τοῦτο διαλέγεσθαι γυμναζομένους, ἂν μὴ ἄλλως ἐξαδυνατῶσι περὶ τοῦ προκειμένου συλλογίζεσθαι. οὐδαμῶς γὰρ διαλεκτικὸν τὸ λαβόντα 'ἃ λαλεῖς, διὰ τοῦ στόματός σου διέρχεται', ὡς τῶν ῥημάτων ὄντων τῶν λαλουμένων, μεταφέρειν τὸν λόγον ἐπὶ τὴν ἅμαξαν ὡς λαλουμένην. φανερὸν δὲ τὸ χρήσιμον τῆς τῶν πολλαχῶς λεγομένων διαιρέσεως· εἰ γὰρ τὰ εἰρημένα χρήσιμα πρὸς τὸ διαλέγεσθαι, ἤρτηται δὲ ταῦτα τῆς διαιρέσεως τῆς τῶν πολλαχῶς λεγομένων, ἡ διαίρεσις χρήσιμος πρὸς τοὺς λόγους τοὺς διαλεκτικούς. p. 108a37 Τὸ δὲ τὰς διαφορὰς εὑρεῖν χρήσιμον πρός τε τοὺς συλλογισμοὺς τοὺς περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ πρὸς τὸ γνωρίζειν τί ἕκαστο ν . Εἰπὼν πρὸς πόσα καὶ τίνα χρήσιμος ἡ τοῦ πολλαχῶς λεγομένου διαίρεσις, μεταβέβηκεν ἐπὶ τὸ χρήσιμον τὸ ἀπὸ τῆς γνώσεως τῶν διαφορῶν καθ' ἃς ἄλλο ἄλλου διαφέρει. καί φησιν πρὸς δύο χρήσιμον εἶναι τὸ δύνασθαι τὰς διαφορὰς συνορᾶν αἷς ἄλλο ἄλλου διαφέρει, πρός τε τοὺς περὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταὐτοῦ καὶ ἑτέρου συλλογισμούς, οἳ τοῖς ὁρικοῖς ὑπάγονται προβλήμασι, καὶ πρὸς τὸ γνωρίζειν τὴν ἑκάστου οὐσίαν. πρὸς μὲν οὖν τοὺς περὶ ταὐτοῦ καὶ ἑτέρου συλλογισμούς, ὅτι εὑρόντες διαφορὰς τῶν προκειμένων ὡς ταὐτῶν δεδειχότες ἂν εἴημεν ὅτι μὴ ταὐτά. οἷον ζητουμένου εἰ ταὐτὸν ἐγκράτεια καὶ σωφροσύνη, εὑρόντες ὅτι διαφέρει σωφροσύνη ἐγκρατείας τῷ αὐτὴν μὲν ἠρεμαίας ἔχειν τὰς ἐπιθυμίας τὴν δὲ σφοδράς, εἴημεν ἂν δεδειχότες ὅτι μὴ ταὐτά. πάλιν ζητουμένου εἰ ἡ ἀκρασία καὶ ἡ ἀκολασία αἱ αὐταί, εὑρόντες ὅτι ἡ μὲν κατὰ προαίρεσιν πράττει τὰ αἰσχρά, ἡ ἀκολασία, ἡ δὲ παρὰ προαίρεσιν, ὅτι μὴ αἱ αὐταί, εἴημεν ἂν δεδειχότες. ὁμοίως καὶ ὅτι μὴ ταὐτὸν ἐλευθεριότης μεγαλοπρεπείᾳ, δεικνύοιμεν ἂν ἐκ τοῦ εἰδέναι αὐτῶν τὴν διαφοράν, ὅτι ἡ μὲν ἐν μεγέθει ἀναλωμάτων ἐστιν, ἡ δὲ ἐλευθεριότης περὶ τὰ συνήθη ἀναλώματα ἐνεργεῖ.

in Top.122 πρὸς δὲ τὸ γνωρίζειν τὴν οἰκείαν ἑκάστου οὐσίαν χρήσιμος ἡ τῶν διαφορῶν γνῶσις, ὅτι ὁ ἑκάστου ὁρισμὸς ἐκ γένους τε καὶ διαφορῶν· εἰδότες οὖν τὰς οἰκείας ἑκάστου διαφοράς, αἷς τῶν ἄλλων διαφέρει, χωρίζειν τε ἂν αὐτὸ ἀπὸ τῶν ἄλλων δυναίμεθα καὶ τὴν οὐσίαν αὐτοῦ γνωρίζειν. καὶ πρὸς τὴν τῶν γενῶν δὲ εἰς τὰ εἴδη τομὴν χρήσιμος ἡ τῶν διαφορῶν γνῶσις, ὡς προεῖπον. ἀλλὰ καὶ πρὸς τὰς ἐνστάσεις τῶν ἐπακτικῶν λόγων. καὶ πρὸς ἄλλα δέ τινα χρήσιμος ἡ γνῶσις τῶν διαφορῶν, ὧν καὶ αὐτῶν ὀλίγῳ πρότερον ἐμνημονεύσαμεν· ἀλλὰ τά γε κυριώτατά ἐστιν ἃ αὐτὸς παρέθετο. p. 108b7 Ἡ δὲ τοῦ ὁμοίου θεωρία χρήσιμος πρός τε τοὺς ἐπακτικοὺς λόγου ς . Πρὸς τίνα χρήσιμος καὶ ἡ τοῦ ὁμοίου θεωρία, λέγει. καί φησιν αὐτὴν πρός τε τοὺς ἐπακτικοὺς τῶν λόγων εἶναι χρήσιμον, οἳ καὶ αὐτοὶ ἐδείχθησαν οἰκεῖοι τῆς διαλεκτικῆς ὄντες, ἔτι δὲ καὶ πρὸς τοὺς ἐξ ὑποθέσεως συλλογισμούς (λέγει δὲ νῦν ἐξ ὑποθέσεως συλλογισμοὺς τούτους οὓς λέγομεν ἐξ ὁμολογίας) καὶ πρὸς τὴν τῶν ὁρισμῶν ἀπόδοσι ν . πρὸς μὲν τοὺς ἐπακτικοὺς λόγου ς , ὅτι διὰ τῆς τῶν κατὰ μέρος ὁμοιότητος τὸ καθόλου πιστὸν ἐν ταῖς ἐπαγωγαῖς δείκνυται γίνεσθαι· διὰ γὰρ τοῦ ἕκαστον τῶν κατὰ μέρος ἀνθρώπων λογικὸν εἶναι καὶ ταύτῃ ὅμοιον τὸ ὅτι πᾶς ἄνθρωπος λογικὸς ἡ ἐπαγωγὴ δείκνυσιν· ἀλλὰ καὶ ὅτι πᾶν τὸ γινόμενον ἐξ ἀναντίου γίνεται, ἐκ τοῦ τὸ λευκὸν ἐκ μέλανος γίνεσθαι καὶ τὸ μουσικὸν ἐξ ἀμούσου καὶ τὸ θερμὸν ἐκ ψυχροῦ· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τῇ οὖν ὁμοιότητι τῇ ἑκάστου τὸ καθόλου ἐδείχθη. ἀλλὰ καὶ ὅτι οὐδὲν τῶν μὴ ἐχόντων πνεύμονα ἀναπνεῖ ἢ τῶν κερασφόρων ἄμφοδόν ἐστι, δι' ἐπαγωγῆς καὶ τῆς τῶν ὁμοίων παραθέσεως γνώριμον γίνεται. πρὸς δὲ τοὺς ἐξ ὑποθέσεως συλλογισμού ς , ὅτι τῷ ὅμοια ἀλλήλοις εἶναι ἀξιοῦμεν, ὃ ἂν ἐφ' ἑνὸς δειχθῇ, τοῦτο καὶ ἐπὶ τῶν ἄλλων δεδεῖχθαι· οὐ γὰρ ἐν τοῖς τυχοῦσιν ὁ ἐξ ὑποθέσεως συλλογισμὸς ἀλλὰ ἐν ὁμοίοις. ὁ γὰρ ἐξ ὑποθέσεως συλλογισμὸς νῦν λεγόμενος ἐξ ὁμολογίας ἐστίν, ὡς προείρηται· ὑποθέμενοι γάρ, ὡς ἂν ἐπὶ τοῦδέ τινος δειχθῇ, οὕτως καὶ ἐπὶ τῶν ἄλλων τῶν ὁμοίων αὐτῷ ἔσεσθαι δεδειγμένον, ἐπὶ τοῦδέ τινος τὴν δεῖξιν ποιούμεθα.

in Top.123 ἐπεὶ γὰρ ὁμοιότητά τινα ἔχει πρὸς ἄλληλα τὰ ἀντικείμενα, ἀξιοῦμεν, ὃ ἂν ἐφ' ἑνὸς αὐτῶν δειχθῇ, τοῦτο καὶ ἐπὶ τῶν ἄλλων δεδεῖχθαι, καὶ δείξαντες ἐπὶ τῶν ἐναντίων φέρε εἰπεῖν, ὅτι ἀδύνατόν ἐστιν αὐτὰ ἅμα τῷ αὐτῷ ὑπάρχειν, διὰ τοῦ τὰ ἐναντία ἀναιρετικὰ ἀλλήλων εἶναι, τὰ δὲ ἀναιρετικὰ ἀλλήλων ἀδύνατον ἅμα τῷ αὐτῷ ὑπάρχειν, ἡγούμεθα καὶ ἐπὶ τῶν ἄλλων ἀντικειμένων τὸ αὐτὸ δεδεῖχθαι διὰ τὴν ὁμολογίαν τὴν προγενομένην ὅτι, ὃ ἐφ' ἑνὸς τῶν ἀντικειμένων, καὶ ἐπὶ τῶν ἄλλων· ὃ οὐδεὶς ἂν συνεχώρησεν εἰ μὴ διὰ τὴν ὁμοιότητα αὐτῶν τὴν πρὸς ἄλληλα. πάλιν ἂν πᾶσαν ψυχὴν θέλοντες ἀθάνατον δεῖξαι λάβωμεν τὸ ἐὰν ἡτισοῦν ἀθάνατος ψυχὴ δειχθῇ, ὅτι καὶ πᾶσα δι' ὁμοιότητα, ἔπειτα δείξωμεν ὅτι ἡ λογικὴ ἀθάνατος, γίνεται ἐξ ὑποθέσεως καὶ πᾶσα δεδειγμένη. ἀλλὰ καὶ ὅτι πᾶσα κίνησις ποθὲν ποὶ γίνεται, ἀξιοῦμεν δεδεῖχθαι δείξαντες ἐπὶ τῆς κατὰ τόπον τοῦτο. πάλιν πρὸς τὴν τῶν ὁρισμῶν εὕρεσίν τε καὶ ἀπόδοσιν χρήσιμος ἡ τοῦ ὁμοίου θεωρία· δυνάμενοι γὰρ συνορᾶ ν , τί ἐν τοῖς διαφέρουσιν ἀλλήλων ὅμοιόν ἐστι καὶ κοινόν, δυναίμεθ' ἂν τὸ γένος αὐτῶν λαμβάνειν. τὸ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν κοινῶν τισιν ἐν τῷ τί ἐστιν αὐτῶν κατηγορούμενον μάλιστα τοῦτό ἐστιν αὐτῶν γένος· ἡ δὲ τοῦ γένους εὕρεσις χρήσιμος πρὸς τὴν τῶν ὁρισμῶν ἀπόδοσιν. εἰ γὰρ λαβόντες ἵππον καὶ ἄνθρωπον καὶ κύνα καὶ βοῦν, ὁμοίως καὶ τῶν ἄλλων ἕκαστον ζῴων, τὰς ὁμοιότητας αὐτῶν τὰς πρὸς ἄλληλα ἐκλέξαντες, οἷον ὅτι ἐστὶ σῶμα ἔχοντα καὶ ψυχήν, ἀλλὰ καὶ χρῶμα, ἀλλὰ καὶ ἐν τόπῳ ἐστίν, ἀλλὰ καὶ αἰσθητικά ἐστιν, ἀλλὰ καὶ ζῷα, ἔπειτα πάντων τούτων τὴν σύγκρισιν ποιησόμεθα, ποῖον μάλιστα ἐν τῷ τί ἐστιν αὐτῶν κατηγορεῖται, ἔχοιμεν ἂν αὐτῶν τὸ γένος· τῶν γὰρ κοινῶν τισι τὸ ἐν τῷ τί ἐστιν αὐτῶν κατηγορούμενον ἢ εἶδός ἐστιν ἢ γένος. ἀλλ' ἐπὶ μὲν τῶν ὁμοειδῶν πρόχειρος ἡ τοῦ εἴδους γνῶσις τῷ κατ' ἀριθμὸν μόνον ἀλλήλων διαφέρειν τὰ τῷ εἴδει τὰ αὐτά· διὸ οὐδὲ ζητήσεως δεῖται· ἐπὶ δὲ τῶν ἀνομοειδῶν οὐχ ὁμοίως ῥᾳδία ἡ τοῦ οὕτως κοινοῦ λῆψις· διὸ τῶν ἐν τούτοις ὁμοίων τὸ μάλιστα ἐν τῷ τί ἐστι κατηγορούμενον γένος ἐστί. μάλιστα δὲ εἶπεν ἐν τῷ τί ἐστι κατηγορεῖσθαι τὸ γένος, ὅτι δύνανται καὶ αἱ κοιναὶ διαφοραὶ αὐτῶν φαντασίαν ἀποτελεῖν ὡς ἐν τῷ τί ἐστι κατηγορούμεναι.

in Top.124 οἷον κατὰ πάντων τῶν ζῴων τὸ ἔμψυχον, τὸ αἰσθητικόν· διὸ εἰ καὶ ταῦτά τις οὕτως κατηγορεῖσθαι λέγοι αὐτῶν, ἀλλὰ μᾶλλόν γε καὶ γνωριμώτερον ὂν τὸ ζῷον αὐτῶν ἐν τῷ τί ἐστι κατηγορεῖται· διὸ τοῦτο γένος αὐτῶν. δύναται καὶ τὸ τῶν γὰρ κοινῶν τὸ μάλιστα ἐν τῷ τί ἐστι κατηγορούμενον οὕτως εἰρῆσθαι ‘ τῶν γὰρ κοινῶν τὸ μάλιστα κοινὸν καὶ ἐν τῷ τί ἐστι κατηγορούμενον γένοσ ‘ · καὶ εἴη ἂν τῷ μάλιστα κοινῷ χωρίζων τὸ γένος ἀπὸ τοῦ εἴδους· ἀμφότερα μὲν γὰρ ἐν τῷ τί ἐστιν, ἀλλὰ μάλιστα κοινὸν ὃ ἐν πᾶσίν ἐστι καὶ τοῖς πλείοσι. τὸ μὲν οὖν γένος ἐκ τῆς τοῦ ὁμοίου θεωρίας, αἱ δὲ διαφοραὶ ἐκ τῆς τῶν διαφορῶν γνώσεως· ἐκ τούτων δὲ ὁ ὁρισμός. Οὐ μόνον δέ φησιν ἐν τοῖς μὴ πολὺ διεστῶσι χρήσιμον τὴν τοῦ ὁμοίου θεωρίαν εἶναι πρὸς τὴν τοῦ γένους αὐτῶν εὕρεσιν ἀλλὰ καὶ ἐν τοῖς πολὺ διεστῶσι · καὶ γὰρ καὶ ἐπ' ἐκείνων τὰ ὅμοια λαβόντες εὕροιμεν ἂν κοινόν τι ἐν αὐτοῖς γένος, ᾧ προσθέντες τὸ ἴδιον ἑκάστῳ τῶν οὕτως διαφερόντων εἴημεν ἂν αὐτὰ ὡρισμένοι. εἰ γὰρ εὕροιμεν ἔν τισιν ὁμοιότητά τινα πρὸς ἄλληλα κατά τινα ἀναλογίαν οὖσαν, τὴν ὁμοιότητα καὶ τὴν ταὐτότητα αὐτῶν ταύτην λαβόντες ὡς γένος, προσθέντες τούτῳ τὸ ἐν ᾧ ἢ ἑκάτερον αὐτῶν ἢ ἕκαστόν ἐστι τῶν ἐχόντων ταύτην τὴν ὁμοιότητα, εἴημεν ἂν ἕκαστον αὐτῶν ὡρισμένοι. οἷον ταὐτόν ἐστι γαλήνη μὲν ἐν θαλάσσ η , νηνεμία δ ' ἐν ἀέρι · ἑκάτερον γὰρ αὐτῶν ἐν τῷ οἰκείῳ ἡσυχία ἐστί· τὴν δὲ ἡσυχίαν λαβόντες, ὃ ἦν τῇ τε γαλήνῃ καὶ τῇ νηνεμίᾳ κοινόν, ταύτῃ προσθέντες τὸ μὲν ἐν θαλάσσῃ γαλήνης ἀποδώσομεν ὁρισμόν, τὸ δ' ἐν ἀέρι νηνεμίας. πάλιν ἐπεὶ ταὐτόν ἐστιν ἐν στιγμῇ καὶ μονάδι ἡ ἀρχή (ὡς γὰρ στιγμὴ ἐν γραμμ ῇ , οὕτως μονὰς ἐν ἀριθμῷ · ἀρχὴ γὰρ ἀμφότερα), προσθέντες τῇ ἀρχῇ ἑκατέρου τὸ οὗ ἐστιν ἀρχή, ὡρισμένοι ἂν αὐτὰ εἴημεν· ἔστι γὰρ στιγμὴ μὲν ἀρχὴ γραμμῆς, μονὰς δὲ ἀριθμοῦ. ὅλως δὲ ἡ τοῦ ὁμοίου θεωρία οἰκειοτάτη ἐπιστήμῃ τε καὶ πάσῃ λογικῇ γνώσει· τὸ γὰρ καθόλου δι' ὁμοιότητος λαμβάνεται, ἡ δὲ τοῦ καθόλου γνῶσις ἐπιστημονική. Καὶ τὰ μὲν ὄργαν α , δ ι ' ὧν οἱ συλλογισμο ί , τὰ εἰρημένα τέσσαρα. ἑξῆς δὲ προτίθεται τοὺς τόπους παραδιδόναι ἀφ' ὧν αἱ ἀφορμαὶ τῶν ἐπιχειρημάτων, πρὸς οὓς χρήσιμα τὰ ἐν τῷδε τῷ βιβλίῳ προειρημένα τε καὶ προτετεχνολογημένα.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΤΗΣ ΤΟΠΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ

Ἐν τῷ πρώτῳ τῶν Τοπικῶν εἰπὼν περὶ ὧν ἦν ἀναγκαῖον εἰπεῖν πρὸ τῆς τῶν τόπων παραδόσεως (ταῦτα δὲ ἦν τίς τέ ἐστιν ἡ πρόθεσις ἡ κατὰ τὴν πραγματείαν, καὶ τί ἐστι συλλογισμός, καὶ τίνες αὐτοῦ διαφοραί, καὶ τίνι τῶν ἄλλων συλλογισμῶν ὁ διαλεκτικὸς διαφέρει, καὶ τί ποτέ ἐστι τὸ ἔνδοξον), ὑποθέμενος δὲ καὶ πῶς δεῖ καὶ τὸ ἐν τοῖς τοιούτοις λόγοις ἀπαιτεῖν ἀκριβές, εἰπὼν δὲ καὶ πρὸς πόσα τε καὶ τίνα χρήσιμος ἡ πραγματεία, ἔτι δὲ δηλώσας τί τὸ ἐν αὐτῇ τέλειον, καὶ μετὰ ταῦτα εἰπὼν ἐν τίσιν αὐτῇ τὸ εἶναι, ὅτι ἐν προβλήμασί τε καὶ προτάσεσι καὶ τοῖς ὀργάνοις δι' ὧν οἷόν τε εὐπορεῖν τῶν τοιούτων συλλογισμῶν, ἐπὶ τούτοις πρῶτον μὲν περὶ τῶν προτάσεών τε καὶ τῶν προβλημάτων ἐποιήσατο τὸν λόγον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κοινῶς, καὶ δείξας ὅτι κατὰ τὸ ὑποκείμενον ἕν ἐστι ταῦτα, ὡσπεροῦν καὶ τὸ συμπέρασμα καὶ τὸ λῆμμα (πάντα γὰρ ταῦτα τῷ γένει προτάσεις, τό τε πρόβλημα καὶ ἡ πρότασις καὶ τὸ λῆμμα καὶ τὸ συμπέρασμα, κατὰ τὸν τρόπον τῆς ἐκφορᾶς καὶ τὴν ποιὰν σχέσιν τὴν πρός τινα τὴν διαφορὰν ἔχοντα), ἔπειτα εἰπὼν πόσα γένη τῶν προβλημάτων ἐστὶ καὶ τῶν προτάσεων, καὶ δείξας ὅτι τέσσαρα καὶ τίνα, περὶ ἑκάστου αὐτῶν τί ἐστιν εἶπεν.

in Top.125.(1t) εἰπὼν δὲ καὶ περὶ τῶν οἰκείων τε καὶ παρακειμένων ἑκάστῳ αὐτῶν, ἃ δι' ὁμοιότητα συντάσσεται αὐτοῖς, ἀλλὰ καὶ δι' ὅ τι τοσαῦτα τὰ γένη δείξας καὶ δι' ἐπαγωγῆς καὶ διὰ συλλογισμοῦ, μετὰ ταῦτα διαίρεσιν ἐποιήσατο τοῦ ταὐτοῦ, ἐπεί ἐστί τινα καὶ ἀπὸ ταὐτοῦ προβλήματα τοῖς ὁρικοῖς συντασσόμενα. εἶτα ὁρισάμενος τὴν διαλεκτικὴν πρότασιν καὶ τὸ διαλεκτικὸν πρόβλημα καὶ δείξας αὐτῶν τὴν πρὸς ἄλληλα διαφοράν, εἰπὼν δὲ καὶ περὶ θέσεως, ἐπεὶ καὶ ἡ θέσις πρόβλημά τι, ἀλλὰ καὶ περὶ ἐπαγωγῆς ποιησάμενος τὸν λόγον καὶ δείξας τί ἐστι, καὶ εἰπὼν ὅτι μέρος ἐστὶ τῶν διαλεκτικῶν λόγων καὶ ἡ ἐπαγωγὴ ὥσπερ καὶ ὁ συλλογισμός, μετὰ ταῦτα τίνα ἐστὶ καὶ πόσα τὰ ὄργανα, δι' ὧν οἷόν τε εὐπορεῖν τῶν διαλεκτικῶν λόγων, εἶπε, καὶ περὶ ἑκάστου αὐτῶν ἰδίᾳ διεξελθὼν ἔδειξε καὶ τὸ ἀφ' ἑκάστου αὐτῶν χρήσιμον πρὸς τὴν διαλεκτικήν.

in Top.126 περὶ τούτων ποιησάμενος ἐν τῷ πρώτῳ τῶν Τοπικῶν τὸν λόγον ὡς ἀναγκαίων γνωρίζεσθαι πρὸς τὴν τῶν παραδοθησομένων τόπων χρῆσιν, ἐν τῷ δευτέρῳ τῆς τῶν τόπων τῶν πρὸς ἕκαστον πρόβλημα χρησίμων παραδόσεως ἄρχεται. ἔστι δὲ ὁ τόπος ἀρχὴ καὶ ἀφορμὴ ἐπιχειρήματος· ἐπιχείρημα δὲ καλοῦσι τὸν διαλεκτικὸν συλλογισμόν. διὸ καὶ ὁρίζεται ὁ Θεόφραστος τὸν τόπον, ὡς ἤδη ἡμῖν ἐν τοῖς πρώτοις εἴρηται, οὕτως· "τόπος ἐστὶν ἀρχή τις ἢ στοιχεῖον, ἀφ' οὗ λαμβάνομεν τὰς περὶ ἕκαστον ἀρχάς, τῇ περιγραφῇ μὲν ὡρισμένος, τοῖς δὲ καθ' ἕκαστα ἀόριστος". οἷον τόπος ἐστὶν 'εἰ τὸ ἐναντίον τῷ ἐναντίῳ ὑπάρχει, καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον'· οὗτος γὰρ ὁ λόγος καὶ ἡ πρότασις αὕτη τῷ μὲν καθόλου ὥρισται (ὅτι γὰρ περὶ ἐναντίων καθόλου λέγεται, δηλοῖ), οὐκέτι μέντοι, εἰ περὶ τῶνδε ἢ τῶνδε τῶν ἐναντίων λέγεται, ἔστιν ὡρισμένον ἐν αὐτῷ. οὐ μὴν ἀλλ' ἀπ' αὐτοῦ ὁρμωμένους ἔστιν ἐπιχειρεῖν περὶ ἑκάστου τῶν ἐναντίων· εἰ μὲν γὰρ ζητοῖτο περὶ ἀγαθοῦ εἰ ὠφελεῖ, ληψόμεθα ἀπὸ τοῦ προκειμένου τόπου ὁρμώμενοι προσεχῆ πρότασιν τῷ προκειμένῳ προβλήματι τὴν 'εἰ τὸ κακὸν βλάπτει, τὸ ἀγαθὸν ὠφελεῖ'· παρὰ γὰρ τοῦ προκειμένου τόπου τό τε εἶναι τῇδε τῇ προτάσει καὶ τὸ πιστὸν ὑπάρξει. εἰ δὲ εἴη ζητούμενον πότερον τὸ λευκὸν χρῶμα διακριτικόν ἐστιν ὄψεως, πάλιν οἰκείαν καὶ προσεχῆ τούτῳ τῷ προβλήματι πρότασιν ληψόμεθα ἀπὸ τοῦ προκειμένου τόπου τὴν 'εἰ τὸ μέλαν χρῶμα συγκριτικόν ἐστιν ὄψεως, καὶ τὸ λευκὸν χρῶμα διακριτικόν ἐστιν ὄψεωσ'. ἀλλ' εἰ καὶ περὶ ἡδονῆς ζητοῖτο εἰ ἀγαθόν, ληφθήσεται πρότασις ἀπὸ τοῦ προκειμένου τόπου ἡ λέγουσα 'εἰ ἡ λύπη κακόν, ἡ ἡδονὴ ἀγαθόν'. πάντα γὰρ ταῦτά τε καὶ τὰ τοιαῦτα δυνάμει τε καὶ ἀορίστως ἐν τῷ προκειμένῳ περιέχεται τόπῳ. πάλιν τόπος μὲν ἓν περὶ δύο 'εἰ τὸ μᾶλλόν τινι δοκοῦν ὑπάρχειν μὴ ὑπάρχει, οὐδὲ τὸ ἧττον δοκοῦν ὑπάρχειν ὑπάρχοι ἂν αὐτῷ'.

in Top.127 καὶ γὰρ οὗτος ὁ λόγος τῷ μὲν καθόλου ὥρισται (ὅτι γὰρ περὶ τοῦ μᾶλλον καὶ ἧττον ὑπάρχοντος λέγει, δηλοῖ, ὥσπερ καὶ ὁ πρὸ αὐτοῦ ὅτι περὶ ἐναντίων), τοῖς μέντοι καθ' ἕκαστά ἐστιν ἀόριστος· οὐ γὰρ δηλοῦται ἐν αὐτῷ περὶ τοῦ ἐν τίνι μᾶλλον· ἔστι γὰρ καὶ ἐπὶ χρώματος λαβεῖν τὸ μᾶλλόν τε καὶ ἧττον καὶ ἐπὶ χυμοῦ καὶ ἐπὶ ἀγαθοῦ. ἔστι μέντοι πρὸς ἕκαστον τῶν τῷ μᾶλλόν τε καὶ ἧττον προσχρῆσθαι δυναμένων προβλημάτων ὁρμωμένους ἀπὸ τοῦ προειρημένου τόπου οἰκείων εὐπορεῖν προτάσεων. ζητουμένου γάρ, ἂν οὕτω τύχῃ, πότερον ὁ πλοῦτος ἀγαθὸν ἢ οὔ, βουλόμενός τις ὅτι μὴ ἀγαθὸν δεῖξαι ὁρμώμενος ἀπὸ τοῦ προειρημένου τόπου λήψεται προσεχῆ πρότασιν τῷ προκειμένῳ, δι' ἧς ὅτι μή ἐστιν ἀγαθὸν συλλογιεῖται. εἰ γὰρ ἡ ὑγεία μᾶλλον οὖσα τοῦ πλούτου ἀγαθὸν μή ἐστιν ἀγαθόν, οὐδὲ ὁ πλοῦτος ἀγαθὸν ἂν εἴη· ἧς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ληφθείσης προτάσεως, εἰ προσληφθείη τις πρότασις ἡ λέγουσα ὅτι μή ἐστιν ἡ ὑγεία ἀγαθὸν διὰ τὸ φέρε εἰπεῖν γενέσθαι τισὶ πρὸς κακοῦ μηδὲν δὲ ἀγαθὸν αἴτιον γίνεσθαι κακοῦ, εἴη ἂν κατὰ τὸν προκείμενον τόπον δεδειγμένον ὅτι μὴ ἀγαθὸν ὁ πλοῦτος. Ποιεῖται δὲ πρώτην τῶν τόπων τὴν τῶν πρὸς τὰ ἀπὸ τοῦ συμβεβηκότος προβλήματα παράδοσιν, ὅτι τε κοινότερον τοῦτο καὶ κατὰ τοῦτο πρῶτον (τὸ γὰρ ὑπάρχον πᾶσιν ὑπάρχει) οὕτω τε τεταγμένη γίνεται καὶ διακεκριμένη ἡ τῶν τόπων παράδοσις. ἔστι γὰρ συμβεβηκός, ὡς εἶπεν ἐν τῷ πρὸ τούτου, ὃ “μήτε γένος ἐστὶ μήτε ὅρος μήτε ἴδιον, ὑπάρχει δὲ τῷ πράγματι”. ἀλλὰ μὴν τὸ ὑπάρχειν καὶ τοῖς ἄλλοις παρακολουθεῖ· οὔτε γὰρ γένος οὔτε ἴδιον οὔτε ὅρον οἷόν τε εἶναί τινος μὴ ὑπάρχοντα αὐτῷ. διὸ ἀναιρουμένου τοῦ ὑπάρχοντος, ᾧ τὸ συμβεβηκὸς ὁρίζεται, ἀναιρεῖται καὶ τῶν ἄλλων ἕκαστον· οὐκέτι μέντοι ἐκείνων τινὸς ἀναιρουμένου συναναιρεῖται τὸ συμβεβηκός. ὥστε πρῶτον τῇ φύσει κατὰ τοῦτο τῶν ἄλλων τὸ συμβεβηκός. ἔτι καὶ διότι ἀπὸ τοῦ συμβεβηκότος αὐτῷ τῆς τῶν τόπων ἀρχομένῳ παραδόσεως ἔμελλε τεταγμένη τε γίνεσθαι καὶ διακεκριμένη ἡ τῶν τόπων παράδοσις, ὡς ἄλλους μὲν εἶναι τοὺς πρὸς τὸ συμβεβηκὸς ἄλλους δὲ τοὺς πρὸς τὸ γένος ἄλλους δὲ τοὺς πρὸς τὸ ἴδιον καὶ ἄλλους τοὺς πρὸς τὸν ὁρισμόν. εἰ γὰρ ἀπὸ τοῦ ὁρισμοῦ τὴν ἀρχὴν τῆς τῶν τόπων παραδόσεως ἐποιεῖτο, ἐπειδὴ δεῖ τὸν ὁρισμὸν μὴ μόνον τὸ τί ἦν εἶναι σημαίνειν, ἀλλὰ πρῶτον μὲν ὑπάρχειν ἐκείνῳ οὗ ἐστιν ὁρισμός, ἔπειτα καὶ ἐν τῷ τί ἐστιν αὐτοῦ κατηγορεῖσθαι, ἀλλὰ καὶ ἀντικατηγορεῖσθαι αὐτοῦ, ἀναγκαίως ἂν καὶ τῶν τοῦ ὑπάρχοντος κατασκευαστικῶν ἢ ἀνασκευαστικῶν τόπων ὡς ὁρικῶν ἐμνημόνευσεν, οἵτινές εἰσιν οἰκεῖοι τῷ συμβεβηκότι, καὶ τῶν δεικνύντων ὅτι ἐν τῷ τί ἐστι κατηγορεῖται, οἳ πάλιν εἰσὶν οἰκεῖοι τῶν γενικῶν προβλημάτων, ἀλλὰ καὶ τῶν δεικνύναι δυναμένων ὅτι ἀντικατηγορεῖται, οἳ τῶν ἀπὸ τοῦ ἰδίου προβλημάτων εἰσὶν οἰκεῖοι.

in Top.128 οὕτως τε καὶ τοὺς τῶν ἄλλων προβλημάτων οἰκείους τόπους ὁρικοὺς ἂν ἔλεγε, πάλιν τε περὶ ἐκείνων λέγων καὶ μνημονεύων αὐτῶν τοὺς μὲν ἀπὸ τοῦ γένους ἔλεγεν ἂν αὐτῶν τοὺς δὲ ἀπ’ ἄλλου τινός, ὡς γίνεσθαι τοὺς αὐτοὺς πλειόνων οἰκείους. νῦν δὲ ἀρχόμενος ἀπὸ τοῦ συμβεβηκότος, ὃ κοινότατόν τέ ἐστι καὶ ἁπλούστατον, τοὺς μὲν περὶ τοῦ ὑπάρχειν ἢ μὴ ὑπάρχειν τόπους ὡς ἰδίους τοῦ συμβεβηκότος παραδίδωσιν· ἑξῆς δὲ μνημονεύων τῶν πρὸς τὸ γένος, ὅσοι παρὰ τὸ ὑπάρχειν περιττεύουσιν ἐν τῷ γένει, τούτους ὡς ἰδίους τοῦ γένους παραδίδωσι, καὶ ὅσοι πάλιν παρὰ τὸ γένος ἐν τῷ ἰδίῳ, ὡς οἰκείους τοῦ ἰδίου, καὶ ὅσοι παρὰ τοῦτο ἐν τῷ ὁρισμῷ, πρὸς τοὺς ὁρισμούς. Ἄρχεται μὲν οὖν διὰ ταῦτα ἀπὸ τῶν πρὸς τὸ συμβεβηκὸς τόπων. πρῶτον δὲ διαίρεσίν τινα τῶν προβλημάτων ποιεῖται, ἥτις δύναται μὲν γενέσθαι καὶ ἐπὶ τῶν ἄλλων, μάλιστα δέ ἐστιν ἐν τοῖς ἀπὸ τοῦ συμβεβηκότος. ἔστι δὲ ἡ διαίρεσις ὅτι τῶν προβλημάτων τὰ μέν ἐστι καθόλου τὰ δ ’ ἐπὶ μέρου ς . ἐπὶ μὲν γὰρ τῶν ἄλλων γενῶν τῶν προβλημάτων, κἂν ἐπὶ μέρους τι ληφθῇ ὡς ἀληθὲς καθ’ αὑτό, ἀλλ’ οὖν κἀκεῖνο καθόλου τι ἐν αὑτῷ ἔχει· ὁ γὰρ λέγων τινὸς ἐμψύχου τὸ ζῷον γένος ὅτι ἐπὶ μέρους μὲν λέγει, δῆλον, ἀλλὰ τὸ ‘τί τοῦτο‘ οὐκ ἄτομόν ἐστιν ἀλλὰ καθόλου· ἐπὶ δὲ τῶν συμβεβηκότων καὶ τὸ ἐν μέρει τὸ ὡς ἄτομον ἀληθὲς λαμβάνεται καθ’ αὑτό. ἐν μὲν γὰρ τοῖς ἀπὸ τῶν ἄλλων γενῶν προβλήμασι πάντα καθόλου τὰ προβλήματα ἀλλήλοις δύναται λαμβάνεσθαι· οὔτε γὰρ γένος οὔτε ὅρος οὔτε ἴδιον τινὶ μὲν ἀτόμῳ ὑπάρχει τῶν ὁμοειδῶν τινὶ δὲ οὔ, ἀλλ’ ἢ πᾶσιν ἢ οὐδενί. τὸ δὲ συμβεβηκὸς μόνον οἷόν τε τινὶ μὲν ὑπάρχειν ὡς ἀτόμῳ τινὶ δὲ μή, οἷον τὸ λευκὸν ἢ τὸ μουσικὸν ἀνθρώπῳ ἢ τῶν ἄλλων τι τῶν συμβεβηκότων αὐτῷ· τὶς μὲν γὰρ ἄνθρωπος μουσικός, τὶς δὲ οὔ. διὰ δὲ τῆς διαιρέσεως ταύτης τὴν τάξιν τῆς παραδόσεως τῶν τόπων λήψεται. ποιησάμενος γὰρ τὴν προειρημένην διαίρεσιν πρῶτον μὲν δείξει ὅτι μὴ δεῖ πάντων ἰδίους τινὰς τόπους ζητεῖν τοὺς ἀνασκευαστικοὺς ἢ κατασκευαστικοὺς τῶν ἐπὶ μέρους· οἱ γὰρ τὰ καθόλου κατασκευάζοντες συγκατασκευάζουσι καὶ τὰ ἐπὶ μέρους τὰ ὑπ’ αὐτά, ὥστε ἀρκοῖεν ἂν οὗτοι πρὸς ἀμφότερα· ὁμοίως καὶ οἱ καθόλου ἀνασκευαστικοὶ συναναιροῦσι καὶ τὰ ἐπὶ μέρους.

in Top.129 ἔτι δὲ ὁ δείξας, ὅτι κοινὰ τὰ καθόλου κατασκευαστικά τε καὶ ἀνασκευαστικ ά , λήψεται ὅτι δεῖ ἀπὸ τῆς τῶν καθόλου δεικνύντων τόπων παραδόσεως τὴν ἀρχὴν ποιεῖσθαι, διότι συγκατασκευάζει ταῦτα καὶ τὰ ἐπὶ μέρους καὶ ἔστι χρήσιμα καὶ πρὸς τὴν ἐκείνων κατασκευήν. πάλιν δὲ ἐπεὶ τῶν κοινῶν τε καὶ καθόλου οἱ μὲν κατασκευαστικοί εἰσιν οἱ δὲ ἀνασκευαστικοί, ὅτι δεῖ ἀπὸ τῶν ἀνασκευαστικῶν ἄρχεσθαι, λήψεται ἐκ τοῦ τὰ μὲν προβλήματα τοὺς τιθέντας ἐν τῷ ὑπάρχειν τε καὶ καταφατικῶς τιθέναι, προκεῖσθαι δὲ τοῖς διαλεγομένοις τὸ ἀντικείμενον τῶν τιθεμένων δεικνύναι· ἀντίκειται δὲ τῷ καταφατικῷ τὸ ἀποφατικόν. τῷ οὖν χρησιμωτέρους καὶ ἀναγκαιοτέρους εἶναι τοὺς καθόλου ἀνασκευαστικοὺς τοῖς διαλεκτικοῖς ἀπὸ τούτων ἄρξεται. p. 108b34 Ἔστι δὲ τῶν προβλημάτων τὰ μὲν καθόλου τὰ δὲ ἐπὶ μέρου ς . Προβλήματα νῦν ἔοικε λέγειν οὐ τὰ προτεινόμενα (ἐκεῖνα γὰρ τὴν ἀντίφασιν περιέχει), ἀλλὰ τὰ ὡρισμένα ἤδη κατὰ τὸ ἕτερον μέρος τῆς ἀντιφάσεως, πρὸς ἃ δεῖ ἀεὶ εὐπορεῖν ἐπιχειρημάτων. ὡς γὰρ τῶν προτάσεων αἱ μέν εἰσιν ἐν ἐρωτήσει τὴν ἀντίφασιν περιέχουσαι, αἱ δὲ ἤδη ὡς συλλογισμοῦ μέρη λαμβάνονται θάτερον μέρος οὖσαι τῆς ἀντιφάσεως (αὗται γάρ εἰσιν αἱ ἔνδοξοι, οὐχ αἱ ἐρωτήσεις ἀλλ' αἱ ἤδη συγκεχωρημέναι τε καὶ κείμεναι, δι' ὧν ὁ διαλεκτικὸς συλλογισμός), οὕτως καὶ τῶν προβλημάτων τὰ μέν ἐστιν ὡς προβαλλόμενα τὰ δὲ ὡς ὡρισμένα ἤδη, περὶ ὧν νῦν λέγει. καθόλου δὲ νῦν λέγει ἃ εἶπεν ἐν τῷ Περὶ ἑρμηνείας “καθόλου ὡς καθόλου”. τὸ μὲν γὰρ κοινὸν πᾶν καθόλου, κἂν ἀδιορίστως λέγηται· τὸ δὲ τοιοῦτον καθόλου τῷ καθ' ἕκαστον ἀντιδιαιρεῖται· οἷον καθόλου μὲν ἄνθρωπος, καθ' ἕκαστον δὲ Καλλίας. ὡς καθόλου δὲ τὸ καθόλου λέγεται, ὅταν τῷ καθόλου τὸ ‘πᾶσ‘ ἢ ‘οὐδεὶσ‘ προστεθῇ· οἷον πᾶς ἄνθρωπος δίπους, οὐδεὶς ἄνθρωπος πτηνός. τὰ οὕτω λεγόμενα νῦν ἁπλῶς καθόλου λέγει, οἷς ἀντιδιαιρεῖται τὰ ἐπὶ μέρους καὶ αὐτὰ περὶ τὰ καθόλου γινόμενα, ὡς τὸ ‘τὶς ἄνθρωπος μουσικός ἐστιν‘, ‘οὐ πᾶς ἄνθρωπός ἐστι μουσικόσ‘. p.

in Top.130 109a1 Ἔστι δὲ πρὸς ἀμφότερα τὰ γένη τῶν προβλημάτων κοινὰ τὰ καθόλου κατασκευαστικά τε καὶ ἀνασκευαστικ ά . Χρήσιμα καὶ πρὸς τὴν τῶν ἐπὶ μέρους κατασκευήν τε καὶ ἀνασκευήν. καὶ ὅτι οὐ δεῖ ἰδίους πάντως τινὰς τόπους πρὸς τὰ ἐπὶ μέρους ζητεῖν προβλήματα, πάλιν δείκνυσιν· οἱ γὰρ τόποι, φησίν, ἀφ' ὧν ἢ καθόλου τι κατασκευάσομεν ἢ καθόλου ἀνασκευάσομεν, κοινοὶ πρὸς ἀμφότερά εἰσι τὰ γένη τῶν προβλημάτω ν , γένη τῶν προβλημάτων λέγων νῦν τό τε καθόλου καὶ τὸ ἐπὶ μέρους. λέγει δὲ τοῦτο, ἐπειδὴ ποιήσεται τὴν παράδοσιν τῶν τόπων ἁπλῶς τε καὶ καθόλου, οὐ προσθεὶς τὸ ἐν μέρει ἤ τινί. ἵνα οὖν ᾖ γνώριμον ὅτι οἱ αὐτοί, κἂν ἐπὶ μέρους τι ᾖ πρόβλημα, χρήσιμοι ἡμῖν ἔσονται, προλέγει περὶ αὐτοῦ. ἐρεῖ δὲ τὸ αὐτὸ τοῦτο φανερώτερον ἔτι καὶ ἐν τῷ τρίτῳ ἐπὶ τέλει. τὰ μὲν οὖν καθόλου κατασκευαστικὰ καὶ πρὸς τὸ καθόλου καταφατικὸν πρόβλημα καὶ πρὸς τὸ ἐπὶ μέρους καταφατικὸν χρήσιμα, τὰ δὲ καθόλου ἀνασκευαστικὰ πάλιν πρός τε τὸ καθόλου ἀποφατικὸν καὶ πρὸς τὸ ἐπὶ μέρους. οὐ γὰρ μόνα τὰ καθόλου καταφατικὰ προβλήματα διὰ τῶν καθόλου ὑπάρχειν συναγόντων τόπων δείκνυται ἀλλὰ καὶ τὰ ἐπὶ μέρους καταφατικά. ὁ γὰρ δείξας, ὅτι πᾶς ἄνθρωπος ἀναπνεῖ, καὶ ὅτι τὶς δέδειχε· καὶ χρήσαιτ' ἄν τις, προκειμένου δεῖξαι ὅτι τὶς ἡδονὴ ἀγαθόν, τῇ καθόλου δείξει ὅτι πᾶσα ἡδονὴ ἀγαθόν· δείξας γὰρ ὅτι πᾶσα εἴη ἂν καὶ ὅτι τὶς δεδειχώς. ὁμοίως καὶ ὁ μηδενὶ ἀνθρώπῳ δείξας ὑπάρχον τὸ τετράπουν ἢ μηδεμιᾷ ἡδονῇ τὸ ἀγαθὸν καὶ ὅτι οὐ πάσῃ δεδειχὼς ἂν εἴη. οὐ μὴν ἀνάπαλιν· οὔτε γὰρ ὁ τινὶ δείξας ἔδειξε καὶ παντί, οὔτε ὁ τινὶ μὴ καὶ μηδενί. σημειωτέον δὲ ὅτι τὰ καθόλου κατασκευαστικὰ καὶ ἀνασκευαστικὰ χρήσιμά 〈φησιν〉 εἶναι πρὸς ἀμφότερα τὰ γένη τῶν προβλημάτω ν , ἀλλ' οὐ τὰ τοῦ καθόλου ἀνασκευαστικά. οὐ γὰρ ὁ δείξας, ὅτι μὴ πᾶσα ἡδονὴ ἀγαθόν, ἀνῄρηκε καὶ τὸ τινὰ εἶναι ἀγαθόν, καίτοι τὸ καθόλου ἀνεσκεύασεν. ἀλλ' οὐδὲ ὁ τὸ μηδεμίαν ἡδονὴν ἀγαθὸν εἶναι ἀνασκευάσας διὰ τοῦ δεῖξαι τινὰ ἤδη ἀνῄρηκε καὶ τὸ τινὰ μὴ εἶναι ἀγαθόν· ἀνασκευάζεται γὰρ τὸ μηδεμίαν προσεχῶς ὑπὸ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινά, οὗ κειμένου οὐκ ἀναιρεῖται τὸ τινὰ μὴ εἶναι ἡδονὴν ἀγαθόν, ὥσπερ οὐδὲ ὁ δείξας τινὰ ἀγαθὸν οὖσαν ἤδη ὅτι καὶ πᾶσα δέδειχεν.

in Top.131 ἐπεὶ τοίνυν τὰ καθόλου κοινά (καὶ γὰρ πρὸς τὰ ἐπὶ μέρους αὐτοῖς χρώμεθα), τὰ δὲ κοινὰ πρῶτα, πρῶτόν φησι δεῖν περὶ τῶν καθόλου τόπων λέγειν, καὶ ἐπεὶ τῶν καθόλου τὰ μὲν κατασκευαστικὰ τὰ δὲ ἀνασκευαστικὰ [τῶν πραγμάτων], 〈πρῶτον〉 πάλιν ἐν τοῖς καθόλου φησὶ δεῖν λέγειν περὶ τῶν ἀνασκευαστικῶν· πάλιν γὰρ ταῦτα τῶν τὸ καθόλου καταφατικὸν δεικνύντων χρησιμώτερα τῷ διαλεκτικῷ. ἐπεὶ γάρ, ὡς ἐμνημόνευσα ἤδη, τὰς θέσεις καὶ τὰ προβλήματα ὡς ἐπὶ τὸ πλεῖστον καταφατικὰ κομίζουσιν οἱ διαλεγόμενοι, πρόκειται δὲ τῷ διαλεκτικῷ ἀνασκευάζειν τὸ τιθέμενον καὶ εἰς τὸ ἀντικείμενον ἐπιχειρεῖν (τοιαύτη γὰρ ἡ ἐν τοῖς λόγοις γυμνασία), δῆλον ὡς τὸ καταφατικὸν ἀποφατικῶς ἀνασκευάζοιτο ἄν. τὸ μὲν οὖν ἀποφατικὸν τοῦ καταφατικοῦ πρῶτον, διότι πολὺ χρησιμώτερον τῷ διαλεκτικῷ, τὸ δὲ καθόλου ἀποφατικὸν τοῦ ἐπὶ μέρους, διότι κοινὸν τὸ καθόλου καὶ πρὸς τὸ ἐπὶ μέρους. ὅτι δὲ οἰκειότερον τῷ διαλεκτικῷ τὸ ἀνασκευάζειν τοῦ κατασκευάζειν, ἐν τῷ πρώτῳ τῶν ἐπιγραφομένων Εὐδημείων ἀναλυτικῶν λέλεκται (ἐπιγράφεται δὲ τὸ αὐτὸ καὶ Εὐδήμου Ὑπὲρ τῶν ἀναλυτικῶν), ἐν οἷς οὕτως λέγεται, ὅτι “ὁ διαλεκτικὸς ἃ μὲν κατασκευάζει μικρά ἐστιν, τὸ δὲ πολὺ τῆς δυνάμεως αὐτοῦ πρὸς τὸ ἀναιρεῖν τί ἐστι”. θέσιν δὲ τὸ πρόβλημα κοινότερον λέγει. p. 109a10 Ἔστι δὲ χαλεπώτατον τὸ ἀντιστρέφειν τὴν ἀπὸ τοῦ συμβεβηκότος οἰκείαν ὀνομασία ν . Τὸ μὲν χαλεπώτατον λέγοι ἄν, ὅτι μὴ ἁπλοῦν μηδὲ πρόχειρον ὡς ἐπὶ τῶν ἄλλων. ἀντιστροφὴν δὲ νῦν ἄλλην λέγει παρὰ τὰς εἰρημένας ἐν τοῖς Ἀναλυτικοῖς· ἐκείνων γὰρ ἦν ἡ μὲν κατὰ τοὺς ὅρους ἡ δὲ κατὰ τὸ καταφατικόν τε καὶ ἀποφατικόν, ὡς αἱ ἐνδεχόμεναι ἀντέστρεφον. ἣν δὲ νῦν λέγει, κατὰ τοὔνομά ἐστι· τὸ γὰρ τῷ τοῦ ὑπάρχειν τινὶ κειμένου ὀνόματι τὸ ὑποκείμενον καλεῖν ἀντιστρέφειν λέγει. οἷον τὸ ‘ζῷον ὑπάρχει ἀνθρώπῳ‘ ἀντιστρέφοντες λέγομεν ‘ὁ ἄνθρωπος ζῷόν ἐστιν‘· ὃ γὰρ ἐλάβομεν ὑπάρχειν τῷ ὑποκειμένῳ, τοῦτο τὸ ὑποκείμενον εἶναι λέγομεν. εἴη δ’ ἂν ἀντιστροφὴ τοῦτο, καθ’ ὅσον πρῶτον ἀπὸ τοῦ κατηγορουμένου ἀρχόμενοι μετὰ ταῦτα ἀπὸ τοῦ ὑποκειμένου τὴν ἀρχὴν ποιούμεθα. ὅταν οὖν οὕτω μεταλαμβανόντων ἡμῶν ἀληθὲς ᾖ τὸ λέγειν καὶ ὀνομάζειν ἁπλῶς καὶ χωρίς τινος προσθήκης τὸ ὑποκείμενον τῷ τοῦ ὑπάρχοντος αὐτῷ ὀνόματι, τὰ οὕτως ὑπάρχοντα ἀντιστρέφειν λέγει κατὰ τὸ ὄνομα.

in Top.132 κατὰ τὴν ἀπὸ τοῦ συμβεβηκότος δὲ ἀντὶ τοῦ ‘τὴν τῷ τοῦ συμβεβηκότος οἰκείῳ ὀνόματι ὀνομάζουσαν τὸ ὑποκείμενον αὐτῷ‘. ἢ τὸ ἀντιστρέφειν τὴν ἀπὸ τοῦ συμβεβηκότος οἰκείαν ὀνομασίαν εἶπεν· ὀνομάζεται γὰρ τὸ ὑποκείμενον τῷ τοῦ κατηγορουμένου ὀνόματι ὡς οἰκείῳ ἐν τῇ τοιαύτῃ ἀντιστροφῇ. ἐφ’ ὧν δὲ μηκέτι τοῦτο ἀληθές, ταῦτα δὲ οὐκ ἀντιστρέφει ταύτην τὴν ἀντιστροφὴν τὴν κατὰ τοὔνομα. τὰ μὲν οὖν ὡς γένη ὑπάρχοντά τισιν ἢ ὡς ὁρισμοὶ ἢ ὡς ἴδια ἀντιστρέφει· οὗ γὰρ γένος τὸ ζῷον, τοῦτο ζῷόν ἐστι, καὶ οὗ ὁρισμὸς τὸ ζῷον πεζὸν δίπουν ἐστί, τοῦτο ζῷον πεζὸν δίπουν ἐστί, καὶ οὗ ἴδιον τὸ γελαστικόν ἐστι, τοῦτο γελαστικόν ἐστι. διό, εἰ τὸ κατ’ ἐκείνων τι κείμενον ὑπάρχειν μὴ ἀντιστρέφοι, οὐδ’ ἂν ὑπάρχοι οὕτως ὡς ὑπάρχειν ἐτέθη. οὐκέτι δὲ τοῦτο ἁπλῶς ἐπὶ τοῦ συμβεβηκότος ἀληθές. οὐ γάρ, εἴ τινι τὸ λευκὸν ὑπάρχει, τοῦτο πάντως ἤδη καὶ λευκόν ἐστιν· ἀλλ’ οὐδ’, εἰ μὴ λευκὸν εἰπεῖν ἔστιν, ἤδη καὶ οὐχ ὑπάρχει τὸ λευκὸν αὐτῷ· ὥστε οὐχ οἷόν τε τούτῳ χρωμένους ἀνασκευάζειν τὸ συμβεβηκός. αἴτιον δὲ τούτου, ὅτι τὸ συμβεβηκὸς κατά τι ὑπάρχειν τινὶ δύναται, ᾧ δὲ μὴ ὅλῳ ἀλλὰ κατά τι ὑπάρχει τι καὶ π ῄ , τοῦτο οὐκ ἔστιν ἁπλῶς ὀνομάσαι τῷ τοῦ ὑπάρχοντος οὕτως αὐτῷ ὀνόματι· οὐ γὰρ τὸ κατά τι μέλαν ἤδη καὶ μέλαν, οὐδὲ τὸ κατά τι λευκὸν ἤδη καὶ λευκόν· ὁ γοῦν Αἰθίοψ κατά τι ὢν λευκός (κατὰ γὰρ τοὺς ὀδόντας) οὐκ ἔστι λευκός. τοῦτο δὲ τὸ πῄ ὑπάρχειν ἐπὶ μόνου τοῦ συμβεβηκότος χώραν ἔχει· οὔτε γὰρ τὸ γένος οὔτε ὁ ὁρισμὸς οὔτε τὸ ἴδιον τὸ κυρίως λεγόμενον πῄ τινι ὑπάρχειν οἷά τε, ὥσπερ οὐδ’ ἐν μέρει τινὶ καὶ ἀτόμῳ μόνῳ. ὥστε, εἰ τὸ πῄ ὑπάρχειν τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑποκειμένῳ αἴτιον τοῦ μὴ ἀντιστρέφειν, μόνον δὲ τοῦτο οἷόν τε ἐπὶ τοῦ συμβεβηκότος, ἐπὶ μόνου ἂν τοῦ συμβεβηκότος εἴη ἀληθὲς τὸ μὴ ἀεὶ ἀντιστρέφειν· οὐ γὰρ ἔτι τὸ ὑποκείμενον ἔσται τοῦτο εἶναι εἰπεῖν τὸ συμβεβηκὸς πῂ καὶ μὴ ἁπλῶς ὑπάρχον. οὐκ ἀναιρεῖται δὴ τὸ συμβεβηκέναι 〈τί〉 τινι ὑπὸ τοῦ μὴ ἀντιστρέφειν· οὐ γάρ, εἰ μὴ ἀντιστρέφει, διὰ τοῦτο οὐδὲ συμβέβηκεν. ἀλλ' οὐδὲ δείκνυται τὸ ὑποκείμενον ὀνομαζόμενον τῷ τοῦ συμβεβηκότος ὀνόματι, ἂν δειχθῇ αὐτῷ συμβεβηκός. μέλλων δὲ τῶν πρὸς τὸ συμβεβηκὸς τόπων τὴν παράδοσιν ποιεῖσθαι, τίνα ἴδιά ἐστιν [αὐτῶν] παρὰ τὰ ἄλλα προβλήματα τῶν ἀπὸ τοῦ συμβεβηκότος προβλημάτων, πρῶτον ἐξέθετο.

in Top.133 ὧν ἓν μὲν ἦν τὸ καθόλου καὶ ἐπὶ μέρους ἐν τούτῳ γίνεσθαί τινα προβλήματα, εἰ τοῦ ἐν μέρει οὕτω τις ἀκούοι ὡς ἐπὶ ἀτόμων λεγομένου, δεύτερον δὲ τὸ μὴ ἀντιστρέφειν τὸν προειρημένον τρόπον τῆς ἀντιστροφῆς πάντα τὰ ἀπὸ τοῦ συμβεβηκότος προβλήματα. τοῦτο δὲ γνωρίζομεν ὂν χρήσιμον πρὸς τὰς ἐπιχειρήσεις· ὁ μὲν γὰρ δείξας, ὅτι οὐκ ἔστιν ὁ ἄνθρωπος ζῷον ἢ ζῷον λογικὸν θνητὸν ἢ γελαστικόν, ἔδειξεν ἅμα καὶ ὅτι οὔτε γένος οὔτε ὅρος οὔτε ἴδιον ἦν αὐτοῦ τὸ ἀποδιδόμενον· ἀντέστρεφε γὰρ ἄν. ὁ δὲ δείξας, ὅτι μή ἐστι λευκὸς ὁ ἄνθρωπος ἢ μέλας ἤ τι ἄλλο τῶν συμβεβηκότων αὐτῷ, οὐκ ἤδη καὶ τὸ συμβεβηκέναι τι τούτων αὐτῷ ἀνῄρηκε. δύναται γάρ τι αὐτῶν πῂ καὶ κατά τι συμβεβηκέναι αὐτῷ· ἐν γὰρ τῷ συμβεβηκότι ὥσπερ τὸ καθόλου καὶ ἐν μέρει οὕτω καὶ τὸ ἁπλῶς καὶ πῄ. ἔστι δὲ ἀναλογίαν τινὰ ἔχον τὸ μὲν ἁπλῶς πρὸς τὸ καθόλου τὸ δὲ πῂ πρὸς τὸ ἐπὶ μέρους, ἅ ἐστιν ἀμφότερα ἐν τῷ συμβεβηκότι, ὡς καὶ αὐτὸς μνημονεύσει· τὸ γὰρ πῂ καὶ μὴ καθόλο υ . ἀντίκειται μὲν 〈γὰρ〉 τῷ πῂ τὸ ἁπλῶς, ὥσπερ καὶ τῷ ἐπὶ μέρους τὸ καθόλου· ὁ δὲ τῷ πῂ τὸ καθόλου ἀντέθηκεν ὡς ἔχον ὁμοιότητά τινα πρὸς τὸ ἁπλῶς. κατά τι δὲ ἂν δικαιοσύνη τινὶ ὑπάρχοι, ὡς εἶπεν, εἰ ἐκ φύσεως ἔχοι πρὸς τὴν ἕξιν ταύτην ἐπιτηδείως· ὁμοίως καὶ εἰ ἐξ ἔθους μόνου περί τινα τῶν δικαίων ἐπιρρεπῶς ἔχοι· οὐδέπω γὰρ ἁπλῶς ὁ τοιοῦτος δίκαιος καίτοι ὑπαρχούσης αὐτῷ δικαιοσύνης τινός. p. 109a27 Διορίσασθαι δὲ δεῖ καὶ τὰς ἁμαρτίας τὰς ἐν τοῖς προβλήμασι ν , ὅτι εἰσὶ διττα ί , ἢ τῷ ψεύδεσθαι ἢ τῷ παραβαίνειν τὴν κειμένην λέξι ν . Ἐζητήθη πῶς οἷόν τε λέγειν πρόβλημα ψευδές· εἰ γὰρ πᾶν πρόβλημα τὴν ἀντίφασιν περιέχει, πῶς ἂν εἴη τὸ ψεύδεσθαι ἢ τὸ ἀληθεύειν ἐν τοῖς προβλήμασι; μήποτ' οὖν πρόβλημα, ὡς προεῖπον ἤδη, οὐ τὸ προτεινόμενόν τε καὶ προβαλλόμενον ἔτι λέγει ἀλλὰ τὸ ὡρισμένον ἤδη καὶ κείμενον, ὡς εἶπεν ἤδη καὶ ἀρχόμενος, οὗ προΐσταταί τις, ὃν ὁ διαλεκτικὸς ἐλέγχειν ἐπιχειρεῖ. φησὶ δὲ δεῖν πρῶτον τὰς κατὰ τὰ προβλήματα διαμαρτίας ὡρίσθαι καὶ γνωρίμους εἶναι πρὸ τῆς τῶν τόπων παραδόσεως. ἐπεὶ γὰρ αἱ ἀνασκευαὶ τῶν προβλημάτων κατὰ τὰς ἐν αὐτοῖς ἁμαρτίας γίνονται, δεῖ δῆλον ὅτι ταύτας γνωρίμους τε καὶ ὁμολογουμένας εἶναι· καθ' ἃ γὰρ δεῖ τὸν ἔλεγχον αὐτῶν γίνεσθαι διὰ τῶν ἐπιχειρήσεων, ταῦτα δεῖ, φησί, γνωρίζειν.

in Top.134 δύο δή φησιν ἁμαρτίας ἐν τοῖς προβλήμασι γίνεσθαι, ἃς δῆλον ὅτι ὁ φανερὰς ποιήσας εἴη ἂν ἀνῃρηκὼς τὸ πρόβλημα· ἢ γὰρ ψεῦδος τίθεται δι' αὐτῶν, ἢ παραβαίνουσιν ἐν αὐτοῖς τὴν κειμένην λέξι ν . ψεύδεται μὲν γὰρ ὁ τὴν ἡδονὴν τέλος τιθέμενος καὶ τούτῳ παριστάμενος· τὸ γὰρ μὴ ὑπάρχον τῇ ἡδονῇ ὑπάρχειν αὐτῇ λέγει. ὁμοίως ψεύδεται καὶ ὁ τὴν κίνησιν διὰ κενοῦ γίνεσθαι λέγων· ἀλλὰ καὶ ὁ ἄτομα μεγέθη τιθέμενος· ἀλλὰ καὶ ὁ ἐξ ἐπιπέδων γεννῶν τὰ σώματα· ἀλλὰ καὶ ὁ τὴν ψυχὴν χωριστήν τε καὶ ἀθάνατον τιθέμενος· ἀλλὰ καὶ ὁ μόνον τὸ καλὸν ἀγαθὸν λέγων, ὥσπερ καὶ ὁ τὰ δὶς δύο πέντε λέγων. παραβαίνει δὲ τὴν κειμένην λέξιν ὁ τὴν μὲν ὑποκειμένην φύσιν ἥτις ποτέ ἐστι γνωρίζων, μὴ τῷ συνήθει δὲ καὶ κειμένῳ ὀνόματι ὀνομάζων αὐτὴν ἀλλὰ παραχαράσσων καὶ ἰδίοις ὀνόμασι χρώμενος κατ' αὐτῆς, ὡς οἱ λέγοντες μόνον τὸν σοφὸν πλούσιον ἢ μόνον καλὸν ἢ μόνον εὐγενῆ ἢ μόνον ῥήτορα. οὐ γὰρ ἀγνοοῦντες οὗτοι τὰ ὑπάρχοντα τῷ σοφῷ πλοῦτον ταῦτα λέγουσιν ἢ κάλλος ἢ εὐγένειαν, ἀλλὰ παραβαίνοντες τὴν κειμένην λέξιν · ὁ γὰρ πλοῦτος ἢ τὸ κάλλος οὐκ ἐπὶ ἀρετῆς, ἀλλ' ὁ μὲν ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρημάτων τε καὶ κτημάτων κατηγορεῖται, τὸ δὲ κάλλος ἐπὶ συμμετρίας τῶν ἐν τῷ ζῴῳ ἀνομοιομερῶν μορίων. εἰ δέ ἐστιν ἁμαρτία τὸ τοῦτο ποιεῖν, ὁ διδάξας τι τοιοῦτον ἐν τῷ προβλήματι εἴη ἂν ἐλέγξας αὐτό. αὐτὸς δὲ ἐναργεῖ παραδείγματι καὶ πληκτικῷ τῆς τοιαύτης ἁμαρτίας ἐχρήσατο εἰπὼν τὴν πλάτανον ἄνθρωπον · εἰ γὰρ ὅλως τις αὐτῷ συγχωρήσαι παραβαίνειν τὴν κειμένην λέξι ν , οὗτος ἐρεῖ καὶ τὴν πλάτανον ἄνθρωπο ν . ὁ μὲν οὖν οὕτως λέγων τὴν πλάτανον ἄνθρωπον ὡς ζῷον λογικὸν θνητὸν ψεύδοιτ' ἂν καὶ ἐνέχοιτο τῇ πρώτῃ ῥηθείσῃ ἁμαρτίᾳ· ὁ δὲ τὸ τοιοῦτον δένδρον οὕτως ὀνομάζων παραβαίνοι ἂν τὴν κειμένην ὀνομασία ν . παρέθετο δὲ τοῦτο δεικνὺς ὅτι καὶ τὸ τοιοῦτον ἁμάρτημά ἐστι καὶ οὐ μόνον τὸ ψεύδεσθαι, καὶ γίγνοιντ' ἂν ἀνασκευαὶ προβλημάτων καὶ κατὰ τοῦτο. p. 109a34 Εἷς μὲν δὴ τόπος τὸ ἐπιβλέπειν εἰ τὸ κα τ ' ἄλλον τινὰ τρόπον ὑπάρχον ὡς συμβεβηκὸς ἀποδέδωκε ν . Εἰπὼν δεῖν ἄρχεσθαι ἀπὸ τῶν καθόλου ἀνασκευαστικῶν τὸν πρῶτον τόπον τοιοῦτον παραδίδωσι. δείκνυσι γὰρ δι' αὐτοῦ ὅτι μή ἐστι συμβεβηκὸς τὸ ὡς συμβεβηκὸς ἀποδεδομένον· οὐδὲν γὰρ τῶν κατὰ ἄλλον τινὰ τρόπον ὑπαρχόντων τινὶ ὡς συμβεβηκὸς αὐτῷ ὑπάρχειν οἷόν τε.

in Top.135 δεῖ δὲ μὴ ἀγνοεῖν ὅτι Θεόφραστος διαφέρειν λέγει παράγγελμα καὶ τόπον· παράγγελμα μὲν γάρ ἐστι τὸ κοινότερον καὶ καθολικώτερον καὶ ἁπλούστερον λεγόμενον, ἀφ' οὗ ὁ τόπος εὑρίσκεται· ἀρχὴ γὰρ τόπου τὸ παράγγελμα, ὥσπερ ὁ τόπος ἐπιχειρήματος. οἷον παράγγελμα μὲν τὸ οὕτως λεγόμενον, ὅτι δεῖ ἐπιχειρεῖν ἀπὸ τῶν ἐναντίων, ἀπὸ τῶν συστοίχων, τόπος δὲ οἷον 'εἰ τὸ ἐναντίον πολλαχῶς, καὶ τὸ ἐναντίον', ἢ 'εἰ τῷ ἐναντίῳ τὸ ἐναντίον ὑπάρχει, καὶ τὸ ἐναντίον ὑπάρχει τῷ ἐναντίῳ', καὶ πάλιν 'ὡς ἓν τῶν συστοίχων, οὕτως καὶ τὰ λοιπά'· ὁ γὰρ τόπος πρότασις ἤδη τις ἀπὸ τοῦ παραγγέλματος γεγονυῖα. ταύτην δὲ [λέγω] τὴν διαφορὰν παραγγέλματός τε καὶ τόπου εἰδὼς ὁ Θεόφραστος τὰ τοιαῦτα, ὁποῖός ἐστιν ὁ πρῶτος εἰρημένος τόπος, παραγγέλματα λέγει καὶ τόπους παραγγελματικούς· τὸ γὰρ ἐπιβλέπειν δεῖν, εἰ τὸ κα τ ' ἄλλον τινὰ τρόπον ὑπάρχον ὡς συμβεβηκὸς ἀποδέδωκ ε , παραγγελματικόν. τόπος δ' ἂν ἀπ' αὐτοῦ εἴη ὁ λέγων 'εἰ τὸ ὡς συμβεβηκὸς ἀποδεδομένον κατ' ἄλλον τινὰ τρόπον ὑπάρχει, οὐ καλῶς ἀποδέδοται', ἢ ἔτι προσεχέστερον 'εἰ τὸ ὡς συμβεβηκὸς ἀποδεδομένον γένος εἴη ἢ πάλιν ὅρος ἢ ἴδιον'. ὁ μέντοι Ἀριστοτέλης τόπους καὶ τὰ τοιαῦτα καλεῖ, [ἢ] ὅτι μετὰ τοῦ παραγγέλματος ἤδη καὶ τὸν τόπον ἔλαβεν, ἀεὶ δὲ ἀπὸ τῶν εἰδικωτέρων καὶ τὰς ὀνομασίας ποιούμεθα τῶν πραγμάτων, οἷον τὴν οὐσίαν οὐκ ὂν μᾶλλον ἢ οὐσίαν ὀνομάζομεν, ἢ τὴν ποσότητα ὂν ἀλλὰ μᾶλλον ἰδίως ποσότητα. ἐπεὶ οὖν ταῦτα οὐκ ἔξω λόγου, τόπους καὶ τὰ τοιαῦτα καλεῖ τῶν παραγγελμάτων. δύο δὲ ἁμαρτιῶν γινομένων, ὡς προεῖπεν, ἐν τοῖς προβλήμασιν, "ἢ τοῦ ψεύδεσθαι ἢ τοῦ παραβαίνειν τὴν κειμένην λέξιν", ὁ παραδιδόμενος τόπος ἔοικε μᾶλλον λέγεσθαι πρὸς τοὺς παραβαίνοντας "τὴν κειμένην λέξιν", ἐκτὸς εἰ μὴ ἡγοῖτό τις συμβεβηκέναι καὶ τὸ ἄλλως ὑπάρχον. ἔστι δὲ ὁ τόπος· ἐπισκέπτεσθαί φησι δεῖν εἰ ὁ τοῦ προβλήματος προϊστάμενος τὸ κα τ ' ἄλλον τινὰ τρόπον ὑπάρχον ὡς συμβεβηκὸς ἀποδέδωκεν · ὁ γὰρ τὸ κα τ ' ἄλλον τινὰ τρόπον ὑπάρχον συμβεβηκέναι λέγων οὐχ ὑγιῶς λέγει, κατ' ἄλλον δὲ τρόπον δῆλον ὅτι τῶν προειρημένων. δέδεικται γὰρ ὅτι πᾶν τὸ ὑπάρχον τινὶ ἢ ὡς ὅρος ἢ ὡς ἴδιον ἢ ὡς γένος ἢ ὡς συμβεβηκὸς ὑπάρχει· εἰ οὖν τὸ ὡς γένος ὑπάρχον τινὶ ἢ ὡς ἴδιον ἢ ὡς ὅρον ὡς συμβεβηκὸς ὑπάρχειν λέγοι, δῆλον ὅτι ὡς ἁμαρτάνων ἂν ἐλέγχοιτο.

in Top.136 πῶς δὲ οἷόν τε γνωρίσαι τοῦτο, ἑξῆς λέγει. μάλιστα δέ φησι τὴν τοιαύτην ἁμαρτίαν γίνεσθαι περὶ τὰ γέν η . τοῦτο δέ, ἐπεὶ τὰ γένη ὁμοιότητά τινα μᾶλλον τῶν ἄλλων ἔχειν δοκεῖ πρὸς τὸ συμβεβηκός· τὸ μὲν γὰρ ἴδιον καὶ ὁ ὁρισμὸς μόνῳ καὶ παντὶ ὑπάρχουσι, διὸ καὶ ἀντιστρέφουσι τοῖς πράγμασιν ὧν εἰσι· τὸ δὲ γένος καὶ τὸ συμβεβηκὸς ἐπὶ πλέον εἰσὶ τούτου ᾧ ὑπάρχουσι, διὸ καὶ οὐκ ἀντικατηγοροῦνται. ὁ μὲν οὖν οὕτως λέγων διὰ τὸ ἡγεῖσθαι ὄντως τὸ ὡς γένος ὑπάρχον τινὶ συμβεβηκέναι αὐτῷ ὡς ψευδόμενος ἂν ἐλέγχοιτο· ὁ δὲ εἰδὼς μὲν αὐτῶν τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαφοράν, οὕτως δὲ ἐπ’ αὐτῶν τῇ λέξει χρώμενος ὡς παραβαίνων “τὴν κειμένην λέξιν.” γνωριοῦμεν δὲ τὸν τὸ κατὰ ἄλλον τινὰ τρόπον ὑπάρχον ὡς συμβεβηκὸς ἀποδιδόντα προφανῶς μέν, ἂν προσθῇ τῷ λεγομένῳ ὑπάρχειν τὸ ‘συμβέβηκεν‘, οἷον ‘συμβέβηκε τῷ ἀνθρώπῳ τὸ ζῴῳ εἶναι ἢ τῷ λευκῷ χρώματι ἢ τῇ δικαιοσύνῃ ἀρετῇ ‘ · χρῶνται γάρ τινες οὕτως, ὡς ἤδη δεδηλώκαμεν. ἤδη δέ, κἂν μὴ προσκείμενον μὲν ᾖ τὸ ‘συμβέβηκε‘, παρωνύμως δέ τις τὸ κατηγορούμενον κατηγορῇ τοῦ ὑποκειμένου, ὡς ‘ἡ λευκότης κέχρωσται‘· τὸ γὰρ ‘κέχρωσται‘ παρώνυμον τῷ χρώματι ὄντι γένει τῆς λευκότητος· ἢ πάλιν ‘ἡ βάδισις κινεῖται‘· καὶ γὰρ τὸ ‘κινεῖται‘ παρώνυμον τῆς κινήσεως, ἥτις γένος ἐστὶ τῆς βαδίσεως. ἀ π ’ οὐδενὸς γὰρ γένους παρώνυμος ἡ κατηγορία · τὰ γὰρ γένη συνωνύμως τῶν εἰδῶν κατηγορεῖται. ἐν γὰρ τοῖς συμβεβηκόσι παρώνυμος ἡ κατηγορία μόνοις, ὡς ἐν ταῖς Κατηγορίαις ἐδείχθη· τῶν γὰρ ἐν ὑποκειμένῳ τινὶ ὄντων (ταῦτα δὲ ἦν τὰ συμβεβηκότα) τὰ μὲν παρωνύμως τὰ δὲ ὁμωνύμως ἐδείχθη κατηγορούμενα· λέγεται γὰρ ἡ ἐπιφάνεια λελευκῶσθαι καὶ τὸ σῶμα κινεῖσθαι καὶ ὁ ἄνθρωπος γραμματικὸς εἶναι ἀπὸ τῆς γραμματικῆς. ὁ δὴ παρωνύμως τινὸς τὸ γένος αὐτοῦ κατηγορῶν διὰ τῆς τοιαύτης κατηγορίας συμβεβηκὸς ἂν εἶναι λέγοι τὸ γένος ἐκείνῳ οὗ ἐστι γένος. γένος γὰρ οὐκ ἂν λέγοι, διότι παρωνύμως· πολὺ δὲ μᾶλλον ἔτι οὐδ’ ἴδιον ἢ ὁρισμόν, διότι τὸ μὲν κατηγορούμενον πλείοσιν ὑπάρχειν δύναται, εἴ γε γένος ἐστί, τὸ δὲ ἴδιον καὶ ὁ ὁρισμὸς οὐδενὶ ἄλλῳ ὑπάρχει· εἰ δὲ μήτε ὡς γένος μήτε ὡς ὅρος μήτε ὡς ἴδιον ἀποδέδοται τὸ εἰρημένον, δῆλον ὅτι ὡς συμβεβηκός. παρώνυμος γὰρ ἡ ἀπὸ τῶν γενῶν κατηγορία γίνεται οὐ κατά τινος τῶν ὑπὸ τὸ γένος εἰδῶν ἢ ἀτόμων ἀλλὰ κατ’ ἐκείνων οἷς συμβέβηκε τὰ γένους τινὸς εἴδη, οἷον κατὰ τοῦ τὴν λευκότητα ἔχοντος τὸ κεχρῶσθαι καὶ τοῦ βαδίζοντος τὸ κινεῖσθαι καὶ τοῦ τὴν δικαιοσύνην ἔχοντος τὸ διακεῖσθαι, ἀλλ’ οὐ τῆς λευκότητος ἢ τῆς βαδίσεως ἢ τῆς δικαιοσύνης, ἀλλὰ τῆς μὲν τὸ χρῶμα τῆς δὲ ἡ κίνησις τῆς δὲ ἡ διάθεσις.

in Top.137 p. 109b9 Οὔτε ὡς ἴδιον ἢ ὡς ὁρισμόν · ὁ γὰρ ὁρισμὸς καὶ τὸ ἴδιον οὐδενὶ ἄλλῳ ὑπάρχε ι . Οὐχ ὡς συγχωρῶν τὸ ἴδιον ἢ τὸν ὁρισμὸν παρωνύμως κατηγορεῖσθαι ταῦτα εἶπε χωρίζεσθαι τοῦ συμβεβηκότος τῷ μόνῳ ὑπάρχειν, ἀλλὰ λέγων ὅτι δεικνύοιτ’ ἂν τὸ ἀποδεδομένον, ὅτι μὴ ἴδιον ἢ ὁρισμός, προδήλως καὶ διὰ τοῦ κατὰ πλειόνων λέγεσθαι τὸ ἀποδεδομένον τούτων δὲ μηδέτερον. διὰ τοῦτο γὰρ οὐδὲ τὸ ὂν γένος τῶν ὄντων, ὅτι τὸ εἶναι παρώνυμον τοῦ ὄντος ὂν οἰκείως καθ’ ἑκάστου τῶν ὄντων κατηγορεῖται· λέγεται γὰρ καὶ ἡ οὐσία εἶναι καὶ ἡ ποιότης καὶ ἡ ποσότης, καὶ ὁμοίως ἕκαστον τῶν ἄλλων γενῶν· τὰ δὲ παρωνύμως τινῶν κατηγορούμενα συμβεβηκότα ἀλλ’ οὐ γένη. ἐπισκεπτέον δὲ μήποτε καὶ ἀπὸ τῶν ἰδίων παρωνύμως ἡ κατηγορία γίνεται· τοιαῦτα γὰρ εἶναι δοκεῖ τὸ γελαστικόν, τὸ ἐπιστήμης δεκτικόν. ἢ εἰ καὶ τὸ ἴδιον μετὰ τοῦ γένους συνταττόμενον κατηγορεῖται, ὡς δοκεῖ αὐτῷ, λόγος ἂν εἴη καὶ τὸ ἴδιον, οὐκ ὄνομα· τὰ δὲ παρώνυμα ἀπὸ τοῦ ὀνόματος. ἐπεί, εἰ ἦν ἴδιον τοῦ ἀνθρώπου τὸ γελᾶν ἢ τὸ ἐπιστήμην ἔχειν, τότ’ ἂν ἀπὸ τοῦ ἰδίου παρωνύμως ἐλέγετο τὸ γελαστικὸν καὶ τὸ ἐπιστήμης δεκτικόν· νῦν δὲ ἴδια ταῦτά ἐστιν αὐτοῦ τὰ παρωνύμως λεγόμενα οὐκ ὄντων ἰδίων αὐτοῦ ἀφ’ ὧν ταῦτα παρωνόμασται. καίτοι ἡ βάδισις οὐ κατηγορεῖται κατὰ τοῦ ἀνθρώπου, τὸ δὲ βαδιστικὸν κατηγορεῖται, καὶ οὐκ ἔστιν ἴδιον. τοῦ δὴ μὴ κατ’ ἄλλον τινὰ τρόπον τὸ παρωνύμως κατηγορούμενόν τινος κατηγορεῖσθαι ἀλλ’ ἢ ὡς συμβεβηκὸς δεικτικὰ ταῦτα. ἐντεῦθεν ἔστιν ὁρμωμένους ἐλέγχειν τοὺς λέγοντας τὸν ἄνθρωπον ἐζῳῶσθαι ἢ τὸν Σωκράτην ἠνθρωπίσθαι ἢ τὸ τρίγωνον ἐσχηματίσθαι ἢ τὸ μέγεθος διεστηκέναι ἢ τὸ ζῷον ἐμψυχῶσθαι. καὶ γὰρ ἡ διαφορὰ γενικὸν καὶ οὐ παρωνύμως κατηγορούμενον· καίτοι τὸ λογικὸν παρώνυμον ὂν διαφορά ἐστιν. p.

in Top.138 109b13 Ἄλλος τὸ ἐπιβλέπειν οἷς ὑπάρχειν ἢ πᾶσιν ἢ μηδενὶ εἴρητα ι . Καὶ οὗτος ὁ τόπος παραγγελματικός. ἐκ διαιρέσεως δὲ τὴν ἐπιχείρησιν λαμβάνει· δεῖν γάρ φησι προβληθέντος τινὸς καὶ προτεθέντος ἢ καθόλου καταφατικοῦ ἢ καθόλου ἀποφατικοῦ διαίρεσιν ποιεῖσθαι

τούτων οἷς ἢ πᾶσι τίθεταί τι συμβεβηκέναι καὶ ὑπάρχειν ἢ μηδεν ί , καὶ ἐφ' ἑκάστου αὐτῶν ἰδίᾳ ἐπιβλέπειν εἰ ὑπάρχει αὐτοῖς τὸ κείμενον ἐν τῷ προβλήματι ὑπάρχειν. ἄν τε γὰρ ἐπὶ τινὸς αὐτῶν εὕρωμεν τὸ καθόλου κείμενον ὑπάρχειν μὴ ὑπάρχον, ἄν τε ἐπὶ πάντων, ἀνῃρηκότες ἐσόμεθα τὸ καθόλου καταφατικόν· ἀναιρεῖται γὰρ τὸ καθόλου καταφατικὸν καὶ ὑπὸ τοῦ ἐπὶ μέρους ἀποφατικοῦ καὶ ὑπὸ τοῦ καθόλου. ὑπογράφει δὲ καὶ τὸν τρόπον καθ' ὃν δεῖ τὴν διαίρεσιν ποιεῖσθαι τοῦ προκειμένου. εἰς γὰρ τὰ κοινότερα καὶ προσεχέστερα εἴδη φησὶ πρῶτα δεῖν ποιεῖσθαι τὴν διαίρεσιν· εἶτ' ἐὰν μηδέπω ἐν τούτοις ᾖ γνώριμον τὸ ζητούμενον, ἕκαστον αὐτῶν πάλιν λέγει δεῖν διαιρεῖν εἰς τὸ ὑπ' αὐτὸ πρῶτον καὶ ἐπισκεπτέον· καὶ ἐὰν μηδ' οὕτως ᾖ γνώριμον, πάλιν καὶ ἐπὶ τῆς τούτων διαιρέσεως τὰ κοινότερα καὶ προσεχῆ λαμβάνοντας, εἶθ' οὕτως ἐπὶ τὰ ἄτομα κατιόντας τὸ αὐτὸ ποιεῖν. ὁδῷ γὰρ οὕτως ἡ διαίρεσις ἔσται καὶ διακεκριμένη καὶ οὐ πεφυρμένη, καὶ οὐχ ἅμα ἐν πᾶσιν ἡ ζήτησις ἀλλὰ κατ' ἐλάττω καὶ ὡρισμένα· οὕτω τε οὐδὲν ἂν τῶν ὀφειλόντων διαιρεθῆναί τε καὶ ζητηθῆναι παραλείποιτο λαθόν. οἷον εἰ λέγοι τις πάντων τῶν ἀντικειμένων τὴν αὐτὴν ἐπιστήμην εἶναι, χρὴ τὰ ἀντικείμενα διαιρεῖσθαι, ἐπεὶ πλεοναχῶς λέγεται, διαιρούμενον δὲ μὴ εὐθέως εἰς τὰ ἄτομα ποιεῖσθαι τὴν διαίρεσιν (ἄτομα δὲ τὰ εἴδη ἂν λέγοι), οἷον μὴ εἰς λευκὸν καὶ μέλαν καὶ διπλάσιον καὶ ἥμισυ, ἀλλ' ἐπεὶ τετραχῶς τὰ ἀντικείμενα, εἰς ταῦτα πρῶτα χρὴ διελομένους τὰ ἀντικείμενα ἐφ' ἑκάστου αὐτῶν ὁρᾶν εἰ τὸ λεγόμενον ἀληθές· κἂν μήπω φαίνηταί τι ἀντιπῖπτον, πάλιν διαιρεῖν ἕκαστον αὐτῶν, τὰ ἐναντία χωρὶς εἰς τὰ ἄτομα εἴδη τοῦ ἐναντίου, καὶ πάλιν κατ' ἰδίαν τὰ πρός τι, καὶ ὁμοίως τὰ κατὰ στέρησιν καὶ ἕξιν καὶ τὰ κατὰ ἀντίφασιν. παραδείγματα δὲ παρέθετο τῆς μὲν τῶν ἐναντίων διαιρέσεως τὰ δίκαια καὶ ἄδικα, τῆς δὲ τῶν πρός τι τὸ διπλάσιον καὶ ἥμισυ, τῶν δὲ κατὰ ἕξιν καὶ στέρησιν τυφλότητα καὶ ὄψιν, τῶν δὲ κατ' ἀντίφασιν τὸ εἶναι καὶ μὴ εἶναι. κἂν ἐπὶ τινὸς αὐτῶν εὕρωμεν μὴ οὕτως ἔχον, δείξαντες τοῦτο ἀνεσκευακότες ἐσόμεθα τὸ πάντων τῶν ἀντικειμένων εἶναι τὴν αὐτὴν ἐπιστήμην· οἷον ἐπεὶ ἀπείρου οὐκ ἔστιν ἐπιστήμη, ἀντίκειται δὲ τὸ ἄπειρον τῷ πεπερασμένῳ ἢ ὡς ἐναντίον ἢ ὡς ἕξις καὶ στέρησις καὶ ἔστι τούτου ἐπιστήμη, οὐκ ἂν εἴη αὐτῶν ἡ αὐτὴ ἐπιστήμη.

in Top.139 ἀλλὰ καὶ εἰ τοῦ μὴ ὄντος λάβοιμεν τὸ μὴ εἶναι ἐπιστήμην, ἐπεὶ ἀντίκειται ὡς κατάφασις καὶ ἀπόφασις τὸ ὂν καὶ τὸ μὴ ὂν καὶ ἔστι τοῦ ὄντος ἐπιστήμη τις, οὐκ ἂν εἴη αὐτῶν ἡ αὐτὴ ἐπιστήμη. ἀλλ' οὐδὲ τοῦ γνωστοῦ καὶ ἀγνώστου ὄντων ἀντικειμένων κατὰ ἕξιν καὶ στέρησιν ἡ αὐτὴ ἐπιστήμη· τοῦ γὰρ ἀγνώστου οὐχ οἷόν τε ἐπιστήμην εἶναι. ἀλλ' οὐδὲ ψεύδους καὶ ἀληθοῦς ὄντων ἐναντίων οὐδὲ δυνατοῦ καὶ ἀδυνάτου. ἐπὶ μέντοι τῶν πρός τι πάντων ἀνάγκη, ἂν θάτερόν τις εἰδῇ, εἰδέναι καὶ τὸ ἀντικείμενον αὐτῷ, ἐπεὶ τοῖς πρός τι τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν. τούτῳ τῷ τόπῳ χρώμενοι ἀνασκευάσομεν καὶ τὸ πρόβλημα τὸ λέγον 'πᾶν ζῷον ἀναπνεῖ'· διαιρήσομεν γὰρ τὸ ζῷον εἴς τε τὸ πτηνὸν καὶ τὸ πεζὸν καὶ τὸ ἔνυδρον καὶ πάλιν τούτων ἕκαστον, καὶ εὑρόντες ἐν μὲν τοῖς πτηνοῖς τὰ ἔντομα μὴ ἀναπνέοντα, ἐν δὲ τοῖς ἐνύδροις τοὺς ἰχθύας (οὗτοι δ' εἰσὶν οἱ τὰ βράγχια ἔχοντες· οὐδὲν γὰρ τῶν βράγχια ἐχόντων ἀναπνεῖ), ἀνῃρηκότες ἐσόμεθα τὸ 'πᾶν ζῷον ἀναπνεῖ'. δείξομεν δὲ καὶ ὅτι μὴ πᾶσα ἀρετὴ ἐπιστήμη διελόντες τὴν ἀρετὴν εἴς τε τὴν διανοητικὴν καὶ τὴν ἠθικὴν καὶ τὰς ἠθικὰς δείξαντες ὅτι μὴ ἔχουσιν ἐν τῇ γνώσει τὸ εἶναι. ἀλλὰ καὶ τὸ ὅτι οὐδεὶς ἔρως ἀστεῖος πρόβλημα καθόλου ὂν ἀποφατικὸν ἀνασκευάσομεν, ὅτι μὴ πᾶς ἔρως φαῦλος, διελόντες τὸν ἔρωτα εἴς τε σύντονον ὄρεξιν ἀφροδισίων, ὡς Ἐπίκουρος λέγει, ὃν οὐχ οἷόν τε ἀστεῖον εἶναι, καὶ εἰς ἐπιβολὴν φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον, ὡς οἱ ἀπὸ τῆς Στοᾶς, ἢ ἀνάμνησιν τοῦ ποτὲ ὁραθέντος κάλλους, ὡς Πλάτων· ἀστεῖοι γὰρ οὗτοι οἱ ἔρωτες. οὐ μόνον δὲ τὸν ὑποκείμενον ὅρον ἐν τῷ προβλήματι διαιρεῖν δεῖ, ἀλλὰ πολλάκις καὶ τὸν κατηγορούμενον, ἂν οὕτως τὴν διαίρεσιν δέχηται, ὡς ἐπὶ τῶν τοιούτων προβλημάτων 'ὁ σοφὸς οὐ πολιτεύσεται', 'ὁ σοφὸς στάσεως οὐ μεθέξει'. τό τε γὰρ πολιτεύεσθαι [τῷ σοφῷ] οὐχ ἁπλοῦν ὂν εἰ διαιρεθείη, κατὰ μέν

τι σημαινόμενον δείξει προσῆκον ὂν τὸ πολιτεύεσθαι τῷ σοφῷ κατὰ δέ τι ἀλλότριον αὐτοῦ. ὁμοίως καὶ τὸ 'στάσεως οὐ μετέχει' διττόν· ἢ γὰρ ὅτι 〈οὐ〉 χρὴ νοσούσῃ τῇ πατρίδι συννοσεῖν, καθὼς ἠξίου Σόλων· πολιτικοῦ γὰρ τὸ μὴ ἀπάγειν αὑτὸν τῆς κοινῆς συμφορᾶς καὶ οὕτως ἂν καταπαῦσαί τι τῆς στάσεως ἴσως, εἰ φαίνοιτο συνάγων καὶ ἐν τοῖς αὐτοῖς ὤν· ἢ πάλιν ὅτι κατάρχειν οὐ χρὴ τῆς στάσεως καὶ ἡγεμόνα γίνεσθαι.

in Top.140 Εἰπὼν δὲ ἐὰν μὲν γὰρ ἐπὶ τινὸς δειχθῇ ὅτι οὐχ ἡ αὐτ ή , ἀνῃρηκότες ἐσόμεθα τὸ πρόβλημ α . προσέθηκε τὸ ὁμοίως δὲ καὶ ἐὰν μηδενὶ ὑπάρχ ῃ , δεικνὺς ὅτι τὸ καθόλου καταφατικὸν οὐχ ὑπὸ τοῦ ἐπὶ μέρους ἀποφατικοῦ μόνου ἀναιρεῖται ἀλλὰ καὶ ὑπὸ τοῦ καθόλου ἀποφατικοῦ· τὸ γὰρ καθόλου ἀμφοτέρων ἐστὶν ἀναιρετικόν, καὶ τοῦ καθόλου τοῦ ἐναντίου αὐτῷ καὶ τοῦ ἐπὶ μέρους τε καὶ ἀντιφατικῶς αὐτῷ ἀντικειμένου. δύναται τὸ λεγόμενον διὰ τοῦ ὁμοίως δὲ καὶ ἐὰν μηδενὶ ὑπάρχῃ δηλωτικὸν εἶναι τοῦ ὅτι ὁμοίως ὡς τὸ καθόλου καταφατικὸν ἀνασκευάζεται τῷ εὑρεθῆναί τι τῶν ὑπὸ τὸ καθόλου μὴ οὕτως ἔχον, οὕτως, κἂν ᾖ καθόλου ἀποφατικὸν τὸ κείμενον, ἀνασκευάζοιτ' ἄν, εἰ τῶν ὑπὸ τὸ καθόλου τινὶ εὑρεθείη ὑπάρχον τὸ μηδενὶ αὐτῷ κείμενον ὑπάρχειν· καὶ γὰρ προεῖπε τὸ ἐπιβλέπειν οἷς ὑπάρχειν πᾶσιν ἢ μηδενὶ εἴρητα ι , οἷον ἂν ᾖ κείμενον τὸ μηδὲν ζῷον λογικὸν εἶναι· δείξαντες γὰρ τὶ λογικὸν τῇ διαιρέσει, ἀνῃρηκότες αὐτὸ ἐσόμεθα. λέγει δὲ καὶ ὅτι ὁ προειρημένος τόπος οὐ πρὸς ἀνασκευὴν μόνον τοῦ καθόλου καταφατικοῦ ἀλλὰ καὶ πρὸς κατασκευήν ἐστιν χρήσιμος· διελόμενοι γάρ, ἐπὶ πάντων ἂν οὕτως ἔχον φαίνηται, κατεσκευακότες ἂν εἴημεν τὸ καθόλου καταφατικόν. καὶ εἰ μὴ ἐπὶ πάντων δὲ ἀλλὰ ἐπὶ τῶν πλείστων οὕτως ἔχον φαίνοιτο (οὐδὲ γὰρ οἷόν τε πάντα ἐπεξελθεῖν), ἀξιώσομεν ἢ τὸ καθόλου συγχωρεῖν ἤ, εἰ μὴ συγχωροίη, ἔνστασιν φέρειν ἐπὶ τίνος οὐχ ἡγεῖται οὕτως ἔχειν· ἄτοπος γὰρ ἂν φαίνοιτο, εἰ μήτε συγχωροίη τὸ καθόλου μήτε ἔνστασιν φέροι ἐπὶ τίνος οὐχ ἡγεῖται τῶν σημαινομένων καὶ τῶν ὑπὸ τὸ κοινὸν οὕτως ἔχειν· οἷον εἰ ζητουμένου, εἰ πᾶν ζῷον τὴν κάτω γένυν κινεῖ, δεικνύντων ἡμῶν ἐπὶ τῶν πλείστων οὕτως ἔχον καὶ ἀξιούντων ἢ τῷ καθόλου συγχωρεῖν ἢ ἐπὶ τίνος οὐχ οὕτως ἔχει λέγειν, ὁ δὲ μηδέτερον ποιοίη. τὸ δὴ ἀνασκευάζειν καὶ κατασκευάζειν εἴρηκεν ἀντὶ τοῦ 'τὸ καθόλου καταφατικόν'. κατασκευάσει δὲ δῆλον ὅτι τὸ καθόλου καταφατικόν, ὅταν ὁ τιθεὶς τὸ πρόβλημα μηδενὶ ἢ μὴ παντὶ τὸ κατηγορούμενον ὑπάρχειν λέγῃ, οἷον ἂν θῇ τις ὅτι οὐ πᾶν δίκαιον συμφέρον, ἢ ὅτι οὐ πᾶσα ἡδονὴ ἀγαθόν· πρὸς γὰρ τὰς τοιαύτας θέσεις χρεία τῆς τοῦ καθόλου κατασκευῆς. σημειωτέον δὲ ὅτι ὁ τόπος οὗτος οὐκέτι ἐστὶ καθόλου ἀνασκευαστικός, περὶ ὧν μόνον εἶπε δεῖν λέγειν πρῶτον, ἀλλὰ τοῦ καθόλου ἀνασκευαστικός.

in Top.141 ἔστι δέ, ὡς εἶπε, καὶ πρὸς τὸ κατασκευάζειν χρήσιμος. p. 109b30 Ἄλλος τὸ λόγους ποιεῖν ἀντὶ τῶν ὀνομάτων τοῦ συμβεβηκότος καὶ ᾧ συμβέβηκε ν , ἢ ἀμφοτέρων κα θ ' ἑκάτερον ἢ τοῦ ἑτέρο υ . Ὁ τόπος οὗτος ὢν ἀπὸ ὁρισμοῦ καθόλου ἀνασκευαστικὸς τοιοῦτός ἐστιν· ἐπεὶ τὸ πρόβλημα, πρὸς ὃ τὰς ἐπιχειρήσεις ποιούμεθα, τῷ γένει πρότασίς ἐστι κατηγορική (τοιοῦτον γὰρ [ἂν] κατασκευάσαι ἢ ἀνασκευάσαι βουλόμεθα), πᾶσα δὲ πρότασις κατηγορικὴ ἐξ ὑποκειμένου ὅρου καὶ κατηγορουμένου, καὶ ἐν τοῖς ἀπὸ τοῦ συμβεβηκότος προβλήμασιν ὁ κατηγορούμενος ὅρος ὡς συμβεβηκός τι δηλοῖ, φησὶ δεῖν διαλαμβάνοντας τοὺς τοῦ προβλήματος ὅρους, τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον, κατ' ἰδίαν ἑκάτερον αὐτῶν ὁρίζεσθαι, ἰδίᾳ μὲν τὸ συμβεβηκός, ὅ ἐστι κατηγορούμενον, ἰδίᾳ δὲ τὸ τούτῳ ὑποκείμενον (τοῦτο γάρ ἐστι τὸ ἀμφοτέρων κα θ ' ἑκάτερον · ἵνα γὰρ μὴ ἀμφοτέρων τοὺς ὁρισμοὺς συνάπτωμεν, ὡς ἐπὶ τοῦ 'ἄνθρωπος περιπατεῖ' [ἢ] τὸ 'ζῷον πεζὸν δίπουν διὰ σκελῶν κινεῖται', ἀλλὰ ἰδίᾳ ἑκατέρου τὸν ὁρισμὸν χωρίσαντες ἀποδῶμεν), ἢ εἰ τὸ ἕτερον αὐτῶν φανερὸν εἴη, τὸ ἕτερον μόνον τὸ μὴ φανερὸν ὁρίσαι (τοῦτο γὰρ βούλεται τὸ ἢ τοῦ ἑτέρο υ) , ἔπειτα ὁρᾶν εἴ τι τῶν ἐν τοῖς ὁρισμοῖς μαχόμενόν ἐστι καὶ μὴ δυνάμενον ὑπάρχειν τούτῳ ᾧ ὑπάρχειν κεῖται. ἂν γὰρ οὕτως ἔχῃ, ἀνασκευάσομεν καθόλου τὸ πρόβλημα· οἷον εἰ εἴη τιθέμενον ὑπό τινος τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δύνασθαι θεὸν ἀδικεῖσθαι, εἰ ὁ ἀδικούμενος ὑπὸ ἀδικοῦντος ἀδικεῖται, δεῖ ὁρίσασθαι τί ἐστι τὸ ἀδικεῖν, καὶ λαβόντας ὅτι τὸ βλάπτειν ἑκόντα, ἐπεὶ οὐχ οἷόν τε τὸν θεὸν βλάπτεσθαι ὑπό τινος (ἔνδοξον γὰρ καὶ ἐναργὲς τοῦτο), δεῖ δεικνύναι ὅτι μηδὲ ἀδικεῖσθαι. εἰπὼν δὲ τὴν ἀρχὴν εἰ ἔστι θεὸν ἀδικεῖ ν , ὅτι τὸ ἀδικεῖν ἐπὶ τοῦ ἀδικεῖσθαι ἔλαβεν, ἐδήλωσεν ἐπενεγκὼν τὸ δῆλον ὡς οὐκ ἔστι θεὸν ἀδικεῖσθα ι . πάλιν εἰ εἴη τις λέγων τὸν σπουδαῖον φθονερὸν εἶναι, χρὴ ὁρίσασθαι τίς ὁ φθονερό ς . τοῦτο δὲ ἂν ποιήσαιμεν, εἰ πρῶτον ὁρισαίμεθα τί ποτέ ἐστιν ὁ φθόνο ς . εἰ δή ἐστιν ὁ φθόνος λύπη ἐπὶ φαινομένῃ εὐπραγίᾳ τῶν ἐπιεικῶν τινο ς , δῆλον ὡς καὶ φθονερὸς ἂν εἴη ὁ λυπούμενος ἐπὶ ταῖς τῶν ἐπιεικῶν εὐπραγίαις· οὗ κειμένου, ἐπεὶ προδήλως ἀλλότριον τοῦ σπουδαίου τὸ λυπεῖσθαι ἐπὶ ταῖς τῶν ἀγαθῶν εὐπραγίαις (οἱ γὰρ ἐπιεικεῖς ἀγαθοί), οὐκ ἂν εἴη ὁ σπουδαῖος φθονερός.

in Top.142 δῆλον δὲ ὅτι αἱ τοιαῦται δείξεις ἐν δευτέρῳ γίνονται σχήματι καθόλου ἀποφατικὸν συνάγουσαι. καὶ οὕτως μέν, εἰ τὸ ὑποκείμενον ἐν τῷ προβλήματι γνώριμον εἴη, τὸ συμβεβηκὸς τῷ ὑποκειμένῳ ὁρισάμενοι ἀνασκευάσομεν καθόλου τὸ πρόβλημα. ἀμφοτέρους δὲ τοὺς ὅρους τοῦ προβλήματος ὁρισόμεθα ἐν οἷς μηδέτερόν ἐστιν αὐτόθεν γνώριμον, ὡς ἐν τοῖς τοιούτοις· εἰ εἴη τιθέμενον ὑπό τινος ὅτι ὁ νεμεσητικὸς φθονερός ἐστιν. ἐπεὶ γὰρ ἐπὶ τούτων ὁμοίως ὁ νεμεσητικὸς τῷ φθονερῷ πρὸς γνῶσιν ἔχει (οὐδέτερος γὰρ αὐτῶν αὐτόθεν ἐστὶ φανερός), ὁρισάμενοι ἀμφοτέρους, τόν τε νεμεσητικὸν καὶ τὸν φθονερόν, οὕτως ἀνασκευάσαι δυνησόμεθα τὸ τιθέμενον. δοκεῖ γὰρ φθονερὸς μὲν εἶναι ὁ λυπούμενος ἐπὶ ταῖς τῶν ἀγαθῶν εὐπραγίαι ς , ἐπεὶ καὶ ὁ φθόνος τοιοῦτον, νεμεσητικὸς δὲ ὁ λυπούμενος ἐπὶ ταῖς τῶν κακῶν εὐπραγίαις · τοιοῦτον γὰρ ἡ νέμεσις. εἰ οὖν νεμεσητικὸς μέν ἐστιν ὁ λυπούμενος ἐπὶ ταῖς τῶν κακῶν εὐπραγίαι ς , ὁ δὲ φθονερὸς οὐ λυπεῖται ἐπὶ ταῖς τῶν κακῶν εὐπραγίαις (τοὐναντίον γὰρ οὗτος ἐπὶ ταῖς τῶν ἀγαθῶν εὐπραγίαις κεῖται λυπούμενος), οὐκ ἂν εἴη ὁ νεμεσητικὸς φθονερό ς . δύναται τὸ πρόβλημα τοῦτο ὁρικὸν εἶναι, εἰ ζητοῖτο πότερον ὁ αὐτός ἐστι νεμεσητικός τε καὶ φθονερὸς ἢ οὔ· τὰ γὰρ περὶ ταὐτοῦ προβλήματα τοῖς ὅροις ἔφη δεῖν ὑποτάσσεσθαι. οὕτως δειχθήσεται καὶ ὅτι μή ἐστιν εὐδαίμων ὁ τύραννος· εἰ γὰρ ὁ μὲν τύραννός ἐστιν ἄρχων παράνομος, εὐδαίμων δέ ἐστιν ὁ κατ' ἀρετὴν ἐνεργῶν, οὐχ οἷόν τε τὸν τύραννον εὐδαίμονα εἶναι· τὸ γὰρ παρανόμως ἄρχειν οὐ κατ' ἀρετὴν ἐνεργοῦντος. ἀλλὰ καὶ ὅτι μὴ πλούσιος ὁ σοφός, εἴ γε ὁ πλοῦτος μέν ἐστιν ἐν κτήσει χρημάτων, σοφία δὲ ἐν ἀρετῆς κτήσει. Ἐπεὶ δὲ πολλάκις οὐδὲ τῶν ὁρισμῶν ῥηθέντων ἤδη φανερὰ τῶν ὁριζομένων ἡ πρὸς ἄλληλα διαφορὰ τῷ ὀνόματά τινα ἐν αὐτοῖς εἰλῆφθαι οὐ ταὐτὸν ἐν ἑκατέρῳ αὐτῶν δηλοῦντα ἀλλ' ὁμώνυμα, ἀξιοῖ μὴ προαφίστασθαι ἀλλὰ πάλιν αὐτῶν τούτων τῶν ἐν τοῖς ὁρισμοῖς ὀνομάτων λόγους λαμβάνειν· οὕτως γὰρ ἔσεσθαι γνώριμον αὐτῶν τὴν διαφοράν, ἂν τὸ κοινὸν ὄνομα τοῦτο, ὡς τί σημαῖνον ἐν ἑκατέρῳ τῶν ὁρισμῶν παρείληπται, γνωσθῇ. τοῦτο δὲ καὶ ἐν τῷ πρώτῳ ἤδη φθάσας εἶπεν ἐν τῇ διδασκαλίᾳ τῶν τόπων οὓς πρὸς τὴν εὕρεσιν τῶν πολλαχῶς λεγομένων παρεδίδου· εἶπε γὰρ οὕτως· "πολλάκις δὲ καὶ ἐν αὐτοῖς τοῖς λόγοις λανθάνει παρακολουθοῦν τὸ ὁμώνυμον· διὸ καὶ ἐπὶ τῶν λόγων σκεπτέον.

in Top.143 οἷον ἐάν τις τὸ σημαντικὸν καὶ τὸ ποιητικὸν ὑγείας τὸ συμμέτρως ἔχον πρὸς ὑγείαν φῇ εἶναι, οὐκ ἀποστατέον ἀλλ' ἐπισκεπτέον τί τὸ συμμέτρως καθ' ἑκάτερον εἴρηκεν, οἷον εἰ τὸ μὲν τὸ τοσοῦτον εἶναι ὥστε ποιεῖν ὑγείαν, τὸ δὲ τὸ τοιοῦτον οἷον σημαίνειν ποία τις ἡ ἕξις". ἂν δή, κειμένου τοῦ τὸ ποιητικὸν ὑγείας σημαντικὸν ὑγείας εἶναι, ἀνασκευάζειν τις τοῦτο βουλόμενος ἑκάτερον αὐτῶν ὁριζόμενος εὕρῃ συμμέτρως ἔχον πρὸς ὑγείαν ἑκάτερον αὐτῶν, δόξει μὲν ὅσον ἐπὶ τοῖς λόγοις ταὐτὰ εἶναι τὰ προκείμενα· οὐ μὴν οὕτως ἔχον τοῦτο εὑρεθήσεται, ἂν τοῦ καθ' ἑκάτερον αὐτῶν συμμέτρου τὸν λόγον πάλιν ἀποδῷ· εὑρήσει γὰρ τὸ μὲν ὡς ποιητικὸν ὑγείας σύμμετρον λεγόμενον ἐν τῷ τοσοῦτον εἶναι τὸ σύμμετρον ἔχον, τὸ δὲ σημαντικὸν ἐν τῷ τοιοῦτον. Λέγει δὲ νῦν τὸ λαμβάνειν δεῖ καὶ ἀντὶ τῶν ἐν τοῖς λόγοις

ὀνομάτων λόγους καὶ μὴ προαφίστασθα ι , ἕως ἂν ἐπί τι γνώριμον ἔλθ ῃ , οὐκ ἐπὶ τῶν ὁμωνυμίας μόνον ἐχόντων λόγων ἀλλὰ καθόλου, ὅταν μηδέπω σαφὴς καὶ γνώριμος ἡ διαφορὰ τῶν προκειμένων ᾖ διά τινα ὀνόματα ἀσαφῆ ἐν τοῖς ὁρισμοῖς παρειλημμένα. παρεγγυᾷ γὰρ μὴ προαφίστασθαι ἀλλὰ καὶ αὐτὰ τὰ ὀνόματα καὶ τὰ μόρια τοῦ λόγου ὁρίζεσθαι ὥσπερ καὶ τὸ ὅλον· οὕτως γὰρ ἔσται γνώριμον τὸ ζητούμενον. οἷον εἰ λέγοντός τινος τὴν ἡδονὴν ἀγαθὸν ὁ βουλόμενος ἀνασκευάσαι τοῦτο ὁρίσαιτο τὴν ἡδονὴν κίνησιν λείαν, οὐδὲν γνώριμον ἐκ τούτου εἴτε ἀγαθὸν εἴτε μή· ἀλλὰ ἂν τὴν κίνησιν τὴν ἐν τῷ τῆς ἡδονῆς ὁρισμῷ παρειλημμένην αὐτὴν πάλιν ὁρίσηται καὶ ἀποδῷ αὐτῆς λόγον ἀτελῆ ἐνέργειαν, δύναιτ' ἂν δεικνύναι ὅτι μὴ ἀγαθὸν ἡ ἡδονή, τῷ μηδὲν μὲν ἀγαθὸν ἀτελὲς εἶναι, τὴν δὲ ἡδονὴν ἀτελῆ εἶναι οὖσαν κίνησιν τῷ πᾶσαν κίνησιν ἀτελῆ ἐνέργειαν εἶναι. ἔστι δὲ ἐν τούτῳ πάλιν τῷ προβλήματι ὁ ὑποκείμενος ὅρος ὡρισμένος. δῆλον δὲ ὅτι χρὴ πλειόνων ὁρισμῶν περὶ ἑκάστου εὐπορεῖν ἐνδόξων, εἰ μέλλοιμεν χρῆσθαι τῷ προκειμένῳ τόπῳ· οὕτως γὰρ δυνησόμεθα χρησίμως πρὸς τὸ προκείμενον ἡμῖν τὴν ἀπόδοσιν τῶν ὅρων ποιεῖσθαι. οἷον κειμένου τοῦ τὸν σοφὸν ἐρασθήσεσθαι, ἀνασκευάσαι μὲν θέλοντες αὐτὸ ὁρισόμεθα τὸ ἐρασθῆναι, καὶ ληψόμεθα τὸ ἔρωτά τινος λαβεῖν· καὶ ἐπεὶ μηδέπω γνώριμον τὸ προκείμενον, ἐπὶ τὸ τὸν ἔρωτα ὁρίζεσθαι προελευσόμεθα. ἂν δὴ ὁριζόμενοι αὐτὸν λάβωμεν ἄλογον ἐπιθυμίαν ἡδονῆς τῆς ἀπὸ τοῦ σωματικοῦ κάλλους ἢ σύντονον ὄρεξιν ἀφροδισίων, ἀνεσκευακότες ἂν εἴημεν τὸ πρόβλημα· δῆλον γὰρ δὴ ὅτι ἀλλότρια ταῦτα τοῦ σοφοῦ.

in Top.144 ὁμοίως κἂν ὁρισώμεθα αὐτὸν σφοδρὰν ἐπιθυμίαν, ἐπεὶ τὸ σφοδρὸν ἀσαφές, πάλιν αὐτὸ τοῦτο εἰς λόγον μεταληψόμεθα· καὶ εἰ ἔστι σφοδρὸν τὸ ἐναντιούμενον τῷ ὀρθῷ λόγῳ, ἀνεσκευακότες ἂν εἴημεν καὶ οὕτως τὸ κείμενον. ἂν μέντοι ἀποδῶμεν [τὸν] λόγον τοῦ ἔρωτος ἢ ἐπιβολὴν φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον ἢ θείαν ἐπίπνοιαν καὶ ἐπιθυμίαν φιλίας δι' ἔμφασιν τοῦ ποτὲ ὁραθέντος κάλλους, ὡς ἐν τῷ Φαίδρῳ Πλάτων βούλεται, κατεσκευακότες ἂν εἴημεν τὸ πρόβλημα. καὶ δῆλον ὅτι ὁ τόπος καὶ πρὸς κατασκευὴν ἂν εἴη τοῦ καθόλου καταφατικοῦ ποτε χρήσιμος, οὐ πρὸς ἀνασκευὴν μόνον. τούτῳ τῷ τόπῳ χρώμενοι δείξομεν ὅτι ὁ θεὸς οὔτε ὀργίζεται οὔτε λυπεῖται, εἴ γε ὀργίζεσθαι μέν ἐστι τὸ ὀρέγεσθαι τιμωρίας παρὰ τοῦ δοκοῦντος ἠδικηκέναι, λυπεῖσθαι δὲ τὸ συστέλλεσθαι ἐπὶ παρόντι κακῷ, ὥσπερ καὶ τὸ φοβεῖσθαι τὸ ἐπὶ προσδοκωμένῳ, ὁ δὲ θεὸς οὔτε ἀδικεῖσθαι δοκεῖ οὔτε παρεῖναί τι αὐτῷ κακὸν [ὑπολαμβάνει] ἢ προσδοκᾶσθαι. ἀλλὰ κἂν ζητουμένου εἰ ἡ ψυχὴ ἀθάνατος ὁρισαίμεθα τὴν ψυχὴν πνεῦμα νοητικὸν ἢ αἰσθητικόν, εἴημεν ἂν δεδειχότες ὅτι μὴ ἀθάνατος· πᾶν γὰρ πνεῦμα φθαρτόν. ἀλλὰ καὶ ὅτι οὐ κεχώρισται τοῦ σώματος, δεικνύοιτ' ἄν, εἰ ὁρισθείη "ἐντελέχεια σώματος φυσικοῦ ὀργανικοῦ"· οὐδεμία γὰρ ἐντελέχεια σώματος χωριστὴ αὐτοῦ. πάλιν δέ, ἂν οὐσίαν αὐτῆς αὐτοκίνητον ὅρον εἶναι λάβωμεν κατὰ Πλάτωνα, εἴημεν ἂν ἀθάνατον αὐτὴν δεδειχότες διὰ τὸ τὸ αὐτοκίνητον ἀεικίνητον εἶναι δοκεῖν τὸ δὲ ἀεικίνητον ἀίδιον εἶναι. ἀλλὰ καὶ τὸν νόμον σπουδαῖον δεικνύοιμεν ἄν, εἰ ὁρισαίμεθα αὐτὸν ὀρθὸν λόγον ἐπὶ σωτηρίᾳ τῶν χρωμένων. ὁμοίως καὶ ἡ ἀρετὴ ὅτι διδακτὸν δεικνύοιτ' ἄν, εἰ ὅρος εἴη τῆς ἀρετῆς ἐπιστήμη περὶ βίον· πᾶσα γὰρ ἐπιστήμη διδακτόν. οὐκέτι δὲ ἀρετὴ πᾶσα διδακτὸν ἐξ ἀνάγκης, εἰ εἴη ὁ λόγος αὐτῆς ἕξις ἀρίστη ἢ ἕξις, ἀφ' ἧς αὐτό τε τὸ οὗ ἐστιν ἄριστόν ἐστι καὶ τὰς ἐνεργείας τὰς οἰκείας ἄριστα ἀποδίδωσιν. p. 110a10 Ἔτι τὸ πρόβλημα πρότασιν ἑαυτῷ ποιούμενον ἐνίστασθα ι . Ἔστι μὲν καὶ ὁ τόπος οὗτος παραγγελματικός. τὸ δὲ δι' αὐτοῦ λεγόμενόν ἐστιν, ὅτι δεῖ τὸ πρόβλημα εἰς καθολικὴν πρότασιν μεταλαβόντα, αὐτῷ προτείνοντα ταύτην ἔνστασιν πειρᾶσθαι φέρειν πρὸς αὐτήν, ὡς ἂν εἰ καὶ ἄλλου προτείνοντος αὐτὴν καὶ λαβεῖν ἀξιοῦντος ἐνέστημεν.

in Top.145 ἣν γὰρ ἔνστασιν εὑρίσκομεν πρὸς τὴν πρότασιν, αὕτη ἐπιχειρήματος ἡμῖν ἀρχὴ καὶ ἀφορμὴ γένοιτ' ἂν πρὸς τὴν τοῦ προκειμένου προβλήματος ἀνασκευήν· τοῦτο δ', ἐπεὶ συνηθεστέρα ἡ πρὸς τὰς προτάσεις ἔνστασις τῆς εἰς τὰ προβλήματα ἐπιχειρήσεως. ἐπεὶ δὲ ἡ πρὸς τὰς καθόλου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προτάσεις ἔνστασις ἀπό τινος τῶν ὑπὸ τὸ καθόλου γίνεται, ὃ τῷ ἐπιβλέπειν τὰ ὑπὸ τὸ καθόλου εὑρίσκεται, σχεδόν φησι τὸν αὐτὸν τόπον εἶναι τοῦτον τῷ πρὸ ὀλίγου εἰρημένῳ τῷ ἐκ τῆς τοῦ καθόλου διαιρέσεως, ἐν ᾧ ἔλεγεν ἐπιβλέπειν δεῖν οἷς ὑπάρχειν ἢ πᾶσιν ἢ μηδενὶ εἴρητα ι . ὡς γὰρ ἐπ' ἐκείνου ἀπὸ τῆς τοῦ καθόλου εἰς τὰ ὑπ' αὐτὸ διαιρέσεως εὑρόντες, ᾧ μὴ ὑπῆρχε τῶν ὑπὸ τὸ καθόλου, ἀνεσκευάζομεν τὸ πρόβλημα, οὕτως καὶ ἐπὶ τοῦ προκειμένου ἡ ἔνστασις πρὸς τὴν καθόλου πρότασιν γίνεται· ἐφοδεύσαντες γὰρ τῇ διανοίᾳ τὰ ὑπὸ τὸ καθόλου, οὕτως ᾧ μὴ ὑπάρχει τῶν ὑπὸ τὸ καθόλου εὑρόντες ἐνιστάμεθα. οὐ μὴν πάντῃ ὁ αὐτὸς τόπος οὗτος ἐκείνῳ, ἀλλ' ἔστιν αὐτῶν διαφορὰ κατὰ τὸν τρόπον, ὡς εἶπεν· ἐκεῖ μὲν γὰρ εὐθέως διαίρεσιν ἐποιούμεθα τοῦ καθόλου εἰς τὰ προσεχῆ εἴδη· ἐνταῦθα δὲ πρότασιν ποιήσαντες ὡς πρὸς πρότασιν τὴν ἔνστασιν ποιησόμενοι, ἐπεὶ συνηθεστέρα ἡ πρὸς τὰς προτάσεις ἔνστασις τῆς πρὸς τὰ προβλήματα ἐπιχειρήσεως, τὴν ἔνστασιν ἀρχὴν τῆς πρὸς τὸ πρόβλημα ἐπιχειρήσεως ποιούμεθα. οἷον εἰ τὸ τιθέμενον ὑπό τινος εἴη τὸ τὴν ἀρετὴν ἐπιστήμην εἶναι, μεταληψόμεθα εἰς πρότασιν τὸ κείμενον τὴν 'ἆρά γε πᾶσα ἀρετὴ ἐπιστήμη;', καὶ ἑαυτοῖς προτείναντες τοῦτο ζητήσομεν ἔνστασιν πρὸς αὐτὸ ἐπὶ τὰ εἴδη τῶν ἀρετῶν ἐπιβλέποντες· καὶ εὑρόντες ὅτι αἱ τοῦ παθητικοῦ μορίου τῆς ψυχῆς οὐ τοιαῦται (οὐ γὰρ ἐκ διδασκαλίας περιγίνονται ἀλλὰ δι' ἐθῶν, οὐδὲ ἐν τῷ εἰδέναι αὐτάς, αἵτινές εἰσιν, ἐστὶ τὸ καὶ ἐν αὐταῖς εἶναι καὶ ἔχειν αὐτάς), ταύτην τὴν ἔνστασιν εἰς ἐπιχείρημα μεταλαβόντες χρησόμεθα αὐτῷ πρὸς ἀνασκευὴν τοῦ προβλήματος λέγοντες 'αἱ ἠθικαὶ ἀρεταὶ οὐκ ἐν γνώσει τῶν πρακτέων τὸ εἶναι ἔχουσιν, οὐδὲ διὰ διδασκαλίας ἐγγίνονται· πᾶσα δὲ ἐπιστήμη ἐν γνώσει τῶν ὑπ' αὐτὴν τὸ εἶναι ἔχει καὶ διὰ διδασκαλίας· οὐδεμία ἄρα ἠθικὴ ἀρετὴ ἐπιστήμη· εἰ δὲ τοῦτο, οὐ πᾶσα ἀρετὴ ἐπιστήμη'.

in Top.146 πάλιν εἰ εἴη κείμενον ὑπό τινος ὅτι πᾶσα ἡδονὴ ἀγαθόν, μεταληψόμεθα τὸ πρόβλημα εἰς πρότασιν καὶ ἑαυτοὺς ἐρωτήσομεν 'ἆρα πᾶσα ἡδονὴ ἀγαθόν;'· καὶ εὑρόντες ἔνστασιν διὰ τῆς τῶν ἡδονῶν διαιρέσεως τὴν ὅτι αἱ τῶν ἀκολάστων ἡδοναὶ οὐκ ἀγαθαί, ἣν πρὸς τὴν πρότασιν ἐφ' ἑαυτῶν ζητοῦντες ἔνστασιν εὕρομεν, ταύτην ἀφορμὴν ἐπιχειρήσεως ἕξομεν εἰς ἀνασκευὴν τοῦ κειμένου ἐρωτῶντες 'ἆρά γε αἱ τῶν κιναίδων ἡδοναὶ ἡδοναὶ οὖσαι καὶ ἀγαθαί εἰσιν;'. ἢ οὐδεὶς ἂν τούτῳ συγχωρήσαι ὁμοῦ ψευδεῖ τε ὄντι καὶ ἀδόξῳ. λαβόντες γὰρ τοῦτο δεδειχότες ἂν εἴημεν ὅτι μή ἐστιν ἡδονὴ πᾶσα καὶ ἁπλῶς ἀγαθόν. ὁμοίως ποιήσομεν, κἂν ᾖ τὸ πρόβλημα τὸ μόνον τὸ καλὸν ἀγαθὸν εἶναι· ὡς γὰρ πρὸς πρότασιν αὐτὸ εὑρόντες ἔνστασιν ὅτι ἡ ὑγεία ἀγαθὸν οὖσα οὐκ ἔστι καλόν, χρώμενοι τῇ ἐνστάσει ταύτῃ ἀνασκευάσομεν τὸ πρόβλημα. ἔστι δὲ ὁ τόπος, ὡς καὶ αὐτὸς εἴρηκεν, ἀνασκευαστικὸς μόνον. p. 110a14 Ἔτι διορίζεσθαι ποῖα δεῖ καλεῖν ὡς οἱ πολλοὶ καὶ ποῖα ο ὔ . Καὶ οὗτος ὁ τόπος παραγγελματικός. ἀφορμὴν δέ φησιν ἡμῖν πρὸς τὰ προβλήματα ἐπιχειρήσεως ἔσεσθαι καὶ ἀπὸ τοῦ προδιωρίσθαι καὶ ὡμολογῆσθαι, τίνα μὲν χρὴ τῇ τῶν πολλῶν χρήσει τε καὶ συνηθείᾳ ἑπομένους καλεῖν, τίνα δὲ οὔ· τοῦτο δὲ καὶ πρὸς τὸ κατασκευάζειν καὶ πρὸς τὸ ἀνασκευάζειν τὰ προβλήματα χρήσιμον. ἂν γὰρ ᾖ ἡμῖν προωμολογημένον τὸ δεῖν τοῖς μὲν ὀνόμασι κατὰ τῶν πραγμάτων τοῖς συνήθεσι καὶ κειμένοις χρῆσθαι καὶ οἷς οἱ πολλοί (κατὰ συνθήκην γὰρ τὰ ὀνόματα, καὶ οὐκ αὐτός τις ἕκαστος κύριος τῶν πραγμάτων ἕκαστον ὀνομάζειν τε καὶ μετονομάζειν ὡς βούλεται· ἀναιροῖτο γὰρ ἂν οὕτως ἡ κοινολογία, εἰ μὴ κοινοῖς τισιν ὀνόμασι καὶ συνήθεσιν εἴημεν ἐπ' αὐτῶν χρώμενοι), τίνα μέντοι τοιαῦτα τῶν πραγμάτων ἐστί, καθ' ὧν τὰ κοινὰ ὀνόματα καὶ συνήθη, καὶ διὰ τί τοιαῦτά ἐστι, καὶ τί μέτρον αὐτῶν ἐστιν, οὐκέτι τοῖς πολλοῖς προσεκτέον ἀλλὰ τοῖς εἰδόσιν, ἔχοιμεν ἂν ἀφορμὰς ἐκ τῆς ὁμολογίας ταύτης καὶ πρὸς τὸ ἀνασκευάζειν καὶ πρὸς τὸ κατασκευάζει ν . σαφὲς δὲ τὸ λεγόμενον αὐτὸς διὰ τοῦ παραδείγματος ἐποίησεν. ὑγιεινὸν μὲν γὰρ ῥητέον τὸ ποιητικὸν ὑγεία ς , ὡς οἱ πολλοὶ καὶ ἡ συνήθεια· κατὰ γὰρ τοῦ τοιούτου πράγματος τούτῳ τῷ ὀνόματι οἱ πολλοὶ χρῶνται· οὐκέτι μέντοι ὑγείας ποιητικὸν τοῦτο χρὴ ἡγεῖσθαι ὃ οἱ πολλοὶ ὑπολαμβάνουσιν, ἀλλὰ ὃ οἱ ἰατροί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

in Top.147 ὅ τι ἂν οὖν οἱ ἰατροὶ ὑγείας ποιητικὸν ἡγῶνται εἶναι, τοῦτο ὑγιεινὸν χρὴ καλεῖν ἑπομένους τῇ κοινῇ τοῦ ὀνόματος χρήσει. ἂν δή τις ὁμολογῶν τι ὑγείας εἶναι ποιητικὸν μὴ ὑγιεινὸν αὐτὸ ὀνομάζῃ ἀλλὰ ἄλλο τι, ἐλέγχοιτ’ ἂν κατὰ τὸν παραδεδομένον τόπον τὸν ἀξιοῦντα ὡρίσθαι ὅτι δεῖ τοῖς ὀνόμασι τοῖς τῶν πραγμάτων χρῆσθαι ὡς οἱ πολλο ί . πάλιν δ’ αὖ ὁ ἀξιῶν ὑγείας ποιητικὸν εἶναι λέγειν, ὃ τοῖς πολλοῖς καὶ τοῖς τυχοῦσι δοκεῖ, ἐλέγκοιτ’ ἂν καὶ αὐτός, ὅτι ἦν ἡμῖν προωμολογημένον τὸ τὰ τοιαῦτα μὴ ὡς οἱ πολλοὶ κρίνειν τε καὶ λέγειν ἀλλ’ ὡς οἱ ἰατροί. ἀπὸ τούτου τοῦ τόπου ἐπιχειροίη τις ἂν καὶ πρὸς τὰ ὑπὸ τῶν Στωικῶν παράδοξα λεγόμενα. εἰ γὰρ τῶν πολλῶν πλούσιον λεγόντων μόνον τὸν πολυκτήμονα μὴ κατὰ τούτου τις χρῷτο τῷ ὀνόματι τούτῳ μηδὲ λέγοι τὸν πολυκτήμονα πλούσιον, κατὰ δὲ τοῦ σοφοῦ καὶ τοῦ τὰς ἀρετὰς ἔχοντος, παραβαίνοι ἂν τὸν κείμενον τῆς τῶν ὀνομάτων χρήσεως διορισμόν. τίς μὲν γάρ ἐστι πολυκτήμων, οὐ τῶν πολλῶν εἰδέναι ἀλλὰ τῶν τὰ τοιαῦτα ἐξεταζόντων· ὅτι δὲ δεῖ κατὰ τοῦ πολυκτήμονος τῷ ‘πλούσιοσ‘ ὀνόματι χρῆσθαι, ἱκανὴ ἡ τῶν πολλῶν χρῆσις. ὁ δὴ ὁμολογῶν μὲν εἶναί τινα πολυκτήμονα μὴ ὀνομάζων δὲ τοῦτον πλούσιον οὐ δεόντως ἂν χρῷτο τῷ ὀνόματι. ἀλλ’ οὐδὲ ὁ χρώμενος αὐτῷ πάλιν ἐπὶ τοῦ τὰς ἀρετὰς ἔχοντος. πάλιν οἱ μὲν πολλοὶ εὐτυχῆ λέγουσι τὸν ἐν τοῖς τυχηροῖς ἀγαθοῖς εὐθηνοῦντα· οἱ δὲ τὸν τὴν ἀρετὴν ἔχοντά φασιν εὐτυχῆ, ὃ οὐκ ἔστι τῶν τυχηρῶν ἀγαθῶν. παραβαίνουσιν οὖν καὶ οὗτοι τὴν προσήκουσαν χρῆσιν τῶν ὀνομάτων. Εἰπὼν δὲ ὑγιεινὸν μὲν ῥητέον τὸ ποιητικὸν ὑγείας προσέθηκε τὸ ἢ ὡς οἱ πολλοὶ λέγουσι ν , ὃ ἴσον ἐστὶ 〈τῷ ‘ἢ’〉 ὅπως ἂν ὦσιν οἱ πολλοὶ λέγοντεσ‘· καὶ γὰρ κατ’ ἄλλων τινῶν οἱ πολλοὶ τῷ ὑγιεινῷ ὀνόματι χρῶνται, οὐ κατὰ μόνου τοῦ ὑγείας ποιητικοῦ, ἀλλὰ καὶ κατὰ τοῦ σημαντικοῦ. ἢ εἶπεν ‘ὅπως ἂν οἱ πολλοὶ λέγωσιν‘ ἐνδεικνύμενος ὅτι μὴ περὶ τοῦ ὀνόματος τούτου διατείνεσθαι χρὴ ἀλλὰ περὶ τοῦ χρῆσθαι τούτῳ ᾧ οἱ πολλοί· καὶ γὰρ εἰ μὴ τοῦτο ἀλλὰ ἄλλο τι εἴη, ἐκείνῳ χρηστέον. ἢ οὐκ ἔστι μετὰ τοῦ ‘ἢ‘ ἀλλὰ χωρίς· λέγει γὰρ ὡς οἱ πολλοὶ λέγουσι · τὸ γὰρ ποιητικὸν ὑγείας ὑγιεινὸν τοῖς πολλοῖς σύνηθες λέγειν. ὡς δὲ πρὸς ἀνασκευὴν ὁ τόπος ὁ προειρημένος χρήσιμος, οὕτως καὶ πρὸς κατασκευήν.

in Top.148 μὴ γὰρ βουλομένου τινὸς συγχωρεῖν ὅτι οἱ πολυκτήμονες πλούσιοι, κατασκευάσομεν τοῦτο προσχρώμενοι τῷ δεῖν μὲν ὀνομάζειν τὰ πράγματα ὡς οἱ πολλοί· οἱ δὲ πολλοὶ τούτους πλουσίους λέγουσιν. ὁμοίως καὶ πρὸς τὸν μὴ λέγοντα τὴν ὑγείαν ἀγαθὸν ἐνίσταιτο ἄν τις· ἡ γὰρ συνήθεια οὕτως. εἰ δέ τις πάλιν λέγοι τὴν ὑγείαν οὕτως ἀγαθὸν ὡς εὐδαιμονίαν ἢ μέρος εὐδαιμονίας, διότι οἱ πολλοὶ οὕτως ὑπολαμβάνουσιν, πάλιν ἀνασκευάζοιμεν ἂν τοῦτο τῇ ὁμολογίᾳ προσχρώμενοι μηκέτι τούτου τοὺς πολλοὺς κυρίους εἶναι· τῶν γὰρ σπουδαίων ἡ τοιαύτη περὶ τῆς ὑγείας κρίσις. p. 110a23 Ἔτι ἐὰν πολλαχῶς λέγητα ι , κείμενον δὲ ᾖ ὡς ὑπάρχει ἢ ὡς οὐχ ὑπάρχε ι . Οἱ τρεῖς τόποι, οὗτός τε καὶ οἱ μετὰ τοῦτον δύο, τὴν ἀφορμὴν τῆς ἐπιχειρήσεως ἀπὸ τῶν πολλαχῶς λεγομένων λαμβάνουσιν, ὧν ὁ πρῶτος ἀπὸ τῶν ὁμωνύμων. ἂν γὰρ ᾖ τὸ συμβεβηκέναι καὶ ὑπάρχειν τινὶ ἢ μὴ ὑπάρχειν τιθέμενον ἁπλῶς τε καὶ χωρὶς διορισμοῦ, φησὶ δεῖν διελομένους αὐτὸ παρ’ ἑαυτοῖς (παρέδωκε δ’ ἡμῖν τόπους ἐν τῷ πρὸ τούτου δι’ ὧν γνωρίζειν οἷοί τε ἐσόμεθα τὰ πολλαχῶς λεγόμενα καὶ διαιρεῖσθαι), εἰ μὴ ἐπὶ πάντων τῶν σημαινομένων δυναίμεθα δεικνύναι τὸ ἀντικείμενον τῷ τιθεμένῳ, ἐπὶ τινὸς αὐτῶν, ἐφ’ οὗ μὴ οὕτως ἔχει, δεικνύναι· δείξαντες γὰρ ἐπὶ τούτου ἀνεσκευακέναι δόξομεν τὸ κείμενον διὰ τὸ λανθάνειν τὴν ὁμωνυμίαν καὶ ὡς ἁπλῶς λεγόμενον τὸ κείμενον εἰρῆσθαι. οἷον εἰ τιθείη τις ὅτι ὁ κοιμώμενος οὐκ αἰσθάνεται, χρὴ διελομένους παρ’ ἑαυτοῖς τὸ αἰσθάνεσθαι εἴς τε τὸ κατ’ ἐνέργειαν καὶ κατὰ δύναμιν δεικνύναι ὅτι ὁ κοιμώμενος αἰσθάνεται· αἰσθάνεσθαι γὰρ λέγονται οἱ δύναμιν τοῦ αἰσθάνεσθαι ἔχοντες. πάλιν ἂν ᾖ κείμενον ὅτι τὸν σπουδαῖον δέον ἐστὶ πολιτεύεσθαι, χρὴ διελομένους τὸ δέον παρ’ ἑαυτοῖς, ὅπερ σημαίνει καὶ τὸ καλὸν καὶ τὸ συμφέρον καὶ τὸ ἀναγκαῖον, τὸ μὲν ἀναγκαῖον, ὅταν λέγωμεν πᾶν τὸ γενόμενον δέον εἶναι φθαρῆναι, τὸ δὲ συμφέρον, ὅταν λέγωμεν δέον εἶναι περιπάτοις χρῆσθαι ἢ διαίτῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιαύτη, τὸ δὲ καλόν, ὅταν λέγωμεν δέον εἶναι τὰ δίκαια ποιεῖν ἢ πείθεσθαι τοῖς νόμοις ἢ τοῖς γονεῦσι, τοσαῦτα οὖν σημαίνοντος αὐτοῦ, δεικνύντας μέν, ὅτι μὴ συμφέρει τὸ πολιτεύεσθαι τῷ σπουδαίῳ ἢ ὅτι μὴ ἀναγκαῖόν ἐστιν αὐτῷ πολιτεύεσθαι, ἀναιρεῖν τὸ κείμενον ὡς ταῦτα σημαίνοντος τοῦ δέοντος. ἀλλὰ κἂν λέγῃ τις μὴ δέον εἶναι τὸ πολιτεύεσθαι τῷ σπουδαίῳ, δείξαντες ὅτι καλόν (τὸ γὰρ ἐπαρκεῖν καὶ βοηθεῖν τῇ πατρίδι καὶ τὰ ἄριστα συμβουλεύειν καλόν· τὸ δὲ δέον τοῦτο σημαίνει), ἀναιροίημεν ἂν τὸ κείμενον.

in Top.149 πάλιν τιθεμένου τινὸς ἀντακολουθεῖν τὰς ἀρετὰς ἢ μὴ ἀντακολουθεῖν, διελόμενοι τὴν ἀρετὴν παρ' αὐτοῖς καὶ λαβόντες τήν τε φυσικὴν καὶ τὴν κατὰ λόγον, ἐπὶ μὲν τῶν φυσικῶν δεικνύντες, ὅτι μὴ ἀντακολουθοῦσιν, ἀναιρήσομεν τὸ ἀντακολουθεῖν τὰς ἀρετάς· ἐπὶ δὲ τῶν κατὰ λόγον δείξαντες ἀντακολουθούσας ἀναιρήσομεν τὸ μὴ ἀντακολουθεῖν. τῷ γὰρ λανθάνειν, ὅτι πολλαχῶς λέγεται, δοκεῖ τὸ λεγόμενον ἐπὶ τῆς αὐτῆς φύσεως λέγεσθαι, ἐφ' ἧς ἐλέγετο καὶ τὸ κείμενον ἐν τῷ προβλήματι· διὸ καὶ πιστεύεται ἀναιρετικὸν αὐτὸ εἶναι. ἔστι δὲ ἐφ' ὧν καὶ πάντα τὰ σημαινόμενα λαμβάνοντας ἔστιν ἐπὶ πάντων αὐτῶν ἀνασκευάζειν τὸ κείμενον· οἷον εἰ λέγοι τις ὅτι μὴ χρὴ φιλοσοφεῖν, ἐπεὶ φιλοσοφεῖν λέγεται καὶ τὸ ζητεῖν αὐτὸ τοῦτο, εἴτε χρὴ φιλοσοφεῖν εἴτε καὶ μή, ὡς εἶπεν αὐτὸς ἐν τῷ Προτρεπτικῷ, ἀλλὰ καὶ τὸ τὴν φιλόσοφον θεωρίαν μετιέναι, ἑκάτερον αὐτῶν δείξαντες οἰκεῖον τῷ ἀνθρώπῳ πανταχόθεν ἀναιρήσομεν τὸ τιθέμενον. ἐπὶ μὲν οὖν τούτου κατ' ἄμφω ἐνδέχεται δείκνυσθαι τὸ προκείμενον· ἐπὶ δὲ τῶν πρώτων παραδειγμάτων οὐκ ἐκ πάντων ἢ ἑκατέρου ἀλλὰ ἢ ἐκ 〈τινὸς ἢ ἐκ〉 τινῶν. δῆλον δὲ ὅτι ἐφ' ὧν οἷόν τέ ἐστιν ἐπὶ πάντων τῶν σημαινομένων τὸ ἀντικείμενον τῷ τιθεμένῳ δεικνύναι, φανερὰν χρὴ τὴν διαίρεσιν ποιεῖσθαι τοῦ πολλαχῶς λεγομένου. Δεῖν δέ φησι τῷ τόπῳ τούτῳ χρῆσθαι ἐπὶ τῶν λανθανόντων ὅτι τὸ τιθέμενον πολλαχῶς λέγεται καὶ κατὰ μέν τι τῶν σημαινομένων οὕτως ἔχει, ὡς τίθεται, κατὰ δέ τι οὔ. ἂν γὰρ μὴ λανθάνῃ, προχείρως ἐνστήσεται ὁ τῷ προβλήματι παριστάμενος, ὅτι μὴ καθ' ὃ τίθεται τὴν ἔνστασιν τὴν πρὸς αὐτὸ καὶ τὴν ἀνασκευὴν ποιεῖται, ἀλλὰ κατ' ἄλλο, πρὸς τοὔνομα καὶ σοφιστικῶς τὴν ἀπάντησιν ποιούμενος. ὁ γοῦν πρὸς τὸν τιθέμενον τὸ ζῷον ἔμψυχον εἶναι ἐνιστάμενος καὶ δεικνύς, ὅτι τὰ γεγραμμένα ζῷα μὲν λέγεται, οὐκ ἔστι δὲ ἔμψυχα, εὐφώρατος γίνεται διὰ τὸ φανερόν τε εἶναι τὸ τοῦ ὀνόματος διττὸν καὶ προδήλως τὸν τιθέντα μὴ κατὰ τοῦ οὕτω λεγομένου ζῴου τὸ ἔμψυχον κατηγορηκέναι. Ἀντιστρέφειν δέ φησι τὸν τόπον τοῦτον· καὶ γὰρ καὶ πρὸς κατασκευὴν καὶ πρὸς ἀνασκευὴν εἶναι χρήσιμον. οὐ γὰρ μόνον ἀνασκευάζειν ἔστι προσχρώμενον αὐτῷ τὸ τιθέμενον πρόβλημα, ἄν τε καταφατικῶς ἄν τε ἀποφατικῶς τιθῆται, ἀλλὰ καὶ κατασκευάζειν, τοῦτ' ἔστι καθόλου τὸ τιθέμενον, ὅτι τοιοῦτόν ἐστιν ὁποῖον τίθεται, δεικνύναι· τοῦτο γὰρ τὸ κατασκευάζειν νῦν λέγει, τὸ καθόλου δεικνύναι ἀλλὰ μὴ ἀναιρεῖν τὸ τιθέμενον· μάλιστα γὰρ τὸ κατασκευάζειν ἐπὶ τοῦ καταφατικῶς τιθεμένου λέγεται.

in Top.150 εἰπὼν δέ, ὅτι καὶ κατασκευάζειν καὶ ἀνασκευάζειν οἷόν τε, καὶ ὅτι ἀνασκευάσομεν τὸ κείμενον, ἂν τινὶ δείξωμεν μὴ ὑπάρχον, καὶ κατασκευάσομεν, ἂν τινὶ ὑπάρχον δείξωμεν, ἐπεὶ τὸ καθόλου καταφατικὸν οὐ κατασκευάζεται διὰ τοῦ ἐπὶ μέρους (ἀνασκευάζεται μὲν γὰρ καὶ τὸ καθόλου καταφατικὸν 〈καὶ τὸ καθόλου ἀποφατικὸν〉 διὰ τῶν ἐπὶ μέρους τῶν ἀντικειμένων, οὐ κατασκευάζεται δὲ οὔτε τὸ καθόλου καταφατικὸν οὔτε τὸ καθόλου ἀποφατικὸν διά τινος τῶν ἐν μέρει), διαφοράν τινα τοῦ κατασκευάζειν πρὸς τὸ ἀνασκευάζειν ἐκτίθεται. δυνατὸν μὲν γάρ ἐστι καὶ ἐπὶ μέρους καταφατικόν τι δεῖξαι καὶ ἐπὶ μέρους ἀποφατικόν, ὡς προείρηται, τῇ τοῦ πολλαχῶς διαιρέσει χρωμένους· ἀλλ' ἐπεὶ τὸ μὲν ἐπὶ μέρους ἀποφατικὸν αὔταρκες πρὸς ἀνασκευὴν τοῦ καθόλου καταφατικοῦ, ὥσπερ καὶ τὸ ἐπὶ μέρους καταφατικὸν τοῦ καθόλου ἀποφατικοῦ, οὐκέτι δὲ τὸ ἐπὶ μέρους καταφατικὸν αὔταρκες πρὸς κατασκευὴν τοῦ καθόλου καταφατικοῦ, πῶς δι' αὐτοῦ τὸ καθόλου δυνησόμεθα κατασκευάζειν; λέγει δὴ δεῖν ἐξ ὁμολογίας αὐτὸ πειρᾶσθαι δεικνύναι τε καὶ λαμβάνειν. ἔστι δὲ τὸ ἐξ ὁμολογίας ὃ εἶπεν ἐν τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρώτῳ ἐπὶ τέλει “ἐξ ὑποθέσεως”· λέγων γάρ, πρὸς τί χρήσιμος ἡ τοῦ ὁμοίου θεωρία, εἶπε “πρός τε τοὺς ἐπακτικοὺς λόγους καὶ τοὺς ἐξ ὑποθέσεως συλλογισμούς”. εἰσὶ γὰρ καὶ οἱ ἐξ ὁμολογίας ἐξ ὑποθέσεως, ὡς ἐν τοῖς Προτέροις ἀναλυτικοῖς δέδειχεν· οὐ μὴν ἀντιστρέφει. ὅπως δὲ γίνονται, ἐδήλωσε προσθεὶς “διότι ἔνδοξόν ἐστιν, ὥς ποτε ἐφ’ ἑνὸς τῶν ὁμοίων ἔχει, οὕτως καὶ ἐπὶ τῶν λοιπῶν”. ὃ οὖν δὴ ἐκεῖ “ἐξ ὑποθέσεως” κοινότερον εἶπε, τοῦτο νῦν ὠνόμασε προσεχέστερον ἐξ ὁμολογία ς . ἐπεὶ γὰρ μὴ αὔταρκες τὸ ἐφ’ ἑνός τινος δεικνύμενον τῶν ὑπό τι κοινὸν πρὸς τὴν τοῦ κοινοῦ τε καὶ καθόλου κατασκευήν (οὐ γάρ ἐστι τὸ ἐν μέρει τοῦ καθόλου δεικτικόν), δεῖν φησι προδιομολογεῖσθαι καὶ συντίθεσθαι ὅτι, ὡς ἐφ’ ἑνός, οὕτως καὶ ἐπὶ τῶν ἄλλων. ἂν γὰρ προσυνθέμενοι, ὡς ἐπὶ τινὸς ψυχῆς ἔχει, οὕτως καὶ ἐπὶ πάσης ἔχειν, δείξωμεν τινὰ ψυχὴν ἀθάνατον, ἔχοιμεν ἂν διὰ τὴν ὁμολογίαν καὶ τὸ πᾶσαν ἀθάνατον εἶναι.

in Top.151 ὁμοίως, ἂν προλάβωμεν ὅτι, ὡς ἐπὶ μιᾶς αἰσθήσεως, οὕτως καὶ ἐπὶ πασῶν, δείξαντες ἐπὶ μιᾶς, οἷον τῆς ἁφῆς, ὅτι διὰ πάθους τὴν ἀντίληψιν ποιεῖται, ἔχοιμεν ἂν ὅτι καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἀντικειμένων· ἂν γὰρ ὡμολογημένον ᾖ τὸ 〈ὡσ〉 ἐπὶ τινὸς τῶν ἀντικειμένων, οὕτως καὶ ἐπὶ τῶν ἄλλων, δειχθέντος ὅτι τῶν πρός τι ἡ αὐτὴ ἐπιστήμη ἢ ὅτι τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου γίνεται, εἴη ἂν κείμενον τὸ καὶ ἐπὶ τῶν ἄλλων ἀντικειμένων οὕτως ἔχειν. Τοῦτο δέ φησι δεῖν ποιεῖν, τὸ διαιρεῖν καὶ ἐπὶ τίνος οὐχ οὕτως ζητεῖν καὶ οὕτως ἐξ ὁμολογίας δεικνύναι, ὅταν μὴ εὐπορῶμεν διά τινος κοινοῦ καὶ πᾶσιν ἐφαρμόζοντος τοῖς ὑπὸ τὸ καθόλου τὴν δεῖξιν ποιήσασθαι. ἂν γὰρ οἷόν τε ᾖ, ἐκείνως δεικνύναι χρή, ὡς ὁ γεωμέτρης δείκνυσι καθόλου τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχον, καὶ μὴ δι’ ὁμολογίας καὶ συνθήκης αὐτὸ λαμβάνειν. ἂν γὰρ καθόλου τις δύνηται διὰ τοῦ αὐτοκινήτου δεῖξαι τὴν ψυχὴν ἀθάνατον, ἐκείνως δεικτέον. ὡς δὲ τὸ καταφατικὸν ἐξ ὁμολογίας ἔδειξε κατασκευαζόμενον, οὕτως καὶ τὸ ἀποφατικὸν ἐξ ὁμολογίας ἔνεστι κατασκευάσαι. ἂν γὰρ ᾖ προκείμενον δεῖξαι ὅτι μηδεμία ψυχὴ ἀθάνατος, κατασκευάζοντες τοῦτο ληψόμεθα τὸ εἰ ἡτισοῦν ψυχὴ θνητή, ὅτι καὶ πᾶσαι, καὶ δείξαντες τὰς τῶν φυτῶν ἢ τὰς τῶν ἀλόγων θνητὰς εἴημεν ἂν διὰ τὴν ὁμολογίαν ἔχοντες ὅτι καὶ πᾶσα τοιαύτη. Ταῦτα μέν, ἂν λανθάνῃ πολλαχῶς λεγόμενον, χρὴ ποιεῖν. ἐὰν δὲ μὴ λανθάνῃ ἀλλ’ ᾖ γνώριμον ὅτι λέγεται πολλαχῶς, δεῖν φησι διαίρεσιν αὐτοῦ ποιησάμενον ἢ ἐπὶ πάντων τῶν σημαινομένων ὁμοίως ἔχον δεικνύναι τὸ λεγόμενον καὶ οὕτως ἀνασκευάζειν τὸ κείμενον, ὡς ἐπὶ τοῦ εἰ φιλοσοφητέον ἐδείχθη, ἢ πάλιν ὅτι ἐπ’ οὐδενός, εἰ εἴη τὸ κείμενον καταφατικόν, οἷον ἂν μὲν ᾖ κείμενον τὸ δέον εἶναι τὸν σοφὸν πολιτεύεσθαι, γνωρίμου ὄντος ὅτι τὸ δέον ὁμώνυμον, διελομένους αὐτὸ εἰς τὰ σημαινόμενα, τό τε καλὸν [καὶ ἀναγκαῖον] καὶ συμφέρο ν , δεικνύντας ὅτι κατὰ μηδέτερον τῶν σημαινομένων πολιτεύσεται ὁ σοφός, ἂν δ’ ὅτι μὴ δέον ἐστί, πάλιν δεικνύντας ὅτι κατ’ ἄμφω τῷ σοφῷ πολιτευτέον. ἢ εἰ μὴ οἷόν τε εἴη κατ’ ἀμφότερα τὰ σημαινόμενα ἢ κατασκευάζειν ἢ ἀναιρεῖν τὸ κείμενον, τότε χρὴ διαιρεῖν καὶ δεικνύναι κατὰ μέν τι τῶν σημαινομένων οὕτως ἔχον αὐτὸ κατὰ δέ τι ἀντικειμένως, ἀλλ’ οὐχ ἁπλῶς, ὡς ἐτέθη· οἷον τὸ πολιτεύεσθαι τὸν σοφὸν κατὰ μὲν τὸ καλὸν δέον, κατὰ δὲ τὸ συμφέρον οὐ δέον· οὕτως γὰρ ἐσόμεθα δεδειχότες ὅτι οὐδέτερον ἁπλῶς.

in Top.152 εἰπὼν δὲ ὡς ἐπὶ δύο ὄντων τῶν σημαινομένων τὸ μὲν τὸ δ ’ ο ὔ , προσέθηκεν ὁ δ’ αὐτὸς λόγος κἂν πλείω ᾖ εἰς ἃ διαιρεῖται · ἐροῦμεν γὰρ ὁμοίως πάλιν ὅτι ‘τὰ μὲν τὰ δ’ οὔ‘. p. 110b16 Πάλιν ὅσα μὴ κα θ ’ ὁμωνυμίαν λέγεται πολλαχῶς ἀλλὰ κα τ ’ ἄλλον τρόπο ν . Ἐπεὶ τῶν πολλαχῶς λεγομένων τὰ μὲν ἐν ὀνόμασι τὸ διττὸν ἔχει, ἃ καλοῦμεν ὁμώνυμα, τὰ δὲ ἐν λόγῳ, ἃ ἀμφίβολα καλεῖν αὐτοῖς ἔθος, εἰπὼν πῶς δεῖ πρὸς τὰ προβλήματα ἐπιχειρεῖν ἐν οἷς ὁμώνυμόν τι κεῖται, νῦν λέγει περὶ τῶν ἐν λόγῳ τὸ διττὸν ἐχόντων, τοῦτ’ ἔστι τῶν ἀμφιβόλων, καὶ πῶς καὶ ἐπὶ τούτων ἢ ἀνασκευάσομεν ἢ κατασκευάσομεν τὸ πρόβλημα ὑπογράφει. ἐπεὶ γὰρ ὁ λόγος ὁ λέγων τὴν αὐτὴν ἐπιστήμην πλειόνων εἶναι πλείω σημαίνει καὶ ἔστιν ἀμφίβολος (ἢ γὰρ οὕτως πλειόνων ἡ αὐτὴ καὶ μία ἐπιστήμη ὡς τοῦ τέλους καὶ τῶν πρὸς τὸ τέλο ς , οἷον οἰκοδομικὴ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκίας ἐστὶν ἐπιστήμη ὡς τέλους καὶ δι' ὧν οἰκία γίνεται, ἅπερ ἐστὶ πρὸς τὸ τέλος· πλειόνων οὖν ἡ αὐτή. ὁμοίως ἰατρικὴ ὑγείας καὶ τῶν ὑγείας ποιητικῶν, οἷον διαίτης, τομῆς, καύσεως. λέγεται πάλιν μία πλειόνων ἐπιστήμη καὶ ὡς τελῶν, ὡς λέγομεν τῶν ἐναντίων εἶναι τὴν αὐτὴν ἐπιστήμην, ὑγείας μὲν καὶ νόσου τὴν ἰατρικήν, ἡρμοσμένου δὲ καὶ ἀναρμόστου τὴν μουσικήν, εὐεξίας δὲ καὶ καχεξίας τὴν γυμναστικήν· ὁ γὰρ εἰδὼς εὐεξίαν τε καὶ καχεξίαν οὐχ οὕτως οἶδεν ἄμφω ταῦτα ὡς τὸ μὲν ποιητικὸν τὸ δὲ τέλος, ἀλλ' ὡς ἀμφότερα τέλη· ὡς γὰρ ἡ εὐεξία τέλος ἐστὶ τῶν εὐεκτικῶν, οὕτως καὶ ἡ καχεξία τῶν καχεκτικῶν· εἰ οὖν ἡ γυμναστικὴ ἀμφοτέρων τούτων ἐστὶν ἐπιστήμη, εἴη ἂν ἐπιστήμη δύο τελῶν· καὶ γὰρ εἰ μὴ τέλος τῆς ἀλειπτικῆς ἡ γνῶσίς τε καὶ ποίησις τῆς καχεξίας, ἀλλ' αὐτή γε ἡ καχεξία τέλος ἐστίν· ὥστε καὶ ὁ ἐπιστήμην ἔχων ταύτης ὡς τέλους ἂν ἐπιστήμην ἔχοι· οὐδὲν γὰρ μᾶλλον ἡ εὐεξία τέλος ἐστὶ τῶν εὐεκτικῶν ἢ ἡ καχεξία τῶν καχεξίας ποιητικῶν. πάλιν κατ' ἄλλο σημαινόμενον λέγεται μία πλειόνων ἐπιστήμη, ὅταν τοῦ μὲν κα θ ' αὑτὸ ᾖ τοῦ δὲ κατὰ συμβεβηκός · λέγεται γὰρ ἡ ἐπιστήμη οὐ μόνον τούτων εἶναι ὧν ἐστι προηγουμένως, ἀλλὰ καὶ τῶν τούτοις συμβεβηκότων· ἡ γὰρ ἰατρική ἐστι μὲν προηγουμένως ὑγείας γνωστική, κατὰ συμβεβηκὸς μέντοι καὶ εὐχροίας καὶ εὐπνοίας, ἃ συμβέβηκε τῇ ὑγείᾳ καὶ τῷ ὑγιαίνοντι, ἀλλὰ καὶ ὄντος· καὶ γὰρ τοῦτο τῇ ὑγείᾳ συμβέβηκε.

in Top.153 πάλιν τοῦ μὲν δεῖν τὸν ἐπισχημένον χαλᾶν ἢ τὸν νοσοῦντα κούφως τρέφειν καθ' αὑτό ἐστιν ἡ ἰατρικὴ γνωστική, τοῦ δὲ δεῖν τάδε τινὰ προσφέρειν ὡς χαλαστικά, οἷον μελίκρατον, ἢ τοῖσδε τρέφειν ὡς κούφοις, οἷον ἰχθύσι, κατὰ συμβεβηκός· συμβέβηκε γὰρ τῷ μὲν εἶναι χαλαστικῷ τοῖς δὲ κούφοις τε καὶ εὐδιοικήτοις. καὶ ὁ γεωμέτρης κα θ ' αὑτὸ μὲν οἶδεν ὅτι τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς γωνίας, κατὰ συμβεβηκὸς δὲ ὅτι τὸ ἰσόπλευρον · οὐ γὰρ ᾗ ἰσόπλευρον, ταύτῃ δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς γωνίας, ἀλλ' ᾗ τρίγωνον, ὃ ὑπάρχει τῷ ἰσοπλεύρῳ· εἰδὼς οὖν καθ' αὑτὸ καθ' ὃ τρίγωνον, κατὰ συμβεβηκὸς οἶδεν ὅτι τὸ ἰσόπλευρον· συμβέβηκε γὰρ τῷ τριγώνῳ ἰσοπλεύρῳ εἶναι), ἐπεὶ τοίνυν ὁ λόγος οὗτος πλείω σημαίνει καὶ ἔστιν ἀμφίβολος, ὡς ἐδείχθη, χρὴ ὡς ἐπὶ τῶν ὁμωνύμων οὕτως καὶ ἐπὶ τοῦ τοιούτου καὶ ὅλως τῶν ἀμφιβόλων ποιεῖν. εἰ γὰρ κατὰ μηδὲν τῶν σημαινομένων δείξαιμεν μίαν ἐπιστήμην τῶνδέ τινων πλειόνων ὄντων οὖσαν, εἴημεν ἂν καθόλου ἀνῃρηκότες τὸ εἶναι τὴν αὐτὴν ἐπιστήμην πλειόνων [ὄντων]. ἢ δείξαντες κατὰ τὶ τῶν σημαινομένων μὴ οὖσαν μίαν τῶνδέ τινων πλειόνων ὄντων, εἴημεν ἂν καὶ οὕτως ἀνῃρηκότες τὸ πᾶσαν. πάλιν δέ, ἂν ᾖ κείμενον τὸ τήνδε τὴν ἐπιστήμην μὴ εἶναι τῶνδε πλειόνων ὄντων, δείξαντες κατὰ τὶ τῶν σημαινομένων οὖσαν αὐτὴν πλειόνων ὄντων τῶνδε ἐπιστήμην εἴημεν ἂν πάλιν ἀνῃρηκότες τὸ κείμενον. οἷον ἂν λέγῃ τις τὴν ἰατρικὴν ἐπιστήμην εἶναι ὑγείας καὶ εὐεξίας, ἂν δείξωμεν ὅτι μήτε τοῦ μὲν ὡς ποιητικοῦ τοῦ δὲ ὡς τέλους τούτων ἐστὶ μήτε ὡς δύο τελῶν (οὐ γάρ ἐστιν ἡ εὐεξία ἐναντία τῇ ὑγείᾳ οὐδὲ τέλος τῶν ἀντικειμένων τοῖς ὑγιεινοῖς, ἅπερ ἐστὶ τὰ νοσώδη· οὕτως δὲ ἡ αὐτὴ πλειόνων ὡς τελῶν), ἀλλὰ μηδὲ ὡς τοῦ μὲν κα θ ' αὑτὸ τοῦ δὲ κατὰ συμβεβηκός (οὐ γὰρ συμβέβηκε τῇ ὑγείᾳ ἡ εὐεξία), ἀνῃρηκότες ἂν εἴημεν τὸ κείμενον. ὁμοίως πάλιν, ἂν λέγῃ τις τὴν οἰκοδομικὴν οἰκίας τε καὶ ὑγείας ἐπιστήμην εἶναι. ὡς δὲ ἐπὶ τούτου τοῦ παραδείγματος οὕτως δεῖ ποιεῖν ἐπὶ πάντων τῶν ἀμφιβόλων τῶν ἐχόντων τινὰ ζήτησιν. Δεῖν δέ φησι τὴν διαίρεσιν ποιούμενον τῶν τοιούτων καὶ οὕτως λεγομένων μὴ εἰς πάντα τὰ σημαινόμενα διαιρεῖν ἀλλ' εἰς τὰ χρήσιμα πρὸς τὸ προκείμενον. εἰ μὲν γὰρ εἴη προκείμενον ἡμῖν κατασκευάσαι τὸ πρόβλημα, εἰς ταῦτα, ἐφ' ὧν οἷοί τε ἐσόμεθα δεῖξαι τὸ προκείμενον καὶ κατασκευάσαι, διαιρετέον· εἰ δὲ ἀνασκευάσαι, πάλιν ταῦτα ληπτέον ἐφ' ὧν 〈ἂν〉 δυναίμεθα δεῖξαι ὅτι μὴ ὑπάρχει τὸ τιθέμενον ὑπάρχειν.

in Top.154 εἰ μὲν γὰρ εἴη κείμενον τὸ τὴν ἰατρικὴν εἶναι ὑγείας καὶ εὐχροίας, διαιροῦντα τὸ πλειόνων εἶναι τὴν αὐτὴν ἐπιστήμην ἢ ὡς τελῶν ἢ ὡς τοῦ μὲν τέλους τοῦ δὲ πρὸς τὸ τέλος (κατ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐδέτερον γὰρ τούτων τῶν τρόπων ἡ ἰατρικὴ ὑγείας τε καὶ εὐχροίας ἐστί) δεῖ ἀνασκευάζειν τὸ πρόβλημα· εἰ δέ τις πάλιν λέγοι μὴ εἶναι τὴν ἰατρικὴν ὑγείας καὶ εὐχροίας, αὐτὸν δεικνύντα ὅτι μία ἐπιστήμη πλειόνων λέγεται, ὅταν τοῦ μὲν καθ' αὑτὸ τοῦ δὲ κατὰ συμβεβηκός, οὕτως δὲ καὶ ἡ ἰατρικὴ τῶν προκειμένων ἐστί. δύναταί τις καὶ ὡς καθόλου λεγομένου τοῦ διαιρεῖσθαι δὲ ὁσαχῶς χρήσιμον ἐπὶ πάντων τῶν πολλαχῶς λεγομένων ἀκούειν, ὥς τισιν ἔδοξεν, οὐκ ἐπὶ μόνου τοῦ ἐπιστήμην εἶναι μίαν πλειόνων. διττοῦ γὰρ ὄντος τοῦ 'ἐπίσταμαι πάντα τὸν τὰς πλείους εἰληφότα ψήφους ὅτι νενίκηκεν' (ἢ γὰρ καθ' ὃ ὥρισται τοῦτο καθόλου, ἢ ὅτι τοὺς καθ' ἕκαστον πάντας, ὅπερ οὐχ οἷόν τε), χρὴ ἐπὶ τοῦτο ἄγοντας δεικνύναι ὅτι 'καὶ μὴν τόνδ' οὐκ οἶδας ὅτι νενίκηκεν· οὐκ ἄρα πάντας τοὺς νενικηκότας καὶ τὰς πλείους εἰληφότας ψήφους ἐπίστασαι'. ὅμοιον τοῦτο, οὗ καὶ αὐτοῦ Θεόφραστος ἐν τῷ Περὶ τῶν ποσαχῶς μέμνηται, τὸ ἐπίστασθαι πᾶν τρίγωνον ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς τρεῖς γωνίας· ἢ γὰρ ὡς καθόλου ἢ ὡς καθ' ἕκαστα πάντα. ἀνασκευάζειν οὖν θέλοντας τὸ ὅτι ὁ γεωμέτρης ἐπίσταται πᾶν τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχον τὰς τρεῖς γωνίας, χρὴ ἐπὶ τὰ καθ' ἕκαστα μετάγειν τὸν λόγον (καὶ γὰρ τοῦτο σημαίνεται) καὶ λαβόντας ὅτι ὃ μὴ οἶδέ τις ὅτι ἐστὶ τρίγωνον, οὐδ' εἰ δυσὶν ὀρθαῖς ἴσας ἔχει οἶδε, τόδε τι προχειρισαμένους λέγειν ὅτι 'τοῦτο δὲ οὐκ οἶδεν· οὐδ' ἄρα, εἰ δυσὶν ὀρθαῖς ἴσας ἔχει, οἶδεν· οὐ πᾶν ἄρα οἶδε'. δεῖν δέ φησι καὶ ἐπὶ τούτων ὥσπερ καὶ ἐπὶ τῶν ὁμωνύμων οὕτω ποιεῖσθαι τὴν διαίρεσιν, ἂν λανθάνῃ ποσαχῶς λέγετα ι . ἂν γὰρ ᾖ γνώριμον τὸ ποσαχῶς λέγετα ι , κατάφωροι παράγοντές τινα καὶ πρὸς τὸ χρήσιμον αὑτοῖς ποιούμενοι τὴν διαίρεσιν ἐσόμεθα. ὅταν οὖν ᾖ γνώριμα τὰ σημαινόμενα, πάντα ἐκθέμενοι ἐφ' ὧν μὲν δείξομεν οὕτως ἔχον, ἐφ' ὧν δὲ μὴ δυνάμενον οὕτως ἔχειν, ὡς εἶπεν ἐπὶ τῶν ὁμωνύμων, ἂν μὴ ἐπὶ πάντων ὁμοίως οἷόν τε ᾖ· οὕτως γὰρ οὐ δόξομεν εὐπορεῖν λόγων πρὸς τὸ πρόβλημα. p.

in Top.155 110b33 Καὶ εἶναι δὲ τόδε τοῦδε ἢ μὴ εἶναι ἐκ τῶν αὐτῶν τόπων κατασκευαστέο ν . Χρησάμενος τοῦ ἀμφιβόλου παραδείγματι τῷ τὴν αὐτὴν ἐπιστήμην πλειόνων εἶναι καὶ δείξας κατὰ πόσα σημαινόμενα τὴν αὐτὴν οἷόν τε λέγεσθαι πλειόνων ἐπιστήμην (καὶ γὰρ ὅτι "τοῦ τέλους καὶ τῶν πρὸς τὸ τέλος" καὶ ὅτι τῶν ἀντικειμένων ὡς τελῶν καὶ ὅτι "ὡς τοῦ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός"), καθόλου φησὶν ἐκ τούτων τῶν τόπων κατασκευαστέον ἢ ἀνασκευαστέον καὶ τὸ εἶναι τόδε τοῦδ ε . οἷον ἂν τὴν ἰατρικὴν ποιητικὴν ὑγείας ἢ ὅλως τινὸς ἐπιστήμην κατασκευάσαι θέλωμεν, δείξομεν κατά τι τούτων τὴν ἰατρικὴν ποιητικὴν τῆς ὑγείας ἢ ὅ τι ἂν ᾖ τὸ δεικνύμενον ἐπιστήμην οὖσαν· ἢ γὰρ ὡς τέλου ς , ὡς τῆς ὑγείας (εἴη δ' ἂν καὶ τῆς νόσου οὕτως ὡς ἐναντίου τῷ τέλει), ἢ ὡς πρὸς τὸ τέλο ς , ὥς τινος τῶν ὑγείας ποιητικῶν, ἢ ὡς κατὰ συμβεβηκό ς , ὡς τῆς εὐχροίας, ὡς ἐάν γε μήτε ὡς πρὸς τὸ τέλος συντελοῦντος τοῦ προκειμένου 〈ᾖ〉 ἡ ἰατρικὴ ἐπιστήμη μήτε ὡς τέλους μήτε ὡς κατὰ συμβεβηκός, οὐδ' ἂν τὴν ἀρχὴν εἴη ἡ ἰατρικὴ τοῦ προκειμένου. ὅτι γοῦν οὐκ ἔστιν ἡ ἰατρικὴ ἐπιστήμη μελῶν τε καὶ ῥυθμῶν, δείκνυμεν διὰ τοῦ μήτε πρὸς τὸ τέλος τὸ τῆς ἰατρικῆς συντελεῖν τι ταῦτα μήτε τέλη αὐτῆς εἶναι μήτε συμβεβηκέναι αὐτὰ ἐκείνων τινί, ἢ τῷ τέλει ἢ τῶν πρὸς τὸ τέλος τινί. ὁμοίως, ἂν λέγῃ τις τὴν ῥητορικὴν ἐπιστήμην δικαίων, δείξαντες ὅτι μήτε ὡς τέλους ἐστίν (οὐ γὰρ τέλος ῥητορικῆς τοῦτο), μήτε ὡς ποιητικοῦ τέλους (οὐ γὰρ τὰ δίκαια ποιητικὰ τοῦ τῆς ῥητορικῆς τέλους), ἀνεσκευακότες ἂν εἴημεν τὸ πρόβλημα· οὐδὲ γὰρ κατὰ συμβεβηκός ἐστιν αὐτῆς· οὐ γὰρ συμβέβηκε τῷ τέλει τῆς ῥητορικῆς τὸ δίκαιον. πάλιν εἰ ἡ ἐπιθυμία εἶναι λέγοιτό τινος, ἢ ὡς τέλους εἴη ἂν αὐτοῦ ἢ ὡς τῶν πρὸς τὸ τέλος ἢ κατὰ συμβεβηκός· οὗ γὰρ ἂν ᾖ ἡ ἐπιθυμία, ἢ ὡς τέλους εἴη 〈ἄν,〉 οἷον ὑγεία ς , ἢ ὡς τῶν πρὸς τὸ τέλο ς , οἷον τοῦ τμηθῆναι ἢ καθαρθῆναι, δι' ὧν ἡ ὑγεία γίνεται, ἢ κατὰ συμβεβηκός, ὡς ὁ φιλόγλυκυς οἴνου ἐπιθυμεῖ· οὐ γὰρ ᾗ οἶνος, ἀλλὰ διότι γλυκύς, διὰ τοῦτ' αὐτοῦ ὡς φιλόγλυκυς ἐπιθυμεῖ· συμβέβηκε γὰρ τῷ ἐπιθυμουμένῳ ὑπ' αὐτοῦ (τοῦτο δὲ ἦν τὸ γλυκύ) οἴνῳ εἶναι. ὅτι γὰρ μὴ καθ' ὃ οἶνος ἐπιθυμεῖ αὐτοῦ, δῆλον ἐκ τοῦ τοῦ αὐστηροῦ οἴνου μὴ ἐπιθυμεῖν τὸν φιλόγλυκυν οὐδὲν ἔλαττον οἴνου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ αὐτοῦ ὄντος· ἀλλὰ καὶ διὰ τοῦ γλυκέος τινὸς καὶ μὴ οἴνου ὄντος ἐπιθυμεῖν αὐτὸν δεικνύοιτ’ ἂν τὸ αὐτό.

in Top.156 τὸ δὲ καὶ ὅσα ἄλλα λέγεται πλειόνων πρόσκειται, ἵνα μὴ ἐπιστήμης μόνον καὶ ἐπιθυμίας ὁ λόγος ᾖ 〈ἢ〉 τούτων μόνον ἃ πλειόνων ὄντα ἐστὶ τῶν προειρημένων, ἢ ὡς τέλους ἢ ὡς πρὸς τὸ τέλος ἢ κατὰ συμβεβηκός, ἀλλὰ καὶ εἴ τινα ἄλλα πλειόνων ἐστὶν ἄλλων τινῶν καὶ μὴ τούτων, ὥσπερ ἡ αἴσθησις· οὖσα γὰρ πλειόνων ἄλλων ἐστί· πλειόνων γὰρ ἡ αἴσθησις, ὅτι ἢ τοῦ ἰδίου ἢ τοῦ κοινοῦ ἢ τοῦ κατὰ συμβεβηκός. καὶ αὐτὸς οὕτως δείκνυσι, φέρε εἰπεῖν ὅτι μή ἐστιν ἀκοὴ χρωμάτων ἀντιληπτική· οὔτε γὰρ ὡς ἰδίου αἰσθητοῦ (ἴδιον γὰρ αὐτῆς οἱ ψόφοι) οὔτε ὡς κοινοῦ (οὐ γάρ ἐστι κοινὸν αἰσθητὸν τὸ χρῶμα· τὸ γάρ τινος αἰσθήσεως ἴδιον οὐ κοινόν), ἀλλ’ οὐδὲ κατὰ συμβεβηκός· οὐ γὰρ συμβέβηκε τοῖς ψόφοις τὸ χρῶμα. ἀλλὰ καὶ τὸ κενὸν δεικνύοις ἂν μὴ ὂν αἴτιον κινήσεως τῷ τετραχῶς λεγομένου τοῦ αἰτίου κατὰ μηδένα τῶν τρόπων τὸ κενὸν αἴτιον εἶναι τῇ κινήσει. τοῦτον δὲ τὸν τόπον ἐν τοῖς πρός τι χρήσιμόν φησιν εἶναι· τὸ γάρ τί τινος λέγειν εἶναι καὶ ἄλλο ἄλλου ἐν τοῖς πρός τ ι . οὕτως, κἂν λέγῃ τις ἐπιθυμεῖν τινα νόσου, ἀνασκευάσομεν δείξαντες ὅτι μήτε ὡς τέλους μήτε ὡς πρὸς τὸ τέλος μήτε κατά τι συμβεβηκὸς οἷόν τέ τινα ἐπιθυμεῖν νόσου. p. 111a8 Ἔτι τὸ μεταλαμβάνειν εἰς τὸ γνωριμώτερον ὄνομ α . Ὁ τόπος ἐκ μεταλήψεως· ἐπεὶ γὰρ πᾶν εὐεπιχειρητότερον γίνεται σαφέστερον γενόμενον, φησὶ δεῖν μεταλαμβάνειν τὸ ἀσαφέστερον εἰς τὸ σαφέστερον καὶ οὕτως ἐπιχειρεῖν πειρᾶσθαι· εὐπορωτέρα γὰρ ἡ πρὸς τὸ σαφὲς ἐπιχείρησις. χρήσιμος δὲ ἡ εἰς τὸ σαφὲς μετάληψις ὁμοίως καὶ πρὸς ἀνασκευὴν καὶ πρὸς κατασκευήν· καὶ γὰρ ἀνασκευάσαι τι βουλόμενοι μεταλαβόντες εἰς τὸ σαφέστερον ῥᾷον δείξομεν καὶ κατασκευάσαι. ἀνασκευάσαι μὲν γὰρ βουλόμενοι καὶ δεῖξαι, ὅτι ὁ σπουδαῖος οὐκ ἔστι πολυπράγμων, τὴν πολυπραγμοσύνην μεταλαβόντες εἰς φιλοπραγμοσύνην ῥᾷον ἀνασκευάσομεν τὸ προκείμενον. ὁ μὲν γὰρ πολυπράγμων οὐδέπω φανερὰν ἁμαρτίαν σημαίνειν δοκεῖ, εἴ γε πολυπράγμων μέν ἐστιν ὁ ἐν πολλοῖς κυλιόμενος πράγμασιν, δύναται δὲ τοῦτο καὶ ἀπὸ τύχης τινὶ περιγενέσθαι· ὁ δὲ φιλοπράγμων διάθεσιν ἤδη καὶ οἰκειότητα τὴν πρὸς τὰ πράγματα δηλοῖ καὶ σπουδὴν καὶ αἵρεσιν, ὃ ἀλλότριον τοῦ σπουδαίου.

in Top.157 πάλιν δὲ εἰ κατασκευάσαι βουλοίμεθα ὅτι πᾶσα ὑπόληψις τοῦ σπουδαίου ἀκριβής, ἐπεὶ τὸ ἀκριβὲς οὐδέπω γνώριμον (δοκεῖ γὰρ καὶ τὸ ἀναγκαῖον σημαίνειν· ἀκριβὴς γὰρ δοκεῖ εἶναι ἡ δι’ ἀναγκαίων γενομένη, ὃ οὐ πᾶσα σπουδαίου ὑπόληψις ἔχει· γίνονται γὰρ ὑπολήψεις τῷ σπουδαίῳ καὶ περὶ τῶν ἐνδεχομένων), μεταλαμβάνοντες τὸ ἀκριβὲς εἰς τὸ σαφὲς ἢ εἰς τὸ ἀληθὲς εὐκολώτερον τὸ προκείμενον δείξομεν· πᾶσα γὰρ ἡ τοῦ σπουδαίου ὑπόληψις σαφής τε καὶ διηρθρωμένη καὶ ἀληθής. ὁμοίως καὶ πρὸς τὸν οἰκείαν τινὰ ὑπόληψιν περί τινος ἐκτιθέμενον, οἷον περὶ ἡδονῆς ὁποία αὐτῷ εἶναι δοκεῖ, ὁ μὲν λέγων ἀκριβῆ αὐτοῦ τὴν ὑπόληψιν εἶναι οὐδέπω γνωρίμως λέγει· εἰ δὲ τὸ ἀκριβὲς εἰς τὸ σαφὲς μεταλάβοι, γνώριμον ἂν ὃ λέγει ποιήσειεν. ἔστι δὲ καὶ τὸν μὲν σπουδαῖον φιλοπράγμονα δεῖξαι, μεταλαβόντας τὴν φιλοπραγμοσύνην εἰς πολυπραγμοσύνην (τὸ γὰρ καὶ περὶ τῶν οὐρανίων τε καὶ φύσει συνεστώτων ἐξετάζειν τε καὶ ζητεῖν πολυπραγμονεῖν ἐστι· τοιοῦτος δὲ ὁ σπουδαῖος), τὴν δὲ τοῦ σπουδαίου ὑπόληψιν οὐ σαφῆ, μεταλαμβάνοντας τὸ σαφὲς εἰς τὸ ἀκριβές· εἰ γὰρ τὸ μὲν ἀκριβὲς ἀναγκαῖον, οὐ πᾶσα δὲ ὑπόληψις τοῦ σπουδαίου *** ἀκριβὴς εἴη, ὥστε οὐδὲ σαφής. τούτῳ τῷ τόπῳ χρωμένους ἔνεστι δεικνύναι ποτὲ μὲν ὅτι 〈ὁ〉 σπουδαῖος οὐ σώφρων, μεταλαβόντας τὸν σώφρονα εἰς τὸν ἐγκρατῆ· εἰ γὰρ τοῦ μὲν ἐγκρατοῦς οὐ συμφωνεῖ τὰ μέρη τῆς ψυχῆς πρὸς ἄλληλα, τοῦ δὲ σπουδαίου συμφωνεῖ, οὐκ ἂν εἴη ὁ σπουδαῖος ἐγκρατής· ὥστε οὐδὲ σώφρων, εἰ ταὐτὸν ἡ σωφροσύνη τῇ ἐγκρατείᾳ. πάλιν δ’ αὖ δεικνύναι τις δυνήσεται τὸν σπουδαῖον ἐγκρατῆ μεταλαβὼν τὴν ἐγκράτειαν εἰς τὴν σωφροσύνην, εἴ γε ὁ μὲν σπουδαῖος ἐν ὁμολογίᾳ τῶν τῆς ψυχῆς δυνάμεων πρὸς ἀλλήλας εἴη, ἡ δὲ τῶν τῆς ψυχῆς δυνάμεων ὁμολογία πρὸς

ἀλλήλας σωφροσύνη. οὕτως καὶ ὁ Δημοσθένης κατασκευάσαι βουληθείς, ὅτι μὴ δεῖ χάριν ἔχειν Φιλίππῳ ὑπὲρ ὧν ἔδωκε, μετέλαβε τὸ ‘ἔδωκεν‘ εἰς τὸ ‘ἀπέδωκεν‘. ἀλλὰ καὶ ὁ Θουκυδίδης, βουληθεὶς παροξῦναι τοὺς Ἀθηναίους πρὸς τοὺς Μιτυληναίους, τὴν ἀπόστασιν αὐτῶν εἰς τὴν ἐπανάστασιν μετέλαβε. καὶ ἡ συνήθεια δὲ πλήρης τῆς τοιαύτης χρήσεως μεταλαμβανόντων ἀεὶ τὰ ὀνόματα εἰς τὰ ἐμφαντικώτερα, τὸ τέμνειν εἰς τὸ κατατέμνειν καὶ τὸ ἐσθίειν εἰς τὸ κατεσθίειν καὶ τὸ μειδιᾶν εἰς τὸ γελᾶν· μεταλαμβάνουσι δὲ καὶ τὸν μὲν πανοῦργον εἰς τὸν φρόνιμον τὸν δὲ τολμηρὸν εἰς τὸν ἀνδρεῖον, καὶ τὸν μὲν πρᾶον εἰς τὸν ἀργὸν καὶ ἀκίνητον τὸν δὲ ἐλευθέριον εἰς τὸν ἄσωτον, καὶ τὸν οἰκονομικὸν εἰς τὸν ἀνελεύθερον.

in Top.158 οὕτως καὶ ὁ Καλλικλῆς ἐν τῷ Γοργίᾳ παρὰ τῷ Πλάτωνι τοὺς σώφρονας εἰς τοὺς ἠλιθίους μεταλαμβάνει. p. 111a14 Πρὸς δὲ τὸ δεῖξαι τὰ ἐναντία τῷ αὐτῷ ὑπάρχοντ α . Τόπον τινὰ ἡμῖν παραδίδωσιν, ᾧ χρῆσθαι δυνησόμεθα πρὸς τὰ προβλήματα, ἐν οἷς πρόκειται δεῖξαι τὰ ἐναντία τῷ αὐτῷ ὑπάρχοντ α , οἷον ὅτι περὶ αἴσθησίν ἐστιν ὀρθότης καὶ ἁμαρτία ἢ περὶ ὑπόληψιν τἀληθές τε καὶ τὸ ψεῦδος. ὁ δὲ τόπος οὗτός φησι δεῖν ἐπισκοπεῖν εἰ τῷ γένει τοῦ προκειμένου, ὅ τι ἂν ᾖ γένος αὐτοῦ, τἀναντία ὑπάρχει, κἂν ᾖ τοῦτο οὕτως ἔχον, δεικνύναι χρωμένους αὐτῷ ὅτι καὶ περὶ τὸ προκείμενόν ἐστι τἀναντία. οἷον ἐπεὶ τὸ αἰσθάνεσθαι κρίνειν τί ἐστι (γένος γὰρ τῆς αἰσθήσεως ἡ κρίσις· κρίνομεν γὰρ οὐκ αἰσθήσει μόνον ἀλλὰ καὶ νῷ), κρίνειν δὲ ἔστι καὶ ὀρθῶς καὶ ἡμαρτημένως, εἴη ἂν καὶ τῷ αἰσθάνεσθαι ἄμφω ὑπάρχοντα. πάλιν εἰ ὑπόληψις ἔστι ψευδὴς καὶ ἀληθής, εἴη ἂν καὶ δόξα· εἶδος γὰρ ὑπολήψεως ἡ δόξα. οὕτως μὲν οὖν ἀπὸ τοῦ γένους ἔστιν ὁρμωμένους περὶ τοῦ εἴδους δεῖξαι ὅτι αὐτῷ τἀναντία ὑπάρχει. ἔστι δὲ καὶ ἀνάπαλιν ἀπὸ τοῦ εἴδους περὶ τοῦ γένους δεικνύναι. ζητουμένου γὰρ εἰ διάθεσις ἔστι φαύλη καὶ σπουδαί α , εὑρόντες ἐπὶ εἴδους τινὸς τῆς διαθέσεως ἄμφω ταῦτα διὰ τούτου ἂν δεικνύοιμεν ὅτι καὶ τῇ διαθέσει ἄμφω ὑπάρχει. οἷον ἐπεὶ ἡ τέχνη εἶδός ἐστι τῆς διαθέσεως (διαθέσεις γὰρ οὐ μόνον αἱ ἐπιστῆμαί τε καὶ τέχναι ἀλλὰ καὶ αἱ ἀρεταί), ὑπάρχει δὲ τῇ τέχνῃ τὸ φαῦλόν τε καὶ τὸ σπουδαῖον (τῶν γὰρ τεχνῶν αἱ μέν εἰσι φαῦλαι αἱ δὲ σπουδαῖαι· αὐτὸς γὰρ τῷ τῆς ἐπιστήμης ὀνόματι κοινότερον ἀντὶ τῆς τέχνης χρῆται), ὑπάρχοι ἂν καὶ τῇ διαθέσει γένει οὔσῃ τῆς τέχνης τὸ φαῦλόν τε καὶ τὸ σπουδαῖον. ὁμοίως πάλιν, εἰ τῇ δόξῃ τὸ ψεῦδός τε καὶ τὸ ἀληθές, ὑπάρχοι ἂν καὶ τῇ ὑπολήψει. Εἰπὼν δὲ γίνεσθαι τὴν κατασκευὴν τοῦ τὰ ἀντικείμενά τινι ὑπάρχειν καὶ ἀπὸ τοῦ γένους τῷ εἴδει καὶ ἀπὸ τοῦ εἴδους τῷ γένει, φησὶ τὸν μὲν ἀπὸ τοῦ γένους ἐπὶ τὸ εἶδος μεταβαίνοντα καί, διότι τῷ γένει τὰ ἀντικείμενα ὑπάρχει, ἀξιοῦντα καὶ τῷ εἴδει αὐτοῦ ὑπάρχειν ψευδῆ εἶναι, τὸν δὲ ἀπὸ τοῦ εἴδους ἐπὶ τὸ γένος μεταβαίνοντα ἀληθῆ.

in Top.159 καὶ τούτου τὴν αἰτίαν ἀποδίδωσιν. ὅτι γὰρ μὴ ἀναγκαῖον, ὅσα τῷ γένει ὑπάρχε ι , καὶ τῷ εἴδει ὑπάρχει ν , διὰ τοῦτο οὐκ ἀληθὴς ὁ πρῶτος. ὅσα μὲν γὰρ ἐν τῇ οὐσίᾳ τοῦ γένους ἐστὶ συμπληροῦντα αὐτοῦ τὸ εἶναι, ταῦτα ἀνάγκη καὶ τῷ εἴδει ὑπάρχειν, ἐπειδὴ τὰ γένη συνωνύμως τῶν εἰδῶν κατηγορεῖται. ὅσα δὲ συμβέβηκε τῷ γένει, οὐ πάντως ταῦτα καὶ ἑκάστῳ τῶν εἰδῶν αὐτοῦ ἀνάγκη συμβεβηκέναι· συμβεβηκέναι γὰρ τῷ γένει λέγεται καὶ ὅσα ἑνί τινι εἴδει τῶν ἐν τῷ γένει συμβέβηκεν ἢ καὶ ἐν τῇ οὐσίᾳ ἐστὶν αὐτοῦ· οἷον τῷ ζῴῳ συμβέβηκε τὸ λευκόν, ἐπεὶ ὁ κύκνος ζῷον ὢν λευκός ἐστι, ἀλλ’ οὐ διὰ τοῦτο καὶ πᾶσι τοῖς ὑπὸ τὸ ζῷον. τὰ δὴ οὕτως συμβεβηκέναι λεγόμενα τῷ γένει οὐκ ἀνάγκη καὶ τῷ εἴδει συμβεβηκέναι. ἀλλ’ οὐδὲ ὅσα ὑπάρχει τῷ γένει τῷ ἐν τῇ οὐσίᾳ εἶναί τινος εἴδους, τῶν ὑπ’ αὐτό τινι. ὡς συμβεβηκότα δὲ ὑπάρχει τῷ γένει καὶ τὰ ἀντικείμενα· οὐ γὰρ οἷόν τε ἐν τῇ οὐσίᾳ τινὸς γένους εἶναι τὰ ἀντικείμενα (οὕτως γὰρ ἂν ἅμα τε εἴη τὰ ἀντικείμενα καὶ ἀχώριστα ἀλλήλων), ἀλλ’ ὅτι τῶν ὑπὸ τὸ γένος τὰ μὲν τοῖά ἐστι τὰ δὲ τοῖα, οἷον τὰ μὲν σπουδαῖα τὸ δὲ φαῦλα, ἢ τὰ μὲν λευκὰ τὰ δὲ μέλανα, τούτῳ λέγεται τὰ ἀντικείμενα εἶναι ἐν τῷ γένει. ἀλλὰ καὶ τὸ διαιρεῖσθαι ταῖς ἀντικειμέναις διαφοραῖς οὕτως ὑπάρχει τῷ γένει· οὕτως γὰρ ἐν τῷ ζῴῳ τὸ τετράπουν τε καὶ μή. διὸ οὐχ ἱκανὸν πρὸς δεῖξιν τοῦ τὰ ἀντικείμενα τῷ εἴδει ὑπάρχειν τὸ δεῖξαι τῷ γένει αὐτοῦ

τὰ ἀντικείμενα ὑπάρχειν. ὁ μέντοι δείξας τῷ εἴδει τινὸς γένους ὑπάρχοντα τὰ ἀντικείμενα πάντως ἔχει δεδειγμένον τὸ καὶ τῷ γένει αὐτοῦ ὑπάρχειν αὐτά. ἐπεὶ γὰρ τὸ εἶδος ὑπὸ τὸ γένος ἐστίν, ἀνάγκη καὶ πάντα τὰ τῷ εἴδει ὑπάρχοντα καὶ ἐν τῷ γένει εἶναι καὶ ὑπ' αὐτό· καθόλου γὰρ ἀληθὲς τὸ ὅσα ἐν τῷ εἴδει ἐστί, καὶ ἐν τῷ γένει εἶναι. εἰ μὲν γὰρ ἦν ταὐτὸν τὸ ἔν τινι εἶναι τῷ παντὶ ὑπάρχειν, οὐκ ἂν ἦν ἀληθὲς τὸ ὅσα ἐν τῷ εἴδει, καὶ ἐν τῷ γένει· τὸ γὰρ λογικὸν καὶ δίπουν ἐν ἀνθρώπῳ μέν ἐστιν, οὐκέτι δὲ καὶ ἐν ζῴῳ ἂν ἦν, ἐπεὶ μὴ παντὶ ζῴῳ ὑπάρχει· ἀλλ' οὐδὲ τὸ λευκὸν ἂν ἦν ἐν ἀνθρώπῳ, ὅτι μὴ ἐν παντί· τοὐναντίον γὰρ ἂν ἀληθὲς ἦν τὸ ὅσα ἐν τῷ γένει, καὶ ἐν τῷ εἴδει. ἐπεὶ δὲ μὴ ταὐτόν ἐστι (τὸ γὰρ εἶδος ἐν τῷ γένει ἐν ᾧ ἐστι, καὶ ὁ ἄνθρωπος ἐν τῷ ζῴῳ μέν, οὐ μὴν πᾶν ζῷον ἄνθρωπός ἐστιν, οὐδὲ πᾶν γένος εἶδος), ἀνάγκη ὁμολογεῖν ὅτι, ὅσα ἐν τῷ εἴδει ἐστίν, καὶ ἐν τῷ γένει ταῦτά ἐστι, περιεχόμενα ὑπ' αὐτοῦ.

in Top.160 δείξας δὲ πρὸς τὰς κατασκευὰς τὸν μὲν ἀπὸ τῶν γενῶν περὶ τῶν εἰδῶν κατασκευάζοντα τόπον ψευδῆ τὸν δὲ ἀπὸ τῶν εἰδῶν περὶ τῶν γενῶν ἀληθῆ, ἀνάπαλίν φησιν ἔχειν ἐπὶ τῶν ἀνασκευῶν. τὸν μὲν γὰρ ὃ μὴ ὑπάρχει τῷ γένει, τοῦτο μὴ ὑπάρχειν μηδὲ τῷ εἴδει δεικνύντα ἀληθῆ εἶναι· ὃ γὰρ μή ἐστιν ἐν ζῴῳ ὅλως, οὐδὲ ἐν ἀνθρώπῳ· τὸν δὲ ὃ μὴ ὑπάρχει τῷ εἴδει, τοῦτο πειρώμενον δεικνύναι, ὅτι μηδὲ τῷ γένει ὑπάρχει, ψευδῆ· τὸ γὰρ τετράπουν ἢ τὸ ἄλογον οὐχ ὑπάρχει μὲν ἀνθρώπῳ, οὐ μὴν διὰ τοῦτο οὐδὲ ζῴῳ. αἴτιον δὲ τούτου τὸ ἐπὶ πλέον εἶναι τὸ γένος τοῦ εἴδους. ὃ μὲν γὰρ ὑπάρχει τῷ ἐπὶ πλέον τινὸς ὄντι, τοῦτο οὐκ ἀνάγκη ὑπάρχειν καὶ τῷ ἐπ' ἔλαττόν τε καὶ ὑπ' αὐτό, εἰ μὴ παντὶ ὑπάρχει τῷ ἐπὶ πλέον· ὃ δὲ τῷ ἐπ' ἔλαττον ὄντι καὶ ὑπό τι κοινὸν ὑπάρχει, τοῦτο ἀνάγκη καὶ [ἐν] τῷ ἐπὶ πλέον ὄντι καὶ περιέχοντι τοῦτο ὑπάρχειν. πάλιν δ' αὖ, ὃ μὴ ὑπάρχει τῷ ἐπὶ πλέον ὄντι, οὐδ' ἂν τῶν ὑπ' αὐτό τινι ὑπάρχοι· εἰ γὰρ ὑπάρχει τῷ ἐπ' ἔλαττον, ἀνάγκη ἐν ἐκείνῳ τὸ εἶδος ὅπερ τὸ γένος εἶναι. εἰ δέ τι μὴ ὑπάρχει τῷ ἐπ' ἔλαττον ὄντι, οὐκ ἀνάγκη μὴ ὑπάρχειν τῷ ἐπὶ πλέον· ἄλλῳ γάρ τινι ὑπάρχον τῶν ὑπὸ τὸ γένος δύναται ἐν ἐκείνῳ εἶναι. οἷον ἐπεὶ τῷ ζῴῳ οὐχ ὑπάρχει τὸ ἄψυχον, οὐδὲ τῶν ὑπὸ τὸ ζῷόν τινι· ὁμοίως, ἐπεὶ τὸ χωρὶς αἰσθήσεως εἶναι οὐχ ὑπάρχει τῷ ζῴῳ, οὐδὲ τῶν εἰδῶν τινι αὐτοῦ ὑπάρχει. ἂν δὲ διαβάλλειν τις πειρώμενος τὰ προειρημένα λέγῃ τῷ μὲν ἀνθρώπῳ ὑπάρχειν τὸ ὑπὸ τὸ ζῷον εἶναι, οὐκέτι δὲ καὶ τῷ ζῴῳ (οὐ γάρ ἐστι τὸ ζῷον ὑπὸ τὸ ζῷον), ῥητέον ὅτι καὶ τῷ ζῴῳ ὑπάρχει τὸ ὑπὸ τὸ ζῷον εἶναι. εἰ γὰρ τινὶ ζῴῳ, 〈καὶ ζῴῳ〉 ὑπάρχει· τῷ δὲ ἀνθρώπῳ τινὶ ζῴῳ ὄντι ὑπάρχει καὶ τὸ ὑπὸ τὸ ζῷον εἶναι· ὥστε καὶ ζῴῳ· οὐ γὰρ ἔκειτο τοῦτο ἔν τινι εἶναι ὃ ἐν παντὶ αὐτῷ ἐστιν. p. 111a33 Ἐπεὶ δὲ ἀναγκαῖο ν , ὧν τὸ γένος κατηγορεῖτα ι , καὶ τῶν εἰδῶν τι κατηγορεῖσθα ι . Ὁ τόπος τοιοῦτος· ἐπεὶ τὰ γένη οὐκ ἔστιν αὐτὰ καθ' ἑαυτά, ἀλλ' ἐν τοῖς εἴδεσιν αὐτοῖς, ὧν κατηγορεῖται, τὸ εἶναι, ἀναγκαῖον, εἰ τὸ γένος ὡς γένος τινὸς κατηγορεῖται, τούτου καὶ εἶδός τι κατηγορεῖσθαι, εἰ μὴ προσεχὲς εἶδος εἴη αὐτὸ τοῦ κατηγορουμένου γένους· τοῦ γὰρ ζῴου πτηνοῦ κατηγορεῖται μὲν τὸ ζῷον, οὐ μὴν καὶ εἶδος αὐτοῦ κατηγορεῖται, ἐπεὶ αὐτὸ προσεχὲς εἶδός ἐστι τοῦ ζῴου· ὃ παρέλιπε προσθεῖναι, ὅτι μηδὲ χρήσιμον αὐτῷ πρὸς τὸν παραδιδόμενον τόπον ἦν.

in Top.161 ἢ καὶ τούτου τὸ εἶδος κατηγορεῖται, εἴ γε αὐτὸ μὲν αὐτοῦ κατηγορεῖται, εἶδος δέ ἐστιν αὐτὸ τοῦ ζῴου. ὄντων δὴ τῶν γενῶν τοιαύτης φύσεως, ἀναγκαίως φησὶ καὶ ὅσα ἔχειν λέγεται γένος τι, τοῦτ' ἔστιν οἷς ὑπάρχειν τε καὶ συμβεβηκέναι λέγεται γένος τι, τούτοις πάντως καὶ τῶν εἰδῶν τι τῶν τοῦ γένους ὑπάρχειν τε καὶ συμβεβηκέναι. ἀλλὰ καὶ ὅσα παρωνύμως ἀπό τινων γενῶν λέγεται (οὕτως δὲ λέγεται οἷς συμβέβηκέ τι γένος), ἀνάγκη ταῦτα καὶ ἀπὸ εἴδους τινὸς τῶν ἐκείνου τοῦ γένους παρωνύμως λέγεσθαι. οἷον εἰ ἐπιστήμη τινὶ ὑπάρχειν λέγεται, ἀνάγκη τούτῳ καὶ εἶδός τι τῶν ὑπὸ τὴν ἐπιστήμην ὑπάρχειν, ἢ μουσικὴν ἢ γραμματικὴν ἢ ἄλλην τινά· εἰ γὰρ μηδὲν εἶδος ἐπιστήμης ὑπάρχει τινί, οὐδ' ἂν ὅλως ἐπιστήμη αὐτῷ ὑπάρχοι. ἀλλὰ κἂν παρωνύμως τις ἀπὸ τῆς ἐπιστήμης λέγηται ὡς ὁ ἐπιστήμων, τοῦτον ἀνάγκη καὶ ἀπό τινος τῶν τῆς ἐπιστήμης εἰδῶν παρωνύμως λέγεσθαι· ἢ γὰρ γραμματικὸν ἢ μουσικὸν ἢ γεωμέτρην ἢ ἀπ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλης τινὸς ἐπιστήμης· εἰ γὰρ ἀπὸ μηδεμιᾶς, οὐδ’ ἂν τὴν ἀρχὴν ἐπιστήμων λέγοιτο. λαβὼν δὲ τὸ καθόλου καὶ εἰπὼν οἷον εἴ τινος ἐπιστήμη κατηγορεῖτα ι , καὶ γραμματικὴ ἢ μουσικὴ ἢ τῶν ἄλλων τις ἐπιστημῶν κατηγορηθήσετα ι , μετέβη ἐπὶ τὰ ὡς συμβεβηκότα κατηγορούμενα εἰπὼν καὶ εἴ τις ἔχει ἐπιστήμην ἢ παρωνύμως ἀπὸ τῆς ἐπιστήμης λέγεται · ὅταν γάρ τινος ἡ ἐπιστήμη οὕτως κατηγορῆται ὡς συμβεβηκυῖα αὐτῷ καὶ ὡς ἐχομένη ὑπ’ αὐτοῦ, τούτου ἀνάγκη καὶ τῶν ἐν εἴδει τῆς ἐπιστήμης οὐσῶν ἐπιστημῶν κατηγορεῖσθαί τινα. ἐπεὶ γὰρ ἀληθὲς τοῦτο καθόλου, τὸ οὗ κατηγορεῖταί τι γένος, τούτου καὶ εἶδός τι κατηγορεῖσθαι καὶ μὴ δύνασθαι γένος τι εἶναι ἐν ὑποστάσει μὴ εἴδους τινὸς ὄντος, ἀληθὲς γίνεται καὶ τὸ ᾧ συμβεβηκέναι λέγεταί τι γένος, τούτῳ συμβεβηκέναι τι καὶ τῶν τοῦ γένους ἐκείνου, καὶ τοῦτο, εἴτε μετὰ τοῦ προσθεῖναι τὸ ὑπάρχειν καὶ συμβεβηκέναι τὴν τοῦ γένους κατηγορίαν ποιοῖτο, εἴτε καὶ μὴ προστιθείη μὲν τὸ ὑπάρχειν παρωνύμως δὲ αὐτὸ ἀπὸ τοῦ γένους λέγοι· αἱ γὰρ παρώνυμοι κατηγορίαι, ὡς εἶπε καὶ ἐν ἀρχῇ τοῦδε τοῦ βιβλίου, ἀπὸ συμβεβηκότων.

in Top.162 p. 111b4 Ἐὰν οὖν τι τεθῇ λεγόμενον ἀπὸ τοῦ γένους ὁπωσοῦ ν . Τὸ ὁπωσοῦν δηλωτικόν ἐστι τοῦ ‘εἴτε παρωνύμως εἴτε καὶ τῷ ὑπάρχειν αὐτῷ τὸ γένος προστίθεσθαι‘. καὶ παραδείγματι δὲ τῷ παρωνύμῳ ἐχρήσατο· ὁ γὰρ τὴν ψυχὴν κινεῖσθαι λέγων παρώνυμον τὸ κινεῖσθαι τῆς κινήσεως ὂν τῆς ψυχῆς κατηγορεῖ. ὅμοιος δὲ ὁ λόγος, κἂν τῇ ψυχῇ ὑπάρχειν ἢ συμβεβηκέναι τὸ κινεῖσθαί τις λέγῃ. ὄντος δὴ τοιούτου τοῦ προβλήματος χρὴ ἐπὶ τὰ εἴδη τῆς κινήσεως ἐπιβλέψαντα (ἔστι δὲ ταῦτα αὔξησις, μείωσις, φορά, ἀλλοίωσις, γένεσις καὶ φθορά· κοινότερον γὰρ νῦν καὶ ταύτας κινήσεις λέγει, ὥσπερ καὶ αὐτὴν τὴν κίνησιν γένος) εἶναι ἀπό τινος τούτων οἷον τότε τῆς ψυχῆς παρώνυμον τὴν κατηγορίαν ποιεῖσθαι (εἴη γὰρ ἂν κατασκευαζόμενον τὸ κινεῖσθαι αὐτήν), οἷον εἰ γίνεται ἢ φθείρεται ἡ ψυχή, εἰ αὔξεται ἢ μειοῦται, εἰ ἀλλοιοῦται, εἰ φέρεται· εἰ δὲ μηδὲν τούτων, ἀνασκευάζοιτ’ ἂν καὶ τὸ κείμενον τὴν ἀρχήν, τὸ κινεῖσθαι αὐτήν. εἰ δὴ κατὰ Ξενοκράτην ψυχή ἐστιν ἀριθμὸς αὑτὸν κινῶν, ἢ αὔξοι ἂν αὑτὸν ἢ μειοῖ ἢ ἀλλοιοῖ ἢ φέροι ἢ φθείροι ἢ γεννῴη. ἀλλ’ οὔτε αὔξει τι αὐτὸ αὑτό (ὑπὸ γάρ τινος προστιθεμένου τὸ αὐξόμενον αὔξεται, ὃ ἐκτός ἐστι τοῦ αὐξανομένου· ἔτι ὁ αὐξόμενος ἢ μειούμενος ἢ ἀλλοιούμενος μεταπίπτοι ἂν εἰς ἄλλον ἀριθμὸν καὶ ἐξίσταιτο τῆς οἰκείας οὐσίας καὶ τοῦ εἶναι οὗτος ὃς ἦν), ἀλλ’ οὐδὲ γεννᾶν τι αὑτὸ ἢ φθείρειν δυνατόν, ἀλλ’ οὐδὲ φέρεσθαί τι οἷόν τε ὑφ’ ἑαυτοῦ, ὥστε οὐδὲ τὸν ἀριθμόν. ἢ οὕτως μὲν ὁ ὁρισμὸς ἂν εἴη τῆς ψυχῆς ἀνασκευαζόμενος καὶ ὁρικὸν τὸ πρόβλημα. εἰ δέ τις λέγοι συμβεβηκέναι τῇ ψυχῇ οὐσίᾳ οὔσῃ τὸ κινεῖσθαι, δείξαντες ὅτι μήτε αὔξεται μήτε μειοῦται μήτε κατὰ τόπον κινεῖται μήτε γίνεται ἢ φθείρεται (οὐδὲν γὰρ ἀσώματον οἷόν τε τούτων τι πάσχειν), δείξαντες δὲ 〈καὶ〉 ὅτι μηδὲ ἀλλοιοῦται (ἡ γὰρ ἀλλοίωσις κατὰ τὰς αἰσθητὰς διαφοράς, ἃς οὐ δέχεται ἡ ψυχὴ τῷ ἀσώματος εἶναι), ἀνεσκευακότες ἂν εἴημεν τὸ κείμενον.

in Top.163 ἀλλὰ καὶ εἰ λέγοι τις τὸν θεὸν ἐμπαθῆ, δεῖ αὐτὸν ἢ ἥδεσθαι ἢ λυπεῖσθαι ἢ φοβεῖσθαι ἢ ἐπιθυμεῖν· εἰ δὲ μηδὲν τούτων εὔλογον τῷ θεῷ ὑπάρχειν, ἀναιροῖτ’ ἂν καὶ τὸ εἶναι αὐτὸν ἐμπαθῆ. πάλιν εἰ ὁ ἁμαρτάνων ἀκουσίως ἁμαρτάνειν λέγοιτο, δεῖ αὐτὸν ἢ βίᾳ ἢ δι’ ἄγνοιαν ἁμαρτάνειν· ταῦτα γὰρ τοῦ ἀκουσίου εἴδη· καὶ εἰ μὲν βίᾳ, ἔξωθεν δεῖ τὴν αἰτίαν ἔχειν καὶ μηδὲν αὐτὸν πρὸς τοῦτο συντελεῖν· τοιοῦτον γὰρ τὸ βίᾳ· εἰ δὲ δι’ ἄγνοιαν, τὰ καθ’ ἕκαστα δεῖ ἀγνοεῖσθαι, ἐν οἷς ἡ πρᾶξις· ὁ γὰρ τῇ τοῦ καθόλου ἀγνοίᾳ ἁμαρτάνων, εἰ καὶ ἀγνοῶν ἁμαρτάνει, ἀλλ’ οὐ δι’ ἄγνοιαν ἀλλὰ δι’ αὑτόν· αὐτὸς γὰρ τῆς τοιαύτης ἀγνοίας αἴτιος, ὡς ἐν τῷ τρίτῳ τῶν Νικομαχείων ἠθικῶν δέδεικται, διὸ οὐδὲ συγγινώσκεται· εἰ δὴ ὁ ἀκρατὴς μήτε βίᾳ μήτε δι’ ἄγνοιαν ἁμαρτάνει, οὐδ’ ἂν ἄκων ἁμαρτάνοι. οὕτω δ’ ἀναιροῖτ’ ἂν τὸ εἶναι τὰ ἁμαρτήματα ἀκούσια. Ὅτι δὲ καὶ πρὸς ἀνασκευὴν καὶ πρὸς κατασκευὴν χρήσιμος ὁ τόπος, πρόδηλον. δείξαντες μὲν γάρ, ὅτι μηδὲν τῶν τοῦ γένους εἰδῶν ὑπάρχει τῷ προκειμένῳ, ἀνῃρηκότες ἂν εἴημεν τὸ πρόβλημα· εἰ δέ τι τῶν τοῦ γένους εἰδῶν ὑπάρχον δειχθείη τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προκειμένῳ, κατεσκευασμένον ἂν εἴη τὸ ὑπάρχειν τὸ γένος αὐτῷ. p. 111b12 Μὴ εὐποροῦντι δὲ ἐπιχειρήματος πρὸς τὴν θέσι ν . Δοκεῖ τοῦ ἀπὸ τῶν ὁρισμῶν τόπου ἤδη ἐν τοῖς προειρημένοις μεμνημονευκέναι δι' ὧν εἶπεν "ἄλλος τὸ λόγους ποιεῖν τοῦ τε συμβεβηκότος καὶ ᾧ συμβέβηκεν, ἢ ἀμφοτέρων καθ' ἑκάτερον ἢ τοῦ ἑτέρου"· ἀπὸ γὰρ τῶν ὁρισμῶν ὡς ἀπὸ φανερωτέρων ἐν ἐκείνῳ τε τῷ τόπῳ ἠξίωσε τὰς ἐπιχειρήσεις ποιεῖσθαι, ἐνταῦθά τε τὸ αὐτὸ λέγει. ἔστι δὲ τοῦτο οὐχ ὁρικὸν ἀλλὰ δι' ὁρισμοῦ τοῦ συμβεβηκότος ἀνασκευὴ ἢ κατασκευή· ταῦτα δὲ ὁρικὰ ἐν οἷς ζητεῖται εἰ ὁρισμὸς τὸ κείμενον· ἡ δὲ χρῆσις τοῦ ὁρισμοῦ οὐχ ὁρικόν. εἴη δ' ἂν προστιθέμενον διὰ τούτου τοῦ τόπου τὸ πλείοσι τοῦ αὐτοῦ ὅροις χρῆσθαι δεῖν οὐχ ὡς τῇ ἀληθείᾳ πλειόνων ὅρων τοῦ αὐτοῦ ὄντων ἀλλ' ὡς κατὰ δόξαν· διὰ τοῦτο γὰρ προσέθηκεν ἢ τῶν δοκούντω ν .

in Top.164 τῶν γὰρ τοῦ προκειμένου φερομένων ὁρισμῶν τὸν χρησιμώτερον πρὸς τὸ προκείμενον λαβόντας δεῖν ἀξιοῖ ἀπὸ τούτου ἐπιχειρεῖν πρὸς τὸ πρόβλημα τὸ κείμενον, ὃ θέσιν εἶπε πάλιν, ἢ κατασκευάζοντα αὐτὸ ἢ ἀνασκευάζοντα. ἔστι δὲ ἡ ἀπὸ τῶν ὅρων ἐπιχείρησις ῥᾳδία καὶ πολλὰς ἀφορμὰς ἔχουσα. οἷον κειμένου τοῦ ἴσα εἶναι τὰ ἄπειρα ὁριστέον τὸ ἴσον πρὸς τὸ χρήσιμον ἡμῖν εἰς τὸ προκείμενον· διὸ ἀνασκευάζοντα μὲν τὸ πρόβλημα ὁριστέον ἴσα εἶναι τὰ τῶν ἴσων ὄντα μέτρων· οὐ γὰρ οἷόν τε οὕτως ἴσα εἶναι τὰ ἄπειρα τῷ τὴν ἀρχὴν μηδὲ μετρητὰ εἶναι· εἰ δὲ κατασκευάζειν βουλοίμεθα, [τὰ ἴσα] τὰ μήτε ὑπερβάλλοντα μήτε ἐνδέοντα· οὕτως γὰρ ἔχει καὶ τὰ ἄπειρα πρὸς ἄλληλα. ἀξιοῖ δὲ μὴ εὐποροῦντας ἐπιχειρημάτων πλείους ὁρισμοὺς τοῦ αὐτοῦ λαμβάνειν· ἀπὸ γὰρ πλειόνων εὐκολωτέρα ἡ τῶν πρὸς τὸ προκείμενον εὕρεσις. οἷον ζητουμένου εἰ ἡδονὴ ἀγαθόν, τῆς ἡδονῆς ἀποδοτέον πλείους ὅρους, τοῦτο μὲν ὅτι λεία κίνησις, τοῦτο δὲ ὅτι "γένεσις εἰς φύσιν αἰσθητή", τοῦτο δὲ ὅτι ἄλογος διάχυσις, τοῦτο δὲ ὅτι "ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος" ἢ ὅτι τὸ παρακολουθοῦν τέλος ταῖς τελευταίαις ἐνεργείαις. πλειόνων γὰρ ἀποδοθέντων ὅρων ῥᾶον εὐπορήσομεν καὶ πρὸς τὸ 〈κατασκευάζειν καὶ πρὸς τὸ〉 ἀνασκευάζειν· ἔνεστι γοῦν ἐκ τῶν ἀποδεδομένων ὅρων περὶ τῆς ἡδονῆς καὶ ὅτι μή ἐστιν ἀγαθὸν ἐπιχειρεῖν καὶ ὅτι ἀγαθόν. δύναται τὸ μὴ εὐποροῦντι δὲ ἐπιχειρήματος εἰρηκέναι οὐχ ὡς ἄλλου τινὸς τόπου μνημονεύων ἀλλ' ὡς προστιθεὶς τῷ προειρημένῳ. εἰ γὰρ διαιρούμενοι τὰ γένη εἰς τὰ εἴδη μηδέπω φανερῶς ἀνασκευάζειν δυναίμεθα τὸ πρόβλημα τῷ καὶ ἐπὶ τῶν εἰδῶν ἀμφισβήτησίν τινα καταλείπεσθαι (οἱ γοῦν λέγοντες κινεῖσθαι τὴν ψυχὴν οὔ φασι δεόντως λαμβάνειν τοὺς λέγοντας αὐτὴν μὴ ἀλλοιοῦσθαι· ἀλλοιοῦσθαι γὰρ αὐτὴν καὶ ὀργιζομένην καὶ λυπουμένην καὶ ἡδομένην καὶ μανθάνουσαν καὶ μνημονεύουσαν καὶ δοξάζουσαν), ἐπεὶ τοίνυν ἀμφισβητήσιμον δοκεῖ τοῦτο εἶναι, τὸ πότερον αὐτὴ ἡ ψυχὴ ταῦτα πάσχει ἢ ὁ τὴν ψυχὴν ἔχων, ὁ ὀργιζόμενος ἢ λυπούμενος, ὥς φαμεν, ἀφεμένους φησὶ τοῦτο δεῖν ὁρίζεσθαι τὸ κινεῖσθαι, τί ποτέ ἐστι, καὶ λαβόντας τοὺς ἀποδιδομένους ὁρισμοὺς τοῦ κινεῖσθαι τούτων ἐπιλεξαμένους τὸν χρησιμώτατον πρὸς τὸ προκείμενον ἀπὸ τούτου τὴν ἐπιχείρησιν ποιεῖσθαι, οἷον ὅτι κινεῖσθαί ἐστι τὸ μεταβάλλειν τόπον ἐκ τόπου· τοιούτου γὰρ τεθέντος τοῦ κινεῖσθαι οὐχ οἷόν τε τὴν ψυχὴν κινεῖσθαι· σωμάτων γὰρ ἡ κατὰ τόπον μεταβολή.

in Top.165 p. 111b17 Σκοπεῖν δὲ περὶ τοῦ προκειμένο υ , τίνος ὄντος ἀνάγκη τὸ προκείμενον εἶνα ι . Ὁ μὲν τόπος ἐστὶν ἐξ ἀκολουθίας. διπλοῦς δ' ἐστί· καὶ γὰρ κατασκευαστικός ἐστι καὶ ἀνασκευαστικός. προκειμένου γάρ τινος προβλήματος, ὃ βουλόμεθα ἢ κατασκευάσαι ἢ ἀνασκευάσαι, φησὶ δεῖν σκοπεῖν καὶ ζητεῖν τίσι τοῦτο τὸ προκείμενον ἕπεται, καὶ τίνα πάλιν αὐτῷ οὕτως ἕπεται. κἂν μὲν βουλώμεθα αὐτὸ κατασκευάσαι, δεικτέον τι τούτων ὂν οἷς τοῦτο ἕπεται· πάντως γὰρ ἐκείνου τεθέντος ἔσται καὶ τοῦτο, ἐπεὶ ἕπεται αὐτῷ· εἰ γὰρ τὸ ἡγούμενον, καὶ τὸ ἑπόμενον κατὰ τὸν πρῶτον λεγόμενον ἀναπόδεικτον ὄντα ἐξ ἀκολουθίας κατασκευαστικόν. οἷον εἰ εἴη τὸ πρόβλημα πότερον πᾶσα ἡδονὴ ἀγαθὸν ἢ οὔ, βουλοίμεθα δὲ δεικνύναι πᾶσαν οὖσαν ἀγαθόν,

ζητητέον τίνι ἕπεται τὸ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι, κἀκεῖνο κατασκευαστέον· οἷον εἰ ἕπεται τῷ πᾶσαν ἡδονὴν κατὰ φύσιν εἶναι, τοῦτο οὕτως ἔχον δεικτέον· δειχθέντος γὰρ τούτου ἔσται συναποδεδειγμένον αὐτῷ καὶ τὸ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι. ὁμοίως κἂν κατασκευασθῇ πᾶσα εἶναι αἱρετή, ἕποιτ' ἂν πάλιν τὸ ἀγαθὸν εἶναι πᾶσαν. οὕτως καὶ Πλάτων ἐν μὲν τῷ Φαίδωνι βουλόμενος δεῖξαι τὰς ψυχὰς ἐν Ἅιδου οὔσας τε καὶ σωζομένας ἔλαβεν, ᾧ τοῦτο ἕπεσθαι ᾤετο, τὸ ἐκ τῶν τεθνεώτων τοὺς ζῶντας γίνεσθαι· τοῦτο δὲ κατεσκεύασε διὰ τοῦ τὰ ἐναντία ἐκ τῶν ἐναντίων γίνεσθαι, ἐναντία δὲ εἶναι τὸ ζῆν καὶ τὸ τεθνάναι. ἐν δέ γε τῷ Μένωνι πάλιν βουλόμενος δεῖξαι τὰς ἀρετὰς διδακτὰς ἔλαβεν ᾧ τοῦτο ἕπεται· ἔστι δὲ τοῦτο τὸ ἐπιστήμας αὐτὰς εἶναι· εἰ γὰρ αἱ ἀρεταὶ ἐπιστῆμαι, διδακταὶ αἱ ἀρεταί. τοῦτο δὲ ὃ λαμβάνει κατασκευασθείη ἂν οὕτως· ὁ ἄριστα τὴν ψυχὴν διακείμενος πάντων τῶν προσηκόντων τε καὶ δεόντων ἐπιστήμην ἔχει· ὁ δὲ τὰς ἀρετὰς ἔχων ἄριστα τὴν ψυχὴν διάκειται· ὁ τὰς ἀρετὰς ἄρα ἔχων πάντων τῶν δεόντων ἐπιστήμην ἔχει· ἡ ἀρετὴ ἄρα πάντων τῶν δεόντων ἐστὶν ἐπιστήμη. ἔστι τὸ αὐτὸ καὶ οὕτως δεῖξαι· οὗ παρουσίᾳ ἐπιστήμων τίς ἐστιν, ἐπιστήμη τοῦτο· ἀρετῆς δὲ παρουσίᾳ ἐπιστήμονες τῶν δεόντων γίνονται· ἡ ἀρετὴ ἄρα ἐπιστήμη.

in Top.166 ἀλλὰ καὶ οἱ ῥήτορες τούτῳ τῷ τόπῳ χρῶνται ἐν πολλοῖς. ἀνδροφονίας γοῦν ἐγκαλοῦντές τινι, οἷς ἕπεται τοῦτο, ταῦτα δεικνύουσιν, οἷον ὅτι ἐχθρός, ὅτι ἐπίβουλος, ὅτι ὤφθη ξίφος ἔχων ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ τῷ τόπῳ πολλάκις. καὶ μοιχείας ἐγκαλοῦντες κατασκευάζουσιν ὅτι καλλωπιστής· ἕπεσθαι γὰρ δοκεῖ. οὕτως καὶ οἱ τὸ κενὸν κατασκευάζοντες ἡγουμένοι ἕπεσθαι τοῦτο τῇ κινήσει τὸ κίνησιν εἶναι λαμβάνουσιν. κατασκευάζοντες μὲν οὖν τὸ πρόβλημα τὸ ᾧ ἕπεται τὸ προκείμενον, ἐκεῖνο εἶναι δείξομεν. εἰ δὲ ἀνασκευάζοιμεν, πάλιν ληψόμεθα τὰ ἑπόμενα τῷ προκειμένῳ ἡμῖν εἰς ἀνασκευήν, καὶ δείξαντες ἐκεῖνα μὴ ὄντα ἀνεσκευακότες ἂν εἴημεν καὶ τὰ προκείμενα· εἰ γὰρ μὴ τὸ ἑπόμενον, οὐδὲ τὸ ἡγούμενον κατὰ τὸν δεύτερον λεγόμενον ἀναπόδεικτον, ὅς ἐστιν ἐξ ἀκολουθίας ἀνασκευαστικός. οἷον εἰ προκείμενον ἡμῖν εἴη δεῖξαι τὸ μὴ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι, δείξαντες τὸ ἑπόμενον τῷ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι μὴ ὂν δεδειχότες ἂν εἴημεν τὸ προκείμενον· οἷον ἕπεται τῷ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι τὸ καὶ τὰς τῶν κιναίδων ἀγαθὰς εἶναι· 〈ὃ〉 ὅτι μὴ οὕτως ἔχει λαβόντες ἀνῃρηκότες ἂν εἴημεν τὸ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι. πάλιν ὅτι μὴ σύμμετρος ἡ διάμετρος τῇ πλευρᾷ δεῖξαι βουλόμενοι, λαβόντες τῷ σύμμετρον εἶναι τὸ ἑπόμενον καὶ δείξαντες ἄτοπον τοῦτο ὂν ἀναιροῦμεν τὸ εἶναι τὴν διάμετρον σύμμετρον τῇ πλευρᾷ. ἕπεται γὰρ αὐτῷ τὸ τὰ περιττὰ τοῖς ἀρτίοις ἴσα εἶναι, ὡς ἐν τοῖς εἰς τὰ Ἀναλυτικὰ δέδεικται· ἀδύνατον δὲ τοῦτο· ἀδύνατον ἄρα καὶ τὸ ᾧ τοῦτο ἕπεται. πάλιν δείξαντες ἑπόμενον τῷ κενὸν εἶναι τὸ ἰσοταχῆ γίνεσθαι τὰ ἀνισοβαρῆ, ἐπεὶ ἄτοπον τοῦτο, ἀναιροῦμεν τὸ κενὸν εἶναι. οὕτως καὶ Πλάτων ἐν Πολιτείᾳ ἀναιρεῖ τὸ τὴν ἀδικίαν εὐβουλίαν εἶναι λαβὼν τὸ ἑπόμενον αὐτῷ, τὸ τὴν δικαιοσύνην κακοβουλίαν εἶναι, καὶ δείξας οὐχ οὕτως ἔχον. ἀλλὰ καὶ ὅτι μὴ ἡ ἐγκράτεια ἀρετή, διὰ τῆς τοῦ ἑπομένου τῷ τὴν ἐγκράτειαν ἀρετὴν εἶναι ἀναιρέσεως δείκνυται· εἰ γὰρ ἀρετὴ ἡ ἐγκράτεια, ὁμολογουμένη διάθεσις ἂν εἴη· οὐκ ἔστι δὲ τοιαύτη· οὐδὲ ἀρετὴ ἄρα. ἀλλὰ καὶ ὅτι τοῦ χρώματος μή ἐστιν ὁρισμὸς τὸ ἴδιον ὄψεως αἰσθητόν, οὕτως δείκνυται· εἰ γὰρ ἐν τούτῳ αὐτῷ τὸ εἶναι, πρός τί ἐστι τὸ χρῶμα· οὐκ ἔστι δὲ πρός τι· ποιότης ἄρα. ἢ ἡ τοιαύτη δεῖξις ὁρική. ἀλλὰ καὶ εἰ ἕπεται τῷ τὴν ἀρετὴν αὐτάρκη πρὸς εὐδαιμονίαν εἶναι τὸ μὴ εἶναι εὔλογον ἐξαγωγήν, εἰ ἔστιν εὔλογος ἐξαγωγή, οὐκ ἂν εἴη αὐτάρκης πρὸς εὐδαιμονίαν ἡ ἀρετή.

in Top.167 p. 111b23 Ἔτι ἐπὶ τὸν χρόνον ἐπιβλέπει ν , εἴ που διαφωνε ῖ . Εἰπὼν περὶ τοῦ ἐξ ἀκολουθίας ἀνασκευαστικοῦ τόπου, ὃς ἐκ τῆς ἀναιρέσεως τῶν ἀκολουθούντων γίνεται, προστίθησι τῷ προειρημένῳ τόπον ἀνασκευαστικὸν καὶ τὸν ἀπὸ τοῦ χρόνου, ὅς ἐστιν, εἰ τὸ τιθέμενον ἐξ ἀνάγκης ἕπεσθαί τινι διαφωνεῖ κατὰ τὸν χρόνον ὡς ὄντος τοῦ ἑτέρου θάτερον μὴ εἶναι· οὐ γὰρ ἔτι ἂν εἴη τὰ οὕτως ἔχοντα ἐπ' ἴσης. οἷον εἰ εἴη τιθέμενον τὸ τοῖς τρεφομένοις ἐξ ἀνάγκης

ἕπεσθαι τὸ αὔξεσθαι, ἀναιρήσομεν τοῦτο δείξαντές τινα τρεφόμενα μέν, οὐκ αὐξόμενα δέ· τὰ γὰρ παρηβηκότα τῶν ζῴων τρέφεται μέν (οὐδὲ γὰρ ἂν ἦν), οὐ μὴν ἔτι αὔξεται. ἀλλὰ καὶ ὅτι τῷ ἐπίστασθαι οὐχ ἕπεται τὸ μεμνῆσθαι οὐδὲ ὁ ἐπιστάμενος πάντως μέμνηται, ἀπὸ τοῦ χρόνου δείκνυται, εἴ γε μνήμη μέν ἐστι τῶν παρεληλυθότων μόνων, ἐπιστήμη δὲ καὶ τῶν ἐνεστώτων καὶ τῶν μελλόντων· ὁ γὰρ ἀστρολόγος καὶ τῆς μελλούσης ἐκλείψεως ἐπιστήμην ἔχει. ἀλλὰ καὶ ὅτι οὐχ ἕπεται τῇ μαθήσει ἀνάμνησιν εἶναι· αἱ μὲν γὰρ ἀναμνήσεις γεγονότων μόνων, μαθήσεις δὲ καὶ μελλόντων· τῆς γὰρ μελλούσης ἐκλείψεως ἔστι μάθησις. ἀλλ' οὐδὲ τῇ αἰσθήσει τὸ ἐπιστήμην εἶναι· ἡ μὲν γὰρ ἐκ γενετῆς, αἱ δὲ ἐπιστῆμαι ὕστερον. ἀλλ' οὐδὲ τῇ ὀρέξει ἡ προαίρεσις διὰ ταὐτόν· ὕστερον γὰρ ἡ προαίρεσις, ἐκ γενετῆς δὲ ἡ ὄρεξις. οὕτως δὲ οὐδὲ τῷ αἰσθητικῷ τὸ αἰσθάνεσθαι· αἰσθητικοὶ μὲν γάρ ἐσμεν καὶ κοιμώμενοι, αἰσθανόμενοι δὲ οὔ. p. 111b32 Ἔτι ὁ σοφιστικὸς τρόπο ς , τὸ ἄγειν εἰς τὸ τοιοῦτο πρὸς ὃ εὐπορήσομεν ἐπιχειρημάτω ν . Ὁ τόπος, ὃν νῦν παραδίδωσιν, ἐστὶ τὸ μεταφέρειν τὸ πρόβλημα καὶ τὸν λόγον πρὸς τοῦτο πρὸς ὃ εὐποροῦμεν ἐπιχειρημάτω ν . ὃν σοφιστικὸν εἶπεν εἶναι τρόπον, ἐπεὶ τοῖς σοφισταῖς σύνηθες τὸ καταλιπόντας τὸ περὶ τοῦ προκειμένου ποιεῖσθαι τοὺς λόγους μετάγειν αὐτοὺς καὶ μεταφέρειν πρὸς τοῦτο πρὸς ὃ εὐποροῦσιν ἐπιχειρημάτων, ὡς ἐν τῷ Πρωταγόρᾳ τῷ Πλάτωνος ὁ Πρωταγόρας ποιεῖ, ποτὲ μὲν μύθους τινὰς διεξιών, ποτὲ δὲ περὶ ποιημάτων τὸν λόγον ποιούμενος, ἐν οἷς εὐπορεῖν ἠδύνατο λόγων, ἀποδιδράσκων τὸ περὶ τῶν προκειμένων προβλημάτων κατ' ἐρώτησιν καὶ ἀπόκρισιν τοὺς λόγους ποιεῖσθαι.

in Top.168 τὸ μὲν οὖν μεταβαίνειν ἀπὸ τῶν προκειμένων ἐπὶ ἄλλο τινὰ πρὸς ὃ εὐπορεῖ ἐπιχειρημάτων τε καὶ λόγων, οὐ μὴν χρήσιμον πρὸς τὸ προκείμενον, ἄντικρυς σοφιστικόν. γίνεται δέ ποτε καὶ ἀναγκαία ἡ μετάληψις καὶ μετάβασις, ὅταν εἰς τοιοῦτον γίνηται ὃ κατασκευασθὲν χρήσιμόν ἐστι πρὸς τὸ ἐξ ἀρχῆς κείμενον. διὸ καίτοι σοφιστικὸν ὄντα καθόλου τὸν τόπον ἐν τοῖς διαλεκτικοῖς τίθησι· διαλεκτικοῦ γὰρ ἡ εἰς τοιαῦτα μετάληψις δι' ὧν δειχθέντων τὸ ἐξ ἀρχῆς κείμενον συγκατασκευάζεται. ὡς γὰρ αὐτός φησι, ποτὲ μὲν εἰς ἀναγκαῖόν τε καὶ χρήσιμον πρὸς τὸ ἐξ ἀρχῆς κείμενον ἡ τοιαύτη μετάληψις γίνεται, ποτὲ δὲ εἰς φαινόμενον ἀναγκαῖον οὐκ ἀναγκαῖον δέ, ποτὲ δὲ εἰς φανερῶς ἀλλότριον καὶ οὔτε ἀναγκαῖον εἰς τὸ προκείμενον οὔτε φαντασίαν παρέχον ἀναγκαίου, ὅσπερ τρόπος τῆς μεταλήψεως φανερῶς ἐστι σοφιστικός. εἰς ἀναγκαῖον μὲν οὖν ἡ μετάληψις γίνεται, ὅταν ἐρωτήσαντός τινος πρότασιν συντελοῦσαν πρὸς τὴν δεῖξιν τοῦ προκειμένου μὴ συγχωρῇ ὁ ἀποκρινόμενος, ὁ δὲ περὶ αὐτῆς ταύτης τὸν λόγον μεταβὰς ποιῆται κατασκευάζων αὐτήν, τυγχάνῃ δὲ καὶ εὐπορῶν πρὸς αὐτὴν ἐπιχειρημάτων· δῆλον γὰρ ὅτι ἡ κατασκευὴ τῆς τοιαύτης προτάσεως συντελεῖ τι πρὸς τὸ ἐξ ἀρχῆς πρόβλημα, εἴ γε προέτεινεν αὐτὴν ὁ ἐρωτῶν ὡς δι' αὐτῆς δείξων τὸ προκείμενον. οἷον εἰ πρόβλημά τις κατασκευάζων τὸ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι λαμβάνοι εἰς τὴν τοῦδε δεῖξιν τὸ πᾶν τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι, ὁ δὲ ἀποκρινόμενος μὴ συγχωρήσειεν, εὐποροίη δὲ μᾶλλον πρὸς τὴν τοῦδε κατασκευὴν ὁ ἐρωτῶν καὶ μεταβὰς περὶ τοῦ πᾶν τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι συλλογίζοιτο, δεικνὺς τοῦτο μὲν ὅτι τὸ κατὰ φύσιν ἑκάστῳ οἰκεῖόν ἐστι, τὸ δ' οἰκεῖον ἑκάστῳ ἀγαθόν, τοῦτο δὲ ὅτι τὸ παρὰ φύσιν ἑκάστῳ κακὸν ἐκείνῳ καὶ φθαρτικὸν αὐτοῦ, εἰ δὲ τὸ παρὰ φύσιν κακόν, τὸ κατὰ φύσιν ἀγαθόν· εἰ γὰρ τῷ ἐναντίῳ τὸ ἐναντίον, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ. ἡ γὰρ τοιαύτη μετάβασις χρήσιμος πρὸς τὴν ἐξ ἀρχῆς θέσιν· εἰ γὰρ μὴ συγχωρηθείη τοῦτο, οὐχ οἷόν τε τὸ προκείμενον δειχθῆναι.

in Top.169 ἀναγκαῖον 〈οὖν〉 πρὸς τὴν ἐξ ἀρχῆς θέσιν τόδε δεῖξαι. πάλιν ἂν βουλόμενός τις δεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατος λαμβάνῃ ὅτι κινεῖται πρὸς τὸ δεῖξαι ὅτι καὶ ὑφ' ἑαυτῆς, μὴ συγχωρῇ δέ τις αὐτὴν κινεῖσθαι, ὁ δὲ εὐπορῶν πρὸς αὐτὸ ἐπιχειρημάτων μεταλαβὼν πρὸς τοῦτο ποιῆται τοὺς λόγους δεικνὺς ὅτι κινεῖται, τοῦτο μὲν νοοῦσα, τοῦτο δὲ μανθάνουσα, τοῦτο δὲ ἡδομένη καὶ λυπουμένη, τοῦτο δὲ αἰσθανομένη, τοῦτο δὲ ἐλπίζουσα, τοῦτο δὲ φοβουμένη· εἰς γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναγκαῖον πρὸς τὸ προκείμενον ἡ μετάληψις ἡ τοιαύτη. καὶ ἔστιν ὁ τοιοῦτος τρόπος τῆς μεταβάσεως ἀπαγωγή, ὡς εἴρηκεν ἐν τῷ δευτέρῳ τῶν Προτέρων ἀναλυτικῶν. Τὸ δὲ ὁμοίως δὲ καὶ ὅταν ἐπαγωγὴν πρός τι διὰ τοῦ προκειμένου ποιησάμενος ἀναιρεῖν ἐπιχειρῇ τοιοῦτον ἂν εἴη· ὁ ἐνιστάμενος πρὸς τὴν ἐρωτωμένην πρότασιν ὡς χρήσιμον πρὸς τὴν τοῦ προκειμένου δεῖξιν δύναται καὶ ἁπλῶς μὴ συγχωρεῖν, λέγων μὴ ἀληθῆ εἶναι πρότασιν τὴν λέγουσαν πᾶν τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι, δύναται καὶ δι' ἐπαγωγῆς αὐτὸ ἀναιρεῖν, λέγων τὸ ἀποθανεῖν κατὰ φύσιν ὂν μὴ εἶναι ἀγαθόν, ὁμοίως καὶ τὸ ἀλγεῖν καὶ τὸ νοσεῖν· οὐδὲν γὰρ τούτων ἐστὶ κατὰ συνθήκην ἀλλὰ κατὰ φύσιν. τὸ δὲ διὰ τοῦ προκειμένου σημαίνοι ἂν τὸ 'δι' αὐτῆς τῆς τιθεμένης προτάσεωσ'· ἡ μὲν γὰρ πρότασις τὸ πᾶν τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι· ἡ δὲ ἐπαγωγὴ δι' αὐτῆς ταύτης τῆς προτάσεως δοκεῖ γινομένη δεικνύναι αὐτὴν ψευδῆ· λαμβάνει γὰρ καθ' ἕκαστά τινα κατὰ φύσιν δοκοῦντα φανερῶς μὴ εἶναι ἀγαθά. ὁ δὴ πρὸς τὸ διὰ τῆς ἐπαγωγῆς δεικνύμενον καὶ τιθέμενον μεταβὰς καὶ τοῦτο ἀναιρῶν εἰς τὸ ἀναγκαῖον πρὸς τὸ προκείμενον τὴν μετάληψιν ποιεῖται, οἷον ἂν διαιρούμενος δεικνύῃ ὅτι οὐ πᾶν τὸ φύσει γινόμενον κατὰ φύσιν, ἀλλὰ τὸ ἄριστον τῶν φύσει γινομένων, τῶν δὲ διὰ τῆς ἐπαγωγῆς εἰλημμένων οὐδὲν τοιοῦτον. ὁ αὐτὸς δὲ λόγος, κἂν κατασκευάζειν τις βουλόμενος τὸ μηδεμίαν ἡδονὴν ἀγαθὸν εἶναι λαμβάνῃ πρότασιν τὴν ὅτι οὐδὲν ἀγαθὸν γένεσις, ὡς προσληψόμενος ταύτῃ τὸ 'ἡ δὲ ἡδονὴ γένεσισ'. ἔνεστι δὲ πρὸς ταύτην τὴν πρότασιν καὶ ἁπλῶς ἐνστῆναι μὴ συγχωροῦντα, ἔνεστι δὲ καὶ δι' ἐπαγωγῆς, προσχρώμενον τῷ προκειμένῳ, ψευδῆ ποιεῖν τὴν πρότασιν λέγοντα 'τὸ ὑγιάζεσθαι γένεσις ὂν ἀγαθόν ἐστιν, ἀλλὰ καὶ τὸ μανθάνειν.' τὸ γὰρ ἐπὶ τὴν δεῖξιν τῆς προτάσεως ταύτης ἀπὸ τοῦ προκειμένου προβλήματος μεταβῆναι καὶ ἀνελεῖν τὰ διὰ τῆς ἐπαγωγῆς τιθέμενα, δεικνύντα ὅτι μὴ ἁπλῶς ἀγαθά, ἀναγκαῖόν ἐστι πρὸς τὴν τοῦ προκειμένου δεῖξιν, εἴ γε ἀναιρεθείσης ταύτης τῆς προτάσεως διὰ τῆς ἐπαγωγῆς οὐχ οἷόν τε τὸ ἐξ ἀρχῆς προκείμενον, τὸ ὅτι μηδεμία ἡδονὴ ἀγαθόν, δειχθῆναι· τούτου γὰρ ἀναιρεθέντος, τοῦ μηδεμίαν γένεσιν ἀγαθὸν εἶναι, καὶ τὸ προκείμενον, ὅπερ ἦν τὸ μηδεμίαν ἡδονὴν ἀγαθὸν εἶναι, ἀναιρεῖται.

in Top.170 ἀναγκαία οὖν ἐν τοῖς τοιούτοις πρὸς τὸ προκείμενον ἡ μετάθεσις τοῦ προβλήματος ἢ εἰς τὰ τοιαῦτα. ἢ δύναται ταῦτα περὶ τοῦ ἀποκρινομένου λέγειν, ὡς κἀκείνου διὰ τῆς ἐνστάσεως πρὸς ὃ εὐπορεῖ ἀπάγοντος τῇ ἐπαγωγῇ χρωμένου· δόξει γὰρ μηδὲ οὗτος ἄτοπόν τι ποιεῖν, εἰ διὰ τῆς ἐπαγωγῆς, πρὸς ἣν εὐπορεῖ λόγων, ἀναιροῖ τὴν θέσιν. ἢ μᾶλλον τὸ λεγόμενον τοιοῦτόν ἐστι διὰ τῆς λέξεως· ὁμοίως δὲ καὶ ὅταν ἐπαγωγὴν πρός τι διὰ τοῦ προκειμένου ποιησαμένου ἀναιρεῖν ἐπιχειρῇ · τούτου γὰρ ἀναιρεθέντος καὶ τὸ προκείμενον ἀναιρεῖτα ι , ὡς εἶναι τὴν γραφὴν ποιησαμένου ἀλ λ ' οὐχὶ ποιησάμενο ς . λέγοιτο γὰρ ἂν ὁμοίως δὲ καὶ ὅταν ἐπαγωγὴν πρός τι ποιησαμένου διὰ τοῦ προκειμένου τούτου, δῆλον ὅτι τοῦ εἰς ὃ ἡ μετάληψις γίνεται καὶ πρὸς ὃ εὐπορεῖ ἐπιχειρημάτων, ἀναιρεῖν ἐπιχειρῇ τοῦτο ὁ ἀποκρινόμενος τῷ ἐνίστασθαι αὐτῷ· καὶ γὰρ τούτου ἀναιρεθέντος δι' οὗ κατεσκευάζετο τὸ προκείμενον πρόβλημα, ὃ καὶ αὐτὸ προκείμενον εἶπεν, ἀναιρεῖται τὸ πρόβλημα. ἀναγκαία οὖν γίνεται ἡ εἰς τὴν τούτου κατασκευὴν μετάληψις τοῦ λόγου τῷ ἐρωτῶντι· εἰ γάρ τι εἴη κατασκευαζόμενον πρόβλημα ὑπὸ τοῦ ἐρωτῶντος δι' ἐπαγωγῆς (οὐδὲν γὰρ ἔλαττον διαλεκτικοῦ τὸ δι' ἐπαγωγῆς δεικνύναι τὸ προκείμενον ἢ διὰ συλλογισμοῦ), ἔπειτα ἐν τῷ ἐπακτικῷ λόγῳ καὶ τοιοῦτόν τι λαβόντος ὡς χρήσιμον πρὸς τὴν δεῖξιν, πρὸς ὃ εὐπορεῖ λόγων πλειόνων, ὁ διαλεγόμενος αὐτῷ πρὸς τοῦτο τὴν ἔνστασιν ποιήσεται, ἀναγκαία γίνεται τῷ κατασκευάζοντι τὸ προκείμενον ἡ τοῦ λόγου μετάληψις εἰς τοῦτο. εἰ γὰρ τοῦ ἀποκρινομένου λέγοντος μὴ εἶναι τὸ κατὰ φύσιν ἀγαθὸν ὁ ἐρωτῶν δι' ἐπαγωγῆς κατασκευάζοι αὐτό, λαμβάνων ἐφ' ἑκάστου ζῴου ὅτι τὰ κατὰ φύσιν ἑκάστῳ αὐτῶν ἀγαθά, ἵππῳ μὲν τὰ ἵππῳ, κυνὶ δὲ τὰ κυνὶ καὶ λέοντι τὰ λέοντι, λαμβάνοντι δὲ αὐτῷ, ὅτι καὶ τὰ ἀνθρώπῳ κατὰ φύσιν ἀγαθὰ ἀνθρώπῳ, ἐνσταίη πρὸς τοῦτο ὁ προϊστάμενος

τοῦ ἀντικειμένου τῷ δεικνυμένῳ, ὁ δὲ εὐποροίη πρὸς τὸ τοῦτο δεῖξαι πλειόνων ἐπιχειρημάτων, μεταλήψεται μὲν οὕτω πρὸς ὃ εὐπορεῖ πλειόνων, οὐ μὴν δὲ ἀλλὰ καὶ ἀναγκαίως, εἴ γε τούτου μὴ δειχθέντος ἀναιρεῖται καὶ τὸ ἐξ ἀρχῆς δεικνύμενον, τὸ εἶναι πᾶν τὸ κατὰ φύσιν ἀγαθόν.

in Top.171 δεικνύει δὲ τοῦτο λαβὼν τὸ πᾶν τὸ κατὰ φύσιν ἀνθρώπῳ ἢ καλὸν εἶναι ἢ ἡδὺ ἢ συμφέρον καὶ ἕκαστον τούτων πιστωσάμενος μετὰ ταῦτα προσλαμβάνων τὸ ὅτι πάντα δὲ ταῦτα ἀγαθά· ἔσται γὰρ διὰ τούτου δεδειχὼς τοῦτο πρὸς ὃ ἡ ἔνστασις· οὗ συγχωρηθέντος δείκνυται τὸ πᾶν τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι. Ὡς εἰς φαινόμενον δὲ ἀναγκαῖον οὐκ ἀναγκαῖον δὲ τὴν μετάληψιν ἔστι ποιεῖσθαι, ὅταν περί τινος μὲν τῶν ἐν τῷ προβλήματι ὠνομασμένων ποιῆται λόγον ὁ ἐρωτῶν, οὐδὲν μέντοι συντελοῦντος οὔτε πρὸς ἀνασκευὴν οὔτε πρὸς κατασκευὴν τοῦ προβλήματος. ὁ γὰρ εἰς τοιοῦτον τὴν μετάληψιν ποιούμενος φαντασίαν ἀποτελεῖ ὡς περί τινος χρησίμου πρὸς τὴν θέσιν καὶ τὸ πρόβλημα ποιούμενος τοὺς λόγους· οἷον εἰ τὸ μὲν πρόβλημα εἴη περὶ τοῦ τὸν κόσμον σφαιροειδῆ εἶναι, ὁ δὲ περὶ τοῦ ἢ ἕνα ἢ πολλοὺς εἶναι τοὺς κόσμους διαλέγοιτο ἢ περὶ τοῦ ἀίδιον ἢ γενητὸν αὐτὸν εἶναι, ἢ πάλιν ὄντος τοῦ προβλήματος εἰ ἡδονὴ κατὰ φύσιν, περὶ τῆς φύσεώς τις διαλέγοιτο, δεικνὺς ἤτοι τί ποτέ ἐστιν ἡ φύσις, ἢ ὅτι τὸ φύσει γινόμενον πᾶν ἕνεκά τινος γίνεται, τοῦτο δὲ ποιοῖ ἤτοι ἐρωτηθέντος τοῦ ἀποκρινομένου τε καὶ τὸν λόγον ὑπέχοντος καὶ ἀρνησαμένου αὐτὸ τοῦτο, οἷον εἰ ὁ μὲν ἔροιτο εἰ δοκεῖ αὐτῷ πᾶν τὸ φύσει γινόμενον ἕνεκά του γίνεσθαι, ὁ δὲ ἀρνήσαιτο, κἀκεῖνος καταλιπὼν τὸ προκείμενον πρόβλημα περὶ τούτου δεικνύοι, εὐπορῶν ἐπιχειρημάτων πρὸς αὐτό, ἢ καὶ ἐπαγωγῇ τινι ἐνδόξῳ χρωμένου οὐ φερούσῃ μὲν εἰς δεῖξιν τοῦ προκειμένου ὡς δεικνυούσῃ μέντοι τοῦτο, ἔπειτα ἐν τῇ ἐπαγωγῇ χρησαμένου καὶ τῇ θέσει, εἰς ἣν ἡ μετάληψις γίνεται, ὡς χρησίμῳ πρὸς τὴν τοῦ προκειμένου δεῖξιν, τοῦ ὅτι πᾶν τὸ φύσει γινόμενον ἕνεκά του γίνεται, ὁ δὲ ἐνίσταιτο πρὸς τοῦτο ἀναιρεῖν αὐτὸ πειρώμενος. γίνεται γὰρ ἡ εἰς τοῦτο μετάληψις τῷ ἐρωτῶντι ὡς εἰς φαινόμενον ἀναγκαῖον, ὅτι ἐχρήσατο τούτῳ ὡς δεικτικῷ τοῦ προκειμένου προβλήματος· οἷον εἰ ὁ μὲν δι' ἐπαγωγῆς δεικνύει ἐνδόξου ὅτι πᾶν τὸ φύσει γινόμενον ἕνεκά του γίνεται, ὃ οὐκ ἦν μὲν ἀναγκαῖον δείκνυσθαι πρὸς τὸ πᾶν τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι, ὃ ἦν τὸ πρόβλημα, ἐφαίνετο μέντοι, χρησαμένου δὲ ἐν τῇ ἐπαγωγῇ τῷ καὶ τὸ ἀναπνεῖν ἕνεκά του γίνεσθαι μὴ συγχωρεῖ ὁ προσδιαλεγόμενος, ὁ δὲ πρὸς τοῦτο τοὺς λόγους ποιεῖται εὐπορῶν πρὸς αὐτὸ ἐπιχειρημάτων.

in Top.172 καὶ εἴη ἂν ἡ εἰς τὸ τοιοῦτον μετάληψις διαλεκτικὴ [εἰς φαινόμενον ἀναγκαῖον] καὶ ἡ τοῦ τόπου χρῆσις πρὸς τὴν εἰς τὸ τοιοῦτον μετάληψιν. Ἔστι δὲ ὅτε ἡ μετάληψις γίνεται οὔτε εἰς ἀναγκαῖον οὔτε εἰς φαινόμενον ἀναγκαῖον ἀλλ' εἰς τὸ τυχόν· οἷον εἴ τις, προκειμένου δεικνύναι ὅτι μόνον τὸ καλὸν ἀγαθόν, ἐξετάζοι τὸν ἀποκρινόμενον εἰ κενὸν αὐτῷ δοκεῖ εἶναι, καὶ φήσαντος ἐπιχειροίη ὅτι μὴ ἔστιν, εὐπορῶν ἐπιχειρημάτων πρὸς τὴν τοῦδε δεῖξιν καὶ παρεξελέγχων αὐτόν. φανερὰ γὰρ ἡ ἑτερότης τοῦ προβλήματος καὶ ὅτι μηδέτερον τῶν δειχθέντων εἰς τὴν θατέρου συντελεῖν δεῖξιν δύναται τῷ μήτε ἀναγκαῖα μήτε χρήσιμα λέγειν, ὅταν ἀφέμενός τις τοῦ προκειμένου δεικνύῃ τινὰ σεσολοικικότα ἢ παρ' ἱστορίαν εἰρηκότα· τὰ γὰρ τοιαῦτα παρεξέλεγχοι. δεῖν δέ φησι φυλάττεσθαι τὴν τοιαύτην μετάβασιν ὡς παντελῶς οὖσαν σοφιστικὴν καὶ ἀλλοτρίαν τῆς διαλεκτικῆς μεθόδου. ἀξιοῖ δὲ ἐν ταῖς τοιαύταις μεταβάσεσι τὸν ἀποκρινόμενον, ὅταν ὁ ἐρωτῶν ἀλλότριον βούληται λαβεῖν τι τοῦ προκειμένου προβλήματος μεταφέρων τὸ πρόβλημα, εἰ καὶ μὴ δοκεῖ αὐτῷ οὕτως ἔχειν, συγχωρεῖν αὐτῷ οὕτως ἔχειν, ὑποσημαίνοντα ὅτι μὲν μὴ ἀρέσκεται αὐτῷ, τίθησι δὲ τοῦ περαίνεσθαι χάριν τὸ προκείμενον. συμβαίνει γὰρ ἐν ἀπορίᾳ γίνεσθαι τοὺς τὰ τοιαῦτα ἐρωτῶντας, ὅταν αὐτὸς μὴ χαλεπαίνῃ περὶ αὐτῶν, οὗ χάριν αὐτὰ καὶ προτείνουσιν, ἀλλὰ συγχωρῇ· φανεροὶ γὰρ γίνονται δοθεῖσιν αὐτοῖς μηδενὶ πρὸς τὸ προκείμενον χρῆσθαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυνάμενοι. p. 112a16 Ἔτι πᾶς ὁ εἰρηκὼς ὁτιοῦν τρόπον τινὰ πολλὰ εἴρηκε ν . Οὗτος ὁ τόπος ὁ αὐτός ἐστι τῷ πρὸ ὀλίγου εἰρημένῳ τῷ ἐξ ἀκολουθίας ἀνασκευαστικῷ· εἶπε γὰρ δεῖν σκοπεῖν “τί ἐστιν ἐξ ἀνάγκης, εἰ τὸ προκείμενόν ἐστι”, καὶ τοῦτο ἀνασκευάζειν· ἀναιρεθέντος γὰρ τούτου ἀνῃρημένον ἂν εἴη καὶ τὸ προκείμενον, ᾧ τοῦτο ἕπεται. τὸ αὐτὸ δὲ καὶ νῦν λέγει· ἐπεὶ γὰρ παντὶ τῷ τιθεμένῳ πλείω ἕπεται, ὅ τι ἂν τῶν ἑπομένων αὐτῷ ἀνέλωμεν, ἀνῃρηκότες ἂν εἴημεν καὶ αὐτό.

in Top.173 διαφέροι δ’ ἂν τὸ νῦν λεγόμενον ἐκείνου, ὅτι ἐκεῖ μὲν ἔφη δεῖν ζητεῖν τίνα ἕπεται τῷ κειμένῳ, ἐνταῦθα δὲ καὶ τὴν εὕρεσιν τῶν ἑπομένων ὑπογράφει. εἶπε γὰρ πᾶς ὁ εἰπὼν ὁτιοῦν τρόπον τινὰ πολλὰ εἴρηκεν · τόν τε γὰρ ὁρισμὸν τοῦ πράγματος τοῦ λεγομένου δυνάμει λέγει ὁ τὸ πρᾶγμα λέγων καὶ τὸ γένος αὐτοῦ καὶ τὰς εἰδοποιοὺς αὐτοῦ διαφορὰς καὶ τὰ ἴδια. εἰ δὲ ὁ τὸ πρᾶγμα λέγων δυνάμει καὶ ταῦτα λέγει, δῆλον ὅτι ἕπεται ταῦτα τῷ λεγομένῳ, ὥσθ’, ὅ τι ἂν τούτων δείξωμεν μὴ ὄν, ἀνῃρηκότες ἐσόμεθα καὶ τὸ τὴν ἀρχὴν κείμενον· ὁ γὰρ ἄνθρωπον εἰπὼν καὶ ζῷον εἴρηκε καὶ ἔμψυχον καὶ δίπουν καὶ λογικόν, ὥστ’, ἄν τι τούτων μὴ ὂν δειχθῇ, οὐδ’ ἂν ἄνθρωπος εἴη. οὕτως ἐπεὶ τῷ λέγοντι τὴν ἀρετὴν αὐτάρκη πρὸς εὐδαιμονίαν ἕπεται τό τε μὴ εἶναι εὔλογον ἐξαγωγὴν καὶ τὸ μὴ εἶναι αἱρετὸν τὴν ὑγείαν μηδέ τι ἄλλο παρὰ τὴν ἀρετήν, ἂν τούτων τι ἀναιρεθῇ, ἀνῃρημένον ἂν εἴη τὸ τὴν ἀρετὴν αὐτάρκη εἶναι πρὸς εὐδαιμονίαν. πάλιν ἐπεὶ τῷ λέγοντι τὴν ψυχὴν σῶμα ἕπεται τὸ σῶμα διὰ σώματος χωρεῖν καὶ τὸ στοιχεῖον αὐτὴν εἶναι ἢ ἐκ στοιχείων, εἰ μὴ τούτων τι, οὐδὲ ἐκεῖνο. καὶ ἐπεὶ τῷ διὰ κενοῦ τὴν κίνησιν γίνεσθαι λέγοντι ἕπεται τό τε τὰ ἀνισοβαρῆ ἰσοταχῆ εἶναι καὶ τὸ συμβλητὸν γενέσθαι τὸ κενὸν τῷ πλήρει καὶ τὸ ἐν ἴσῳ χρόνῳ κινεῖσθαί τι τὸ αὐτὸ διάστημα διά τε πλήρους καὶ κενοῦ, εἰ ταῦτα ἄτοπα, καὶ τὸ κείμενον. Εὐλαβεῖσθαι δέ φησι δεῖν τὸ εἰς χαλεπώτερον καὶ δυσεπιχειρητότερον τὴν μετάληψιν ποιεῖσθαι · πολλάκις γὰρ ῥᾷον αὐτὸ ἀνελεῖν ἢ τὸ ἑπόμενον αὐτῷ. ὁ γὰρ βουλόμενος δεῖξαι μὴ οὖσαν ὠφέλιμον τὴν ἀδικίαν ῥᾷον ἂν περὶ αὐτῆς ἐπιχειρῶν δείξαι τοῦτο ἢ εἰ λαβὼν τὸ ἑπόμενον αὐτῇ, τὴν πλεονεξίαν, ἐπὶ ταύτης τοὺς λόγους ποιοῖτο· δοκεῖ γὰρ ἡ πλεονεξία αἰσχρὸν μὲν εἶναι λυσιτελὲς δὲ καὶ ὠφέλιμον. ἐνδόξως δὲ ἔστι δεῖξαι ὅτι μὴ ὠφέλιμον ἡ ἀδικία, ποτὲ μέν, ὡς Πλάτων, ἀπὸ τοῦ νόσον αὐτὴν ψυχῆς εἶναι μηδεμίαν δὲ νόσον ψυχῆς ὠφέλιμον εἶναι, ποτὲ δὲ ἀπὸ τοῦ πᾶσαν μὲν κακίαν βλαβερὰν εἶναι τῷ ἔχοντι αὐτὴν τὴν δὲ ἀδικίαν κακίαν εἶναι.

in Top.174 τὸ οὖν ἀπὸ τῆς ἀδικίας μεταβάντας ἐπὶ τὴν πλεονεξίαν ἐπ’ ἐκείνης τοὺς λόγους ποιεῖσθαι οὐ διαλεκτικοῦ. p. 112a24 Ὅσοις δὲ ἀνάγκη θάτερον μόνον ὑπάρχει ν , οἷον τῷ ἀνθρώπῳ ἢ νόσον ἢ ὑγεία ν . Ἐκθέμενός τινας τόπους ἐξ ἀκολουθίας κατασκευαστικούς τε καὶ ἀνασκευαστικούς, μετὰ ταῦτα παραδίδωσι τόπον ἐκ μάχης κατασκευαστικόν τε καὶ ἀνασκευαστικόν. ἔστι δὲ ὁ τόπος ἐπὶ τῶν ἀμέσων ἐναντίων ἁρμόζων. ἐπεὶ γὰρ ταῦτά ἐστιν ἄμεσα ἐναντία ὧν ἀνάγκη θάτερον τῷ δεκτικῷ ὑπάρχειν, ἂν ᾖ τὸ πρόβλημα τῶν τοιούτων τι ὑπάρχον τινὶ τιθέν, ἂν μὲν λαβόντες τὸ δεκτικὸν τῶν ἀμέσων ἐναντίων, οὗ κατηγορήθη τὸ ἕτερον, δείξωμεν αὐτῷ τὸ ἕτερον αὐτῶν μὴ ὑπάρχον, δεδειχότες ἂν εἴημεν ὅτι τὸ ἕτερον αὐτῷ ὑπάρχει τὸ τεθέν· ἂν δὲ δείξωμεν ὑπάρχον αὐτῷ τὸ ἕτερον, ἀνῃρηκότες ἂν εἴημεν τὸ τὸ ἕτερον ὑπάρχειν αὐτῷ. ἀξιοῖ οὖν ἐπὶ τῶν τοιούτων προβλημάτων, ἐν οἷς ἀνάγκη θάτερον ὑπάρχειν τῷ ὑποκειμένῳ, ἄμφω δὲ ἀδύνατον, πρὸς ὃ εὐπορεῖ τις αὐτῶν, διαλεγέσθαι· διὰ γὰρ τοῦ ἑτέρου καὶ τὸ ἕτερον δείκνυται· ἄν τε γὰρ θάτερον ὑπάρχον δειχθῇ τῷ προκειμένῳ, θάτερον ἀνῃρημένον ἔσται, ἄν τε θάτερον μὴ ὑπάρχον, θάτερον κατεσκευασμένον. ὅταν οὖν τοιοῦτον ᾖ τὸ κατηγορούμενόν τινος ἐν τῷ προβλήματι, διὰ τοῦ τὸ ἐναντίον αὐτῷ δεικνύναι ὑπάρχον τῷ προκειμένῳ ἢ μὴ ὑπάρχον κατασκευάζοιμεν ἂν καὶ ἀνασκευάζοιμεν τὸ προκείμενον· οἷον ἐπεὶ τοῦ ἀριθμοῦ κατηγορεῖται τὸ ἄρτιον καὶ τὸ περιττόν, ἐὰν ἐπί τινος ἀριθμοῦ τὴν ἐπιχείρησίν τις ποιῆται καὶ λέγῃ [τις] αὐτὸν ἄρτιον, εἴτε δειχθείη ὅτι μή ἐστι περιττός, ἄρτιος ἂν εἴη, εἴτε πάλιν

δεικνύμενον εἴη ὅτι ἐστὶ περιττός, εἴη ἂν δεδειγμένον ὅτι μὴ ἄρτιος. ὁμοίως καὶ εἰ σῶμα ζῴου τὸ προκείμενον εἴη καὶ λέγοιτο ὑγιαίνειν, εἰ μὲν νοσοῦν δειχθείη, ἔσται δεδειγμένον ὅτι οὐχ ὑγιαίνει, εἰ δὲ μὴ νοσοῦν, ὅτι ὑγιαίνει. οὕτως κειμένου τοῦ εἶναί τι μέγεθος ἄπειρον, ἐπεὶ πᾶν μέγεθος ἢ πεπερασμένον ἢ ἄπειρον, δείξαντες ὅτι πᾶν πεπερασμένον ἀνῃρηκότες ἂν εἴημεν τὸ ἄπειρόν τι εἶναι, ὡς ἔδειξεν ἐν τῷ πρώτῳ Περὶ οὐρανοῦ Ἀριστοτέλης, δείξας πᾶν καὶ τὸ ἁπλοῦν σῶμα καὶ τὸ σύνθετον πεπερασμένα.

in Top.175 ἁρμόζοι δ’ ἂν ὁ τόπος καὶ ἐπὶ τῆς ἀντιφάσεως· ἄμεσος γὰρ ἀντίθεσις καὶ αὕτη, οὐχ ὡς τὰ ἐναντία τὰ ἄμεσα ἐπὶ τῶν δεκτικῶν τὴν προειρημένην ἀνάγκην ἔχουσα ἀλλὰ ἐπὶ πάντων. ἀνάγκη γὰρ ἐπὶ παντὸς ἢ τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν, ὥστε, εἰ μὲν ἡ κατάφασις, οὐχ ἡ ἀπόφασις, εἰ δὲ μὴ ἡ κατάφασις, ἡ ἀπόφασις· εἴτε γὰρ ὁ πλοῦτος ἀγαθὸν εἴη δεδειγμένος, ἀνῃρημένη ἂν εἴη ἡ ἀπόφασις, εἴτε μὴ ἀγαθόν, ἡ κατάφασις. οὐκέτι δέ ἐστιν ἐπὶ τῶν ἐναντίων τῶν ἐμμέσων ὁ τόπος πρὸς ἄμφω χρήσιμος, καὶ πρὸς ἀνασκευὴν καὶ πρὸς κατασκευήν, ἀλλὰ πρὸς ἀνασκευὴν μόνην τοῦ τιθεμένου τῶν ἐναντίων. ἂν γὰρ δειχθῇ τὸ ἕτερον αὐτῶν ὑπάρχον καὶ οὐ τὸ τιθέμενον τῷ δεκτικῷ, ἀνῄρηται τὸ τὸ ἕτερον ὑπάρχειν αὐτῷ· οὐ γὰρ οἷόν τε ἅμα τὰ ἐναντία· οὐ μήν, ἂν μὴ τὸ ἕτερον ὑπάρχῃ, ὑπάρξει καὶ τὸ λοιπὸν τῷ δύνασθαι τῶν ἐμμέσων τι ὑπάρχειν αὐτῷ. τὸ γὰρ σῶμα, εἰ μὲν λευκόν, ἐξ ἀνάγκης οὐ μέλαν· εἰ δὲ μὴ λευκόν, οὐκ ἐξ ἀνάγκης μέλαν. καὶ εἰ μέν τις εὐδαίμων, οὗτος οὐ κακοδαίμων· οὐ μήν, εἰ μὴ εὐδαίμων, κακοδαίμων ἐξ ἀνάγκης· οὐ γὰρ ἀμέσως ἀντίκειται εὐδαιμονία τε καὶ κακοδαιμονία, ἐπεὶ ἐνδέχεταί τινα σπουδαῖον ὄντα μὴ εἶναι εὐδαίμονα. καὶ εἰ μὲν σπουδαῖος, οὐ κακός· εἰ δὲ μὴ σπουδαῖος, οὐκ ἐξ ἀνάγκης κακός· οὐ γὰρ ἄμεσα ἀρετὴ καὶ κακία. καὶ ὁ μὲν σώφρων οὐ μαίνεται· οὐ μὴν ὁ μὴ σώφρων μαίνεται. ὥστε οὐκέτι καὶ πρὸς κατασκευὴν καὶ πρὸς ἀνασκευὴν τὰ οὕτως ἐναντία χρήσιμα. καὶ ἔστι τοῖς μὲν ἀμέσοις ἐφαρμόζουσα μᾶλλον ἡ δεῖξις ἡ διὰ τοῦ πέμπτου λεγομένου ἀναποδείκτου, ὅς ἐστιν ἐκ διαιρετικοῦ καὶ τοῦ ἀντικειμένου ἑνὶ τῶν ἐν τῷ διαιρετικῷ τὸ λοιπὸν συνάγων, τοῖς δὲ ἐμμέσοις ἡ διὰ τοῦ τετάρτου, ὅς ἐστιν ἐκ διαιρετικοῦ καὶ τοῦ ἑτέρου τῶν ἐν τῷ διαιρετικῷ ἀναιρῶν τὸ ἕτερον. p. 112a32 Ἔτι τὸ ἐπιχειρεῖν μεταφέροντα τοὔνομα κατὰ τὸν λόγο ν . Τόπον ἡμῖν ἀπὸ ἐτυμολογίας παραδίδωσιν. ἂν μὲν γὰρ τὰ ὀνόματα μεταφέρωμεν ἐπὶ τοὺς κατὰ τὴν ἐτυμολογίαν λόγους (τοῦτο γὰρ σημαίνει τὸ μεταφέροντα τοὔνομα κατὰ τὸν λόγο ν ) ὡς τούτων ὄντα σημαντικὰ μᾶλλον καὶ προσῆκον ὂν οὕτως ἀκούειν τῶν ὀνομάτων ἢ ὡς κεῖτα ι , εὐπορήσομεν ἐπιχειρημάτων πρὸς τὸ προκείμενον.

in Top.176 οἷον εἰ βουλόμεθα δεῖξαι ὅτι ὁ ἡντινοῦν ἀρετὴν ἔχων εὔψυχός ἐστιν, ἀλλ’ οὐχ ὁ ἀνδρεῖος μόνος, μεταληψόμεθα τὸ εὔψυχος ὄνομα εἰς τὸν λόγον τὸν κατὰ τὴν ἐτυμολογίαν· ἔστι δ’ οὗτος ὁ εὖ τὴν ψυχὴν ἔχω ν , τοῦτ’ ἔστιν ὁ ἀγαθὴν τὴν ψυχὴν ἔχων· ἀλλὰ μὴν εἰ εὔψυχός ἐστιν ὁ ἀγαθὴν τὴν ψυχὴν ἔχων, ἀγαθὴν δὲ τὴν ψυχὴν ἔχει καὶ ὁ δίκαιος καὶ σώφρων καὶ φρόνιμος, οὐδ’ ἂν ὁ ἀνδρεῖος μόνος εὔψυχος εἴη, οὐδ’ ἂν ἡ εὐψυχία ἀνδρεία εἴη. ὅτι δὲ εὔψυχος ὁ εὖ τὴν ψυχὴν ἔχων, δείξομεν τῇ τῶν ὁμοίων παραθέσει· καὶ γὰρ εὔελπις ὁ εὖ ἐλπίζων, τοῦτ’ ἔστιν ὁ ἀγαθὰ ἐλπίζων. πάλιν βουλόμενοι δεῖξαι, ὅτι ὁ σπουδαῖος εὐδαίμων ἐστί, τὸν εὐδαίμονα μεταληψόμεθα εἰς τὸν κατὰ τὴν ἐτυμολογίαν λόγον· ὁ γὰρ εὖ τὸν δαίμονα ἔχων σημαίνεσθαι δοκεῖ ὑπὸ τοῦ εὐδαίμονος. εἰ δὴ δαίμων ἑκάστου ἡ ψυχή, καθ’ ἃ Ξενοκράτει δοκεῖ, εἴη ἂν εὐδαίμων ὁ εὖ τὴν ψυχὴν ἔχων· εὖ δὲ τὴν ψυχὴν ἔχει ὁ σπουδαῖος· ὁ σπουδαῖος ἄρα εὐδαίμων. πάλιν δεῖξαι θέλοντες, ὅτι μή ἐστιν ἐν ἀλόγῳ προαίρεσις, ληψόμεθα τὸν λόγον τῆς προαιρέσεως· ἔστι δ’ οὗτος ‘πρὸ ἑτέρου αἵρεσις‘· ἀλλὰ μὴν τὸ ἄλλο πρὸ ἄλλου αἱρεῖσθαι ἐν τούτοις ἐστὶν ἐν οἷς καὶ τὸ βουλεύεσθαι· τὸ γὰρ ἄλλο ἄλλου προκρῖναι μετὰ λόγου γίνεται· οὐδὲν δὲ τῶν ἀλόγων βουλεύεται· ὥστε οὐδὲ προαιρεῖται. πάλιν θέλοντες δεῖξαι, ὅτι ὁ σώφρων οὐκ ἔστιν ἐγκρατής, μεταληψόμεθα τὸν ἐγκρατῆ εἰς τὸν ἑαυτοῦ κρατοῦντα (τοῦτο γὰρ σημαίνει τὸ ὄνομα), καὶ δείξαντες ὅτι ἔνθα τὸ κρατοῦν, ἐνταῦθα καὶ κρατούμενόν τι ἔσται, τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κρατούμενον ἀντισπῶν καὶ μαχόμενον κρατεῖται, ἔνθα δὴ τὸ μὲν κρατούμενον τὸ δὲ κρατοῦν ἐστι τῆς ψυχῆς, οὐκ ἔστιν ἐνταῦθα ὁμολογία, ὁ δὲ σώφρων ὁμολογοῦντα ἔχει τὰ τῆς ψυχῆς μέρη πρὸς ἄλληλα, εἴημεν ἂν δεδειχότες τὸ προκείμενον. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἀκρατοῦς καὶ τοῦ ἀκολάστου. οὕτως ἔνεστι δεικνύναι τὸν φίλον μὴ εὔνουν, εἰ εὔνους μὲν ὁ ὀρθῶς νοῶν καὶ τἀληθῆ ἢ τἀγαθὰ νοῶν, οὐ πάντως δὲ ὀρθῶς ὁ φίλος νοεῖ.

in Top.177 ὁ δὲ τόπος τὸ μὲν πιθανὸν καὶ ἔνδοξον καὶ διαλεκτικὸν ἔχει, οὐ μὴν ὑγιὲς τὸ λεγόμενον ἐπὶ πάντων· οὔτε γὰρ εὐθάλασσος λέγεται ὁ ἔχων ἀγαθὴν θάλασσαν, οὔτε εὔχειρ ὁ ἔχων καλὰς χεῖρας, ἀλλ’ ὁ πυκτικός, οὔτε μεγαλόψυχος ὁ ἔχων τὴν ψυχὴν μεγάλην. διὸ οὐδὲ εὐδαίμων ὁ σπουδαῖος. p. 112b1 Ἐπεὶ δὲ τῶν πραγμάτων τὰ μέν ἐστιν ἐξ ἀνάγκης τὰ δὲ ὡς ἐπὶ τὸ πολὺ τὰ δὲ ὁπότε ρ ’ ἔτυχε ν . Ὁ τόπος οὗτος τὴν ἀφορμὴν ἀπὸ τῆς τῶν πραγμάτων διαφορᾶς λαμβάνει, καὶ ἔστιν ἐπὶ πλέον τοῦ πρώτου παραδοθέντος τοῦ ἀξιοῦντος “ἐπιβλέπειν εἰ τὸ κατ’ ἄλλον τρόπον ὑπάρχον ὡς συμβεβηκὸς ἀποδέδωκεν.” ἐπὶ γὰρ τούτου τοῦτό που μετείληπται, τὸ μὲν ὡς γένος ἢ ὡς ἴδιον ἢ ὡς ὁρισμὸς ὑπάρχον εἰς τὸ ἐξ ἀνάγκης ὑπάρχον (οὕτως γὰρ ἐκείνων ἕκαστον λαμβάνεται), τὸ δὲ συμβεβηκὸς εἰς τὸ ὡς ἐπὶ τὸ πολὺ καὶ τὸ ὁπότε ρ ’ ἔτυχεν · τοιοῦτον γὰρ τὸ οἷόν τε ὑπάρχειν καὶ μή, ᾧ ὡρίζετο τὸ συμβεβηκός. ἔτι εἰ καὶ συμβεβηκότα τινά ἐστιν ἀχώριστα, εἴη ἂν καὶ ταῦτα 〈ταὐτὰ〉 τοῖς ἐξ ἀνάγκης ὑπάρχουσιν· διὸ οὐδὲ ἀντιτίθησιν τῷ ἐξ ἀνάγκης τὸ συμβεβηκός· οὐδὲ γὰρ χρῆται οὔτε τῷ συμβεβηκότι οὔτε τῶν ἄλλων τινί, ἀλλὰ ὡς ἄλλῃ διαιρέσει χρῆται τῷ ἀναγκαίως τε ὑπάρχοντι καὶ μή. ἔχομεν γὰρ ὅτι τῶν ὄντων τὰ μὲν ἐξ ἀνάγκης ἐστίν, ὡς τὸ τὸν ἄνθρωπον ζῷον εἶναι (ὃ γὰρ παντί τε καὶ ἀεὶ ὑπάρχει, τοῦτο ἐξ ἀνάγκης ἐστίν· ὁμοίως ἀναγκαῖον καὶ τὸ τὸν θεὸν ἄφθαρτον εἶναι), τὰ δὲ ἐνδεχομένως, καὶ τούτων τῶν ἐνδεχομένων τὰ μὲν ὡς ἐπὶ τὸ πλεῖστον, ὡς τὸ τὸν ἄνθρωπον πενταδάκτυλον εἶναι καὶ γηράσκοντα πολιοῦσθαι, τὰ δὲ ἐπ’ ἔλαττον, ὡς τὰ τούτοις ἀντικείμενα, τὸ τὸν ἄνθρωπον ἢ τετραδάκτυλον ἢ ἑξαδάκτυλον εἶναι (ἔστι γὰρ οὕτως καὶ ταῦτα) ἢ τὸ μὴ πολιοῦσθαι γηρῶντα τὸν ἄνθρωπον, τὰ δὲ ἐπ’ ἴσης, ὡς τὸ πολιτεύεσθαι τὸν ἄνθρωπον ἢ μή, ἀποδημεῖν ἢ μή, λούεσθαι ἢ μή. οὔσης τοίνυν τοιαύτης ἐν τοῖς οὖσι διαφορᾶς, ἂν τὸ κατ’ ἄλλον τρόπον ὑπάρχον τινὶ κατ’ ἄλλον τις ὑπάρχειν λέγῃ ἐναλλάσσων τοὺς τῆς ὑπάρξεως αὐτῶν τρόπους, ἀφορμὴν δίδωσιν ἐπιχειρήσεως ἐλεγκτικῆς.

in Top.178 εἰ γάρ τις λέγοι ἐνδέχεσθαι τὸν θεὸν ἄφθαρτον εἶναι ἢ τὸν ἄνθρωπον ζῷον ἢ λογικόν, οὗτος λέγοι ἂν τὸ ἀδύνατον μὴ εἶναι ἐνδέχεσθαι εἶναι· ἀδύνατον γὰρ τὸν θεὸν μὴ εἶναι ἄφθαρτον ἢ τὸν ἄνθρωπον μὴ ζῷον εἶναι· ὁ δὲ λέγων ἐνδέχεσθαι αὐτὸν ζῷον εἶναι οὗτος λέγοι ἂν ἐνδέχεσθαι καὶ μὴ εἶναι ζῷον αὐτόν· τοιοῦτον γὰρ τὸ ἐνδεχόμενον. ἔτι τὸ ἀεὶ ὑπάρχον οὐκ ἀεὶ ἂν ὑπάρχειν λέγοι· τὸ γὰρ ἐξ ἀνάγκης ὑπάρχον ἀεί τε καὶ παντὶ ὑπάρχει. ἀλλὰ κἂν διορίζων ὡς ἐπὶ τὸ πλεῖστον λέγῃ εἶναι τὸ ἐξ ἀνάγκης ὄν, ἡ αὐτὴ ἁμαρτία τῷ τὸ ὡς ἐπὶ τὸ πλεῖστον ὂν ἐνδέχεσθαι καὶ μὴ εἶναι (διὰ τοῦτο γὰρ τὸ ὡς ἐπὶ τὸ πλεῖστον οὐκ ἀναγκαῖον), οἷον ἂν λέγῃ τις τὴν ἀπόδειξιν ὡς ἐπὶ τὸ πλεῖστον ἀληθῆ εἶναι. κἂν ἐναλλάξας δέ τις τὸ ὡς ἐπὶ τὸ πλεῖστον ἐξ ἀνάγκης εἶναι λέγῃ, παραπλήσιος ὁ λόγος. εἰ γὰρ λέγοι τις ἐξ ἀνάγκης τὸν ἄνθρωπον πενταδάκτυλον εἶναι, λέγοι ἂν τὸ ἐνδεχόμενον εἶναι ἀναγκαῖον εἶναι· ἐνδέχεται μὲν γὰρ καὶ μὴ εἶναί τινα πενταδάκτυλον· ὁ δὲ ἐξ ἀνάγκης λέγων πάντα εἶναι πενταδάκτυλον οὔ φησιν ἐνδέχεσθαι μὴ εἶναί τινα πενταδάκτυλον. ἀλλὰ κἂν τὸ ἐναντίον τῷ ὡς ἐπὶ τὸ πολύ (τοῦτο δέ ἐστι τὸ ἐπ’ ἔλασσον· ὡς γὰρ τὸ πολὺ τῷ ὀλίγῳ ἀντίκειται, οὕτω καὶ τὸ ὡς ἐπὶ τὸ πολὺ τῷ ἐπ’ ἔλασσον), ἂν δή τις τὸ ἐπ’ ἔλασσον ὂν ἢ ἐξ ἀνάγκης εἶναι λέγῃ ἢ ὡς ἐπὶ τὸ πολύ, ἐλέγχοιτ’ ἂν ἢ τὸ ὡς ἐπὶ τὸ πλεῖστον μὴ ὂν ἀδύνατον εἶναι λέγων μὴ εἶναι ἢ [τὸ] ὡς ἐπὶ τὸ πλεῖστον εἶναι τιθέμενος, οἷον εἰ λέγοι τις ἐξ ἀνάγκης ὑπὸ κύνα ὕειν ἢ ὡς ἐπὶ τὸ πλεῖστον ἑξαδακτύλους εἶναι τοὺς ἀνθρώπους. ὁμοίως κἂν τῶν ἀπὸ τύχης γινομένων τι λέγῃ τις ἢ ὡς ἐξ ἀνάγκης ἢ ὡς ἐπὶ τὸ πολὺ γίνεσθαι. ὅ τε γὰρ τὸ ἐξ ἀνάγκης ὑπάρχον ὡς ἐπὶ τὸ πολὺ ὑπάρχειν λέγων τὸ πᾶσιν

ὑπάρχον οὐ πᾶσί φησιν ὑπάρχειν (ὡς γὰρ ὁ ἐνδεχομένως τὸν ἄνθρωπον πενταδάκτυλον εἶναι οὐ πάντα φησὶν εἶναι, οὕτως καὶ ὁ λέγων ἐνδεχομένως αὐτὸν ἢ λογικὸν ἢ ἀναπνευστικὸν εἶναι οὐ πάντα ἂν λέγοι ἀεὶ τοιοῦτον εἶναι· τὸ μὲν γὰρ ἀναγκαῖον καθόλου, τὸ δὲ ἐνδεχομένον οὐ τοιοῦτον), ὁμοίως κἂν ἐναλλὰξ πάλιν, ἐὰν τὸ ὡς ἐπὶ τὸ πολὺ ἐξ ἀνάγκης εἴπῃ.

in Top.179 ἔτι δὲ φανερωτέρα ἡ ἁμαρτία τοῦ τὸ ἐπ' ἔλασσον ἐξ ἀνάγκης λέγοντος. Ἐνδέχεται μὲν οὖν τοῦτο ποιεῖν τινα ἐναλλάσσοντα τοὺς τρόπους τῆς ὑπάρξεως καὶ προστιθέντα, ὅτε καὶ φανερώτατος ὁ ἔλεγχος γένοιτ' ἄν. ἐνδέχεται δὲ κἀκείνου μὴ προστιθέντος τινὰ διορισμόν, ἀλλ' ἁπλῶς καὶ χωρὶς τοῦ προστιθέναι τὸν τρόπον τῆς ὑπάρξεως λέγοντος ὑπάρχειν τὸ πρᾶγμα, τὸν προσδιαλεγόμενον ἐφ' ὃ οἷόν τέ ἐστιν ἐλεγχθῆναι μεταφέρειν τὸ ἀδιορίστως εἰρημένον ὡς οὕτως εἰρημένον. ἐπὶ μὲν οὖν τοῦ ἐνδεχομένου ἀπίθανος ὁ τόπος καὶ προδήλως σοφιστικός· ὁ γὰρ τὸν ἁπλῶς εἰπόντα εἶναι τὸν ἄνθρωπον ζῷον λέγων εἰρηκέναι, ὅτι ἐνδέχεται ζῷον αὐτὸν εἶναι, φανερῶς δόξει συκοφαντεῖν. γένοιτο δ' ἂν διαλεκτικὸς ἐπὶ ἐκείνων μόνων, εἴ τις τὰ ἐνδεχομένως ὑπάρχοντα ἁπλῶς ὑπάρχειν λέγοι, οἷον εἴ τις λέγοι ἁπλῶς τὸν γηρῶντα πολιοῦσθαι ἢ πάντα ἄνθρωπον πενταδάκτυλον εἶναι· ἐπεὶ γὰρ τὸ ἀναγκαῖον ἁπλῶς ὑπάρχει, δοκεῖ καὶ τὸ ἁπλῶς λεγόμενον ὑπάρχειν ὡς ἀναγκαίως ὑπάρχον λέγεσθαι. ὁ μὲν γὰρ κυρίως σοφὸς καὶ ἁπλῶς σοφός· ὁ δὲ μὴ οὕτως [ὁ] μετὰ διορισμοῦ· τέκτων γὰρ σοφός· ἐν πᾶσι γὰρ τὸ κυρίως ἁπλῶς καὶ χωρὶς διορισμοῦ λέγεται. κυρίως δὲ ὑπάρχον τὸ ἀναγκαίως ὑπάρχον· ὁ δὴ τὸ ἐνδεχομένως ὑπάρχον ἁπλῶς καὶ χωρὶς διορισμοῦ λέγων ὑπάρχειν εὐλόγως ἂν εὐθύνοιτο ὡς ἀναγκαίως ὑπάρχειν λέγων τὸ μὴ οὕτως ὑπάρχον. τοῦτο δὲ καὶ αὐτὸς δι' ὧν λέγει δηλοῖ· ἐπὶ γὰρ τῶν τὸ ἐνδεχομένως ὑπάρχον ἁπλῶς καὶ χωρὶς διορισμοῦ λεγόντων ὑπάρχειν χρῆται τῷ τόπῳ. ὁ γὰρ τοὺς ἀποκηρύκτους φαύλους εἶναι λέγων ἁπλῶς δόξειεν ἂν λέγειν ἐξ ἀνάγκης καὶ καθόλου τοιούτους αὐτοὺς εἶναι· οὐ μὴν οὕτως ἔχει· ἐνδέχεται γάρ τινα καὶ μὴ τοιοῦτον εἶναι ἀποκήρυκτον γενόμενον· Θεμιστοκλέα γοῦν ἀποκήρυκτον μέν φασιν γενέσθαι, οὐ μὴν φαῦλος ἦν. Ἐπιζητήσαι τις ἂν πῶς, εἰ τὸ μὲν ἐνδεχόμενον ὑπάρχειν τε καὶ μὴ συμβεβηκός, τὸ δ' ἀναγκαίως ὑπάρχον ἢ γένος ἢ ἴδιον ἢ ὁρισμὸς ἤ τι τῶν ὑπὸ ταῦτα, πῶς ἔτι ὑποτάσσοιτ' ἂν τοῖς πρὸς τὰ ἀπὸ τοῦ συμβεβηκότος προβλήματα τόποις ὁ δεικνὺς ὅτι τὸ ἐξ ἀνάγκης ὑπάρχειν ἀποδεδομένον οὐκ ἐξ ἀνάγκης ὑπάρχει.

in Top.180 δεικνύοι γὰρ ἂν οὗτος ἤτοι ὅτι οὐχ ὡς γένος ὑπάρχει ἢ ὅτι οὐχ ὡς ἴδιον ἢ ὅτι οὐχ ὡς ὅρος· ἀλλὰ τὰ τοῦ γένους ἀναιρετικὰ ἐν τοῖς πρὸς τὸ γένος τόποις· ὁμοίως καὶ ἐπὶ τοῦ ἰδίου καὶ ἐπὶ τοῦ ὁρισμοῦ [ὥσπερ καὶ τὰ τοῦ συμβεβηκότος προβλήματα]. ἢ ἐπεὶ οὐχ ὡς γένος ἢ ἴδιον ἢ ὁρισμὸν ἀναιρεῖ ἀλλὰ καθόλου ὅτι μὴ ἀναγκαῖον, ὑπ' οὐδὲν ἂν ἐκείνων ὑποτάσσοιτο· καὶ γὰρ συμβεβηκός τι ἀναγκαῖον. ἔτι οὐ διὰ μεθόδου τινὸς ἀναιρεῖ τὸ ἀναγκαῖον ἀλλὰ προχείρῳ ἐναργείᾳ χρώμενος· ἀναιρῶν δὲ τοῦτο κατασκευάζει τὸ συμβεβηκός, ὥστε εἴη ἂν διὰ τοῦτο τοῖς πρὸς τὸ συμβεβηκὸς ὑποτασσόμενος ὡς τοῦ συμβεβηκότος κατασκευαστικός. διὰ τοῦτο δὲ καὶ ἐπὶ μὲν τοῦ πρώτου τόπου οὐκ ἀντέστρεψεν· οὐ γὰρ εἶπεν 'εἰ τὸ ὡς συμβεβηκὸς ὑπάρχον κατ' ἄλλον τινὰ τρόπον ἀποδέδωκεν'· ἐγένετο γὰρ ἐπ' ἐκείνου ἀντιστρεφομένου ἢ ἀπὸ γένους ὁ τόπος ἢ ἀπὸ ἰδίου ἢ ἀπὸ ὅρου· τὸ γὰρ συμβεβηκὸς ἐγίνετο κατά τι τούτων ἀποδιδόμενον· ἐπὶ δὲ τούτου ἀντέστρεφεν, ὅτι τῷ ἀναγκαίῳ ἐν αὐτῷ χρῆται, ὃ δύναται καὶ ἐν τῷ συμβεβηκότι εἶναι, ἀλλ' οὐ τῷ γένει ἢ ἰδίῳ ἢ ὅρῳ. p. 112b21 Ἔτι εἰ αὐτὸ ἑαυτῷ συμβεβηκὸς ἔθηκεν ὡς ἕτερο ν . Ὁ μὲν τόπος ἀπὸ τῶν πολυωνύμων. ἔστι δὲ τὸ δι' αὐτοῦ λεγόμενον· ἐπεὶ οὐδὲν αὐτὸ ἑαυτῷ οἷόν τε συμβεβηκέναι (τὸ γὰρ συμβεβηκὸς ἐν ὑποκειμένῳ καὶ ἄλλο τοῦ ᾧ συμβέβηκε, καὶ [ὃ] οἷόν τε ὑπάρχειν καὶ μή· οὔτε δέ τι αὐτὸ αὑτῷ ὑπόκειται καὶ ἄλλο τί ἐστιν αὑτοῦ, οὔτε οἷόν τέ τι αὑτῷ ὑπάρχειν τε καὶ μή), ἂν δή τις πλανηθεὶς ἐπὶ τῶν πολυωνύμων ὡς κατὰ τὴν τῶν ὀνομάτων διαφορὰν ἐχόντων καὶ πραγμάτων διαφορὰν εἴπῃ τὸ ἕτερον τῷ ἑτέρῳ συμβεβηκέναι, οἷον τὸ ξίφος τῇ μαχαίρᾳ ἢ τῷ βροτῷ τὸν ἄνθρωπον ἢ τῷ φάρει τὸ ἱμάτιον ἢ τῷ ἥδεσθαι τὸ χαίρειν ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ χαίρειν τὸ εὐφραίνεσθαι, οὗτος ἐλέγχοιτ' ἂν αὐτό τι αὐτῷ συμβεβηκέναι λέγων· ταὐτὸν γὰρ κατὰ τὸ ὑποκείμενόν τε καὶ σημαινόμενον ἡδονὴ καὶ χαρὰ καὶ εὐφροσύνη καὶ τέρψις.

in Top.181 Πρόδικος δὲ ἐπειρᾶτο ἑκάστῳ τῶν ὀνομάτων τούτων ἴδιόν τι σημαινόμενον ὑποτάσσειν, ὥσπερ καὶ οἱ ἀπὸ τῆς Στοᾶς, χαρὰν μὲν λέγοντες εὔλογον ἔπαρσιν, ἡδονὴν δὲ ἄλογον ἔπαρσιν, τέρψιν δὲ τὴν δι' ὤτων ἡδονήν, εὐφροσύνην δὲ τὴν διὰ λόγων· νομοθετούντων δέ ἐστι τοῦτο ἀλλ' οὐδὲν ὑγιὲς λεγόντων. τὸ μὲν οὖν εἰπεῖν τὴν ἡδονὴν χαρὰν οὐχ ἁμάρτημα, ὥσπερ οὐδὲ τὸ τὴν μονάδα ἀδιαίρετον ἢ τὴν στιγμὴν ἀμερῆ· οὐδὲ γὰρ τὸ τὴν χαρὰν χαρὰν εἰπεῖν ἢ τὴν μονάδα μονάδα· τὸ δὲ συμβεβηκέναι θάτερον θατέρῳ λέγειν ἄτοπόν τε καὶ ψεῦδος. p. 112b27 Ἐπεὶ δὲ τἀναντία συμπέπλεκται μὲν ἀλλήλοις ἑξαχῶ ς , ἐναντίωσιν δὲ ποιεῖται τετραχῶς συμπλεκόμεν α . Ὁ μὲν τόπος ἀπὸ τῆς τῶν ἐναντίων συμπλοκῆς. τὸ δὲ κεφάλαιον τοῦ λεγομένου· ἐπεὶ δύο συζυγίαι ἐναντιώσεων συμπλεκόμεναι ἀλλήλαις ἓξ συζυγίας συμπλοκῶν ποιοῦσιν, ὧν αἱ μὲν δύο συζυγίαι οὐκ ἔχουσιν ἐναντίωσιν πρὸς ἀλλήλας, αἱ δὲ τέσσαρες ἔχουσιν, ἀξιοῖ ἀπὸ τῶν συζυγιῶν τῶν τὴν ἐναντίωσιν ἐχουσῶν ὁρμωμένους, ὅταν τι ᾖ τιθέμενον τοιοῦτον ὡς ἔχειν ἑκάτερον τῶν ὅρων τῶν ἐν τῷ τιθεμένῳ προβλήματι ἐναντίον τινί, ἐπὶ τὰς ἐναντίας τῆς ἐν τῷ προβλήματι συμπλοκῆς συμπλοκὰς ἐπιβλέποντας πειρᾶσθαι δεικνύναι τινὰ αὐτῶν ἀληθῆ· ἐκείνης γὰρ ἀληθοῦς δειχθείσης ἀνῃρημένον ἂν εἴη τὸ πρόβλημα, ἐπειδὴ ἀδύνατον ἅμα τἀναντία ἀληθῆ εἶναι. καὶ ἡ μὲν τοῦ τόπου περίληψις τοιαύτη. σαφὲς δ' ἂν τὸ λεγόμενον γίνοιτο, εἰ ἐκθέμενοι τὰς ἐναντιώσεις καὶ τὰς συζυγίας τὰς γινομένας κατὰ τὰς συμπλοκὰς αὐτῶν δείξαιμεν, πῶς μὲν ἓξ ἅπασαι γίνονται, πῶς δὲ αἱ τέσσαρές εἰσιν ἀπὸ τῶν ἓξ αἱ τὴν ἐναντίωσιν ἔχουσαι, καὶ τίνες αὗται. ἔστωσαν δὴ δύο συζυγίαι ἐναντίων, μία μὲν δίκαιον καὶ ἄδικον, ἑτέρα δὲ ἀγαθὸν καὶ κακόν, καὶ συζευγνύσθω ταῦτα ἀλλήλοις καθ' ὅσους τρόπους οἷόν τε συζεύγνυσθαι αὐτά, φυλασσομένου τοῦ ἑκάστην συζυγίαν ἀνὰ ἕνα ὅρον ἔχειν τῶν ἐξ ἑκατέρας ἐναντιώσεως. ἔσονται δὴ οὕτως συντιθεμένων συζυγίαι συμπλοκῶν οὐ πλείους τῶν ἕξ· ἢ γὰρ ἑκάτερον τῶν ἐκ τῆς ἑτέρας ἐναντιώσεως ἑκατέρῳ τῶν ἐκ τῆς ἑτέρας συμπλακήσετα ι , καὶ ἔσονται τοῦτον τὸν τρόπον συμπλεκομένων αὐτῶν δύο συζυγίαι συμπλοκῶν· ἢ γὰρ τῷ μὲν δικαίῳ τὸ ἀγαθόν, τῷ δὲ ἀδίκῳ τὸ κακὸν συμπλακήσεται, καὶ ἔσται μία αὕτη συζυγία ἡ 'τὸ δίκαιον ἀγαθόν, τὸ ἄδικον κακόν', ὑποκειμένου μὲν ἐν ἑκατέρᾳ τῶν συμπλοκῶν ἐν ᾗ μὲν τοῦ δικαίου ἐν ᾗ δὲ τοῦ ἀδίκου, κατηγορουμένου δὲ ἐν μὲν τῇ τοῦ ἀγαθοῦ ἐν δὲ τῇ τοῦ κακοῦ· ποτὲ δὲ ἔμπαλιν τῷ μὲν δικαίῳ τὸ κακόν, τῷ δὲ ἀδίκῳ τὸ ἀγαθόν, ὡς εἶναι τὴν συζυγίαν 'τὸ δίκαιον κακόν, τὸ ἄδικον ἀγαθόν'.

in Top.182 ποτὲ δὲ αὖ τῷ ἑτέρῳ τῶν ὑποκειμένων ἑκάτερος ἀνὰ μέρος τῶν κατηγορουμένων συμπλακήσεται, οἷον τῷ δικαίῳ ὁτὲ μὲν τὸ ἀγαθὸν ὁτὲ δὲ τὸ κακόν, καὶ ἔσονται πάλιν ἄλλαι δύο συζυγίαι, μία μὲν 'τὸ δίκαιον ἀγαθόν, τὸ δίκαιον κακόν', ἑτέρα δὲ 'τὸ ἄδικον κακόν, τὸ ἄδικον ἀγαθόν'. αἱ δὲ λοιπαὶ δύο, ὅταν ἔμπαλιν ἀμφοτέρους τοὺς ὑποκειμένους κατ' ἰδίαν ποτὲ μὲν τῷ ἑτέρῳ τῶν κατηγορουμένων συμπλέξωμεν ποτὲ δὲ τῷ ἑτέρῳ, οἷον τῷ δικαίῳ ποτὲ μὲν τὸ ἀγαθὸν ποτὲ δὲ τὸ κακόν, καὶ πάλιν τῷ ἀδίκῳ ποτὲ μὲν τὸ κα κ ὸν ποτὲ δὲ τὸ ἀγαθόν· ἔσται γὰρ ἡ μὲν ἑτέρα 'τὸ δίκαιον ἀγαθόν, τὸ ἄδικον ἀγαθόν', ἡ δὲ ἑτέρα 'τὸ δίκαιον κακόν, τὸ ἄδικον κακόν'. αἱ μὲν οὖν γινόμεναι ἐκ τῶν δύο ἐναντιώσεων συμπλεκομένων κατὰ τὸν προειρημένον τρόπον συζυγίαι τε καὶ συμπλοκαὶ αὗταί τε καὶ τοσαῦται. πρώτη συζυγία ἡ ἔχουσα ἑκάτερον περὶ ἑκατέρου, ἡ 'τὸ δίκαιον ἀγαθόν ἐστι, τὸ ἄδικον κακόν ἐστι'. δευτέρα ὁμοίως αὐτῇ ἔχουσα ἔμπαλιν ἑκάτερον περὶ ἑκατέρου ἡ 'τὸ δίκαιον κακόν ἐστι, τὸ ἄδικον ἀγαθόν'. τρίτη ἡ ἔχουσα τοῦ ἑτέρου τῶν ὑποκειμένων ἐν μέρει ἀμφότερα κατηγορούμενα, ἡ 'τὸ δίκαιον ἀγαθόν ἐστι, τὸ δίκαιον κακόν ἐστι'. τετάρτη καὶ αὐτὴ ὁμοίως τοῦ ἑτέρου τῶν ὑποκειμένων ἀμφότερα ἐν μέρει κατηγοροῦσα ἡ 'τὸ ἄδικον ἀγαθόν ἐστι, τὸ ἄδικον κακόν ἐστι'. πέμπτη ἡ ἔχουσα ἑκατέρου τῶν ὑποκειμένων παρὰ μέρος τὸν αὐτὸν κατηγορούμενον, ὡς ἡ 'τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίκαιον ἀγαθόν ἐστι, τὸ ἄδικον ἀγαθόν ἐστιν‘. ἕκτη καὶ αὐτὴ ὁμοίως ἔχουσα τὸν αὐτὸν ἑκατέρου τῶν ὑποκειμένων κατηγορούμενον ἡ τὸ ‘δίκαιον κακόν ἐστι, τὸ ἄδικον κακόν ἐστι‘. παρὰ δὲ ταύτας οὐχ οἷόν τε ἄλλην τινὰ συμπλοκὴν εὑρεῖν φυλάσσοντας τὸ τὴν συμπλοκὴν δύο τε ὅρους ἔχειν καὶ ἐξ ἑκατέρας ἐναντιώσεως ἕνα.

in Top.183 τούτων δὴ τῶν ἓξ συζυγιῶν αἱ μὲν δύο αἱ πρῶται ῥηθεῖσαι, ἐν αἷς ἑκάτερον τῶν ἐναντίων συμπλέκεται, οὐ ποιοῦσιν οὐδεμίαν ἐναντίωσιν. οὔτε γὰρ ἡ ‘τὸ δίκαιον ἀγαθόν ἐστι‘ τῇ ‘τὸ ἄδικον κακόν ἐστιν‘ ἐναντία συμπλοκή (ἀμφότερα γὰρ ἀληθῆ, καὶ ἄμφω τοῦ αὐτοῦ ἤθους · τοῦ γὰρ αὐτοῦ τὸ δίκαιον ἀγαθὸν ὑπολαμβάνειν καὶ τὸ ἄδικον κακόν· ἀστεῖα γὰρ ἄμφω), οὔτε πάλιν ἡ ‘τὸ δίκαιον κακόν‘ λέγουσα τῇ ‘τὸ ἄδικον ἀγαθόν‘ λεγούσῃ· πάλιν γὰρ καὶ ταῦτα ὁμοίως ψευδῆ καὶ φευκτὰ καὶ τοῦ αὐτοῦ ἤθους · τοῦ γὰρ αὐτοῦ τό τε δίκαιον κακὸν ὑπολαμβάνειν καὶ τὸ ἄδικον ἀγαθόν. οὐ μάχεται οὖν ἀλλήλοις ἀλλὰ ἀκολουθεῖ· τὰ δὲ ἐναντία ἀλλήλων ἐστὶν ἀναιρετικά. εἰπὼν δὲ ἀμφότερα φευκτὰ εἶναι τὰ δεύτερον εἰρημένα καὶ τοῦ αὐτοῦ ἤθους καὶ προσθεὶς ὅτι φευκτὸν φευκτῷ οὐκ ἔστιν ἐναντίον, ἐπεὶ ἔκειτο ἐν Ἠθικοῖς καθ’ ἑκάστην ἠθικὴν ἀρετὴν εἶναί τις κακία, ἡ μὲν ἐν ὑπερβολῇ ἡ δὲ ἐν ἐνδείᾳ, **** ἀλλὰ καὶ ἀλλήλαις, προσέθηκε τὸ ἐὰν μὴ ᾖ τὸ μὲν κα θ ’ ὑπερβολὴν τὸ δὲ κα τ ’ ἔνδεια ν . πῶς μὲν οὖν ἐκεῖ ἐναντία τὰ τοιαῦτα ἀλλήλοις τε καὶ τῇ ἀρετῇ εἶναι λέγεται, καὶ ὅτι μὴ ὁμοίως μηδὲ κατὰ τὸ αὐτὸ τῇ τε ἀρετῇ καὶ ἀλλήλοις, ἐν ἐκείνοις εἴρηται. νῦν δὲ λέγει, ἐπεὶ τὰ προειρημένα ἀμφότερα ὄντα φευκτὰ οὐ δι’ ὑπερβολὴν ἢ ἔνδειάν ἐστι φευκτὰ ἀλλ’ ἁπλῶς, ὅτι μή ἐστιν ἀλλήλοις ἐναντία. ἔδειξε δὲ τὴν δευτέραν συζυγίαν μὴ ἔχουσαν ἐναντίωσιν οὐδὲν εἰπὼν περὶ τῆς πρώτης, ὅτι ἐπὶ μὲν τῆς πρώτης αὔταρκες ἦν τὸ εἶναι αὐτὰς ἅμα ἀληθεῖς· οὐδέποτε γὰρ οἷόν τε συνυπάρχειν καὶ ἅμα ἀληθῆ εἶναι τὰ ἐναντία· ἅμα μέντοι ψευδῆ εἶναι οὐδὲν κεκώλυται τὰ ἐναντία· οὐ γὰρ διαιρεῖ τἀληθές τε καὶ ψεῦδος τὰ ἐναντία ὥσπερ ἡ ἀντίφασις. ἐπεὶ τοίνυν ἡ δευτέρα συζυγία ἡ ἀμφοτέρας τὰς συμπλοκὰς φευκτὰς ἔχουσα ἀμφοτέρας τὰς συμπλοκὰς ἔχει ψευδεῖς, ὃ οὐκ ἔστιν ἀδύνατον περὶ τὰ ἐναντία, διὰ τοῦτο πρὸς τὸ μὴ εἶναι αὐτὰς ἐναντίας ἐχρήσατο δείξει τῇ ὅτι φευκτὸν φευκτῷ οὐκ ἔστιν ἐναντία ἀλλήλοις, ἀλλ’ ἢ ἐν μόνοις ἐν οἷς περὶ ταὐτόν τι τὸ μὲν ὑπερβάλλει τὸ δὲ ἐλλείπει. ἔτι ἐναργές τέ ἐστι καὶ καθόλου ἀληθὲς ὅτι ἀγαθὸν ἀγαθῷ οὐκ ἔστιν ἐναντίον· οὐκέτι δὲ καθόλου ἀληθὲς τὸ φευκτὸν φευκτῷ μὴ εἶναι ἐναντίον.

in Top.184 τὰς δὲ καταλειπομένας τέσσαρας συμπλοκὰς ἐναντίωσίν φησι ποιεῖν. ἥ τε γὰρ λέγουσα τὰ δίκαια ἀγαθὰ συμπλοκὴ ἐναντία τῇ τὰ δίκαια κακὰ λεγούσῃ, ἐξ ὧν ἦν συμπλοκῶν ἡ τρίτη συζυγία. τοῦ δὲ ἐναντίας εἶναι τὰς ἐν ταύταις ταῖς συζυγίαις συμπλοκὰς δεικτικῷ χρῆται τῷ ἀπὸ ἐναντίου ἤθους καὶ ἀπὸ ἐναντίας ἕξεως ταύτας γίνεσθαι· ἐναντίοι γὰρ τὰ ἤθη ὅ τε τὸ δίκαιον ἀγαθὸν λέγων καὶ ὁ τὸ δίκαιον κακόν. ᾧ μέτρῳ τῶν ἐναντίων χρώμενος εἰκότως εὑρήσει πλείω ἑνὶ ἐναντία. ἔστι δὲ καὶ τὸ τῇ κατὰ τὸ ἦθος ἐναντιώσει κρίνειν τὰ ἐναντία ἔνδοξον μὲν καὶ διαλεκτικόν, οὐκ ἀληθὲς δέ· ἀπὸ ἐναντίου γὰρ ἤθους καὶ τὸ λέγειν τό τε δίκαιον ἀγαθὸν καὶ τὸ μοιχεύειν ἀγαθόν, ἀλλ’ οὐκ ἐναντία ἀλλήλοις τὸ δίκαιον ἀγαθόν, τὸ μοιχεύειν ἀγαθόν. ἦν δ’ ἂν ἐναντία, εἰ ἦν τῷ δικαίῳ ἡ μοιχεία ἐναντίον· περὶ γὰρ τῶν οὕτως ἐχόντων πρὸς ἄλληλα ὁ λόγος. ἀλλὰ καὶ ἡ τετάρτη συζυγία ἐξ ἐναντίων δοκεῖ συγκεῖσθαι, ἡ τὸ ἄδικον ἀγαθὸν λέγουσα τῇ τὸ ἄδικον κακὸν λεγούσῃ· ἀπὸ ἐναντίων γὰρ καὶ αὗται ἕξεων. ἀλλὰ καὶ ἡ πέμπτη τοιαύτη, ἡ τὸ δίκαιον ἀγαθὸν λέγουσα καὶ ἡ τὸ ἄδικον ἀγαθόν· ἐναντίαι γὰρ καὶ αὗται καὶ ἀπὸ ἐναντίων ἕξεων. ὁμοίως καὶ ἡ ἕκτη ἔχει, ἡ τὸ δίκαιον κακὸν λέγουσα καὶ ἡ τὸ ἄδικον κακόν· καὶ γὰρ αὗται ταῖς προειρημέναις ἐναντίαι. Δείξας δὲ ταύτας καὶ εἰπὼν κα θ ’ ἑκάστην γὰρ συζυγίαν τὸ μὲν αἱρετὸν τὸ δὲ φευκτό ν , καὶ τὸ μὲν ἐπιεικοῦς ἤθους τὸ δὲ φαύλο υ , ἐπήνεγκε δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅτι τῷ αὐτῷ πλείονα ἐναντία συμβαίνει γίνεσθα ι , λαμβάνων τοῦτο ὡς τοῖς κειμένοις ἑπόμενον. ἣν γὰρ ἂν συμπλοκὴν ἐπαινετὴν ἢ ἀληθῆ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λάβωμεν, ταύτῃ πᾶσαι αἱ ψεκταὶ ἢ ψευδεῖς ἐναντίαι ἔσονται 〈αἱ〉 ἐν πάσαις ταῖς συζυγίαις, καὶ οὐ πλείους εὑρεθήσονται οὖσαι τῶν δύο· καὶ ὁμοίως ἣν ἂν ψεκτὴν ἢ ψευδῆ, ταύτῃ πᾶσαι αἱ ἐν πάσαις ταῖς συζυγίαις ἐπαινεταὶ ἢ ἀληθεῖς ἐναντίαι, αἵτινες οὐδ’ αὐταὶ πλείους εἰσὶ τῶν δύο. ἔστι δ’ ἐπαινετὸν μέν, τοῦτ’ ἔστιν ἀληθές, ἐν τῇ πρώτῃ συζυγίᾳ τὸ τὸ δίκαιον ἀγαθὸν ὑπολαμβάνειν, ψεκτὸν δὲ τὸ τὸ δίκαιον κακόν, ὥστε τοῦτο ἐναντίον ἔσται ἐκείνῳ· ἀλλὰ καὶ ἐν τῇ δευτέρᾳ συμπλοκῇ, τῇ τὸ ἄδικον ὑποκείμενον ἐχούσῃ ἐν ἀμφοτέραις ταῖς συμπλοκαῖς, ψεκτὴ πάλιν ἐστὶ συμπλοκὴ ἡ τὸ ἄδικον ἀγαθὸν λέγουσα· ἔσται ἄρα καὶ αὕτη ἐναντία τῇ τὸ δίκαιον ἀγαθὸν λεγούσῃ.

in Top.185 ἐν δέ γε ταῖς καταλειπομέναις δύο συζυγίαις αἱ ψεκταὶ συμπλοκαὶ αἱ αὐταί εἰσι ταῖς ἤδη προειρημέναις· ἐν μὲν γὰρ τῇ ἑτέρᾳ αὐτῶν, τῇ πέμπτῃ, ψεκτή ἐστιν ἡ τὸ ἄδικον ἀγαθὸν λέγουσα, ἥτις ἦν καὶ ἐν τῇ τετάρτῃ ψεκτὴ συμπλοκή, ἐν δέ γε τῇ ἕκτῃ ἡ τὸ δίκαιον κακὸν λέγουσά ἐστιν ἡ ψεκτή, ἥτις ἡ αὐτή ἐστι τῇ ἐν τῇ τρίτῃ συζυγίᾳ ψεκτῇ. δύο ἄρα εἰσὶν ἐναντίαι τῇ τὸ δίκαιον ἀγαθὸν λεγούσῃ, ἥ τε τὸ δίκαιον κακὸν λέγουσα καὶ ἡ τὸ ἄδικον ἀγαθόν. ἀλλὰ καὶ τῇ ψεκτῇ τῶν ἐν τῇ τρίτῃ συζυγίᾳ δύο ἔσονται ἐναντίαι συμπλοκαί, ἥ τε ἐν αὐτῇ ταύτῃ ἡ τὸ δίκαιον ἀγαθὸν λέγουσα καὶ ἡ ἐν τῇ τετάρτῃ ἡ τὸ ἄδικον κακὸν λέγουσα· αἱ γὰρ ἐν τῇ πέμπτῃ τε καὶ ἕκτῃ συζυγίᾳ συμπλοκαὶ ἐπαινεταὶ πάλιν αἱ αὐταί εἰσι ταῖς δύο ταῖς προειρημέναις. ὁμοίως καὶ τῶν ἐν ταῖς ἑξῆς τρισὶ συζυγίαις ἐπαινετῶν τε καὶ ψεκτῶν συμπλοκῶν ἑκάστη δειχθήσονται δύο οὖσαι συμπλοκαὶ ἐναντίαι. Οὐσῶν τοίνυν ἑκάστῃ συμπλοκῇ ἐξ ἐναντίων οὔσῃ καὶ ἐναντίωσιν περιεχούσῃ δύο ἐναντίων συμπλοκῶν (αἱ γὰρ πρῶται δύο συζυγίαι ἐξ ἐναντίων μὲν ἦσαν καὶ αὐταί, οὐ μὴν καὶ ἐναντίωσιν περιεῖχον), λαμβάνειν φησὶ δεῖν τῶν ἐναντίων ὁπότερον ἂν ᾖ πρὸς τὴν θέσιν χρήσιμο ν . τοῦτο βραχέως μὲν καὶ διὰ τοῦτο ἀσαφῶς εἴρηται· ἔστι δὲ τοιοῦτον· ἔστι μὲν ὁ ἐπὶ τῶν ἐναντίων τόπος πρὸς ἀνασκευὴν χρήσιμος, οὐκέτι δὲ καὶ πρὸς κατασκευὴν καθόλου· ἐπὶ μὲν γὰρ τῶν ἀμέσων ἐναντίων καὶ πρὸς κατασκευήν, ὅταν ἐπὶ τῶν δεκτικῶν αὐτῶν ὁ λόγος γίνηται, ὡς ἤδη προείρηται. ἐπεὶ δέ ἐστί τινα καὶ ἔμμεσα ἐναντία, ἐφ’ ὧν οὐκέτι ἡ τοῦ ἑτέρου ἀναίρεσις θάτερον αὐτῶν κατασκευάζει, ἀλλὰ μόνον ἡ θατέρου θέσις θάτερον ἀναιρεῖ (εἰ γὰρ λευκόν, οὐ μέλαν, οὐ μήν, εἰ μὴ λευκόν, ἤδη καὶ μέλαν· δύναται γὰρ καὶ τῶν μεταξύ τι εἶναι), διὰ τοῦτο, ὡς εἶπον, ὁ τόπος ὁ προειρημένος πρὸς ἀνασκευὴν μᾶλλον χρήσιμος. ἀδύνατον γὰρ συνυπάρχειν τὰ ἐναντία· ὅταν οὖν πρόβλημά τι ᾖ ἐξ ἐναντίων συγκείμενον ᾧ πλείω ἐστὶν ἐναντία, ἀνασκευάζοντας αὐτὸ χρή, τίνα ἐστὶ τὰ ἐναντία αὐτῷ, λαμβάνειν καὶ τούτων ὃ ἂν μᾶλλον ᾖ δι’ ἐνάργειαν πρὸς τὸ τεθῆναι χρήσιμον, τοῦτο προχειριζομένους καὶ δεικνύντας ὅτι ἀληθές ἐστιν ἀναιρεῖν τὸ κείμενον τούτῳ ἐναντίον ὡς οὐκ ἀληθές.

in Top.186 οἷον εἰ λέγοι τις τὴν δικαιοσύνην κακὸν εἶναι, ἐπεὶ τούτῳ ἐναντία δύο, τό τε τὴν δικαιοσύνην ἀγαθὸν εἶναι καὶ τὸ τὴν ἀδικίαν κακόν, εἰ φανερώτερόν ἐστι τὸ τὴν ἀδικίαν κακὸν εἶναι κακίαν οὖσαν καὶ νόσον ψυχῆς καὶ φθαρτικὴν τοῦτο μὲν τῆς ἐν πόλει κοινωνίας τοῦτο δὲ πάσης συναλλαγῆς, ἐναντίαν δὲ καὶ παρὰ φύσιν τοῖς ἀνθρώποις (οἱ γὰρ ἄνθρωποι φύσει κοινωνικοί), εἰ δὴ τοῦτο διὰ ταῦτα φανερώτερον τοῦ τὴν δικαιοσύνην ἀγαθὸν εἶναι, τοῦτο 〈δεῖ〉 δείξαντάς τε καὶ θέντας ὂν ἐναντίον τῷ τὴν δικαιοσύνην κακὸν εἶναι ἀναιρεῖν ἐκεῖνο. ἐπὶ δέ γε τῶν ἀμέσων ἐναντίων καὶ κατασκευάσομεν τὸ προκείμενον, δείξαντες τὸ ἐναντίον αὐτῷ μὴ ὑπάρχον ὄντι δεκτικῷ αὐτοῦ καθ’ ὁπότερον ἂν σημαινόμενον τοῦ ἐναντίου προχειρότερον τοῦτο δυνώμεθα δεικνύναι. τοῦτο δὲ γίνοιτ’ ἄν, εἰ ἀμφότεραι αἱ ἐναντιώσεις, ἐξ ὧν ἡ τῶν ἐναντίων συμπλοκή, εἶεν ἄμεσοι· οὕτω γὰρ καὶ τὰ ἄλλα ἄμεσα ἔσται συγκείμενα. ὁ γὰρ δείξας, ὅτι μή ἐστιν ἡ ὑγεία κακόν, ἤδη δέδειχεν ὅτι ἡ ὑγεία ἀγαθόν, εἰ εἴη ἄμεσα τό τε ἀγαθὸν καὶ τὸ κακὸν ὁμοίως [δὲ] τῇ ὑγείᾳ καὶ τῇ νόσῳ. ὡς γὰρ καὶ πρὸς κατασκευὴν ὄντος τοῦ τόπου χρησίμου εἶπε καὶ ἀναιροῦντι καὶ κατασκευάζοντ ι . δεῖ δὲ τὸ μᾶλλον ἐν τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατηγορουμένοις ὅροις ζητεῖν, 〈οἷον〉 πότερον μᾶλλον καὶ φανερώτερον ὑπάρχει τῇ δικαιοσύνῃ τὸ ἀγαθὸν ἢ τῇ ἀδικίᾳ τὸ κακόν. ὁ αὐτὸς λόγος καὶ ἐὰν ἄλλα τινὰ ἐναντία λάβωμεν, οἷον ἡδονὴν καὶ λύπην καὶ ἀγαθὸν καὶ κακόν, καὶ ταῦτα συμπλέκωμεν. ὁμοίως κἂν [ἐπὶ τούτων], οἷς αὐτὸς ἐχρήσατο, λάβωμεν φίλους καὶ ἐχθροὺς καὶ εὖ ποιεῖν καὶ κακῶς ποιεῖν. Ὁ μὲν οὖν τόπος οὗτος. ἐπιζητήσαι δ’ ἄν τις πῶς πάλιν ἐνταῦθα πλείω ἑνὶ ἐναντία εἶναι ἔλαβεν ἀρεσκόμενος τῷ ἓν ἑνὶ ἐναντίον εἶναι. ἢ ὅταν μὲν ἁπλοῦν τὸ ἓν ᾖ, ἀνάγκη τούτῳ ἓν ἐναντίον εἶναι· ὅταν δὲ μὴ ἁπλοῦν, οὐδὲν κωλύει τούτῳ καὶ πλείω εἶναι ἐναντία, οὐ κατὰ ταὐτὸν ἀλλὰ ἄλλου κατ’ ἄλλο τῶν λαμβανομένων ἐναντίων ὄντος ἐναντίου τῷ ἑνί· κατὰ ταὐτὸν γὰρ ἀδύνατον πλείω τῷ αὐτῷ ἐναντία εἶναι. κἂν ἓν δέ τι ὂν κατ’ ἀριθμὸν δυνάμεις ἔχον πλείους ἑκάστῃ τῶν ἐν αὐτῷ δυνάμεων ἔχῃ τι ἐναντίον, οὐκ ἐπεὶ ἓν κατ’ ἀριθμόν ἐστι τὸ λαμβανόμενον, διὰ τοῦτο ἑνὶ πλείω ἔσται ἐναντία. οὐδὲν γὰρ κωλύει ἕν τι κατ’ ἀριθμὸν ὂν καὶ ψυχρὸν εἶναι καὶ λευκόν, ὡς τὴν χιόνα, καὶ ἔχειν ἐναντία τό τε θερμὸν καὶ τὸ μέλαν· ἀλλ’ οὐ διὰ τοῦτο ἑνὶ πλείω ἐναντία γίνεται, ὅτι μὴ κατὰ ταὐτὸν ἄμφω, τό τε θερμὸν καὶ τὸ μέλαν, ἐναντία τῇ χιόνι.

in Top.187 καὶ ἐπὶ τῆς τῶν ἐναντίων δὲ συμπλοκῆς ταὐτὸ συμβαίνει· οὐ γὰρ δὴ κατὰ ταὐτὸν τῷ ‘ἡ ἡδονὴ ἀγαθόν ἐστιν‘ ἐναντίον ἐστὶ τὸ ‘ἡ ἡδονὴ κακόν‘ καὶ ‘ἡ λύπη ἀγαθόν‘, ἀλλ’ ἡ μὲν πρώτη, ὅτι τὸ ἐναντίον τοῦ αὐτοῦ κατηγόρησεν, ἡ δὲ δευτέρα, ὅτι τοῦ ἐναντίου τὸ αὐτό· δύο γὰρ τὰ συγκείμενα, καὶ ἑκατέρῳ αὐτῶν ἴδιόν τί ἐστιν ἐναντίον. οὐδ’ ἐνταῦθα οὖν αὐτῷ τι μαχόμενον λέγει, ὥσπερ οὐδὲ ἐν τοῖς Ἠθικοῖς, ὡς ἐδείξαμεν καὶ ἐν τοῖς εἰς ἐκεῖνα ὑπομνήμασιν. p. 113a20 Ἔτι εἰ ἔστι τι ἐναντίον τῷ συμβεβηκότ ι . Εἴ τίς τινι συμβεβηκέναι τι εἴποι, δεῖ, φησίν, ἐφορᾶν εἰ τῷ συμβεβηκότι ἐστί 〈τι〉 ἐναντίον. οὗτος ὁ τόπος ὁ αὐτός ἐστι τῷ πρὸ αὐτοῦ ἔν τισι φερομένῳ, κατὰ τὴν λέξιν μόνον αὐτοῦ διαφέρων, ὡς 〈παρὰ〉 τὸ εἰκὸς Ἀριστοτέλους διαφόρῳ λέξει τὸν αὐτὸν ὑποσημηναμένου τόπον· διὸ ἔν τισιν ὁ πρὸ τούτου περιῄρηται. ἔστι δὲ ὁ τόπος καὶ αὐτὸς ἀπὸ τῶν ἐναντίων ἀνασκευαστικός. ἐπεὶ γὰρ ἀδύνατόν τινι ἅμα τὰ ἐναντία ὑπάρχειν τε καὶ συμβεβηκέναι, φησὶ δεῖν, ἄν τίς τι συμβεβηκέναι τινὶ λέγῃ, ἐπιβλέπειν εἰ τῷ συμβεβηκέναι λεγομένῳ ἐστί τι ἐναντίον καὶ εἰ ὑπάρχει τούτῳ ᾧ ὑπάρχειν τίς φησι τὸ ἐναντίον αὐτῷ. ἂν γὰρ δειχθῇ τοῦτο ὑπάρχον αὐτῷ, ἀνεσκευασμένον ἔσται τὸ τιθέμενον αὐτῷ συμβεβηκέναι. εἰ γάρ τις λέγοι τὴν ἀδικίαν ὠφέλιμον εἶναι τῷ ἔχοντι, ἐπεὶ τῷ μὲν ὠφελίμῳ τὸ βλαβερὸν ἐναντίον, ἡ δὲ ἀδικία νόσος ψυχῆς ἐστιν, ἂν λάβωμεν ὅτι πᾶσα νόσος βλαβερὰ τῷ ἔχοντι αὐτήν, ἔχοιμεν ἂν ὅτι καὶ ἡ ἀδικία· εἰ δὲ βλαβερά, οὐκ ὠφέλιμος· ἀδύνατον γὰρ ἅμα τἀναντία τῷ αὐτῷ ὑπάρχει ν . ὁμοίως, ἂν τὸ ὑγιαίνειν λεγόμενον δείξωμεν νοσοῦν, ἀνῃρηκότες ἂν εἴημεν τὸ ὑγιαίνειν αὐτό. ἀλλὰ καὶ εἰ τὴν ἡδονήν τις ἀγαθὸν ἔθετο, δειχθείσης ὅτι κακὸν ἀνῃρημένον ἂν εἴη τὸ ἀγαθὸν αὐτὴν εἶναι· ἔσται γὰρ ἅμα περὶ αὐτὴν τἀναντία. διαφέροι δ’ ἂν οὗτος ὁ τόπος τοῦ πρὸ ὀλίγου ῥηθέντος τοῦ “ὅσοις δὲ ἀνάγκη θάτερον μόνον ὑπάρχειν”, ὅτι ἐκεῖνος μὲν ἦν ἐπὶ ἀμέσων λεγόμενος, διὸ ἦν καὶ κατασκευαστικός, οὐ μόνον ἀνασκευαστικός, οὗτος δὲ ἐπὶ τῶν ἐμμέσων ἐναντίων, διὸ μόνον ἐστὶν ἀνασκευαστικός.

in Top.188 p. 113a24 [ Ἄλλο ς ] ἢ εἴ τι τοιοῦτον εἴρηται κατά τινο ς , οὗ ὄντος ἀνάγκη τἀναντία ὑπάρχει ν . Προστίθησι τῷ προειρημένῳ τόπῳ καὶ τοῦτον ὄντα καὶ αὐτὸν ἐπὶ τῶν ἐναντίων τε καὶ ἀνασκευαστικόν. ἔστι δὲ ὁ τόπος· ἀξιοῖ ζητεῖν εἴ τις τοιοῦτόν τι κατηγόρηκέ τινος ὡς ὑπάρχον αὐτῷ, ᾧ ἕπεται τὸ ἅμα τῷ ὑποκειμένῳ πράγματι τὰ ἐναντία ὑπάρχειν· εἰ γὰρ εἴη τοιοῦτον τὸ τιθέμενον ὑπάρχειν τινί, ἀναιροῖτ’ ἂν καὶ δεικνύοιτο ἀδύνατον τῷ ἀδύνατον εἶναι ἅμα τὰ ἐναντία ὑπάρχειν τινί. αὐτὸς μὲν οὖν παραδείγματι τῶν ἰδεῶν κέχρηται. εἰ γάρ τις λέγοι τὰς ἰδέας ἐν ἡμῖν εἶναι ὡς εἶναι τὰ ἡμέτερα εἴδη τὰς ἰδέας, τούτῳ ἀκολουθεῖ τὸ ἅμα μὲν ἀκινήτους τὰς ἰδέας λέγειν ἅμα δὲ κινουμένας, καὶ ἅμα μὲν νοητὰς ἅμα δὲ οὐ νοητὰς ἀλλὰ αἰσθητάς. καθ’ ὅσον μὲν γὰρ τὰς ἰδέας λέγουσι νοητάς τε καὶ ἀκινήτους, ταῦτα αὐταῖς ὑπάρξει· καθ’ ὅσον δὲ ἐν

ἡμῖν αὐτὰς εἶναι λέγουσι, κινουμένων τε ἡμῶν συγκινηθήσονται καὶ ἔτι αἰσθηταὶ ἔσονται· τὴν γὰρ ἑκάστου μορφὴν τῇ ὄψει γνωρίζομεν, ἥτις εἰ ἔστιν ἡ ἰδέα, αἰσθητὴ ἂν εἴη. ἔνεστι δὲ προσχρωμένους τῷ τόπῳ τούτῳ ἀναιρεῖν τό τε τὸ ‘ἐγὼ ψεύδομαι‘ πρότασιν εἶναι· εἰ γὰρ πρότασις, ἅμα ἔσται ἀληθής τε καὶ ψευδής, ὡς δείκνυται· ἀδύνατον δὲ τοῦτο· ἐναντία γὰρ ταῦτα· οὐκ ἄρα πρότασις τὸ ‘ἐγὼ ψεύδομαι‘. εἰ γὰρ εἴη συγκεχωρημένον τὸ εἶναι πρότασιν αὐτήν, ἀναιροῖτ’ ἂν τὸ πᾶσαν πρότασιν ἢ ἀληθῆ ἢ ψευδῆ εἶναι· εἰ γὰρ τοῦτο, εἴη ἂν καὶ αὕτη ἢ ἀληθὴς ἢ ψευδής. ἀλλ’ ὁπότερον ἂν ὑποτεθῇ εἶναι, ἕπεται καὶ τὸ ἐναντίον αὐτῇ· ἀληθοῦς μὲν γὰρ ὑποτεθέντος εἶναι τοῦ ‘ἐγὼ ψεύδομαι‘ ἕπεσθαι δοκεῖ τὸ ψεύδεσθαι αὐτόν· οὕτως γὰρ ἂν ἀληθεύοι ψεύδεσθαι λέγων αὑτόν· ψευδοῦς δὲ πάλιν τὸ ἀληθεύειν· διὰ γὰρ τοῦτο αὐτὸ ψεύδοιτ’ ἂν πάλιν λέγων αὑτὸν ψεύδεσθαι, διότι ἀληθεύει. ἀλλ’ οὐδὲ τὸ ‘πᾶσα φαντασία ἀληθήσ‘ πρότασις ἂν εἴη· ἅμα γὰρ ἀληθής τε καὶ ψευδής, ἀληθὴς μέν, ὅτι φαντασία καὶ αὐτή, ψευδὴς δέ, ὅτι φησὶν πᾶσαν ἀληθῆ εἶναι· τοῦτο δὲ ἀδύνατον.

in Top.189 ἀλλὰ καὶ τῷ τὸ πᾶν ἐν παντὶ μεμῖχθαι λέγοντι ἕπεται τὸ ἅμα εἶναι τὰ ἐναντία. ἀλλὰ καὶ τῷ τὸ ὂν ἕν τε εἶναι καὶ ἄπειρον λέγοντι ἕπεται τὸ ὂν ἕν τε εἶναι καὶ πολλά· τὸ γὰρ ἄπειρον τοῦ ποσοῦ· τὸ δὲ ποσὸν συμβεβηκός· ἔσται οὖν καὶ οὐσία καὶ ποσόν. ἀλλὰ καὶ τῷ τὸ πάντα κινεῖσθαι τιθεμένῳ ἕπεται τὸ τὸ αὐτὸ ἅμα κινεῖσθαί τε καὶ ἠρεμεῖν· αὐτὸ γὰρ τὸ πάντα κινεῖσθαι, καθ’ ὅσον ἀληθές τε καὶ βέβαιον μένει, ἀκίνητον ἔσται, καθ’ ὅσον δὲ τῶν πάντων ἐστί, καὶ αὐτὸ κινηθήσεται. διὰ δὲ τοῦ εἰπεῖν διὰ γὰρ τῆς περὶ τὴν ὄψιν αἰσθήσεως τὴν ἐν ἑκάστῳ μορφὴν γνωρίζομεν ἔδειξε πῶς εἶπεν ἐν ἡμῖν εἶναι τὰς ἰδέας· ὡς γὰρ τὸ ἑκάστου εἶδος καὶ τὴν μορφήν. διὰ τοῦ τόπου τούτου ἀναιρεθήσεται καὶ τὰ τοιαῦτα· ‘ἐπίσταται Δίων ὅτι τέθνηκεν‘· ἅμα γὰρ τούτῳ καὶ τὸ τεθνάναι καὶ τὸ ζῆν ἕπεται. ὁμοίως τούτῳ καὶ τὸ ‘οὐκ ἔστιν αὕτη ἡμέρα‘. p. 113a33 Πάλιν εἰ κεῖται συμβεβηκὸς ᾧ ἐστί τι ἐναντίο ν . Ὁ τόπος οὗτος τοιοῦτος· ἐπεὶ δοκεῖ τὸ αὐτὸ τῶν ἐναντίων εἶναι δεκτικόν, εἴ τίς τινι συμβεβηκέναι τί φησιν, ἀξιοῖ σκοπεῖν εἰ τῷ συμβεβηκέναι λεγομένῳ ἐστί τι ἐναντίον, καὶ ὄντος ὁρᾶν εἰ τὸ ὑποκείμενον δεκτικόν ἐστι καὶ τούτου. δεκτικοῦ μὲν γὰρ ὄντος κατασκευάζοιτ’ ἂν καὶ τὸ τούτου δεκτικὸν αὐτὸ εἶναι· οὐ μὴν ἤδη τὸ καὶ πάντως αὐτὸ ἐν αὐτῷ εἶναι, ὡς καὶ αὐτὸς ἐρεῖ. εἰ δὲ μὴ εἴη δεκτικὸν τούτου, οὐδ’ ἂν τοῦ συμβεβηκέναι τιθεμένου αὐτῷ εἴη δεκτικόν· εἰ δὲ μὴ δεκτικόν, οὐδ’ ἂν ἔχοι αὐτό. δεῖ δὲ ἐπ’ ἐκείνων χρῆσθαι τῷ τόπῳ ἐφ’ ὧν μὴ σύμφυτον τῷ ὑποκειμένῳ τὸ ἕτερον τῶν ἐναντίων, ὡς τῇ χιόνι τὸ λευκόν. οἷον εἰ τῇ ὀργῇ τὸ μῖσος ἕπεσθαί τις εἶπεν, ἐν ᾧ δῆλον ὅτι ἡ ὀργή, ἐν τούτῳ καὶ τὸ μῖσος ἔσται κατ’ αὐτόν· ἔστι δὲ ἡ ὀργὴ ἐν τῷ θυμοειδεῖ · ἐν τούτῳ ἄρα καὶ τὸ μῖσος ἔθετο. ἐπεὶ οὖν ἐστιν ἐναντίον τῷ μίσει ἡ φιλία, ἔσται τὸ θυμοειδὲς καὶ τῆς φιλίας δεκτικόν· εἰ οὖν μὴ τοῦτο (ἐν γὰρ τῷ ἐπιθυμητικῷ τὸ φιλεῖν καὶ ἡ φιλία), οὐκ ἂν οὐδὲ τὸ μισεῖν ἐν τῷ θυμικῷ εἴη· εἰ δὲ τοῦτο, ἀναιροῖτ’ ἂν τὸ τὸ μῖσος ἕπεσθαι τῇ ὀργῇ, εἴ γε ἡ μὲν ὀργὴ ἐν τῷ θυμικῷ, τὸ δὲ μῖσος ἐδείχθη ἐν τῷ ἐπιθυμητικῷ.

in Top.190 πάλιν εἰ τὴν ἄγνοιαν ἐν τῷ ἐπιθυμητικῷ τις λέγοι εἶναι, ἕποιτ’ ἂν τὸ καὶ γνώσεως εἶναι τὸ ἐπιθυμητικὸν δεκτικόν· εἰ δὲ τοῦτο, καὶ ἐπιστήμης. εἰ δὲ μὴ τοῦτό ἐστι [τὸ] ἐπιστήμης δεκτικὸν ἀλλὰ τὸ διανοητικόν, οὐδ’ ἂν ἀγνοίας εἴη τὸ ἐπιθυμητικὸν δεκτικόν. τούτῳ τῷ τόπῳ προσχρωμένους ἔστι δεικνύναι ὅτι μηδεμία τῶν ἠθικῶν ἀρετῶν ἐπιστήμη. τὸ γὰρ ἐπιστήμης δεκτικὸν καὶ ἀγνοίας· ὥστε εἰ ἀγνοίας τὸ λογιστικόν, καὶ ἐπιστήμης τοῦτο, ἀλλ’ οὐ τὸ παθητικόν, ἐν ᾧ αἱ ἠθικαὶ ἀρεταί. δεικνύοιτ’ ἂν διὰ τοῦ τόπου τούτου καὶ ὅτι ὁ θεὸς οὐκ ἔστι ζωῆς δεκτικός, ὅτι μηδὲ θανάτου· αὐτοζωὴ γὰρ ἀλλ’ οὐ ζωῆς δεκτικός. ἢ διὰ τοῦτο οὐ δεκτικός, ὅτι σύμφυτον αὐτῷ τὸ ζῆν ὡς τῇ χιόνι τὸ λευκόν. πρὸς μὲν οὖν ἀνασκευὴν ἁπλῶς ὁ τόπος χρήσιμος. κατασκευάσαι δὲ διὰ τούτου τὸ μὲν ὑπάρχειν τι οὐχ οἷόν τε· τὸ μέντοι δεκτικὸν αὐτὸ εἶναι τοῦ λεγομένου αὐτῷ ὑπάρχειν κατασκευάζοιτ’ ἄν· εἰ γὰρ τοῦ ἐναντίου τούτῳ δεκτικόν, καὶ τούτου. οὕτως κατασκευάζοιτ’ ἂν ὅτι ἡ ὕλη οὐ στέρησις ἀλλὰ δεκτικὴ στερήσεως, ἐπεὶ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ εἴδους, ὅ ἐστιν ἐναντίον τῇ στερήσει, ἐστὶ δεκτική. ἂν μὲν οὖν δεικνύμενον ᾖ τὸ ἐναντίον ὑπάρχον τῷ ὑποκειμένῳ, ἄντικρυς ἂν ὅτι μὴ ὑπάρχει αὐτῷ τὸ κείμενον ὑπάρχειν δεικνύοιτο· ὅτι μέντοι δεκτικόν ἐστιν αὐτοῦ, εἴη ἂν κατεσκευασμένον. εἰ δὲ δεκτικὸν εἴη μόνον δεικνύμενον τὸ ὑποκείμενον τοῦ ἐναντίου τῷ ὑπάρχειν αὐτῷ λεγομένῳ, δύναται καὶ ὑπάρχειν αὐτῷ τοῦτο· εἰ δέ γε τῶν ἀμέσων εἴη, καὶ ὑπάρχοι ἂν πάντως. p. 113b15 Ἐπεὶ δέ εἰσιν αἱ ἀντιθέσεις τέτταρε ς , σκοπεῖν ἐκ μὲν τῶν ἀντιφάσεων ἀνάπαλι ν . Ὁ τόπος ἐκ τῶν κατὰ τὰς ἀντιθέσεις ἀκολουθήσεων. ἀντίκειται δὲ τὰ ἀντικείμενα τετραχῶς· ἢ γὰρ ὡς κατάφασις καὶ ἀπόφασις ἢ ὡς τὰ ἐναντία ἢ ὡς ἕξις καὶ στέρησις ἢ ὡς τὰ πρός τι.

in Top.191 καὶ ἔστι καθ' ἑκάστην ἀντίθεσιν οἰκεία τις ἀκολουθία, ἀφ' ἧς ἀκολουθίας ὑπογράφει πῶς οἷόν τε ὁρμωμένους καὶ κατασκευάζειν τι καὶ ἀνασκευάζειν. οὐκ ἐπὶ πασῶν δὲ τῶν ἀντιθέσεων ἡ ἀκολούθησις ὁμοία, ἀλλ' ἐπὶ μὲν τῆς ἀντιφάσεως ἀνάπαλιν ἡ γινομένη ἀκολούθησις ἔχει· οἷον εἰ τὸ καλὸν ἡδ ύ , τὸ οὐχ ἡδὺ οὐ καλόν. οὐχὶ δὲ λεκτέον τὸ οὐ καλὸν οὐχ ἡδύ· τῇ γὰρ καταφάσει τῇ τὸ καλὸν ἡδὺ λεγούσῃ ἀληθεῖ οὔσῃ ἀντιστρέφει ἡ τὸ κατηγορούμενον ἐν τῇ καταφάσει ἀποφατικῶς λαμβάνουσα καὶ κατηγοροῦσα τοῦ οὕτως λαμβανομένου τὸ ὑποκείμενον ἐν τῇ καταφάσει καὶ αὐτὸ ἀποφατικῶς. τῇ γὰρ προειρημένῃ καταφάσει ἕπεται καὶ ἀντιστρέφει ἡ τὸ οὐχ ἡδὺ οὐ καλὸν λέγουσα, ἀλλ' οὐχὶ ἡ τὸ οὐ καλὸν οὐχ ἡδύ· οὕτως γὰρ ἂν ἦν ἐπὶ τὰ αὐτὰ ἡ ἀκολούθησις, εἰ ἀφ' οὗ ἤρχετο ἡ κατάφασις, ἀπὸ τούτου καὶ τὸ ἀποφατικῶς λαμβανόμενον· ἀλλ' ἔστιν ἀντιστρέφουσα τῇ προειρημένῃ καταφάσει ἡ λέγουσα τὸ οὐχ ἡδὺ οὐ καλόν. καὶ καθόλου τὸ ἀντικείμενον δεῖ λαμβάνοντας τοῦ ἑπομένου, εἰ ἐν ὑποθέσει εἴη, ἢ τοῦ κατηγορουμένου, εἰ ἐν κατηγορικῇ προτάσει, τὴν ἀκολουθίαν λαμβάνειν καὶ τῷ ἀντικειμένῳ τοῦ ἡγουμένου συντάσσειν αὐτὸ ὡς ἀκολουθοῦν, εἰ ὑποθετικὴ ἡ πρότασις εἴη, εἰ δὲ κατηγορική, τῷ τοῦ ὑποκειμένου. ἄν τε γὰρ ἡ κατάφασις ἡ προειρημένη ἀληθὴς ᾖ, καὶ ἡ ἀπόφασις ἡ τοιαύτη ἀληθὴς ἔσται, καὶ εἰ ἡ ἀπόφασις ἀληθής, ἀνάγκη καὶ τὴν ἀντεστραμμένην αὐτῇ κατὰ τὸν προειρημένον τρόπον κατάφασιν ἀληθῆ εἶναι· ὁμοίως, ἐάν τις τούτων ψευδὴς ᾖ, καὶ ἡ λοιπή. εἰ γὰρ ψεῦδος τὸ λέγειν τὸ καλὸν ἡδύ, ψεῦδος καὶ τὸ λέγειν τὸ οὐχ ἡδὺ οὐ καλόν, καὶ ἀληθοῦς οὔσης τῆς 'ὁ ἄνθρωπος ζῷόν ἐστιν' ἀληθὴς καὶ ἡ λέγουσα ' τὸ μὴ ζῷον οὐκ ἔστιν ἄνθρωποσ ' · καὶ πάλιν ἀληθοῦς οὔσης τῆς 'ὃ μή ἐστιν ἄνθρωπος, οὐδὲ Σωκράτης ἐστίν' ἀληθὴς γίνεται καὶ ἡ κατάφασις ἡ λέγουσα Σωκράτην ἄνθρωπον εἶναι. ὅτι δὲ ἀνάπαλιν ἡ ἀκολούθησις ἐπὶ τῆς ἀντιφάσεως, λαμβάνειν φησὶ δεῖν ἐξ ἐπαγωγῆ ς . εἰ γὰρ ὁ ἄνθρωπος ζῷο ν , τὸ μὴ ζῷον οὐκ ἄνθρωπο ς , καὶ εἰ ἡ ὑπόληψις διάθεσις, ἡ μὴ διάθεσις οὐχ ὑπόληψις. διὰ τοῦτο καὶ εἰ τὸ γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ ἔχον ἀρχὴν οὐ γέγονεν, ἀλλ' οὐχ ὡς ὁ Μέλισσος ᾤετο, τὸ μὴ γενόμενον οὐκ ἔχει ἀρχήν· ψεῦδος γὰρ τοῦτο· πολλὰ γὰρ ἀγένητα ὄντα ἀρχὰς ἔχει.

in Top.192 καὶ εἰ τὸ ἀμερὲς ἀδιάστατον, τὸ μὴ ἀδιάστατον οὐκ ἀμερές. γίνεται μὲν οὖν ποτε καὶ ἐπὶ τὰ αὐτὰ ἡ ἀκολούθησις, ὡς ἐπὶ τῶν ἰδίων καὶ ἐπὶ τῶν ὁρισμῶν· εἰ γὰρ ὁ ἄνθρωπος γελαστικόν, ὁ μὴ ἄνθρωπος οὐ γελαστικόν· καὶ εἰ τὸ λευκὸν χρῶμα διακριτικὸν ὄψεως, τὸ μὴ λευκὸν χρῶμα οὐκ ἔστι διακριτικὸν ὄψεως. ἀλλ' οὐ καθόλου ἡ τοιαύτη ἀντιστροφὴ ἀλλ' ἐπὶ ὕλης τινός, ἡ δὲ προειρημένη καθόλου· καὶ γὰρ οὐκ ἐπὶ τῶν ἰδίων μόνων καὶ τῶν ὁρισμῶν ἀλλὰ καὶ ἐπὶ τῶν γενῶν καὶ ἐπὶ τῶν διαφορῶν καὶ ἐπὶ τῶν συμβεβηκότων ἀληθής. καὶ ἔστιν ἡ τοιαύτη ἀντιστροφὴ ἡ σὺν ἀντιθέσει λεγομένη. καὶ τοιαύτη μὲν ἡ ἐν τῇ κατ' ἀντίφασιν ἀντιθέσει ἀκολουθία. χρησόμεθα δὲ αὐτῇ οὕτως καὶ πρὸς ἀνασκευὴν καὶ πρὸς κατασκευήν. ἀνασκευάζοντες μὲν τὸ καταφατικὸν διὰ τοῦ δεῖξαι, ὅτι τὸ ἀποφατικὸν τῷ ἀποφατικῷ οὐχ ὑπάρχει, τοῦτο ποιήσομεν· εἰ γὰρ μὴ τοῦτο, οὐδὲ τὸ καταφατικὸν τῷ καταφατικῷ τὸ ἀντεστραμμένως λαμβανόμενον. εἰ γὰρ μὴ ἀληθὲς τὸ τὸ μὴ ἀγαθὸν μὴ εἶναι ἡδονήν, οὐδὲ τὸ τὴν ἡδονὴν ἀγαθὸν εἶναι ἀληθές· οὐκ ἀληθὲς δὲ ἐκεῖνο· αἱ γὰρ τῶν ἀκολάστων ἡδοναὶ οὐκ οὖσαι ἀγαθαὶ ἡδοναί εἰσιν· οὐκ ἄρα ἡ ἡδονὴ ἀγαθόν ἐστιν. οὕτως ἀναιρήσομεν τὰς ἀτόμους

γραμμάς. εἰ γὰρ τὸ ἀδιαίρετον κατὰ φύσιν ἀμερές, τὸ μὴ ἀμερὲς οὐκ ἀδιαίρετον κατὰ φύσιν· ὥστε οὐκ ἂν εἶεν ἄτομοί τινες γραμμαί, ἐπεὶ μηδὲ ἀμερεῖς· μόνα γὰρ τὰ σημεῖα ἀμερῆ· οὐ γάρ εἰσι σημεῖα αἱ γραμμαί. εἰ δὲ κατασκευάζοιμεν τὸ καταφατικόν, δείξαντες τὸ ἀποφατικὸν τῷ ἀποφατικῷ ὑπάρχον εἴημεν ἂν καὶ τὸ ἀντιστρέφον αὐτῷ καταφατικὸν δεδειχότες. εἰ γὰρ τὸ μὴ ζῷον οὐκ ἄνθρωπος, ὁ ἄνθρωπος ζῷον· καὶ εἰ τὸ μὴ ἀγαθὸν οὐχ αἱρετόν, τὸ αἱρετὸν ἀγαθόν· καὶ εἰ τὸ μὴ ὠφέλιμον οὐκ ἀγαθόν, τὸ ἀγαθὸν ὠφέλιμον ὥστε ἐπεὶ αἱρετὸν ἡ ὑγεία, καὶ ἀγαθόν, καὶ ἐπεὶ ἀγαθόν, καὶ ὠφέλιμον. καὶ εἰ τὸ μὴ οἰκεῖον οὐκ ἐφετόν, τὸ ἐφετὸν οἰκεῖον· ἐφετὸν δὲ ἡμῖν τὸ θεῖον· καὶ οἰκεῖον ἄρα. ὡς δὲ ἀπὸ τῆς ἀποφάσεως καὶ ἀνασκευάζεται καὶ κατασκευάζεται ἡ κατάφασις, οὕτως καὶ ἀπὸ τῆς καταφάσεως ἡ ἀπόφασις καὶ κατασκευάζεται καὶ ἀνασκευάζεται· ἡ γὰρ τοῦ ἑτέρου αὐτῶν κατασκευὴ καὶ τοῦ ἑπομένου ἐστὶν αὐτῷ· καὶ ἡ ἀνασκευὴ πάλιν ὁμοίως.

in Top.193 καὶ τοιαύτη μὲν ἡ τῶν κατ’ ἀντίφασιν ἀντικειμένων ἀκολούθησις, καὶ τοιαῦται αἱ κατ’ αὐτὰ ἀνασκευαί τε καὶ κατασκευαί. οὐ τῇ ἀντιφάσει δὲ τὸ ἑπόμενον λαμβάνει, ὡς ἂν ἐκ τῆς φωνῆς δόξαι, ἀλλ’ ἑκατέρᾳ τῶν προτάσεων ἐξ ὧν ἡ ἀντίφασις, ὡς δέδεικταί τε καὶ αὐτὸς εἶπε διὰ τοῦ δῆλον οὖν ὅτι πρὸς ἄμφω ἡ κατὰ τὴν ἀντίφασιν ἀκολούθησις ἀνάπαλιν γινομέν η . Ἐπὶ δὲ τῶν ἐναντίων ἡ μὲν ἀκολούθησις τοιαύτη· εἰ τὸ ἐναντίον τῷ ἐναντίῳ, καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον· διχῶς δὲ τοῦτο· καὶ γὰρ ἐπὶ τὰ αὐτὰ καὶ ἀνάπαλι ν , ἐπὶ μὲν τῶν πλείστων ἐπὶ τὰ αὐτά, ἔστι δὲ ἐφ’ ὧν καὶ ἀνάπαλιν. ἐπὶ τὰ αὐτὰ μὲν οὖν γίνεται τῶν ἐναντίων ἡ ἀκολούθησις, ὅταν δύο οὐσῶν ἐναντιώσεων τὰ μόρια τῆς ἑτέρας ἐναντιώσεως ἕπηται τοῖς τῆς ἑτέρας ἐναντιώσεως μορίοις. οἷον ἀνδρεία καὶ δειλία ἐναντία, ἀλλὰ καὶ ἀρετὴ καὶ κακία, καὶ ἀκολουθεῖ τῇ μὲν ἀνδρείᾳ ἡ ἀρετή, τῇ δὲ δειλίᾳ, ἥτις ἐστὶ τῇ ἀνδρείᾳ ἐναντία, ἡ κακία· καὶ τῇ μὲν ἀνδρείᾳ τὸ αἱρετόν, τῇ δὲ δειλίᾳ τὸ φευκτόν· ἐναντία γὰρ ὄντα τὸ αἱρετόν τε καὶ φευκτὸν ἀκολουθεῖ ἐκείνοις ἑκάτερον ἑκατέρῳ. πάλιν εἰ τῷ μὲν καλῷ τὸ ἡδὺ ἀκολουθεῖ τῷ δὲ αἰσχρῷ τὸ ἀνιαρόν, ἐπὶ τὰ αὐτὰ ἡ ἀκολουθία. καὶ εἰ τῷ μὲν ἀγενήτῳ τὸ ἄφθαρτον τῷ δὲ γενητῷ τὸ φθαρτόν, καὶ οὕτως ἐπὶ τὰ αὐτὰ ἡ ἀκολουθία· ἐναντία γὰρ τὸ μὲν ἀγένητον τῷ γενητῷ, τὸ δὲ ἄφθαρτον τῷ φθαρτῷ, καὶ ἀμφοτέροις ἐκείνοις ὡς ἡγουμένοις ταῦτα ὡς ἑπόμενα ἀκολουθεῖ. καὶ ἐπεὶ τῷ λευκῷ τὸ διακριτικόν, τῷ μέλανι τὸ συγκριτικόν· ἔστι δὲ ἐναντία καὶ τὸ διακριτικὸν καὶ τὸ συγκριτικόν, ὥσπερ καὶ τὸ λευκὸν καὶ τὸ μέλαν. καὶ τοιαύτη μὲν ἡ ἐπὶ τὰ αὐτὰ τῶν ἐναντίων ἀκολούθησις. ἀνάπαλιν δέ, εἰ δύο οὐσῶν ἐναντιώσεων μὴ τοῖς τῆς ἑτέρας μέρεσιν ἀμφοτέροις ἕποιτο τὰ τῆς ἑτέρας ἑκατέρῳ ἑκάτερον, ἀλλὰ τῷ μὲν τῆς ἑτέρας μέρει τὸ ἕτερον, πάλιν δὲ τῷ τῆς ἑτέρας μέρει, ἧς εἵπετο τὸ μόριον, τὸ τῆς ἑτέρας μόριον ἀκολουθοίη. οἷον ὑγεία καὶ νόσος ἐναντία, καὶ εὐεξία καὶ καχεξία πάλιν ἐναντία καὶ αὐτά· καὶ ἕπεται τῇ μὲν εὐεξίᾳ ἡ ὑγεία (πᾶς γὰρ ὁ εὐεκτῶν ὑγιαίνει), οὐκέτι δὲ τῇ καχεξίᾳ, ἥτις ἦν ἐναντία τῇ εὐεξίᾳ, νόσος ἕπεται, ἥτις τῇ ὑγείᾳ ἐστὶν ἐναντία, ἀλλὰ ἔμπαλιν τῇ νόσῳ ἡ καχεξία· πᾶς μὲν γὰρ ὁ νοσῶν ἐν καχεξίᾳ ἐστίν, οὐ πᾶς δὲ ὁ ἐν καχεξίᾳ ὢν νοσεῖ· εἰσὶ γάρ τινες καὶ ὑγιαίνοντες καχέκται.

in Top.194 ἀνάπαλιν ἡ ἀκολούθησις δοκεῖ γίνεσθαι καὶ ἐπὶ κακίας καὶ ἀρετῆς καὶ εὐδαιμονίας καὶ κακοδαιμονίας· τῇ μὲν γὰρ κακίᾳ ἡ κακοδαιμονία ἕπεσθαι δοκεῖ, οὐκέτι δὲ τῇ ἀρετῇ ἡ εὐδαιμονία, ἀλλ’ ἀνάπαλιν τῇ εὐδαιμονίᾳ ἡ ἀρετή· ὁ μὲν γὰρ εὐδαίμων ἐξ ἀνάγκης τὴν ἀρετὴν ἔχει, ὁ δὲ τὴν ἀρετὴν ἔχων οὐ πάντως εὐδαίμων· ὡς γὰρ τῷ μὲν ἀτέχνῳ ἱκανὴ ἡ ἀτεχνία πρὸς τὸ διαμαρτάνειν κατὰ τὰς ἐνεργείας ὕλης παρούσης, τῷ δὲ τεχνίτῃ οὐκ αὐτάρκης ἡ τέχνη πρὸς τὸ κατορθοῦν, ἀλλὰ καὶ ὀργάνων τινῶν δεῖται, οὕτως ἔχειν δοκεῖ καὶ ἐπὶ ἀρετῆς καὶ κακίας. καὶ αἱ μὲν τῶν ἐναντίων ἀκολουθήσεις τοιαῦται. καὶ ὅτι τοιαῦται, δεῖν φησι διὰ τῆς ἐπαγωγῆς λαμβάνειν, ὡς καὶ ἐπὶ τῶν κατὰ τὴν ἀντίφασιν. αἱ δὲ ἀπὸ τῶν ἀκολουθήσεων τούτων ἐπιχειρήσεις καὶ κατασκευάζειν καὶ ἀνασκευάζειν βουλομένοις ἕπονται τὸν τρόπον τοῦτον· κατασκευάζουσι μέν, εἰ ἀκολουθεῖ τὸ ἐναντίον τῷ ἐναντίῳ, ἀκολουθήσει καὶ τῷ ἐναντίῳ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐναντίον ἢ ἐπὶ τὰ αὐτὰ ἢ ἀνάπαλιν · εἰ δὲ ἀνασκευάζοιμεν, δείξαντες ὅτι τὸ ἕτερον τῶν ἐναντίων τῷ ἑτέρῳ τῶν ἐναντίων κατ' οὐδένα τρόπον ἀκολουθεῖ, δεδειχότες ἂν εἴημεν ὅτι οὐδὲ τὸ ἕτερον τῷ ἑτέρῳ. οἷον ἐπὶ ἀγαθοῦ καὶ κακοῦ καὶ λευκοῦ καὶ μέλανος, εἰ εἴη προκείμενον δεῖξαι ὅτι τῷ κακῷ οὐκ ἀκολουθεῖ τὸ μέλαν, δείξαντες ὅτι μήτε τῷ ἀγαθῷ ἀκολουθεῖ τὸ λευκὸν μήτε τῷ λευκῷ τὸ ἀγαθόν, δεδειχότες ἂν εἴημεν ὅτι μηδὲ τῷ κακῷ ἀκολουθοίη ἂν τὸ μέλαν. οὕτως δείξομεν ὅτι μή ἐστιν ἡ ἀκρασία κακία, δείξαντες ὅτι μήτε τῇ ἐγκρατείᾳ ἡ ἀρετὴ μήτε τῇ ἀρετῇ ἡ ἐγκράτεια ἕπεται. ἐπ' ὀλίγων δέ φησιν ἐναντίων ἀνάπαλιν τὴν ἀκολουθίαν γίνεσθαι. τὸ δὲ ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων εἶπε λέγων 'τῶν ἀρετῶν καὶ τῶν κακιῶν'· ὡς γὰρ ἐπ' ἀνδρείας καὶ δειλίας, οὕτως καὶ ἐπὶ δικαιοσύνης καὶ ἀδικίας καὶ σωφροσύνης καὶ ἀκολασίας καὶ πασῶν τῶν ἀρετῶν καὶ τῶν ἐναντίων αὐταῖς κακιῶν ἐπὶ τὰ αὐτὰ ἡ ἀκολούθησις. Πάλιν ἐπὶ τῶν κατὰ στέρησιν καὶ ἕξιν ἀντικειμένων ἡ μὲν ἀκολούθησις ἐπὶ τὰ αὐτά, ἀλλ' οὐχ ὥσπερ ἐπὶ τῶν ἐναντίων ποτὲ καὶ ἀνάπαλιν. οἷον ἀντίθεσις καθ' ἕξιν καὶ στέρησιν ὄψις καὶ τυφλότης, καὶ αἴσθησις καὶ ἀναισθησία· εἰ τῇ ὄψει ἡ αἴσθησις ἕπεται, τῇ τυφλότητι ἡ ἀναισθησία. πάλιν τὸ μὲν ἀκούειν καὶ κωφὸν εἶναι ἀντίκειται ἀλλήλοις ὡς ἕξις καὶ στέρησις · τὸ δὲ συνιέναι καὶ ἀσυνετεῖν ὁμοίως πάλιν ἀλλήλοις· καὶ εἰ ἕπεται τῷ ἀκούειν τὸ συνιέναι, τῷ κωφὸν εἶναι ἀκολουθήσει τὸ πάλιν τάξις καὶ ἀταξία, καὶ εἶδος καὶ στέρησις· εἰ τῇ τάξει τὸ εἶδος, τῇ ἀταξίᾳ ἡ στέρησις.

in Top.195 ἀλλὰ καὶ ζωὴ καὶ θάνατος ἀντίκειται καθ' ἕξιν καὶ στέρησιν, καὶ αἴσθησις πάλιν καὶ ἀναισθησία· καὶ εἰ τῷ ζῆν τὸ αἰσθάνεσθαι, τῷ τεθνάναι τὸ μὴ αἰσθάνεσθαι. κατασκευάσομεν οὖν καὶ ἀνασκευάσομεν ἢ δεικνύντες τὸ ἕτερον τῷ ἑτέρῳ ἑπόμενον (ἀκολουθήσει γὰρ καὶ τὸ λοιπὸν τῷ λοιπῷ), ἢ δεικνύντες ὅτι μὴ τὸ ἕτερον τῷ ἑτέρῳ ἀνασκευάσομεν. εἰ γὰρ μὴ ἕπεται τῷ ζῶντι ἐπιστήμη, οὐδὲ τῷ νεκρῷ ἄγνοια· ὄντος γὰρ καὶ ζῶντος τὸ ἀγνοεῖν. δεῖ δὲ ἐπὶ τῶν κατὰ στέρησιν καὶ ἕξιν ἀντικειμένων ὁρᾶν, μή τισιν ἀντικειμένοις ἀμφοτέροις τὸ ἕτερον ἕπεται τῶν ἐκ τῆς ἑτέρας ἀντιθέσεως· εἰ γὰρ τοῦτο, οὐκέτι τῷ ἑτέρῳ τὸ ἕτερον ἀκολουθήσει ὡς τῷ ἑτέρῳ τὸ ἕτερον. οὐ γὰρ τὸ ἕτερον αὐτῷ ἀλλ' ἀμφότερα ἀκολουθεῖ· ὡς ἔχει ἐπὶ ὄψεως καὶ τυφλότητος καὶ ζωῆς καὶ θανάτου· καὶ γὰρ τῇ ὄψει καὶ τῇ τυφλότητι ἡ ζωὴ ἕπεται· διὸ οὐδετέρῳ ὁ θάνατος. ὁμοίως καὶ ὕπνῳ καὶ ἐγρηγόρσει ἀμφοτέροις ἡ ζωή, ἀλλὰ καὶ πάσαις ταῖς αἰσθήσεσι καὶ ταῖς στερήσεσιν αὐτῶν. τότε οὖν καὶ τῷ ἑτέρῳ τὸ ἕτερον, ὅταν τῷ ἑτέρῳ τὸ ἕτερον μόνον ἀλλὰ μὴ ἀμφότερα ἕπηται· οὐ γὰρ δύναται, ᾧ ἡ ἕξις, τούτῳ καὶ ἡ στέρησις ἕπεσθαι. Ὁμοία ἡ ἀκολούθησις καὶ ἐπὶ τῶν κατὰ τὸ πρός τι ἀντικειμένων· ἐπὶ τὰ αὐτὰ γὰρ ἡ ἀκολουθία. κατὰ τὸ πρός τι ἀντίκειται πατὴρ μὲν καὶ τέκνον ἀλλήλοις, τὸ δὲ ἄρχειν καὶ ἄρχεσθαι ἀλλήλοις· καὶ εἰ ἕπεται τῷ πατρὶ τὸ ἄρχειν, καὶ τῷ τέκνῳ τὸ ἄρχεσθαι. πάλιν ἄρχων καὶ ἀρχόμενος, καὶ τὸ εὖ ποιεῖν καὶ τὸ εὖ πάσχειν· εἰ οὖν τῷ ἄρχοντι ἕπεται τὸ εὖ ποιεῖν, καὶ τῷ ἀρχομένῳ τὸ εὖ πάσχειν. πάλιν τὸ τριπλάσιον καὶ τὸ πολλαπλάσιο ν , καὶ τριτημόριον καὶ πολλοστημόριον · καὶ ἕπεται ὡς τῷ τριπλασίῳ τὸ πολλαπλάσιον, οὕτως τῷ τριτημορίῳ τὸ πολλοστημόριον. ἀλλὰ καὶ ἐπιστήμη μὲν πρὸς ἐπιστητόν, ὑπόληψις δὲ πρὸς ὑποληπτόν· καὶ ἐπεὶ τῇ ἐπιστήμῃ ἡ ὑπόληψις ἕπεται, καὶ τῷ ἐπιστητῷ τὸ ὑποληπτόν. ὁμοίως καὶ διπλάσιον μὲν πρὸς ἥμισυ, ὑπερέχον δὲ πρὸς ὑπερεχόμενον· καὶ ἐπεὶ ἕπεται τῷ διπλασίῳ τὸ ὑπερέχον, τῷ ἡμίσει τὸ ὑπερεχόμενον ἀκολουθεῖ.

in Top.196 αἱ μὲν οὖν ἀκολουθήσεις καὶ τούτων τοιαῦται. Αἱ δὲ ἐπιχειρήσεις αἱ ἀπ' αὐτῶν καὶ κατασκευάζουσι καὶ ἀνασκευάζουσι φανεραί. εἰ γὰρ τῷ ἑτέρῳ τῶν ἀντικειμένων ἢ καθ' ἕξιν καὶ στέρησιν, περὶ ὧν προειρήκαμεν, ἢ καὶ κατὰ τὸ πρός τι τὸ ἕτερον τῶν ὁμοίως ἀντικειμένων ἕπεται, καὶ τῷ λοιπῷ τὸ λοιπόν, καὶ εἰ μὴ τῷ ἑτέρῳ τὸ ἕτερον, οὐδὲ τῷ λοιπῷ τὸ λοιπόν, προσκειμένου τοῦ ἐπὶ τῶν ἕξεων καὶ στερήσεων εἰρημένου διορισμοῦ· οὐ γάρ, ἐπεὶ μὴ ἕπεται τῷ κοιμᾶσθαι τὸ τεθνάναι, οὐδὲ τῷ ἐγρηγορότι τὸ ζῆν· ἀμφοτέροις γὰρ τὸ ζῆν. εἰπὼν δὲ ταῦτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔνστασίν φησι πρὸς τὴν ἀπὸ τοῦ πρός τι ἐπιχείρησιν δύνασθαι φέρεσθαι· ἀντικειμένων γὰρ κατὰ τὸ πρός τι αἰσθήσεως μὲν αἰσθητῷ ἐπιστήμης δὲ ἐπιστητῷ τῷ μὲν αἰσθητῷ τὸ ἐπιστητὸν ἕπεται, τῇ δὲ αἰσθήσει ἡ ἐπιστήμη οὐκέτι. εἰπὼν δὲ τὴν ἔνστασιν οὔ φησιν αὐτὴν ἀληθῆ εἶναι· μηδὲ γὰρ τῷ αἰσθητῷ τὸ ἐπιστητὸν ἕπεσθαι συγχωρεῖσθαι· τῶν γοῦν ἀτόμων ζῴων αἴσθησις μὲν ἔστιν, ἐπιστήμη δ' οὔ, εἴ γε ἡ ἐπιστήμη τῶν καθόλου· εἰ δὲ αἰσθητῶν ὄντων αὐτῶν μὴ ἔστιν ἐπιστήμη, οὐκ ἂν εἴη ἐπιστητά. προστίθησι δὲ ὅτι μᾶλλον πρὸς τὸ ἐναντίον χρήσιμον τὸ εἰρημένον παράδειγμα. ἔστι δὲ ὃ λέγει, ὅτι κατασκευάζοιτ' ἂν τὸ μὴ εἶναι τὸ αἰσθητὸν ἐπιστητὸν ἐκ τοῦ μηδὲ τὴν αἴσθησιν ἐπιστήμην εἶναι μᾶλλον, ὅ ἐστιν ἀντικείμενον τῷ τὸ αἰσθητὸν ἐπιστητὸν εἶναι, ὃ ἐλαμβάνετο εἰς ἀνασκευὴν τοῦ τόπου· ἐναντίον γὰρ οὐ τὸ κυρίως ἐναντίον νῦν ἀλλὰ τὸ ἀντικείμενον εἶπε. p. 114a26 Πάλιν ἐπὶ τῶν συστοίχων καὶ ἐπὶ τῶν πτώσεω ν . Ὁ μὲν τόπος ἀπὸ τῶν συστοίχων. χρήσιμος δὲ καὶ οὗτος καὶ πρὸς τὸ κατασκευάσαι καὶ πρὸς τὸ ἀνασκευάσαι, ἐξ ἀκολουθίας καὶ αὐτὸς ὤν· ἀκολουθεῖ γάρ, ὡς ἂν ἐφ' ἑνὸς δειχθῇ τῶν συστοίχων ἔχον τι, καὶ ἐπὶ τῶν ἄλλων. τίνα δ' ἐστὶ σύστοιχα καὶ τίνα πτώσεις, καὶ ὅτι καὶ αἱ πτώσεις ἐν τοῖς συστοίχοις καταριθμοῦνται (αἱ μὲν γὰρ πτώσεις καὶ σύστοιχα, τὰ δὲ σύστοιχα οὐκέτι πτώσεις), καὶ αὐτὸς φανερῶς διὰ τῶν παραδειγμάτων δεδήλωκε. τὰ γὰρ οὕτως παρωνομασμένα ἀπό τινος ὡς τὸ δίκαιον καὶ ὁ δίκαιος τῇ δικαιοσύνῃ σύστοιχα ἀλλήλοις τε καὶ αὐτῇ τῇ δικαιοσύνῃ, ἀφ' ἧς παρωνόμασται, καὶ ἔστι τό τε δίκαιον καὶ ὁ δίκαιος πράγματά τινα, τὸ μὲν ἀπὸ δικαιοσύνης γεγονὸς τὸ δὲ δικαιοσύνην ἔχον.

in Top.197 ὁμοίως ἀνδρεία, ἀνδρεῖον, ἀνδρεῖος σύστοιχα πάλιν ἀλλήλοις, ὄντα πράγματά τινα· τὸ μὲν οὖν ἕξις, ἀφ' ἧς παρώνυμα τὰ λοιπά, τῶν δὲ τὸ μὲν κατὰ τὴν ἕξιν γεγονὸς τὸ δὲ τὴν ἕξιν ἔχον. καὶ λέγοιτ' ἂν σύστοιχα ταῦτα, ὅσα πράγματά τινα ὄντα ἀπό τινος παρωνόμασται, ἀλλήλοις τε καὶ ᾧ παρωνόμασται, οἷον γραμματική, γραμματικόν, γραμματικός, ἰατρική, ἰατρικόν, ἰατρικός, μουσική, μουσικόν, μουσικός. οὐ μόνον δὲ τὰ κατὰ ἰατρικὴν ἢ μουσικὴν ἤ τινα ἄλλην ἕξιν παρωνομασμένα τῷ κατ' ἐκείνην γεγονέναι σύστοιχα τῇ ἕξει, ὡς τὸ γραμματικὸν καὶ μουσικόν, ἀλλὰ καὶ ὅσα καθόλου ὁμοίως κατὰ τὴν λέξιν ἐσχημάτισται, [καὶ] λεγόμενα οὕτως τῷ ποιητικὰ ἐκείνου εἶναι ᾧ παρωνόμασται ἢ φυλακτικά, καὶ ταῦτα σύστοιχα ἐκείνῳ· λέγεται γὰρ καὶ ὑγιεινὰ καὶ εὐεκτικὰ τὰ μὲν τῷ ποιητικὰ ὑγείας εἶναι ἢ εὐεξίας, τὰ δὲ τῷ φυλακτικά, τὸ μὲν ὑγείας τὸ δὲ εὐεξίας. καὶ ταῦτα οὖν σύστοιχα τοῖς ὧν ἐστι ποιητικὰ ἢ φυλακτικ ά , οἷς καὶ παρωνόμασται. ὡς δὲ συνήθως τῶν τοιούτων τε καὶ οὕτως παρωνομασμένων τισὶ συστοίχων λεγομένων οὕτως λέγει· διὸ καὶ προσέθηκε σύστοιχα μὲν οὖν τὰ τοιαῦτα εἴωθε λέγεσθα ι . πτώσεις δέ φησι λέγεσθαι τὰ οὕτως ἐσχηματισμένα ὡς τὸ δικαίως, ἀνδρείως, μουσικῶς· ταῦτα γὰρ πτώσεις, τὸ μὲν τοῦ 'δίκαιοσ', τὸ δὲ τοῦ 'ἀνδρεῖοσ', τὸ δὲ τοῦ 'μουσικόσ', ἢ τὸ μὲν τῆς δικαιοσύνης, τὸ δὲ τῆς ἀνδρείας, τὸ δὲ τῆς μουσικῆς· ὡς γὰρ τὰ παρώνυμα ἀπὸ τούτων, οὕτως καὶ τὰς πτώσεις τούτων λέγει. διαφέροι δ' ἂν τὰ σύστοιχα τῶν πτώσεων, ὅτι ἐκεῖνα μὲν πράγματά τινά ἐστιν, αἱ δὲ πτώσεις οὐ πραγμάτων ὑποκειμένων εἰσὶ δηλωτικαὶ ἀλλὰ τρόπου ἐνεργείας ἢ διαθέσεώς τινος· τοιαῦτα γὰρ καὶ τὰ ἰατρικῶς καὶ μουσικῶς καὶ ὑγιεινῶς. λέγει δὲ καὶ τὰς πτώσεις καὶ τὰ κατ' αὐτὰς σύστοιχα εἶναι ταῖς ἕξεσιν, αἷς καὶ τὰ προειρημένα σύστοιχα παρωνόμασται, ἡ μὲν ἀνδρείως πτῶσις τῇ ἀνδρείᾳ, ἡ δὲ δικαίως τῇ δικαιοσύνῃ, καὶ ἡ μουσικῶς τῇ μουσικῇ, καὶ αἱ ἄλλαι ὁμοίως, ὡς εἶναι τῇ μὲν δικαιοσύνῃ σύστοιχα τὸ δίκαιον, δίκαιος, δικαίως, τῇ δὲ ἀνδρείᾳ ἀνδρεῖον, ἀνδρεῖος, ἀνδρείως. σύστοιχα μὲν οὖν πάντα πᾶσι, πτώσεις δὲ οὐκέτι ὁμοίως· οὐ γὰρ ὡς τὸ δικαίως τῆς δικαιοσύνης πτῶσις, οὕτως καὶ ἡ δικαιοσύνη τοῦ δικαίως. Καὶ τὰ μὲν σύστοιχα καὶ αἱ πτώσεις τοιαῦτα.

in Top.198 ὁ δὲ τόπος ὁ ἀπ' αὐτῶν· εἰ ζητοῖτο περί τινος εἰ ἔστι τι αὐτῷ συμβεβηκός, οἷον τὸ αἱρετὸν ἢ ἐπαινετὸν ἢ ἄλλο τι, οἷον ἀγαθὸν ἢ φευκτὸν ἤ τι τοιοῦτον, ἐπὶ τῶν συστοίχων αὐτῷ ἀξιοῖ μεταβάντας δεικνύναι τὸ ζητούμενον ὑπάρχον τούτῳ· δειχθέντος γὰρ ἑνὶ τῶν συστοίχων

ὑπάρχοντος τοῦ ζητουμένου δεδειγμένον ἂν εἴη ὅτι καὶ τούτῳ· ὃ γὰρ ἑνί, καὶ τοῖς ἄλλοις. οἷον ζητουμένου εἰ τῇ δικαιοσύνῃ τὸ ἐπαινετὸν ὑπάρχει, ἂν δείξῃ τις ἑνὶ τῶν συστοίχων αὐτῇ τὸ ἐπαινετὸν ὑπάρχον, ἔσται καὶ τὸ προκείμενον δεδειχώς· ὡς γὰρ ἂν ἔχον δειχθῇ τι τῶν ἐν τῇ συστοιχίᾳ, ἔσται καὶ τὰ λοιπὰ ἔχοντα. οἷον εἰ τὸ δίκαιον ἴσον, καὶ ἡ δικαιοσύνη ἰσότης καὶ ὁ δίκαιος ἴσος καὶ τὸ δικαίως ἴσως· καὶ εἰ ἀνδρείως ἢ δικαίως ἐστὶ μᾶλλον καὶ ἧττον, καὶ ἡ ἀνδρεία ἂν καὶ ἡ δικαιοσύνη τὸ μᾶλλον καὶ ἧττον ἔχοιεν· εἰ δὲ ἐκεῖνα μή, οὐδὲ ταῦτα. ὁμοίως εἰ αἰσθάνεσθαι ἔστι μᾶλλον καὶ ἧττον, καὶ αἴσθησις ἂν εἴη μᾶλλον καὶ ἧττον. τὸ δὲ αὐτὸ καὶ ἐπὶ ἡδονῆς. καὶ [εἰ] τὸ δικαίως δὲ ἀποθνήσκειν ἐπαινετῶς ἐστιν ἀποθνήσκειν, ἐπεὶ τὸ δίκαιον ἐπαινετόν· ἐπαινετῶς δέ, ὅτι ἡ πρᾶξις ἐπαινετή, οὖσα [καὶ] κρίσις προσήκουσα, τοῦ ἐπαινετοῦ ἐπὶ τὴν κρίσιν, δι' ἣν ἀποθνήσκει, ἀναφερομένου, οὐκ ἐπὶ τὸν ἀποθνήσκοντα. οὕτως δείξαι τις ἂν ὅτι μή ἐστιν ὁ σοφὸς πλούσιος, ὡς λέγουσιν· εἰ γὰρ ἐν τῇ τῆς σοφίας κτήσει πλοῦτος, ἡ σοφία πλοῦτος ἂν εἴη· οὐκ ἔστι δέ· ὥστε οὐδὲ ὁ σοφὸς καθ' ὃ σοφὸς πλούσιος. ἔτι εἰ ὁ σοφὸς πλούσιος, τὸ σοφῶς πλουσίως ἔσται. δῆλον δὲ ὅτι ἐπὶ τὸ γνωριμώτερον τῶν ἐν τῇ συστοιχίᾳ καὶ ῥᾷον δυνάμενον δειχθῆναι ἡ μετάβασις ἔσται. τῇ μὲν γὰρ φύσει πρώτη ἡ ἕξις τῶν παρωνομασμένων αὐτῇ, καὶ διὰ τὸ ἐκείνῃ τινὰ συμβεβηκέναι καὶ τούτοις συμβέβηκεν· ἐν δὲ ταῖς δείξεσι πρῶτον γίνεται τὸ ἡμῖν γνωριμώτερον, κἂν ὕστερον ᾖ τῇ φύσει. κἂν ἀνασκευάσαι δέ τι βουλώμεθα, οἷον ὅτι τὸ δίκαιον οὐκ ἔστιν ἀσύμφορον, ὡς οἴονταί τινες, δείξαντες ἑνὶ τῶν συστοίχων μὴ ὑπάρχον αὐτό, οἷον τῇ δικαιοσύνῃ (ἀρετὴ γάρ, καὶ οὐδεμία ἀρετὴ ἀσύμφορος τῷ οὗ ἐστιν ἀρετή), δεδειχότες ἂν εἴημεν ὅτι οὐδὲ τὸ δίκαιον τοιοῦτον. εἰπὼν δὲ μετὰ τῶν ἄλλων τῶν τῇ δικαιοσύνῃ συστοίχων καὶ τὴν πτῶσιν τὴν δικαίως τῶν ἐπαινετῶν ἔσεσθαι, πῶς τὸ ἐπαινετὸν τῷ δικαίως ἐφαρμόσει, προσέθηκε· ῥηθήσεται δὲ τὸ δικαίως καὶ ἐπαινετῶς κατὰ τὴν αὐτὴν πτῶσιν ἀπὸ τοῦ ἐπαινετο ῦ , καθάπερ τὸ δικαίως ἀπὸ τῆς δικαιοσύνη ς .

in Top.199 ἡ μὲν γὰρ δικαιοσύνη ἐπαινετὴ ῥηθήσεται, τὸ δὲ δίκαιον ἐπαινετόν, ὁ δὲ δίκαιος ἐπαινετός, καὶ τὸ δικαίως ἐπαινετῶς· ὡς γὰρ τὸ δικαίως πτῶσις τῆς δικαιοσύνης, οὕτως καὶ τὸ ἐπαινετῶς πτῶσις τοῦ ἐπαινετοῦ. p. 114b6 Σκοπεῖν δὲ μὴ μόνον ἐ π ' αὐτοῦ τοῦ εἰρημένο υ , ἀλλὰ καὶ ἐπὶ τοῦ ἐναντίου τὸ ἐναντίο ν . Δείξας τὴν ἀπὸ τῶν συστοίχων εὐπορίαν πρὸς ἐπιχείρησιν προστίθησι τῷ προειρημένῳ τόπῳ καὶ τὸν ἀπὸ τῶν ἐναντίων ἑκάστῳ τῶν συστοίχων. ἔστι δὲ ἐναντίον τῇ μὲν δικαιοσύνῃ ἡ ἀδικία, τῷ δὲ δίκαιος ὁ ἄδικος, τῷ δὲ δίκαιον τὸ ἄδικον, τῷ δὲ δικαίως τὸ ἀδίκως. δεῖ οὖν, φησί, καὶ ἀπὸ τῶν ἐναντίων τῷ προκειμένῳ, οὐ μόνον ἀπὸ τῶν συστοίχων, τὴν ἐπιχείρησιν ποιεῖσθαι, σκοποῦντας εἰ τῷ ἐναντίῳ τὸ ἐναντίον. ζητουμένου γὰρ εἰ τὸ ἀγαθὸν ἡδύ, ὁρᾶν χρὴ εἰ τῷ ἐναντίῳ τοῦ ἀγαθοῦ (τοῦτο δέ ἐστι τὸ κακόν) τὸ ἐναντίον τῷ ἡδεῖ, ὅπερ ἐστὶ τὸ λυπηρόν, ἕπεται· κἂν μὲν ἕπηται, δεικτέον ὅτι καὶ τῷ ἀγαθῷ τὸ ἡδὺ ἕπεται· εἰ δὲ μὴ ἕπεται (ἔστι γάρ τινα καὶ κακὰ ἡδέα), οὐδ' ἂν τῷ ἀγαθῷ πάντως ἕποιτο τὸ ἡδύ. ἀλλὰ καὶ ζητουμένου εἰ ἡ δικαιοσύνη ἐπιστήμη, σκεπτέον εἰ ἡ ἀδικία ἄγνοια· εἰ γὰρ τοῦτο, κἀκεῖνο, καὶ εἰ μὴ τοῦτο, οὐδὲ ἐκεῖνο. πάλιν ἐπεὶ τῷ δικαίως τὸ ἀδίκως ἐναντίον, εἰ ζητοῖτο τῷ δικαίως εἰ τὸ ἐπιστημονικῶς καὶ ἐμπείρως ἕπεται, ἐπισκεπτέον εἰ τῷ ἀδίκως τὸ ἀγνοούντως καὶ ἀπείρως ἕπεται· εἰ μὲν γὰρ τούτῳ, κἀκείνῳ· εἰ δὲ μὴ τούτῳ, ὥσπερ δοκεῖ, οὐδ' ἂν τῷ δικαίως ἐκεῖνα ἕποιτο. δοκεῖ γὰρ τὸ ἀδίκως γινόμενον ἐμπείρως μᾶλλον ἢ ἀπείρως γίνεσθαι· ἑκουσίως γὰρ καὶ ἐξ ἐπιβουλῆς πολλάκις τὸ ἀδίκως γινόμενον γίνεται· τὰ δὲ τοιαῦτα ἀπὸ ἐμπειρίας. αἴτιον δὲ τῆς τοιαύτης δείξεως, ὅτι, ὡς προείρηκεν ἐν τοῖς ἐπάνω, ἂν τὸ ἐναντίον τῷ ἐναντίῳ, ἀνάγκη καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον ἢ ἐπ' εὐθείας ἢ ἀνάπαλιν, ὡς ἔδειξεν ἐν ταῖς τῶν ἐναντίων ἀκολουθίαις. διὸ καὶ αὐτὸς προσέθηκεν ὅτι οὗτος δὲ ὁ τόπος εἴρηται πρότερον ἐν ταῖς τῶν ἐναντίων ἀκολουθήσεσι · τὸ αὐτὸ γὰρ ἐκεῖ τε εἴρηται καὶ δέδεικται καὶ διὰ τούτου τοῦ τόπου ἀξιοῦται.

in Top.200

εἴη δ’ ἂν οἰκειούμενον τὸ ἀπὸ τῶν ἐναντίων τῷ ἀπὸ τῶν συστοίχων, καθ’ ὅσον κατὰ τὴν αὐτὴν κλῆσίν τε καὶ πτῶσιν τὸ ἐναντίον λαβόντες δι’ ἐκείνου καὶ τὸ προκείμενον δείκνυμεν. οἷον εἰ ζητοῖτο εἰ τὸ δικαίως ἐπαινετῶς, τὸ ἀδίκως λαμβάνοντες ζητήσομεν εἰ ψεκτῶς· εἰ δὲ μὴ τὸ δικαίως ἀλλὰ τὸ δίκαιον, οὐ τὸ ἀδίκως πάλιν ἀλλὰ τὸ ἄδικον ληψόμεθα, κατὰ τὰς αὐτὰς συστοιχίας τὰ ἐναντία λαμβάνοντες καθ’ ἃς εἴληπται καὶ τὰ προκείμενα περὶ ὧν ζητοῦμεν· εἰ γὰρ ἡ πτῶσις τοῦ ἐναντίου ὑπάρχει τῇ πτώσει τοῦ ἐναντίου, καὶ τῇ πτώσει τοῦ ἐναντίου ὑπάρξει ἡ πτῶσις τοῦ ἐναντίου. p. 114b16 Ἔτι ἐπὶ τῶν γενέσεων καὶ φθορῶν καὶ ποιητικῶν καὶ φθαρτικῶ ν , καὶ ἀναιροῦντι καὶ κατασκευάζοντ ι . Εἰπὼν τούς τε ἀπὸ τῶν ἐν τοῖς ἀντικειμένοις ἑπομένων τόπους κατασκευαστικούς τε καὶ ἀνασκευαστικοὺς καὶ τοὺς ἀπὸ τῶν συστοίχων ὑποδείκνυσί τινα καὶ ἄλλην εὐπορίαν ἐπιχειρήσεως ὁμοίως ταῖς προειρημέναις ἐξ ἀκολουθίας καὶ πρὸς κατασκευὴν καὶ πρὸς ἀνασκευὴν χρήσιμον. ἔστι δὲ αὕτη ἀπὸ τῶν γενέσεων καὶ φθορῶν καὶ πάλιν ἀπὸ τῶν ποιητικῶν τε καὶ φθαρτικῶ ν , ὧν ἕκαστος καθ’ αὑτὸν ἂν εἴη τόπος. [ὧν γὰρ αἱ γενέσεις τῶν ἀγαθῶν, καὶ αὐτὰ ἀγαθά, καὶ ἀντιστρέψαντι, εἰ αὐτὰ ἀγαθὰ τὰ γινόμενα, καὶ αἱ γενέσεις ἀγαθαί. οἷον εἰ ἡ γένεσις τῆς ὑγείας (τοῦτο δέ ἐστιν ἡ σωφρονικὴ δίαιτα) ἀγαθόν, καὶ ἡ ὑγεία, ἧς γένεσις τὸ οὕτω διαιτᾶσθαι, ἀγαθὸν καὶ αὐτή· καὶ εἰ ἡ ὑγεία ἀγαθόν, πάλιν καὶ τὸ σωφρονικῶς διαιτᾶσθαι ἀγαθόν. καὶ ἐπεὶ ἡ ἀρετὴ ἀγαθόν, καὶ ἡ γένεσις αὐτῆς ἀγαθόν· τοῦτο δέ ἐστιν ἡ ἐκ παίδων ἀγωγὴ διὰ τῶν ἐθῶν τῶν πρὸς ἀρετὴν φερόντων· καὶ ἐπεὶ ἡ τοιαύτη ἀγωγὴ ἀγαθὸν γένεσις ἀρετῆς οὖσα, καὶ τὸ γινόμενον, ἡ ἀρετή, ἀγαθόν. ἔστι δὲ τρόπον τινὰ καὶ οὗτος ὁ τόπος ἀπὸ τῶν συστοίχων, πλὴν ὅτι σύστοιχα μὲν εἴρηται οἷον τὸ ὑγεινόν, ὑγιαῖνον, ὑγιεινῶς, οὐκέτι δὲ τὸ ὑγιάζεσθαι τῇ ὑγείᾳ σύστοιχον. οὕτως δεικνύοις ἂν ὅτι, ἐπεὶ ἡ παιδεία ἀγαθόν, καὶ τὸ παιδεύεσθαι ἀγαθόν· γένεσις γὰρ τοῦτο παιδείας.

in Top.201 ἢ γένεσιν λέγει νῦν οὐ δι’ ὧν γίνεται, ἀλλ’ αὐτὸ τὸ γίνεσθαι· εἰ γὰρ ἀγαθὸν τὸ γίνεσθαι ὑγείαν, καὶ ἡ ὑγεία ἀγαθόν· καὶ εἰ ἡ ὑγεία ἀγαθόν, καὶ τὸ γίνεσθαι ὑγείαν ἀγαθόν. ὁ αὐτὸς καὶ ἐπὶ ἀρετῆς λόγος. ἐπὶ δὲ τῶν φθορῶν οὐκέτι ὁμοίως ἔχει ὡς ἐπὶ τῶν γενέσεων, ἀλλὰ ἀνάπαλιν ἡ ἀκολούθησις· ὧν μὲν γὰρ αἱ φθοραὶ τῶν ἀγαθῶ ν , αὐτὰ τῶν κακῶ ν , ὧν δὲ ἡ φθορὰ κακόν, αὐτὰ ἀγαθά. οἷον εἰ ἀγαθὸν ἡ φθορὰ τῆς νόσου, κακὸν ἡ νόσος· φθορὰ γὰρ νόσου ἡ σώφρων δίαιτα ἀγαθὸν οὖσα· καὶ εἰ κακὸν ἡ φθορὰ τῆς ὑγείας, ἀγαθὸν ἡ ὑγεία· ἡ γὰρ ἀκόλαστος δίαιτα κακὸν οὖσα φθαρτικὸν ὑγείας. ἢ καὶ ἐπὶ τούτων οὐ τὰ φθαρτικὰ χρὴ λαμβάνειν (ποιητικὰ γὰρ ἐκεῖνα, περὶ ὧν ἐρεῖ) ἀλλ’ αὐτὸ τὸ φθείρεσθαι. ὡς δὲ ἐπὶ τῶν γενέσεων καὶ φθορῶν ἔχει, οὕτως καὶ ἐπὶ τῶν ποιητικῶν τε καὶ φθαρτικῶν. ὧν μὲν γὰρ τὰ ποιητικὰ καὶ φυλακτικὰ ἀγαθά, καὶ αὐτὰ ἀγαθά · οἷον ἐπεὶ τὰ ὑγείας ποιητικὰ ἀγαθά, καὶ ἡ ὑγεία ἀγαθόν, καὶ ἀνάπαλιν, ἐπεὶ ἡ ὑγεία ἀγαθόν, καὶ τὰ ποιητικὰ ὑγείας ἀγαθά. ὧν δέ γε τὰ φθαρτικὰ ἀγαθ ά , αὐτὰ τῶν κακῶ ν , καὶ ὧν τὰ φθαρτικὰ κακά, αὐτὰ ἀγαθά· τὸ γὰρ νόσου φθαρτικὸν ἀγαθόν, ἐπεὶ κακὸν ἡ νόσος, καὶ τὸ ὑγείας φθαρτικὸν κακόν, ὅτι ἀγαθὸν ἡ ὑγεία. Ἐπιζητήσαι δ’ ἄν τις ἐπὶ τῶν ποιητικῶν, εἰ ὥσπερ ὧν τὰ ποιητικὰ ἀγαθά, καὶ αὐτά, οὕτως καὶ ὧν τὰ ποιητικὰ κακά, καὶ αὐτὰ κακά, καὶ ἔτι, εἰ αὐτὰ ἀγαθά, καὶ τὰ ποιητικὰ ἀγαθά. εἰ γὰρ τοῦτο, δόξει καλῶς ὑπὸ τῶν ἀπὸ τῆς Στοᾶς λέγεσθαι ‘τὸ διὰ κακοῦ γινόμενον οὐκ ἔστιν ἀγαθόν· πλοῦτος δὲ καὶ διὰ πορνοβοσκίας κακοῦ ὄντος γίνεται· οὐκ ἄρα ὁ πλοῦτος ἀγαθόν‘. ἢ ὁ τόπος ἔνδοξος μέν ἐστιν, οὐ μὴν καὶ ἀληθής· οὐ γὰρ κεκώλυταί τι ἀγαθὸν ὂν ὑπὸ κακοῦ γίνεσθαι, ὡς ὑγεία διὰ καύσεως καὶ τομῆς κακῶν ὄντων. ἢ τοῦτο καὶ αὐτὸς δόξει λέγειν καὶ διαιρεῖν· εἰπὼν γὰρ ὁ δ’ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ποιητικῶν καὶ ἐπὶ τῶν φθαρτικῶ ν , προστίθησι πῶς οὕτως καὶ κατὰ τί εἶπεν· ὧν μὲν γὰρ τὰ ποιητικὰ ἀγαθὰ ἦ ν , καὶ αὐτὰ τῶν ἀγαθῶ ν , ὧν δὲ τὰ φθαρτικὰ ἀγαθ ά , αὐτὰ τῶν κακῶν · οὐκέτι δὲ προσέθηκεν οὔτε τὸ ‘ὧν τὰ γινόμενα ἀγαθά, καὶ τὰ ποιητικὰ τούτων ἀγαθά‘ οὔτε τὸ ‘ὧν τὰ ποιητικὰ κακά, καὶ τὰ γινόμενα ὑπὸ τούτων κακά.‘ ὡς γὰρ ἐξ ἀληθῶν μὲν πάντως

ἀληθὲς συνάγεται, οὐ μὴν πάντως καὶ τὸ ἀληθὲς ἐξ ἀληθῶν (καὶ γὰρ καὶ ἐκ ψευδῶν ἀληθές), οὕτως καὶ τὸ ὑπὸ μὲν ἀγαθῶν γεγονὸς ἀγαθόν, οὐ μὴν πάντως τοῦ ἀγαθοῦ καὶ τὰ ποιητικὰ ἀγαθά· δύναται γὰρ καὶ ὑπὸ κακοῦ ἀγαθὸν γενέσθαι.

in Top.202 εἶπεν οὖν οὕτως ὡς μέχρι τούτου τοῖς ἐπὶ τῶν γενέσεων καὶ φθορῶν εἰρημένοις ὁμοίων ὄντων τῶν ποιητικῶν τε καὶ φθαρτικῶν. εὕροις δ᾽ ἂν διαφέρον τῆς γενέσεως τὸ ποιητικόν, ὅτι ἡ γένεσις μὲν ἐπ᾽ αὐτοῦ τοῦ πράγματος λέγοιτ᾽ ἄν, οὐκ ἐπὶ τῶν ποιητικῶν αὐτοῦ· οἷον εἰ τὸ τὴν ἀρετὴν γίνεσθαι ἀγαθόν, καὶ ἡ ἀρετὴ ἀγαθόν, καὶ εἰ ἡ ἀρετὴ ἀγαθόν, καὶ τὸ γίνεσθαι αὐτὴν ἀγαθόν· πάλιν εἰ τὸ φθείρεσθαι τὴν ἀρετὴν κακόν, ἡ ἀρετὴ ἀγαθόν, καὶ εἰ ἡ ἀρετὴ ἀγαθόν, καὶ τὸ γίνεσθαι αὐτὴν ἀγαθὸν καὶ τὸ φθείρεσθαι κακόν· καὶ εἰ τὸ φθείρεσθαι τὴν νόσον ἀγαθόν, ἡ νόσος κακόν. τὰ δὲ πρὸ ὀλίγου εἰρημένα τῶν γενέσεων παραδείγματα οὐ γένεσις ἂν οὐδὲ φθορὰ εἶεν ἀλλὰ ποιητικά, ἐφ᾽ ὧν μόνον ἀληθὲς ἐκεῖνο τὸ ‘εἰ τὰ ποιητικὰ ἀγαθά, καὶ τὰ γινόμενα ἀγαθά. καὶ εἰ τὰ φθαρτικὰ ἀγαθά, αὐτὰ τῶν κακῶν‘, οὐ μὴν ἔτι ἀνάπαλιν τῷ δύνασθαι ἀγαθά τινα καὶ ὑπὸ κακῶν γίνεσθαι, ὡς ὑγεία ὑπὸ καύσεων καὶ τομῶν καὶ ἀτροφιῶν καὶ πλοῦτος ὑπὸ πορνοβοσκίας. p. 114b25 Πάλιν ἐπὶ τῶν ὁμοίω ν , εἰ ὁμοίως ἔχε ι . Οὐ νῦν μνημονεύει τόπου, ἐστὶ καὶ αὐτὸς ἐξ ἀκολουθίας τῆς ἐπὶ τῶν κατ᾽ ἀναλογίαν τῶν αὐτῶν καὶ ὁμοιότητος. οἷον ἐπεὶ ὁμοίως ἔχει ἐπιστήμη πρὸς τὰ ἐπιστητὰ καὶ δόξα πρὸς τὰ δοξαστά, εἰ ἐπιστήμη μία τῶν πλειόνων, εἴη ἂν δεικνύμενον ὅτι καὶ δόξα· ἀκολουθεῖ γάρ· κἂν ἐπὶ τῆς δόξης οὕτως ἔχῃ, εἴη ἂν πάλιν καὶ ἐπὶ τῆς ἐπιστήμης δεικνύμενον τὸ αὐτό. οὕτως λαβών τις ὅτι ὁμοίως ἔχει ὄψις πρὸς τὸ ὁρᾶν καὶ ἀκοὴ πρὸς τὸ ἀκούειν, δείξει ὅτι, ἐπεὶ μὴ τὸ ὄψιν ἔχειν αὔταρκες πρὸς τὸ ὁρᾶν (δεῖ γὰρ καὶ φωτὸς καὶ διαστήματος), οὐδὲ τὸ ἀκοὴν ἔχειν αὔταρκες πρὸς τὸ ἀκούειν· ὁμοίως, εἰ τὸ ἀκοὴν ἔχειν οὐκ αὔταρκες πρὸς τὸ ἀκούειν, οὐδ᾽ ἂν τὸ ὄψιν ἔχειν αὔταρκες εἴη πρὸς τὸ ὁρᾶν· καὶ εἰ τὸ ἕτερον αὔταρκες, καὶ θάτερον· ἔστι γὰρ ὁ τόπος καὶ κατασκευαστικὸς καὶ ἀνασκευαστικός. καὶ ἐπεὶ ὁμοίως ἔχει οἰκοδομικὴ πρὸς οἰκίαν καὶ ναυπηγικὴ πρὸς ναῦν, εἰ αὐτάρκης ἡ τῆς οἰκοδομικῆς παρουσία πρὸς ποίησιν οἰκίας, αὐτάρκης ἂν εἴη καὶ ἡ τῆς ναυπηγικῆς παρουσία πρὸς νεὼς κατασκευήν· εἰ δὲ μὴ αὐτάρκης ἡ τῆς ἑτέρας παρουσία πρὸς ποίησιν τῶν ὑπ᾽ αὐτήν, οὐδ᾽ ἂν ἡ τῆς ἑτέρας παρουσία αὐτάρκης εἴη πρὸς τὴν τῶν ὑφ᾽ αὐτὴν ποίησιν.

in Top.203 τούτῳ δέ, φησί, δεῖ χρῆσθαι τῷ τόπῳ καὶ ἐπὶ τῶν ἀληθῶς ὁμοίων καὶ ἐπὶ τῶν δοκούντων. ἐπὶ μὲν οὖν τῶν ἀληθῶς ὁμοίων ἔσται καὶ τὸ δεικνύμενον ἀληθές· ἐπὶ δὲ τῶν δοκούντων ἀληθὲς μὲν οὔ, φαινόμενον δέ. αὐτίκα γοῦν οὐ πάντῃ ὁμοίως ἐπιστήμη πρὸς τὰ ἐπιστητὰ ἔχει καὶ δόξα πρὸς τὰ δοξαστά, εἴ γε ἡ μὲν ἐπιστήμη ἀμετάπειστός ἐστι περὶ τὰ ἐπιστητά, ἡ δὲ δόξα οὐ τοιαύτη. ἀλλ᾽ οὐδὲ ὁμοίως ἔχει ὄψις πρὸς τὸ ὁρᾶν καὶ ἁφὴ πρὸς τὸ ἅπτεσθαι· ἡ μὲν γὰρ διὰ μέσου τινὸς καὶ τούτου πεφωτισμένου ἀντιλαμβάνεται τοῦ οἰκείου αἰσθητοῦ, ἡ δὲ ἁφὴ οὐχ οὕτως. δοκοῦσα ὁμοιότης ἐστὶ καὶ ἡ κατὰ τὸ σχῆμα τῆς λέξεως· δοκεῖ γὰρ ὅμοιον εἶναι τὸ μὲν ὁρᾶν τῷ βοᾶν τὸ δὲ πονεῖν τῷ ποιεῖν καὶ τὸ ὑφαίνειν τῷ ὑγιαίνειν. εἰ δή τις ἀξιώσαι, ἐπεὶ τὸ βοᾶν ποιεῖν ἐστι, καὶ τὸ ὁρᾶν ποιεῖν εἶναι, καὶ ἐπεὶ τὸ πονεῖν πάσχειν, καὶ τὸ ποιεῖν πάσχειν εἶναι, καὶ ἐπεὶ τὸ ὑφαίνειν ἐνεργεῖν, καὶ τὸ ὑγιαίνειν, ἀπὸ φαινομένης ὁμοιότητος τὴν ἐπιχείρησιν ποιήσεται. οὐ γὰρ τῷ πράγματι ἡ τῶν προειρημένων ὁμοιότης ἀλλὰ τῇ λέξει μόνῃ· διὸ καὶ ἐπιπόλαιος καὶ σοφιστικὴ ἡ πρὸς τὰ τοιαῦτα χρῆσις τοῦ τόπου. p. 114b31 Σκοπεῖν δὲ καὶ ἐ φ ᾽ ἑνὸς καὶ ἐπὶ πολλῶν εἰ ὁμοίως ἔχει · ἐνιαχοῦ γὰρ διαφωνε ῖ . Καὶ οὗτος ὁ τόπος ἐξ ἀκολουθίας. ἔστι δὲ τοιοῦτος· εἰ ἐφ᾽ ἑνὸς ἕν τι, καὶ ἐπὶ πολλῶν πολλὰ τὰ τοιαῦτα· ἀκολουθεῖ γάρ. οἷον εἰ τὸ διδάσκειν ἕνα ὠφελεῖν ἕνα ἐστί, καὶ τὸ πολλοὺς διδάσκειν πολλοὺς ὠφελεῖν ἔσται· ἢ εἰ μὴ τοῦτο, οὐδὲ τὸ πρῶτον. πάλιν εἰ τὸ μνημονεύειν τινὸς μετὰ τοῦ φαντάζεσθαι περὶ αὐτοῦ, καὶ τὸ πολλῶν μνημονεύειν μετὰ τοῦ φαντάζεσθαι περὶ τῶν πολλῶν γίνοιτ᾽ ἄν.

in Top.204

καὶ εἰ εἷς ἄνθρωπος λογικός, καὶ οἱ πολλοὶ λογικοί. καὶ εἰ τὸ ἐπίστασθαι διανοεῖσθαί ἐστι, καὶ τὸ πολλὰ ἅμα ἐπίστασθαι πολλὰ ἅμα διανοεῖσθαι ἔσται· εἰ δὲ ἀδύνατον ἅμα πολλὰ διανοεῖσθαι, οὐδ' ἂν τὸ ἐπίστασθαι διανοεῖσθαι εἴη. ὅτι δ' οὐχ ἕπεται τῷ ἅμα πολλὰ ἐπίστασθαι τὸ καὶ διανοεῖσθαι ἅμα πολλά, δῆλον ἐκ τοῦ ἐπίστασθαι μὲν ἅμα πολλὰ δυνατὸν εἶναι, διανοεῖσθαι δὲ ἅμα πολλὰ ἀδύνατον· πᾶς γὰρ ὁ διανοούμενος ἕν τι διανοεῖται. τὸ γὰρ διανοεῖσθαι ἐνέργεια καὶ διέξοδος τῆς ψυχῆς· ὡς γὰρ ἀδύνατον ἅμα λέγειν πολλοὺς λόγους, οὕτως καὶ διανοεῖσθαι ἅμα πολλά· λόγος γάρ τις ἡ διάνοια τῆς ψυχῆς αὐτῆς ἐφ' ἑαυτῆς λεγούσης. ἢ οὐκ ἀνάγκη, εἰ μὴ οἷόν τε τὸν πολλὰ ἅμα ἐπιστάμενον πολλὰ ἅμα διανοεῖσθαι, μηδὲ τὸ ἐπίστασθαι διανοεῖσθαι εἶναι· ὃ καὶ αὐτὸς δοκεῖ λέγειν· προσθεὶς γὰρ τὸ ἐνιαχοῦ γὰρ διαφωνεῖ ἐπήνεγκεν οἷον εἰ τὸ ἐπίστασθαι διανοεῖσθα ι , καὶ τὸ πολλὰ ἐπίστασθαι πολλὰ διανοεῖσθαι · τοῦτο δὲ οὐκ ἀληθέ ς . ἢ τὸ ἐνιαχοῦ γὰρ διαφωνεῖ εἶπεν οὐκ ἐπὶ διαβολῇ τοῦ τόπου ἀλλὰ δεικνὺς ἐφ' ὧν χρήσιμος ὁ τόπος πρὸς ἀνασκευήν· ἐφ' ὧν γὰρ φαίνεται μὲν ἐφ' ἑνὸς οὕτως ἔχειν, οὐκέτι δὲ ἐπὶ τῶν πολλῶν δυνατὸν τοῦτο, ἐπὶ τούτων ἀπὸ τῶν πολλῶν ἀρχόμενοι ἀνασκευάσομεν τὸ καὶ ἐπὶ τοῦ ἑνὸς φαινόμενον, ὡς ἔχει ἐπὶ τοῦ τὸν ἐπιστάμενον διανοεῖσθαι· τούτῳ γὰρ οὕτως ἔχειν δοκοῦντι ἐναντιοῦται τὸ μὴ δύνασθαι τὸν πολλὰ ἐπιστάμενον ἅμα καὶ διανοεῖσθαι ἅμα πολλά· διὸ οὐδὲ ἐκεῖνο ἂν ἀληθὲς εἴη. ἢ καὶ [ἐπὶ] ἑνὸς ἐπιστήμονος ὄντος οὐκ ἀνάγκη καὶ πολλούς, καὶ ἑνὸς μέλανος οὐκ ἀνάγκη καὶ πολλούς, καὶ ἑνὸς ἑξαδακτύλου οὐκέτι καὶ οἱ πολλοί. ἢ ὁ τόπος ἐπὶ τῶν φύσει τε καὶ κατὰ φύσιν ὑπαρχόντων προΐοι ἄν. p. 114b37 Ἔτι δὲ καὶ ἐκ τοῦ μᾶλλον καὶ ἧττο ν . Τόπους παραδίδωσιν ἡμῖν ἀπό τε τοῦ μᾶλλον καὶ ἧττον καὶ ἔτι ἀπὸ τοῦ ὁμοίως κατασκευαστικούς τε καὶ ἀνασκευαστικούς. εἰσὶ δὲ οἱ τόποι τὸ χρήσιμον ἔχοντες ἐν τοῖς συμβλητοῖς· ἐν τούτοις γὰρ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον καὶ τὸ ὁμοίως. καὶ πρῶτόν γε τῶν ἀπὸ τοῦ μᾶλλόν τε καὶ ἧττον μνημονεύει, εἶτα προστίθησιν αὐτοῖς καὶ τοὺς ἀπὸ τοῦ ὁμοίου.

in Top.205 φησὶ δὲ τέσσαρας εἶναι τοὺς ἀπὸ τοῦ μᾶλλον, ὁμοίως δὲ καὶ τοὺς ἀπὸ τοῦ ἧττον τόπους, ὧν ἕκαστον καὶ πρὸς ἀνασκευὴν καὶ πρὸς κατασκευὴν εἶναι χρήσιμον. εἰσὶ δὲ οἱ τέσσαρες, ὡς ἐρεῖ, ἢ ἑνὸς περὶ ἑνὸς κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον τὴν σύγκρισιν λαμβάνοντος ἢ ἑνὸς περὶ δύο ἢ δύο περὶ ἑνὸς ἢ δύο περὶ δύ ο . καὶ ἔστιν, οὗ πρώτου μνημονεύει, ἑνὸς περὶ ἑνός, ὧν τοιοῦτος· εἰ ζητοῖτο περί τινων εἰ τὸ ἕτερον τῷ ἑτέρῳ ὑπάρχει, ἐπιδεχομένων ἀμφοτέρων τὸ μᾶλλόν τε καὶ ἧττον, ἀξιοῖ ὁρᾶν εἰ τῷ μᾶλλον τὸ μᾶλλον ὑπάρχει. ***** καὶ τῷ ἁπλῶς τὸ ἁπλῶς ὑπάρξει· ἐὰν δὲ μὴ ὑπάρχῃ τῷ μᾶλλον τὸ μᾶλλον, οὐδ' ἂν τῷ ἁπλῶς τὸ ἁπλῶς ὑπάρξαι. οἷον εἰ ζητοῖτο πότερον τῇ ἡδονῇ τὸ ἀγαθὸν ὑπάρχει ἢ οὔ, ἐπεὶ ἀμφότερα τὸ μᾶλλον ἔχει, δεῖ ὁρᾶν εἰ τῇ μᾶλλον ἡδονῇ τὸ μᾶλλον ἀγαθὸν ὑπάρχει· εἰ γὰρ ἡ μᾶλλον ἡδονὴ μᾶλλον ἀγαθό ν , καὶ ἡ ἡδονὴ ἀγαθὸν ἂν εἴη· εἰ δὲ μὴ εἴη ἡ μᾶλλον ἡδονὴ τῆς ἧττον ἡδονῆς μᾶλλον ἀγαθόν, οὐδ' ἂν ἡ ἡδονὴ ἀγαθὸν εἴη. πάλιν ζητουμένου εἰ τὸ ἀδικεῖν κακόν, ζητητέον εἰ τὸ μᾶλλον ἀδικεῖν τοῦ ἧττον μᾶλλόν ἐστι καὶ μεῖζον κακόν· κἂν μὲν δείξωμεν οὕτως ἔχον, δεδειχότες ἂν εἴημεν καὶ τὸ ἀδικεῖν κακὸν ὄν· εἰ δὲ δειχθείη τὸ μᾶλλον ἀδικεῖν μὴ ὂν μᾶλλον κακόν, οὐδ' ἂν τὴν ἀρχὴν τὸ ἀδικεῖν εἴη κακόν. δοκεῖ δέ τισι τὸ τυραννεῖν μᾶλλον ἀδικεῖν ὂν μὴ εἶναι κακόν. πάλιν εἰ τὸ μᾶλλον ἀλγεῖν μᾶλλον κακόν, καὶ τὸ ἀλγεῖν τοιοῦτον· καὶ εἰ τὸ μᾶλλον πένεσθαι μᾶλλον κακόν, καὶ τὸ πένεσθαι· καὶ εἰ τὸ μᾶλλον φιλοπονεῖν μᾶλλον ἀγαθόν, καὶ τὸ φιλοπονεῖν τοιοῦτον. εἰσὶ δὲ ἀπὸ μὲν τοῦ μᾶλλον ἀρχόμενοι οἱ τόποι ἀνασκευαστικοί, ἀπὸ δὲ τοῦ ἧττον κατασκευαστικοί· ἐν μὲν γὰρ τῷ δειχθῆναι μὴ ὑπάρχον τὸ μᾶλλον ἀνασκευάζεται καὶ τὸ ἁπλῶς καὶ τὸ ἧττον, ἐν δὲ τῷ δειχθῆναι τὸ ἧττον ὑπάρχον κατασκευάζεται καὶ τὸ ἁπλῶς καὶ τὸ μᾶλλον. εἰ δὲ τῇ τοῦ ὑποκειμένου ἐπιδόσει ἡ τοῦ κατηγορουμένου ἐπίδοσις ὑπάρχει, διὰ τῆς ἐπαγωγῆς χρὴ λαμβάνοντας πιστοῦσθαι. οἷον μᾶλλον ἡδονὴ ἡ περὶ τὰ ἀφροδίσια, ἀλλὰ καὶ ἡ περὶ τὰς βρώσεις τε καὶ πόσεις· δοκοῦσι γὰρ εἶναι σφοδρότεραι, τὸ δὲ σφοδρότερον μᾶλλον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιοῦτον· εἰ οὖν αὗται μή εἰσι μᾶλλον ἀγαθαὶ διὰ τὸ μηδὲ τὰς ἐπιθυμίας αὐτῶν ἀγαθὰς εἶναι, οὐδ' ἂν ἡ ἡδονὴ ἀγαθὸν εἴη.

in Top.206 δόξαι δ' ἂν ὁ τόπος ἔνδοξος μᾶλλον ἢ ἀληθὴς εἶναι· πολλῶν γὰρ αἱ μὲν ὑπερβολαὶ πρὸς τῷ μὴ εἶναι ἀγαθαὶ καὶ κακά ἐστιν, αὐτὰ μέντοι ἀγαθά ἐστιν. οἷον τὸ γυμνάζεσθαι συμμέτρως ἀγαθὸν ὄν (ποιητικὸν γὰρ ὑγείας) τὴν ὑπερβολὴν κακὸν ἔχει· τὰ γὰρ ὑπερβάλλοντα γυμνάσια φθαρτικὰ τῆς ὑγείας. καὶ ἡ μὲν ὑπερβολὴ τοῦ πλούτου οὐκ ἀγαθόν, ὁ δὲ πλοῦτος ἀγαθόν. ἢ οὐκ ἔστι κακὸν τὸ μᾶλλον ἐν τῷ πλήθει τοῦ πλούτου, εἰ ὡς ὀργάνῳ χρήσαιτό τις αὐτῷ ἀγαθῶν· ὁ τοιοῦτος δὲ ἀγαθόν. ἀλλὰ καὶ εἰ τὰ γυμνάσια ὥρισται τῷ ὑγείας ἢ εὐεξίας εἶναι ποιητικά, τὰ μὴ ταῦτα ποιοῦντα οὐ γυμνάσιά ἐστιν· οὐ γὰρ ὑποπίπτει τῷ τῶν γυμνασίων ὁρισμῷ· ἐπὶ τούτων γὰρ τὸ μᾶλλον ἐν τῷ μᾶλλον σώζειν τὴν οἰκείαν φύσιν. p. 115a5 Ἄλλος · ἑνὸς περὶ δύο λεγομένο υ . Δεύτερον τόπον ἀπὸ τοῦ μᾶλλον παραδίδωσι τὸν ἑνὸς περὶ δύο λεγόμενον, ὅς ἐστι τοιοῦτος· εἰ ζητοῖτο περί τινος ἑνὸς πλείοσιν ὑπάρχειν δοκοῦντος πότερον ὑπάρχει τινὶ ἐξ αὐτῶν ἢ οὔ, ζητεῖν δεῖ εἰ ᾧ μᾶλλον αὐτῶν δοκεῖ ὑπάρχειν, μὴ ὑπάρχει· κἂν μέν, ᾧ μᾶλλον ὑπάρχειν δοκεῖ, μὴ ὑπάρχῃ, οὐδ' ἂν τῷ προκειμένῳ ὑπάρχοι· ἂν δέ, ᾧ ἧττον ὑπάρχειν δοκεῖ, ὑπάρχον δειχθῇ, καὶ τῷ προκειμένῳ ἂν ὑπάρχοι· τὸ μὲν γὰρ ᾧ μᾶλλον ὑπάρχοι ἂν μὴ ὑπάρχον οὐδ' ἂν ᾧ ἧττον ὑπάρχοι, τὸ δὲ ᾧ ἧττον ὑπάρχον ὑπάρχοι ἂν καὶ ᾧ μᾶλλον. οἷον ζητουμένου εἰ τῷ πλούτῳ ὑπάρχει τὸ ἀγαθόν, ἂν μᾶλλον μὲν φαίνηται τῇ ὑγείᾳ ὑπάρχον, δειχθῇ δὲ μὴ ὑπάρχον ἢ διὰ τὸ δύνασθαί τινι πρὸς κακοῦ τὴν ὑγείαν εἶναι ἢ διὰ τὸ μὴ ποιεῖν ἀγαθὸν τὸν ἔχοντα αὐτήν, οὐδ' ἂν τῷ πλούτῳ ὑπάρχοι· εἰ δὲ τῷ γυμνάζεσθαι ἧττον δοκοῦντι τοῦ πλούτου ἀγαθῷ εἶναι ὑπάρχον δειχθείη ὡς ὑγείας ὄντι ποιητικῷ, καὶ τῷ πλούτῳ ἂν εἴη δεδειγμένον ὑπάρχειν· ἐν γὰρ τούτοις ἕν, τὸ ἀγαθόν, περὶ δύο λέγεται, περὶ γὰρ ὑγείας καὶ πλούτου ἢ τοῦ γυμνάζεσθαι καὶ πλούτου.

in Top.207 πάλιν εἰ μᾶλλον ἀγαθὸν ἡ ἡδονὴ τῆς ἀλυπίας, μή ἐστι δὲ ἀγαθὸν ἡ ἡδονή, οὐδ' ἂν ἡ ἀλυπία ἀγαθὸν εἴη. ἢ εἰ ἧττον ἡ ἀλυπία τῆς ἡδονῆς ἀγαθὸν δοκοῦσα εἶναι ἀγαθόν ἐστι, καὶ ἡ ἡδονὴ ἀγαθὸν ἂν εἴη. καὶ εἰ μᾶλλον φρόνησις τέλος ἡδονῆς οὖσα μή ἐστι τέλος, οὐδ' ἂν ἡ ἡδονὴ τέλος εἴη. καὶ εἰ ἀξιομαχώτεροι τῶν ἄλλων Ἑλλήνων ὄντες Λακεδαιμόνιοι μή εἰσιν ἀξιόμαχοι, οὐδ' ἂν οἱ ἄλλοι Ἕλληνες εἶεν ἀξιόμαχοι. καὶ εἰ μᾶλλον τοὺς γεγηρακότας τῶν νέων σωφρονεῖν εὔλογον, οἱ δὲ οὐ σωφρονοῦσιν, οὐδ' ἂν οἱ νέοι σωφρονοῖεν. οὐκέτι μέντοι ἐπὶ τῶν οὕτως ἐχόντων ἢ ᾧ ἧττον ὑπάρχει μὴ ὑπάρχον δείκνυσί τι ἢ ᾧ μᾶλλον ὑπάρχει ὑπάρχον. p. 115a8 Πάλιν δυοῖν περὶ ἑνὸς λεγομένω ν . Ὁ δὲ τρίτος τόπος ἐστὶν ἀντεστραμμένος πως τῷ δευτέρῳ· ἐν μὲν γὰρ τῷ δευτέρῳ ἓν ἦν περὶ δύο λεγόμενον, ἐν δὲ τούτῳ δύο περὶ ἑνός. δύο γάρ τινων δοκούντων ὑπάρχειν τῷ αὐτῷ, εἰ μὲν τὸ μᾶλλον δοκοῦν αὐτῷ ὑπάρχειν μὴ ὑπάρχοι, οὐδ' ἂν τὸ ἧττον αὐτῷ ὑπάρχοι, εἰ δὲ τὸ ἧττον δοκοῦν ὑπάρχειν ὑπάρχοι, καὶ τὸ μᾶλλον ἂν ὑπάρχοι. οἷον εἰ τῷ μανθάνειν μᾶλλον δοκοῦν τὸ ὠφέλιμον τοῦ ἡδέος ὑπάρχειν μὴ ὑπάρχοι, οὐδ' ἂν τὸ ἡδὺ αὐτῷ ὑπάρχοι· ἢ εἰ τοῦτο, κἀκεῖνο. καὶ εἰ ὁ θρασὺς μᾶλλον ἀνδρεῖος ἢ φρόνιμος ὢν μή ἐστιν ἀνδρεῖος, οὐδ' ἂν φρόνιμος εἴη. πάλιν εἰ ὁ ἐπιεικὴς ἧττον δοκῶν δίκαιος ἢ φιλάνθρωπος εἶναι δίκαιός ἐστιν, εἴη ἂν καὶ φιλάνθρωπος. καὶ εἰ τὸ ἀδικεῖν μᾶλλον συμφέρον ἢ καλὸν ὂν μή ἐστι συμφέρον, οὐδ' ἂν καλὸν εἴη. p. 115a11 Ἔτι δυεῖν περὶ δύο λεγομένω ν . Ὁ δὲ τέταρτος τόπος ἐστίν, εἰ δύο εἴη τὰ ὑπάρχοντα καὶ δύο τὰ οἷς ὑπάρχει, ὧν τὸ μὲν ἕτερον τῷ ἑτέρῳ μᾶλλον δοκεῖ ὑπάρχειν, τὸ δὲ ἕτερον τῷ ἑτέρῳ ἧττον.

in Top.208 καὶ γὰρ ἐπὶ τούτων, εἰ μὲν τὸ μᾶλλον δοκοῦν ὑπάρχειν τινὶ δειχθείη μὴ ὑπάρχον αὐτῷ, οὐδ' ἂν τὸ ἧττον δοκοῦν ὑπάρχειν τινὶ ὑπάρχοι αὐτῷ· εἰ δὲ τὸ ἧττον ὑπάρχον τῷ οἰκείῳ ὑποκειμένῳ ὑπάρχον δειχθείη, καὶ τὸ μᾶλλον ἂν ὑπάρχειν δοκοῦν τῷ οἰκείῳ ὑποκειμένῳ ὑπάρχοι ἂν αὐτῷ. οἷον εἰ ἧττον ἡ ἡδονὴ ἀγαθὸν ἢ ὁ πόνος κακόν, ἔστι δὲ ἀγαθὸν ἡ ἡδονή, καὶ ὁ πόνος ἂν εἴη κακόν· καὶ εἰ ὁ ἄσωτος μᾶλλον δοκεῖ ἐλευθέριος εἶναι ἢ ὁ ἀνελεύθερος σώφρων, μή ἐστι δὲ ὁ

ἄσωτος ἐλευθέριος, οὐδ' ἂν ὁ ἀνελεύθερος εἴη σώφρων. καὶ εἰ ἧττον ὁ ἐπιεικὴς δίκαιος ἢ ὁ ἀνεπιεικὴς ἄδικος, ἔστι δὲ ὁ ἐπιεικὴς δίκαιος, καὶ ὁ ἀνεπιεικὴς ἂν ἄδικος εἴη. p. 115a15 Ἔτι ἐκ τοῦ ὁμοίως ὑπάρχειν ἢ δοκεῖ ν . Προστίθησι τοῖς ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον τέτρασι τόποις τοὺς ἀπὸ τοῦ ὁμοίως· καὶ γὰρ αὐτοί εἰσιν ἐν τοῖς σύγκρισιν ἔχουσι καὶ οὖσι συμβλητοῖς. τρεῖς δέ φησι καὶ τούτους εἶναι τοὺς τόπους, ἀνάλογον ἔχοντας τοῖς τρισὶ τοῖς ὑστέροις ῥηθεῖσιν ἀπὸ τοῦ μᾶλλόν τε καὶ ἧττον· τῷ γὰρ πρώτῳ ῥηθέντι τῶν ἀπὸ τοῦ μᾶλλον, δι' οὗ ὑπάρχειν ἕν τι ἑνὶ ἐδείκνυτο, ὅτι καὶ τῇ ἐπιτάσει αὐτοῦ ἡ ἐπίτασις, οὐκ ἔστι 〈τι〉 ἀνάλογον πρὸς τὰ ἀπὸ τοῦ ὁμοίου. δεῖ μὲν γὰρ [τὸ δεικνύμενον] ἐν τοῖς ἀπὸ τοῦ ὁμοίου τόποις διὰ τοῦ ὁμοίου τὸ ὅμοιον δεικνύναι· οὐκ ἔστι δὲ τὸ διὰ τοῦ μᾶλλον ὑπάρχοντος ἢ ἧττον δεικνύμενον διὰ τοῦ ὁμοίως ὑπάρχοντος δεικνύμενον· οὐ γὰρ τὸ μᾶλλον τῷ αὐτῷ ἢ ἧττον ὑπάρχον καὶ ὁμοίως αὐτῷ ὑπάρχοι ἄν. εἴ τι οὖν δύο τισὶν ὁμοίως δοκοῦν ὑπάρχειν, εἰ τῷ ἑτέρῳ μὴ ὑπάρχοι, οὐδὲ τῷ ἑτέρῳ ὑπάρχον ἔσται, εἰ δὲ τῷ ἑτέρῳ ὑπάρχει αὐτῶν, ὑπάρχον ἂν δεικνύοιτο καὶ τῷ λοιπῷ. εἰ γὰρ ὁμοίως ἡ δόξα καὶ ὁ πλοῦτος ἀγαθὰ δοκεῖ εἶναι, μή ἐστι δὲ ἡ δόξα ἀγαθόν, οὐδὲ ὁ πλοῦτος ἂν εἴη ἀγαθόν· ἢ εἰ ἀγαθὸν ἡ δόξα, καὶ ὁ πλοῦτος ἀγαθὸν ἂν δεικνύοιτο. κἂν εἰ ὁμοίως πειστέον νόμῳ τε καὶ πατρί, εἰ τῷ νόμῳ δεῖ πείθεσθαι, καὶ τῷ πατρί. ἢ δύο πάλιν ἑνὶ ὁμοίως δοκούντων ὑπάρχειν, εἰ θάτερον ὑπάρχοι, καὶ θάτερον ἂν ὑπάρχοι· ἢ εἰ μὴ θάτερον ὑπάρχοι, οὐδ' ἂν θάτερον ὑπάρχοι.

in Top.209 οἷον εἰ ὁμοίως τῇ δικαιοσύνῃ καὶ τὸ ἀγαθὸν καὶ τὸ ὠφέλιμον ὑπάρχει. μὴ ὑπάρχει δὲ αὐτῇ τὸ ὠφέλιμον, οὐδ' ἂν τὸ ἀγαθὸν αὐτῇ ὑπάρχοι· ἢ εἰ θάτερον, καὶ θάτερον. καὶ εἰ ὁμοίως τῷ ἀνδρείῳ ὑπάρχει τό τε θαρρεῖν, ὅτε δεῖ, καὶ τὸ φοβεῖσθαι, ὅτε δεῖ, εἰ μὴ ὑπάρχει αὐτῷ τὸ φοβεῖσθαι, ὅτε δεῖ, οὐδ' ἂν τὸ θαρρεῖν, ὅτε δεῖ, ὑπάρχοι αὐτῷ· ἢ εἰ τοῦτο, κἀκεῖνο. ἔτι εἰ δύο δυσὶν ὑπάρχειν δοκούντων ὁμοίως ἑκατέρῳ ἑκατέρου, εἰ τῷ ἑτέρῳ τῶν δύο τὸ ἕτερον τῶν δύο μὴ ὑπάρχοι, οὐδ' ἂν τῷ λοιπῷ τὸ λοιπὸν ὑπάρχοι· εἰ δὲ ὑπάρχει τὸ ἕτερον τῷ ἑτέρῳ τῶν ὁμοίως τισὶν ὑπάρχειν δοκούντων, καὶ τὸ ἕτερον ἂν τῷ ἑτέρῳ ὑπάρχοι. οἷον εἰ ὁμοίως δοκεῖ τῷ ἀνδρείῳ θρασύτης ὑπάρχειν καὶ τῷ δειλῷ ἀσφάλεια, μὴ ὑπάρχει δὲ τῷ ἀνδρείῳ θρασύτης, οὐδὲ τῷ δειλῷ ἀσφάλεια ἂν ὑπάρχοι· ἢ εἰ τούτῳ ἀσφάλεια, κἀκείνῳ θρασύτης. καὶ εἰ ὁμοίως ὁ ἀνδρεῖος περὶ φόβους καὶ θάρρη δοκεῖ εἶναι καὶ ὁ σώφρων περὶ ἡδονὰς καὶ λύπας, ἔστι δὲ ὁ ἀνδρεῖος περὶ φόβους καὶ θάρρη, καὶ ὁ σώφρων ἂν εἴη περὶ ἡδονὰς καὶ λύπας. καὶ εἰ ὁμοίως ὁ δίκαιος θεοῖς φίλος καὶ ὁ ἄδικος θεοῖς ἐχθρός, εἰ θάτερον, καὶ θάτερον· ἢ εἰ μὴ θάτερον, οὐδὲ θάτερον. καὶ εἰ ὁμοίως ἡ ἡδονὴ ἀγαθὸν καὶ ὁ πόνος κακόν, κακὸν δὲ ὁ πόνος, καὶ ἡ ἡδονὴ ἀγαθόν. p. 115a26 Ἔτι ἐκ τῆς προσθέσεω ς , ἐὰν ἕτερον πρὸς ἕτερον προστεθὲν ποιῇ ἀγαθὸν ἢ λευκό ν . Δύο τόπους παραδίδωσιν ἐκ τῆς ἄλλου ἄλλῳ προσθέσεως κατασκευαστικοὺς μόνον. ἔστι δὲ ὁ μὲν πρῶτος αὐτῶν τοιοῦτος· ὃ προστεθέν τινι τοιόνδε αὐτὸ ποιεῖ μὴ πρότερον ὂν τοιοῦτον, αὐτὸ πολὺ πρότερον τοιοῦτόν ἐστιν. οἷον εἰ προστεθέν τί τινι οὐκ ὄντι λευκῷ λευκὸν αὐτὸ πεποίηκεν, αὐτὸ τὸ προστεθὲν πολὺ πρότερον λευκόν ἐστι· καὶ εἰ προστεθέν τί τινι οὐκ ὄντι εὐώδει εὐῶδες αὐτὸ πεποίηκε, καὶ αὐτὸ εὐῶδες· καὶ εἰ μὴ γλυκεῖ προστεθέν τι γλυκὺ πεποίηκεν αὐτό, πολὺ πρότερον τὸ προστεθέν ἐστι γλυκύ.

in Top.210 ὁμοίως καὶ ἂν σχῆμά τι σχήματί τινι προστεθὲν τρίγωνον αὐτὸ ποιῇ, καὶ αὐτὸ τὸ προστεθὲν σχῆμα τρίγωνον ἔσται. καὶ εἰ ἡ ἀρετὴ προστεθεῖσά τινι σπουδαῖον αὐτὸν ποιεῖ, καὶ αὐτὴ τοιαύτη. δῆλον δὲ ὡς χρὴ ἐπὶ τῶν φύσει ἀλλ' οὐ νόμῳ τινὶ καὶ συνθήκῃ τοιῶνδε λεγομένων χρῆσθαι τῷ τόπῳ. ἡ γὰρ οὐγγία ταῖς ἕνδεκα οὐγγίαις οὐκ οὔσαις ἤδη προστεθεῖσα λίτραν ποιεῖ· οὐ μὴν διὰ τοῦτό ἐστιν αὐτὴ λίτρα· ἡ γὰρ λίτρα καὶ ἡ οὐγγία κατὰ συνθήκην· ἄλλη γοῦν παρ' ἄλλοις οὐγγία τε καὶ λίτρα. ἢ διὰ τοῦτο ἡ οὐγγία οὐ λίτρα, ὅτι συντελεῖ πρὸς τὸ λίτραν τὸ ὅλον εἶναι καὶ τὰ οἷς προστίθεται, αἱ ἕνδεκα οὐγγίαι. οὐκέτι 〈δὲ〉 πρὸς τὸ βαρυτέρας τὰς ἕνδεκα οὐγγίας γίνεσθαι συντελοῦσιν αὗται· τὸ μὲν γὰρ βαρὺ παρ' αὐτῶν εἶχον, τὸ δὲ βαρύτερον παρὰ

τοῦ προστιθεμένου· διὸ ἐπεὶ τὸ ὅλον βαρύτερον γίνεται τῇ τῆς οὐγγίας προσθέσει, ἀνάγκη καὶ αὐτὴν βαρεῖαν εἶναι, ὡς δείκνυσιν ὁ δεύτερος τόπος. οὕτως καὶ Πλάτων ἔδειξε τὴν ψυχὴν ζωήν· εἰ δὲ ζωὴ ἡ ψυχή, καὶ ἀνεπίδεκτος ἂν τοῦ ἐναντίου εἴη, οὕτως δ' ἂν καὶ ἀθάνατος. ἔνστασις πρὸς τὸν τόπον ὅτι πολλὰ φάρμακα προστιθέμενά τισι δοκεῖ τὸ ὅλον ποιεῖν σωτήριον ἢ δηλητήριον, οὐδενὸς ἐξ αὐτῶν μόνου τοιούτου ὄντος. ἢ καὶ ἐπὶ ἐπὶ τούτων ἔστιν εἰπεῖν ὅτι, εἰ μὲν τὸ προστιθέμενον μόνον τὴν αἰτίαν ἔχει, εἴη ἂν καὶ αὐτὸ τοιοῦτον, εἰ δὲ ἐκ τῆς πάντων μίξεώς τε καὶ κράσεως ἡ τοιαύτη ποιότης ἀπογεννᾶται πάντων εἰς αὐτὴν συντελούντων, οὐδὲν ἂν λέγοιτο πρὸς τὸν τόπον. ὁ γὰρ τόπος, εἴ τι μὴ ὂν τοιοῦτον τῇ τινὸς προσθέσει τοιοῦτον γίνεται μὴ συνεργοῦντος εἰς τὴν τοιουτότητα τοῦ ὑποκειμένου (τοῦτο γὰρ προσυπακούειν δεῖ), τὸ προστιθέμενον ἀξιοῖ καὶ πρότερον εἶναι τοιοῦτον, ἀλλ' οὐκ εἴ τι ἐκ μίξεώς τινων γίνεται τοιοῦτον, καὶ ἕκαστον τῶν μιγνυμένων τοιοῦτον εἶναι λέγει· ὁ γὰρ οἶνος ἐπιμιχθεὶς τῷ μέλιτι οἰνόμελι τὸ ὅλον ἐποίησεν οὐκ ὂν τοιοῦτον πρὸ τούτου. ὅτι δὲ μὴ τὸ τελευταῖον προστεθὲν αἴτιον τοῦ τοιοῦτον γεγονέναι τὸ ὅλον μόνον, δῆλον ἐκ τοῦ, κἂν τοῦτο ὑπαλλάξαντες ὑποθῶμεν, ἄλλο δέ τι τῶν τέως ὑποκειμένων ἀφελόντες ὕστερον προσθῶμεν, τὸ ὅλον ὅμοιον γίνεσθαι.

in Top.211 Καὶ ὁ μὲν πρῶτος τῶν ἀπὸ τῆς προσθέσεως τόπων τοιοῦτος. ὁ δὲ δεύτερος οὗτος· εἴ τινι προστεθέν τι μᾶλλον ποιεῖ τοιοῦτον, καὶ αὐτὸ ἔσται τοιοῦτον. δῆλον δὲ ὅτι καὶ οὗτος ὁ τόπος χρήσιμος ἐν οἷς ἐστι τὸ μᾶλλόν τε καὶ ἧττον· εἰ γὰρ τὸ προστεθὲν γλυκεῖ τινι γλυκύτερον αὐτὸ πεποίηκε, καὶ αὐτὸ γλυκὺ ἂν εἴη, καὶ εἰ λευκότερον, καὶ τοῦτο λευκόν, καὶ εἰ αἱρετώτερον, καὶ αὐτὸ αἱρετόν, καὶ εἰ βαρύτερον, καὶ αὐτὸ βαρύ, ὡς λέγομεν ἐπὶ τῆς οὐγγίας. οὕτως δεικνύοιτ' ἂν ἕκαστον τῶν λεγομένων ἀδιαφόρων τε καὶ προηγμένων ὑπὸ τῶν νεωτέρων αἱρετόν τε καὶ ἀγαθόν· ἕκαστον γὰρ αὐτῶν προστιθέμενον τῇ ἀρετῇ τὸ ὅλον αἱρετώτερον τῷ σπουδαίῳ ποιεῖ. αἱρετώτερος γὰρ βίος ὁ κατ' ἀρετήν, εἰ μεθ' ὑγείας εἴη, καὶ εἰ μετὰ εὐπορίας, καὶ εἰ μετὰ ἀγαθῆς δόξης· τὰ γὰρ αἱρετὰ καὶ φευκτὰ κρίνεται τῇ τοῦ σπουδαίου αἱρέσει τε καὶ φυγῇ. Εἰπὼν δὲ 'εἰ τὸ προστεθέν τινι μᾶλλον αὐτὸ τοιοῦτον ποιεῖ' προσέθηκεν ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλω ν , ὅτι μὴ μόνον ἐπὶ τοῦ ποιοῦ τοῦτο ἀλλὰ καὶ ἐπὶ τοῦ ποσοῦ· εἰ γὰρ τὸ προστεθὲν μεῖζον αὐτὸ ποιεῖ, καὶ αὐτὸ ἐν μεγέθει, καὶ εἰ πλεῖον, καὶ αὐτὸ ἐν πλήθει. ἢ εἰπὼν εἰ πρὸς τὸ ὑπάρχον προστεθέν τι μᾶλλον ποιεῖ τοιοῦτον ὡς ἐπί τινος ἑνὸς καὶ ὡρισμένως, προσέθηκε τὸ ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων δεικνὺς ὅτι οὐκ ἐπὶ τούτου μόνον τοῦ μᾶλλον τοιούτου γινομένου πρόεισιν ὁ τόπος ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τῶν οὕτως ἐχόντων. Εἰσὶ δὲ οἱ προειρημένοι τόποι πρὸς κατασκευὴν μόνον χρήσιμοι, οὐκέτι δὲ καὶ πρὸς ἀνασκευήν· οὐ γάρ, εἰ προστεθέν τί τινι μὴ ποιεῖ αὐτὸ λευκὸν ἢ γλυκὺ ἢ λευκότερον ἢ γλυκύτερον, διὰ τοῦτο οὐδ' αὐτὸ ἔσται λευκὸν ἢ γλυκύ. ὀλίγον γὰρ μέλιτος ἀψινθίῳ μιχθὲν οὐ ποιεῖ μὲν αὐτὸ γλυκύ, οὐ μὴν διὰ τοῦτο οὐδ' αὐτὸ ἂν εἴη γλυκύ· οὐδέ, ἐπεὶ πλοῦτος προστιθέμενος κακίᾳ μὴ ποιεῖ τὸ ὅλον αἱρετόν, διὰ τοῦτο οὐκ ἔστιν αἱρετός· ἀλλ' οὐδέ, ἐπεὶ ὁ γλυκὺς οἶνος μιγνύμενος τῷ μέλιτι μὴ ποιεῖ αὐτὸ γλυκύτερον, διὰ τοῦτο οὐδ' αὐτός ἐστι γλυκύς. τὸ δὲ χρήσιμος δὲ οὐκ ἐν ἅπασιν ὁ τόπο ς , ἀλ λ ' ἐν οἷς τὴν τοῦ μᾶλλον ὑπεροχὴν συμβαίνει γίνεσθαι εἶπεν, ὅτι μὴ πάντα τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται.

in Top.212 οὐσία γὰρ οὐσίας οὐκ ἔστι μᾶλλον καὶ ἧττον· διὸ οὐκ ἔστιν ὁ τόπος πρὸς τοῦτο χρήσιμος· οὐδὲν γὰρ προστεθὲν οὐσίᾳ μᾶλλον αὐτὴν οὐσίαν ποιήσει. ἔτι τὴν τοῦ μᾶλλον ὑπεροχὴν ἐπὶ τούτων συμβαίνει γίνεσθα ι . πρὸ τοῦ προστιθεμένου ἅ ἐστιν ἤδη τοιαῦτα, γλυκέα τὰ γλυκύτερα ἐσόμενα, θερμὰ τὰ θερμότερα ἐσόμενα. ἐπεὶ δὲ τὸ μᾶλλον ἡ ποιότης ἐπιδέχεται, πρὸς τὰ ὑπὸ τὴν ποιότητα ἂν εἴη χρήσιμος. ἀλλὰ καὶ τὸ ἀγαθὸν κακῷ προστιθέμενον οὐκ ἐξ ἀνάγκης ἀγαθὸν τὸ ὅλον ποιε ῖ . οὕτως εἶπεν, ἐπεὶ δύναταί ποτε ἀγαθὸν μέγα κακῷ μικρῷ προστεθὲν τὸ ὅλον αἱρετὸν ποιεῖν, οἷον ἀρετὴ πενίᾳ προστεθεῖσα· αἱρετὴ γὰρ ἡ ἀρετή, κἂν ᾖ μετὰ πενίας· ἀλλὰ καὶ θανάτῳ κακῷ ὄντι τὸ ἀπ' ἀνδρείας καλὸν προστεθὲν τὸ ὅλον αἱρετὸν ποιεῖ· διὰ τοῦτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γάρ τις θάνατος εὐκλεής. οὐ μὴν πᾶν ἀγαθὸν κακῷ προστεθὲν τὸ ὅλον ἀγαθὸν ποιεῖ· πλοῦτος γοῦν νόσῳ προστεθεὶς οὐ ποιεῖ τὸ ὅλον αἱρετόν. εἴη δ’ ἂν προσκείμενον τοῦτο οἰκειότερον τῷ πρὸ τούτου τόπῳ, δι’ οὗ ἠξιοῦτο, ἐὰν ἕτερον πρὸς ἕτερον προστεθὲν ποιῇ ἀγαθὸν ἢ λευκὸν μὴ ὂν πρότερον ἀγαθὸν ἢ λευκό ν , τὸ προστεθὲν γίνεσθαι ἀγαθὸν ἢ λευκόν. p. 115b3 Πάλιν εἴ τι μᾶλλον καὶ ἧττον λέγετα ι , καὶ ἁπλῶς ὑπάρχε ι . Οὗτος ὁ τόπος καὶ αὐτὸς ἐπὶ τῶν τὸ μᾶλλον καὶ ἧττον ἐπιδεχομένων καὶ τὴν κατὰ τοῦτο σύγκρισιν χρήσιμος. καὶ ἔστιν ὁμοίως τοῖς πρὸ αὐτοῦ κατασκευαστικὸς μόνον, οὐκέτι δὲ καὶ ἀνασκευαστικός· ὃ γὰρ μᾶλλόν τι ἢ ἧττόν τινός ἐστι, τοῦτο καὶ ἁπλῶς ἐστιν, οὐχ ὡς τῇ αὑτοῦ φύσει ὄντος τοιούτου, ἀλλ’ ὡς ὑπάρχοντος αὐτῷ τούτου καθ’ ὃ μᾶλλόν τινος ἢ ἧττόν ἐστιν. οἷον εἰ μᾶλλόν τινός ἐστιν ἢ ἧττον τόδε τι γλυκύ, καὶ ἁπλῶς ἐστι γλυκύ· εἰ γὰρ μὴ ἦν ὅλως γλυκύ, οὐδ’ ἂν μᾶλλόν τινος ἢ ἧττον γλυκὺ ἐλέγετο. οὐδὲν γὰρ μὴ μετέχον τινὸς μᾶλλον αὐτό τινος ἢ ἧττον λέγεται ἔχειν· οἷον εἰ μὴ μετέχει λευκοῦ, οὐδὲ μᾶλλόν τινος ἢ ἧττόν ἐστι λευκόν, τῷ ἧττον κυρίως ἡμῶν χρωμένων. εἰ δὲ τὸ μὴ μετέχον τινὸς οὐδενὸς κατ’ αὐτὸ τοῦτο μᾶλλον ἢ ἧττόν ἐστιν, ὃ μᾶλλον καὶ ἧττόν ἐστί τινος, τοῦτο καὶ ἁπλῶς ἐκείνου μετέχει.

in Top.213 ὅταν οὖν ζητῶμεν εἰ ὑπάρχει τί τινι τῶν τὸ μᾶλλον καὶ ἧττον ἐπιδεχομένων, χρὴ ζητεῖν εἴ τινος τὸ προκείμενον κατὰ τοῦτο, καθ’ ὃ ζητοῦμεν εἰ ὑπάρχει αὐτῷ, μᾶλλον ἢ ἧττόν ἐστιν· ἂν γάρ τι τούτων δειχθῇ, δεδειγμένον ἂν εἴη ὅτι καὶ ἁπλῶς αὐτὸ ἐκείνῳ ὑπάρχει. οἷον [εἰ ζητοῖτο] εἰ μᾶλλον αἱρετὸν ὑγείας ἀρετή, αἱρετὸν ἀρετή, καὶ εἰ ἧττον λευκὸν ἱμάτιον χιόνος, λευκὸν καὶ αὐτό. δοκεῖ ἔνστασιν ὁ τόπος ἔχειν· γῆ γὰρ γῆς κουφοτέρα λέγεται, καὶ οὐκ ἔστιν ἁπλῶς αὐτῇ τὸ κοῦφον ὑπάρχον. ἢ οὐ κυρίως τὸ ‘κουφοτέρα‘ ἐπὶ τῆς γῆς λέγεται, ἀλλ’ ἀντὶ τοῦ ‘ἧττον βαρεῖα‘. ἀλλ’ οὐδὲ πενία ἁπλῶς αἱρετή, καίτοι αἱρετωτέρα λέγεται νόσου. ἢ οὐδ’ ἐπὶ τῶν τοιούτων τὸ αἱρετώτερον κυρίως, ἀλλ’ ἀντὶ τοῦ ἧττον φευκτοῦ. πρὸς μὲν οὖν κατασκευήν, ὡς εἶπεν, ὁ τόπος χρήσιμος, οὐκέτι δὲ καὶ πρὸς ἀνασκευήν· οὐ γὰρ ἀληθὲς τὸ εἴ τι μὴ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τοῦτο μηδὲ ἁπλῶς εἶναι, ἢ εἴ τι ἁπλῶς ἐστι, τοῦτο καὶ μᾶλλόν τινος καὶ ἧττον εἶναι. οὔτε γὰρ ἡ οὐσία τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται οὔτε τῶν ποσῶν τι, ὡς ἐν Κατηγορίαις δέδεικται· διὸ οὐκ ἀναγκαῖον μὴ εἶναι ἄνθρωπόν τινα, ἐπεὶ μή ἐστι μήτε μᾶλλον μήτε ἧττον ἄνθρωπος. p. 115b11 Τὸν αὐτὸν δὲ τρόπον σκεπτέον καὶ ἐπὶ τοῦ κατά τι καὶ ποτὲ καὶ πο ύ . Εἰπὼν τόπον τὸν ἀπὸ καὶ ἧττον κατασκευαστικόν (ὃ γάρ τι μᾶλλον καὶ ἧττόν ἐστί τινος, τοῦτο καὶ ἁπλῶς ἐστιν), ὡς ὁμοιότητά τινα ἔχοντα τῷ προειρημένῳ τόπῳ παρατίθεται τόν τε ἀπὸ τοῦ κατά τι καὶ τὸν ἀπὸ τοῦ ποτὲ καὶ τὸν ἀπὸ τοῦ πού· ὡς γάρ, ὃ μᾶλλόν τινι ὑπάρχει, καὶ ἁπλῶς ἐκείνῳ ὑπάρχει, οὕτως καὶ ὃ κατά τι ὑπάρχει τινὶ ἢ ποτὲ ἢ πού, δοκεῖ καὶ ἁπλῶς ὑπάρχειν ἐκείνῳ. κατά τι γὰρ βλέπον τὸ ζῷον καὶ ἁπλῶς βλέπει· ὁμοίως καὶ κατά τι ἀκοῦον καὶ κατά τι ὀσφραινόμενον ἢ γευόμενον. ἀλλὰ καὶ ἕκαστον τῶν γενητῶν σωμάτων ποτὲ ὂν καὶ ἁπλῶς ἐστιν· ἀλλὰ καὶ εἴ πού ἐστιν Ἱπποκένταυρος ἢ Σκύλλα, καὶ ἁπλῶς ἂν εἴη· ἀλλὰ καὶ τὸ θέρους ὑγιαῖνον καὶ ἁπλῶς ὑγιαίνει, καὶ τὸ ἐν Ἑλλάδι ὑγιαῖνον καὶ ἁπλῶς ὑγιαίνει, καὶ τὸ σῶμά που ὂν καὶ ἁπλῶς ἐστιν.

in Top.214 ἐπὶ μὲν οὖν τῶν τοιούτων παραδειγμάτων συνᾴδουσιν οἱ τόποι, οὐ μὴν ἐπὶ πάντων εἰσὶν ἀληθεῖς· διὸ χρὴ ὡς πιθανοῖς αὐτοῖς ἀλλ’ οὐχ ὡς ἰσχὺν ἔχουσι χρῆσθαι. ἡ δὲ πιθανότης αὐτῶν τῆς κατασκευῆς ἐστιν ᾗ ἐχρήσατο αὐτός· εἰ γὰρ τὸ ὅλως, τοῦτ’ ἔστιν ἁπλῶς ἀδύνατον ὑπάρχειν τινί, τοῦτο οὔτε κατά τι οὔτε ποτὲ οὔτε ποὺ οἷόν τε ὑπάρχειν αὐτῷ, εὔλογον δοκεῖ, ὃ κατά τι ἢ ποτὲ ἢ ποὺ ὑπάρχει τινί, τοῦτο καὶ ἁπλῶς ὑπάρχειν. οὐ μὴν ἀληθὲς τοῦτο· οὐ γὰρ ἕπεται τῇ ἀντιστροφῇ τὸ ἁπλῶς ὑπάρχειν, ἀλλὰ τὸ δύνασθαι ὑπάρχειν, ὅ ἐστιν ἀληθές· ὃ γὰρ κατά τι ὑπάρχει τινί, δῆλον ὅτι καὶ δύναται ὑπάρχειν αὐτῷ· ὁμοίως καὶ τὸ ποτὲ καὶ πού. ὥστε ἀληθὲς ἔσται τὸ κατά τι ὑπάρχον δύνασθαι καὶ ἁπλῶς ὑπάρχειν. ὅτι γὰρ μὴ ἀληθὲς τὸ ἁπλῶς ὑπάρχειν, δῆλον καὶ αὐτὸς ποιεῖ. ὅ τε γὰρ Αἰθίοψ πῇ λευκὸς ὢν (κατὰ γὰρ τοὺς ὀδόντας) οὐκέτι καὶ

ἁπλῶς ἐστι λευκός· ἁπλῶς γὰρ τοῦτο λέγεται, ὥς φησιν αὐτὸς διαβάλλων τὸν τόπον, ὃ χωρὶς προσθήκης λεγόμενον ἀληθές ἐστιν· ὃ δὲ δεῖται προσθήκης πρὸς τὸ ἀληθὲς εἶναι, τοῦτο οὐκ ἔστιν ἁπλῶς. διὰ τοῦτο ὁ Αἰθίοψ ἁπλῶς οὐκ ἔστι λευκός, ὅτι χωρὶς προσθήκης οὐκ ἔστιν ἀληθὲς τὸ 〈'ὁ〉 Αἰθίοψ λευκός ἐστι'· προστεθέντος δὲ τοῦ κατά τι ἀληθὲς γίνεται. ἀλλὰ καὶ κατά τι σπουδαῖοί τινές εἰσιν, οὓς οὐκ ἔστιν ἁπλῶς εἰπεῖν σπουδαίους· οἱ γὰρ φύσει ἐλευθέριοι ἢ κόσμιοι τὸ μὲν ὅλον φύσει κόσμιοι ἢ φύσει ἐλευθέριοι εἶεν ἄν, οὐ μὴν καὶ ἁπλῶς· ἐνδέχεται γὰρ αὐτοὺς πεφυκότας πρὸς ταῦτα καλῶς μοχθηροὺς εἶναι διὰ τὸ μοχθηρῶς τεθράφθαι· δεῖ μὲν γὰρ τὸν ἁπλῶς σπουδαῖον φρόνιμον εἶναι, οὐδεὶς δὲ γίνεται φρόνιμος φύσει, ὡς ἐν τοῖς Ἠθικοῖς δείκνυται. κατὰ δὲ τὴν λέξειν τῷ ἁπλῶς δὲ οὐκ εἰσὶ τὸ φύσει περισσῶς πρόσκειται· ἔστι γὰρ αὔταρκες τὸ 'ἁπλῶς δὲ οὐκ εἰσὶ σπουδαῖοι' ῥηθέν. πάλιν ἐπὶ τοῦ ποτὲ ποτὲ μὲν ἐνδέχεται τῶν φθαρτῶν τι μὴ φθαρῆνα ι , οὐ μὴν καὶ ἁπλῶς ἐνδέχεταί τι φθαρτὸν ὂν μὴ φθαρῆναι· καὶ ποτὲ μὲν μὴ ἀναπνεῖν τι ζῷον τῶν ἀναπνευστικῶν ἐνδέχεται, οὐ μὴν καὶ ἁπλῶς μὴ ἀναπνεῖν. πάλιν ἐπὶ τοῦ ποὺ ποὺ μὲν συμφέρει τοιαύτῃ διαίτῃ χρῆσθα ι , οἷον ἐν τοῖς νοσώδεσι τόποι ς , οὐ μὴν καὶ ἁπλῶς· καὶ ποὺ μὲν ἕνα μόνον δυνατὸν εἶναι, οἷον ἐν θεάτρῳ ἕνα ἄνθρωπον μόνον δυνατὸν εἶναι, οὐ μὴν καὶ ἁπλῶς ἕνα ἄνθρωπον μόνον δυνατὸν εἶναι.

in Top.215 διὰ τὰς τοιαύτας ἐνστάσεις περὶ τῶν τόπων τούτων οὕτως εἶπε· τὸν αὐτὸν δὲ τρόπον σκεπτέον καὶ ἐπὶ τοῦ κατά τι καὶ ποτὲ καὶ πο ύ , ἐνδεικνύμενος ὅτι σκέψεως χρείαν ἔχουσιν οἱ τόποι εἴτε δεῖ χρῆσθαι αὐτοῖς εἴτε μή. χρησάμενος δέ τισι παραδείγμασιν αὐτός, τῷ μὲν ὡς τοῦ ποὺ σημαντικῷ τῷ δὲ ὡς τοῦ ποτέ, ἐπηνωρθώσατο αὐτὰ ὡς οὐ τούτων ὄντα σημαντικά. τὸ γὰρ καλὸν εἶναι τὸν πατέρα θύειν ἔθηκε μὲν ὡς τοῦ ποὺ σημαντικόν ( ἐν γὰρ Τριβαλλοῖ ς) , ἐπηνωρθώσατο δὲ αὐτὸ ὡς οὐ τὸ ποὺ σημαῖνον ἀλλὰ τὸ τισίν· ἔνθα γὰρ ἂν ὦσι Τριβαλλοί, τοῦτο αὐτοῖς καλόν. ἔτι τὸ συμφέρειν φαρμακεύεσθαι τοῖς νοσοῦσιν ἔθηκε μὲν ὡς σημαντικὸν τοῦ ποτέ (ὅτε γὰρ νοσοῦσιν), ἐπηνωρθώσατο δὲ αὐτὸ ὡς οὐ τοῦ ποτὲ σημαντικὸν ἀλλὰ τοῦ πὼς διακειμένου· τῷ γὰρ οὕτως διακειμένῳ ἀεὶ ὑγιεινὰ ταῦτα, οὐ ποτέ. οὐδὲ τὸ τισὶ δὲ καλὸν καὶ ἁπλῶς καλόν, οὐδὲ τὸ τοῖς πὼς διακειμένοις τοῦτο καὶ πᾶσιν. p. 115b29 Τὸ δὲ ἁπλῶς ἐστιν ὃ μηδενὸς προστεθέντος ἐρεῖς ὅτι καλόν ἐστι ν . Εἰπὼν τὰς ἐνστάσεις πρὸς τοὺς προειρημένους τόπους (καὶ γὰρ κατά τι ὄντες τινὲς σπουδαῖοι οὐκ εἰσὶν ἁπλῶς τοιοῦτοι, καὶ ποτὲ μὴ φθειρόμενόν τι οὐκ ἔστιν ἁπλῶς καὶ ἄφθαρτον, καὶ "ποὺ μὲν συμφέρει τοιαύτῃ χρῆσθαι διαίτῃ, ὡς ἐν τοῖς νοσώδεσι τόποις, ἁπλῶς δὲ οὔ"), ὅτι μηδὲν τούτων ἁπλῶς ἐστιν ἢ λέγεται δεικνὺς τὸ ἁπλῶς τί ποτ' ἐστὶν ἐδήλωσε, τὰς προειρημένας ἐνστάσεις ὅτι ὀρθῶς εὕρηνται βεβαιῶν. ὃ γὰρ χωρὶς προσθήκης τινὸς ἀληθῶς ἔστιν εἰπεῖν εἶναι, ἁπλῶς τοῦτό ἐστι τοιόνδε. παραδείγματι δὲ τοῦ λεγομένου αὐτὸς τῷ καλῷ καὶ τῷ κακῷ ἐχρήσατο. ὃ γὰρ χωρὶς προσθήκης καλόν, τοῦτο ἁπλῶς καλόν, καὶ ὃ καθ' αὑτὸ κινεῖται χωρὶς προσθήκης, τοῦτο ἁπλῶς κινεῖται. ὃ δὲ δεῖται προσθήκης πρὸς τὸ ἀληθῶς αὐτοῦ κατηγορηθῆναι τὸ κινεῖσθαι, τοῦτο οὐχ ἁπλῶς κινεῖται· ἐφ' οὗ γὰρ ἀληθές ἐστι τὸ κατὰ συμβεβηκὸς κινεῖσθαι καὶ μὴ οἷόν τε χωρὶς προσθήκης ἀληθῶς αὐτοῦ τὸ κινεῖσθαι κατηγορῆσαι, τοῦτο οὐ κινεῖται ἁπλῶς.

in Top.216 καὶ ἐπὶ τῶν προειρημένων δή, οἷς μὲν μετὰ προσθήκης λεγομένοις τοῦ τινὶ ἢ ποὺ ἢ ποτὲ δυνάμεθα καὶ τὸ ἁπλῶς τὴν προσθήκην ἀφελόντες ἐπενεγκεῖν, ἀληθῶς ταῦτα καὶ ἁπλῶς λέγοιτ' ἄν· οἷον κατὰ τοὺς ὀφθαλμοὺς ὁρᾶν ἀληθές, ἀλλὰ καὶ τοῦ κατὰ τοὺς ὀφθαλμοὺς ὁρῶντος τὸ ὁρᾶν χωρὶς προσθήκης ἀληθῶς κατηγορεῖται· οὐκέτι δέ, εἰ τὸ φύσει ἐλευθέριον ἀληθῶς κατηγορεῖται, πάντως καὶ τὸ ἁπλῶς ἐλευθέριον χωρὶς προσθήκης. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΕΙΣ ΤΟ ΤΡΙΤΟΝ ΤΗΣ ΤΟΠΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ Ἐκθέμενος ἐν τῷ δευτέρῳ τοὺς πρὸς τὸ συμβεβηκὸς τόπους, δι' ὧν δυνησόμεθα ἢ κατασκευάζειν τι ὡς συμβεβηκὸς ἄλλο ἄλλῳ ἁπλῶς ἢ ἀνασκευάζειν καὶ ὅτι μὴ συμβέβηκε τὸ λεγόμενον συμβεβηκέναι δεικνύναι, ἐν τῷ τρίτῳ τόπους ἐκτίθεται δι' ὧν δυνησόμεθα περὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συγκριτικῶν προβλημάτων διαλαμβάνοντες ἐπιχειρεῖν καὶ δεικνύναι ἢ μᾶλλόν τι ὑπάρχον ἄλλο ἄλλῳ ἢ ἧττον.

in Top.217.(1t) εἴιεν δ’ ἂν καὶ οὗτοι οἱ τόποι ἀπὸ τοῦ συμβεβηκότος, ὡς καὶ αὐτός γε φθάσας ἐν τῷ πρώτῳ τοῖς ἀπὸ τοῦ συμβεβηκότος προβλήμασι συνέταξε πάντα τὰ κατὰ σύγκρισιν λεγόμενα, προσθεὶς μετὰ τὸ περὶ τοῦ συμβεβηκότος εἰπεῖν “προσκείσθωσαν δὲ τῷ συμβεβηκότι καὶ αἱ πρὸς ἄλληλα συγκρίσεις, ὁπωσοῦν ἀπὸ τοῦ συμβεβηκότος λεγόμεναι.” καὶ ἄλλως δῆλον ὅτι ἡ σύγκρισις ἐν μόνοις γίνεται τοῖς συμβεβηκόσι· μόνον γὰρ μᾶλλον καὶ ἧττον ὑπάρχειν δύναταί τισι τὸ συμβεβηκός. οὔτε γὰρ τὸ γένος οἷόν τε τῷ μὲν μᾶλλον τῷ δὲ ἧττον ὑπάρχειν τῶν οἷς προσεχῶς ὑπάρχει οὔτε τὸ ἴδιον οὔτε ὁ ὁρισμός· τὸ δὲ συμβεβηκὸς τῷ ἔξωθεν εἶναι τῆς τοῦ πράγματος ᾧ συμβέβηκεν οὐσίας οἷόν τε καὶ μᾶλλον τινὶ ἢ τισὶ καὶ ἧττον ὑπάρχειν τὸ αὐτὸ καὶ ἄλλο ἄλλου μᾶλλον καὶ ἄλλο ἄλλου ἧττον, ὅπου γε καὶ κατά τι. ὕλη δὲ τοῖς συγκριτικοῖς προβλήμασίν ἐστι μὲν καὶ κατὰ φιλοσοφίαν πᾶσαν ὑποβεβλημένη. καὶ γὰρ κατὰ τὴν ἠθικήν· τὰ γὰρ περὶ αἱρετωτέρου τὴν ζήτησιν ἔχοντα πάντα ἠθικά· ἡ γὰρ τῶν αἱρετῶν ἀναφορὰ ἐπὶ πρᾶξίν τε καὶ τὴν ἠθικὴν φιλοσοφίαν. ὅσα δὲ φυσικῶν τινων ποιεῖται τὴν σύγκρισιν, φυσικὰ ταῦτα, ὡς ὅταν ζητῆται ποτέρα μείζων, ἡ σελήνη ἢ ἡ γῆ, καὶ ποτέρα βελτίων, αἴσθησις ἢ ἐπιστήμη, καὶ ποτέρα κίνησις ἁπλουστέρα, ἡ κύκλῳ ἢ ἡ ἐπ’ εὐθείας.

in Top.218 ἔστιν ἔτι καὶ ἐν τῇ λογικῇ συγκριτικῶς τινα ζητούμενα, ὡς τὸ πότερον πειστικώτερον, ἐπαγωγὴ ἢ συλλογισμός, καὶ ποῖος πρῶτος συλλογισμός, ὁ κατηγορικὸς ἢ ὁ ὑποθετικός, καὶ ποῖον σχῆμα πρῶτον ἢ βέλτιον. οὐ μὴν ἀλλὰ καὶ κατὰ τὰς ἄλλας ἐπιστήμας τε καὶ τέχνας εὑρεῖν ἔστι τινὰ συγκριτικῶς ζητούμενα. μουσικὸν γὰρ πρόβλημα ποτέρα ὀξυτέρα ἁρμονία, ἡ Λύδιος ἢ ἡ Φρύγιος· ἀλλὰ καὶ τὸ τῶν μέτρων κάλλιον εἶναι τὸ ἡρῷον ἐπὶ μουσικῆς ὕλης ἄν τις ζητήσειε. πάλιν δ’ αὖ ποτέρα θεραπεία αἱρετωτέρα, ἡ διὰ τομῶν ἢ ἡ διὰ φαρμακείας, συγκριτικὸν ὂν πρόβλημα ἰατρικὴν ὕλην ὑποκειμένην ἔχει. ἡ μὲν οὖν ὕλη τῶν συγκριτικῶν προβλημάτων σχεδὸν καὶ κατὰ πᾶσαν ἐπιστήμην τε καὶ τέχνην. κατηγορίαι δέ, ἐν αἷς ἐστι τὰ κατὰ σύγκρισιν ζητούμενα, ἐννέα δοκοῦσιν εἶναι· κατὰ γὰρ τὴν οὐσίαν μόνην οὐ δοκεῖ συνίστασθαι συγκριτικὰ προβλήματα· κατὰ γὰρ συμβεβηκὸς ἡ σύγκρισις· οὐσία δὲ οὐδενὶ συμβέβηκε. πᾶσα μὲν οὖν σύγκρισις ὑπὸ τὸ πρός τι. καθ’ ἃ δὲ σύγκρισις γίνεται, ποτὲ μὲν ποιότης ἐστίν, ὡς ὅταν ζητῆται περί τινων ποῖον λευκότερον ἢ θερμότερον ἢ κουφότερον ἢ μουσικώτερον ἤ τι τῶν τοιούτων· πάντα γὰρ τὰ τοιαῦτα κατὰ ποιότητα. κατὰ δὲ ποσότητα, ὅταν ζητῆται πότερον ἡ σελήνη μείζων ἢ ἡ γῆ· κατὰ γὰρ τὸ ποσὸν ἡ ζήτησις ἡ τοιαύτη. κατὰ δὲ τὸ πρός τι, ὅταν ζητῆται πότερον μᾶλλον ἐπιστήμη γεωμετρία ἢ μουσική, καὶ ποία μᾶλλον αἴσθησις, ἁφὴ ἢ ἀκοή. κατὰ δὲ τὸ ποὺ ἡ ζήτησις, ὅταν ζητῆται ἐν ποτέρῳ μᾶλλον τὸ ἡγεμονικόν, ἐν καρδίᾳ ἢ ἐν ἐγκεφάλῳ. κατὰ δὲ τὸ ποτὲ ζητεῖ ὁ ζητῶν πότερον αἱρετώτερον πλεῖν μετὰ ἰσημερίαν ἢ θέρους· κατὰ δὲ τὸ ποιεῖν πότερος ἰᾶται μᾶλλον, ὁ τέμνων ἢ ὁ φαρμακεύων· κατὰ δὲ τὸ πάσχειν πότερον ἀπαθέστερον, σῶμα ἢ ψυχή· κατὰ δὲ τὸ ἔχειν πότερον μᾶλλον ἔχει ψυχὴν τὰ ζῷα ἢ τὰ φυτά. κατὰ δὲ τὸ κεῖσθαι, ὅταν ζητῆται πότερος προσγειότερος, ὁ ἥλιος ἢ ὁ τῆς Ἀφροδίτης ἀστήρ.

in Top.219 δόξει δὲ καὶ κατ’ οὐσίαν γίνεσθαι σύγκρισις, ὅταν ζητῶμεν εἰ ἡ πρώτη οὐσία μᾶλλον οὐσία τῆς δευτέρας. ὧν δὲ ἡ σύγκρισις γίνεται, ποτὲ μὲν δύο ἐστὶ κατά τι συμβεβηκὸς ἓν συγκρινόμενα, ὡς ὅταν ζητῆται πότερον αἱρετώτερον ὑγεία ἢ πλοῦτος· κατὰ γὰρ τὸ αἱρετὸν ἀμφοτέροις ἡ πρὸς ἄλληλα σύγκρισις. ποτὲ δὲ πλειόνων πρὸς πλείω γίνεται σύγκρισις κατά τι κοινὸν ὑπάρχον αὐτοῖς, ὡς ὅταν ζητῆται πότερον αἱρετώτερον φρόνησις μετὰ πλούτου ἢ μετὰ σωφροσύνης ὑγεία. δύναται καὶ ἑνὸς πρὸς πλείω σύγκρισις γίνεσθαι, ἂν ζητῇ τις πότερον αἱρετώτερον φρόνησις ἢ ὑγεία μετὰ πλούτου. γίνεται σύγκρισις καὶ ἑνὸς κατὰ δύο συμβεβηκότα, ὡς ὅταν ζητῶμεν πότερον ἡ φρόνησις πρακτικωτέρα ἢ θεωρητικωτέρα. γίνεται δὲ καὶ δύο τινῶν ἅμα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λαμβανομένων κατὰ συμβεβηκότα δύο σύγκρισις, οἷον ἂν ζητῇ τις πότερον ἡ φρόνησις ἡ μετὰ σοφίας πρακτικωτέρα ἢ θεωρητικωτέρα· ἀλλὰ καὶ δύο περὶ δύο, ὡς ὅταν ζητῆται πότερον ἡ φρόνησις πρακτικωτέρα ἢ ἡ σοφία θεωρητικωτέρα· ἀλλὰ καὶ δύο κατὰ πλείονα συμβεβηκότα, ἂν ζητῇ τις πότερον ἡ σοφία ἢ ἡ φρόνησις πρακτικωτέρα ἅμα καὶ θεωρητικωτέρα. Καὶ περὶ μὲν τῆς ὕλης τῶν συγκριτικῶν προβλημάτων καὶ τῶν κατηγοριῶν, καθ' ἃς συνίσταται, καὶ τῶν συγκρινομένων, κατὰ πόσους τρόπους ἀλλήλοις συντίθεταί τε καὶ συγκρίνεται, τοσαῦτα. ἄξιον δὲ ζητῆσαι τί δή ποτε ἐν τούτῳ τῷ βιβλίῳ περὶ τῶν συγκριτικῶν λέγων οὐ πάντας ἐτήρησε τοὺς συγκριτικοὺς τόπους εἰς τὸ βιβλίον τοῦτο, ἀλλ' εἶπέ τινας καὶ ἐν τῷ πρὸ τούτου· συγκριτικοὶ γὰρ ἦσαν οἵ τε ἀπὸ τοῦ μᾶλλον καὶ οἱ ἀπὸ τοῦ ὁμοίου καὶ ὁ ἕτερος τῶν ἐκ τῆς προσθέσεως δεικνύντων καὶ ὁ ἀπὸ τοῦ μᾶλλόν τι ἢ ἧττον ἄλλο ἄλλου λέγεσθαι δεικνὺς ὅτι καὶ ἁπλῶς. ἢ οὐ πρόκειται αὐτῷ ἐν τούτῳ περὶ συγκριτικῶν τόπων λέγειν ἀλλὰ περὶ συγκριτικῶν προβλημάτων· συγκριτικὰ δέ ἐστι προβλήματα ἐν οἷς συγκριτικὸν τὸ ζητούμενόν τε καὶ δεικνύμενον· περὶ ὧν πάντων, πῶς οἷόν τε αὐτὰ δείκνυσθαι κατασκευαστικῶς ἢ ἀνασκευαστικῶς, ἐν τούτῳ λέγει. οἷς δὲ ἐχρήσατο τόποις συγκριτικοῖς ἐν τῷ πρὸ τούτου, οὐκ ἦσαν συγκριτικόν τι δεικνύντες ἀλλ' ἁπλῶς ὑπάρχον ἢ μὴ ὑπάρχον· οὐ ταὐτὸν δὲ τὸ διὰ συγκριτικοῦ τι δεῖξαι καὶ τὸ συγκριτικόν, περὶ οὗ ἐν τούτῳ λέγει.

in Top.220 ποιεῖται δὲ τὴν διδασκαλίαν τὴν περὶ τῶν συγκριτικῶν προβλημάτων ἢ τόπων ἐπὶ παραδείγματος τοῦ αἱρετοῦ, ἐπεὶ σαφεστέρα οὕτως ἤμελλεν ἡ παράδοσις αὐτῶν ἔσεσθαι, γινομένη ἐπί τινος ὡρισμένου. τὸ δὲ αἱρετώτερον προεχειρίσατο, ἐπεὶ πλεῖστα κατὰ φιλοσοφίαν τὰ κατὰ τοῦτο ζητήματα, καὶ χρησιμωτέρα ἡ γνῶσίς τε καὶ ἐπίκρισις τοῦ αἱρετωτέρου ἢ τοῦ μείζονος ἢ θερμοτέρου ἤ τινος τῶν τοιούτων· ἔτι δὲ διὰ πλείστων ἐπιχειρήσεών τε καὶ τόπων ἡ δεῖξις αὐτοῦ. μετὰ μέντοι τὴν ἐπὶ τούτου παράδοσιν τῶν τόπων δείξει ὅτι καὶ πρὸς τὰ ἄλλα συγκριτικὰ προβλήματα χρήσιμοι οἱ προειρημένοι τόποι, διδάσκων ἡμᾶς ὅτι οὐ πρὸς ἕν τι προβλημάτων εἶδος οἱ παραδιδόμενοι τόποι χρήσιμοι ἀλλὰ πρὸς πάντα τὰ συγκριτικῶς ζητούμενα. p. 116a3 Πότερον δὲ αἱρετώτερον ἢ βέλτιον δυεῖν ἢ πλειόνω ν . Οὐχ ὡς ἐκ παραλλήλου κειμένων τοῦ αἱρετωτέρου τε καὶ βελτίονος ἀκουστέον· ἐπὶ πλεῖον γὰρ τὸ βέλτιον τοῦ αἱρετωτέρου. τὸ μὲν γὰρ αἱρετώτερον ἐν τοῖς αἱρετοῖς καὶ μόνοις, τὸ δὲ βέλτιον καὶ ἐν ἄλλοις· καὶ γὰρ ἐν θεωρητικοῖς καὶ φυσικοῖς καὶ λογικοῖς ἡ ζήτησις ἡ τοῦ βελτίονος· ὁ γὰρ ζητῶν ποτέρα βελτίων οὐσία, ἡ ἀκίνητος ἢ ἡ κινουμένη, φυσικὸν μεταχειρίζεται πρόβλημα, λογικὸν δέ γε ὁ ζητῶν πότερον βέλτιον ἐπαγωγὴ ἢ συλλογισμός. τὸ δὲ δυεῖν ἢ πλειόνων εἶπεν, ἐπεί, ὡς προειρήκαμεν, ποτὲ μὲν περὶ δύο ἡ κατὰ τὴν σύγκρισιν ζήτησις γίνεται κατὰ ἓν συγκρινομένων, ποτὲ δὲ πλειόνων πρὸς πλείω ἢ ἑνὸς κατὰ πλείω συμβεβηκότα ἢ πλειόνων κατὰ πλείω. ἑνὶ γὰρ οὐ γίνεται σύγκρισις εἰ μὴ κατὰ χρόνον, 〈οἷον〉 ὅταν ζητῶμεν πότερον λευκότερον τόδε τι νυν ἢ πρότερον. γίνεται δὲ καὶ ἐπὶ τούτων δύο πως τὰ περὶ ὧν ἡ ζήτησις, τῇ τοῦ χρόνου προσθήκῃ τὴν διαφορὰν λαμβάνοντα· ἄλλο γὰρ καὶ ἄλλο γίνεται τὸ αὐτὸ τῇ τῶν διαφερόντων χρόνων προσθέσει. Καὶ τὰ μὲν συγκριτικὰ προβλήματα ἐν τούτοις τε καὶ τούτων καὶ κατὰ ταῦτα. πρὸ δὲ τῆς τῶν τόπων παραδόσεως πρῶτον, πῶς ἔχειν δεῖ τὰ συγκρινόμενα πρὸς ἄλληλα.

in Top.221 ὑπογράφει. καὶ πρὸς τὰ πῶς ἔχοντα πρὸς ἄλληλα χρῆσθαι τοῖς παραδοθησομένοις τόποις· οὕτως γὰρ αὐτῶν καὶ τὸ χρήσιμον δείκνυται. φησὶ δὲ ὅτι οὐκ ἐν τοῖς πολὺ διεστῶσιν ἀπ' ἀλλήλων καὶ φανεράν τε καὶ μεγάλην πρὸς ἄλληλα διαφορὰν ἔχουσι χρὴ τὴν σύγκρισιν ποιεῖσθαι (πρόδηλος γὰρ πᾶσιν ἡ τῶν οὕτως ἐχόντων διαφορὰ καὶ οὐκ ἀξία ζητήσεως· διὰ τοῦτο γὰρ οὐδεὶς ἀπορεῖ πότερον ἡ εὐδαιμονία ἢ ὁ πλοῦτος αἱρετώτερο ν , οὐχ ὅτι μὴ ἀμφότερα αἱρετά, ἀλλ' ὅτι φανερὰ καὶ πρόδηλος ἡ τῆς εὐδαιμονίας κατὰ τὸ αἱρετὸν ὑπερβολή· διὸ οὐδ' ἂν εὐπορήσῃ τις ὑπεροχὴν κατά τι δεῖξαι τοῦ πλούτου πρὸς τὴν εὐδαιμονίαν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πιστεύεται), ἀλλ’ ἐν τοῖς σύνεγγυς οὖσιν ἀλλήλοις καὶ ἔχουσιν ἀμφισβήτησιν διὰ τὸ μὴ φανερὰν εἶναι τὴν τοῦ ἑτέρου αὐτῶν πρὸς τὸ ἕτερον ὑπεροχήν, ὡς ἐπὶ ὑγείας καὶ εὐεξίας καὶ τοῦ ὁρᾶν καὶ τοῦ ἀκούειν καὶ θεωρητικοῦ βίου καὶ πρακτικοῦ. ἐν γὰρ τοῖς οὕτω σύνεγγυς οὖσι καὶ διὰ τοῦτο ζητήσεως ἀξίοις δειχθείσης τινὸς ὑπεροχῆ ς , ἢ μιᾶς ἢ πλειόνω ν , διὰ τὰ δειχθέντα συγκατατίθεται ἡ διάνοια τέως πλανωμένη τῷ τὸ ἕτερον αὐτῶν τοῦ ἑτέρου ἢ ἐν τῷ αἱρετῷ ἢ ἐν ἄλλῳ τινί, καθ’ ὃ ἐζητεῖτό τε καὶ ἐδείχθη, ὑπερέχειν. ὥσπερ δὲ ἐν τῷ πρώτῳ περὶ τῆς τῶν διαφορῶν γνώσεως λέγων καὶ περὶ τῆς τῶν ὁμοίων ἐν τοῖς ἀξίοις ζητήσεως εἶπε δεῖν τὰς ἐκλογὰς ποιεῖσθαι (ζητοῦνται δὲ αἱ μὲν διαφοραὶ ἐν τοῖς ἐγγὺς ἀλλήλων· τίνι γὰρ διαφέρει δαίμων καὶ θεός, ζητήσαι ἄν τις, ἀλλ’ οὐ τίνι θεὸς καὶ λίθος, καὶ τίνι διαφέρει λύκος καὶ κύων, ἀλλ’ οὐχ ἵππος καὶ κύων, καὶ τίνι ἐγκράτεια σωφροσύνης, ἀλλ’ οὐ σοφίας· ἡ δὲ ὁμοιότης “ἐν τοῖς πολὺ διεστῶσι”· τί γὰρ ὅμοιον ἔχει ἄνθρωπος ἵππῳ, ζητήσαι ἄν τις, ἀλλ’ οὐ τί ἀνθρώπῳ ἄνθρωπος), οὕτως καὶ τὰ συγκριτικὰ προβλήματα τὴν ζήτησιν ἔχειν λέγει ἐν τοῖς ἀφανῆ τὴν ὑπεροχὴν ἔχουσι· καὶ βραχεῖαν ἄν τις δείξας ὑπεροχὴν πιστὸς γίνεται. ἐπεὶ δὲ τὰ συγκριτικὰ προβλήματα οὐ μόνον ὕπαρξίν τινος ἀπαιτεῖ ἀλλὰ καὶ ὑπεροχήν, τοῦ μὲν ὑπερέχοντος καθ’ ὃ ἡ σύγκρισις γίνεται, τοῦ δὲ ὑπερεχομένου, δεῖ καὶ τὰς ἐπιχειρήσεις καὶ τοὺς τόπους τοῦτο ποιεῖν, μὴ ὑπάρχειν μόνον δεικνύναι ἀλλὰ τοῦ μὲν ὑπεροχὴν τοῦ δὲ ἔλλειψιν· οὐ γὰρ ὁ δείξας τι ἀγαθὸν ἤδη καὶ αἱρετώτερον δέδειχεν, ἂν μὴ δείξῃ καὶ ὅτι μᾶλλον τοῦτο ἀγαθὸν τούτου ᾧ συγκρίνεται. p.

in Top.222 116a13 Πρῶτον μὲν οὖν τὸ πολυχρονιώτερον ἢ βεβαιότερον αἱρετώτερον τοῦ ἧττον τοιούτο υ . Πρῶτον τόπον παραδίδωσι δι’ οὗ δείξομεν ἄλλο ἄλλου ὂν αἱρετώτερον ἀπὸ τοῦ πολυχρονιωτέρου καὶ βεβαιοτέρου· τῶν γὰρ κατὰ τὰ ἄλλα ὁμοίως δοκούντων ἔχειν ἂν τὸ ἕτερον τοῦ ἑτέρου δειχθῇ πολυχρονιώτερον ὂν ἢ βεβαιότερον, αἱρετώτερον ἂν εἴη διὰ τὴν κατὰ τοῦτο ὑπεροχήν. ἔστι δὲ οὐκ ἐκ παραλλήλου κείμενον τὸ πολυχρονιώτερον ἢ βεβαιότερο ν , ἀλλ’ ἔστιν ἐφ’ ὧν διαφωνεῖν δόξει· δύναται γοῦν ἄλλο ἄλλου βεβαιότερον εἶναι ἧττον ὂν αὐτοῦ πολυχρόνιον, ὡς ἐπιστήμη αἰσθήσεως· ἡ μὲν γὰρ αἴσθησις πολυχρονιώτερον· ἀπὸ πρώτης γὰρ ἡλικίας αἰσθανόμεθα· ἡ δὲ ἐπιστήμη γίνεται μὲν ἐν τελείοις, βεβαιοτέρα μέντοι καὶ δυσκινητοτέρα τῆς αἰσθήσεώς ἐστι. διὸ δεῖ, καθ’ ὃ ἂν ᾖ χρήσιμον ἡμῖν, μεταχειρίζεσθαι τὸν τόπον. τούτῳ τῷ τόπῳ χρωμένους ἔνεστι δεικνύναι αἱρετωτέραν πλούτου εὔκλειαν· ἀμφοτέρων γὰρ ὄντων αἱρετῶν ἡ μὲν εὔκλεια καὶ μετὰ θάνατον διαμένει, οὐδεὶς δὲ μηκέτι ὢν ἐστι πλούσιος. ἀρετῆς δὲ ἢ εὐδαιμονίας ἡ εὔκλεια, εἰ καὶ πολυχρονιώτερον δειχθείη, οὐκ ἤδη καὶ αἱρετώτερον τῷ φανερὰν εἶναι τῆς ἀρετῆς καὶ τῆς εὐδαιμονίας τὴν ὑπεροχὴν ἣν ὑπερέχουσι τῆς εὐκλείας. εἰ μέντοι εἴη καὶ τὴν ἀρχὴν ἡ εὔκλεια ἐπ’ ἀρετῇ, καὶ κατὰ τοῦτο ἔσται τῆς εὐκλείας ἡ ἀρετὴ αἱρετωτέρα, ὅτι αὕτη καὶ τὴν ἀρχὴν τοῦ εἶναι αὐτὴν 〈τὴν〉 εὔκλειαν αἰτία. δεικνύοιτο δ’ ἂν οὕτως καὶ ὑγεία εὐεξίας αἱρετώτερον. ἢ πάλιν παραφυλάσσειν δεῖ τὸ πολυχρονιώτερον ἐν τῷ ἔλαττον πολυχρονίῳ περιεχόμενον· ἂν γὰρ οὕτως ἔχωσιν, αἱρετώτερον γίνεται τὸ ὀλιγοχρονιώτερον τῷ ἔχειν ἐν αὐτῷ τό τε πολυχρονιώτερον, ᾧ συνεκρίνετο, καὶ ἔξωθεν προσθήκην αἱρετοῦ τινος. τοιοῦτον 〈δ’〉 ἡ εὐεξία· οὔτε γὰρ χωρὶς ὑγείας γίνεται, καὶ πρὸς τῇ ὑγείᾳ ἔχει τι καὶ ἄλλο αἱρετόν. ὅπου μὲν οὖν προσθήκη τινὸς αἱρετοῦ γίνεται, τὸ ὕστερον αἱρετώτερον, κἂν ὀλιγοχρονιώτερον ᾖ· ὅπου δὲ τὸ ἕτερον τοῦ ἑτέρου αἴτιον, τὸ πρῶτον πάλιν αἱρετώτερον, κἂν ὀλιγοχρονιώτερον ᾖ.

in Top.223 〈ἢ〉 κατὰ μὲν τὸ πολυχρονιώτερον ἡ ὑγεία, κατὰ δὲ ἄλλα τινὰ πάλιν ἡ εὐεξία. τῷ δὲ βεβαιοτέρῳ προσχρώμενοι ἐπιστήμην μὲν ὀρθῆς δόξης αἱρετωτέραν δείξομεν ὄντων ἀμφοτέρων αἱρετῶν, ἀρετὴν δὲ εὐτυχίας, καὶ τὸ κατὰ τέχνην τοῦ ἀπὸ τύχης γεγονότος, καὶ τὸ προβεβουλευμένον τοῦ ἀπροβουλεύτως κατορθωθέντος, καὶ τὸ ἀναγκαῖον τοῦ ἐνδεχομένου, ἂν ᾖ ἀμφότερα αἱρετά, καὶ τὸ ἐφ’ ἡμῖν τοῦ ἐπ’ ἄλλοις (οὕτως εὐβουλία δόξης αἱρετώτερον· ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν γὰρ ἐφ’ ἡμῖν, ἡ δὲ δόξα οὐκ ἐφ’ ἡμῖν· διὸ καὶ ἡ μὲν βεβαιοτέρα, ἡ δ’ ἀβέβαιος), καὶ τὸν θεωρητικὸν βίον τοῦ πρακτικοῦ· πλείω γὰρ τὰ τὸν πρακτικὸν ἐμποδίζοντα. διὰ τὸ βεβαιότερον καὶ ὁ μέσος βίος αἱρετώτερος τοῦ ἐν ὑπεροχῇ· λέγεται γοῦν “πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι”. μαρτυροῖ ἂν τούτῳ καὶ τὸ Εὐριπίδου “ζηλῶ σε, γέρον, ζηλῶ δ’ ἀνδρῶν ὃς ἀκίνδυνον βίον ἐξεπέρας’ ἀγνώς, ἀκλεής· τοὺς δ’ ἐν τιμαῖς ἧττον ζηλῶ”. πολυχρονιώτερον καὶ μνήμη αἰσθήσεως καὶ συγγενὴς φίλου. ταῖς δ’ αὐταῖς ἀφορμαῖς χρωμένους ἔνεστι καὶ φευκτότερον ἄλλο ἄλλου δεικνύναι· τῶν γὰρ φευκτῶν τὸ πολυχρονιώτερον φευκτότερον, ὡς ἀδοξία πενίας, καὶ τὸ βεβαιότερον τοῦ ἧττον τοιούτου, ὡς ἔνδεια ἀσωτίας καὶ ἀνελευθερία βλακείας· δυσμετάβλητοι γὰρ οἱ ἀνελεύθεροι. κατὰ τοῦτο γὰρ καὶ δειλία ἀκολασίας φευκτοτέρα, τῷ τὴν μὲν ἀκολασίαν παρακμάζοντος τοῦ σώματος παύεσθαι· παύονται γὰρ καὶ αἱ ἐπιθυμίαι, δι’ ἃς ἡ ἀκολασία· ἡ δὲ δειλία προϊούσης τῆς ἡλικίας ἐπίδοσιν λαμβάνει. οὕτω καὶ κακία δεικνύοιτο ἂν δυστυχίας μεῖζον καὶ φευκτότερον οὖσα κακόν. p. 116a14 Καὶ ὃ μᾶλλον ἂν ἕλοιτο ὁ φρόνιμος ἢ ὁ ἀγαθὸς ἀνὴρ ἢ ὁ νόμος ὁ ὀρθὸς ἢ οἱ σπουδαῖοι περὶ ἕκαστα αἱρούμενοι ᾗ τοιοῦτοί εἰσ ι . Δεύτερον τόπον τῆς τοῦ αἱρετωτέρου δείξεως παραδίδωσι τὸν ἐκ τῆς τῶν βελτιόνων αἱρέσεώς τε καὶ κρίσεως· τὸ γὰρ τοῖς βελτίοσιν 〈αἱρετώτερον〉 αἱρετώτερον.

in Top.224 βελτίους δὲ οἱ μὲν φρόνιμοι τῶν μὴ φρονίμων, οἱ δὲ ἀγαθοὶ τῶν μὴ ἀγαθῶν, ὁ δὲ ὀρθὸς νόμος τοῦ μὴ ὀρθοῦ, καὶ καθόλου οἱ περί τι σπουδαῖοι, καθ’ ὃ τοιοῦτοί εἰσιν, αἱρούμενοι αὐτὸ ἀξιοπιστότεροι τῶν περὶ ταῦτα μὴ σπουδαίων. οἱ γὰρ τεχνῖται περὶ τὰ κατὰ τὰς οἰκείας τέχνας τῶν ἀτέχνων βελτίους, καὶ ἔτι μᾶλλον, ἂν πάντες οἱ περὶ τὴν αὐτὴν τέχνην ταὐτὸν λέγωσιν· ἔνδοξον δὲ καί, ἃ πάντες ἢ οἱ πλεῖστοι τῶν κατὰ τὴν αὐτὴν τέχνην αἱροῦνται, αἱρετώτερα λέγειν τῶν μὴ πᾶσιν αἱρετῶν. ὥστε ἐπὶ τῶν κατὰ τὰς τέχνας, ἃ ἂν πάντες ἢ οἱ πλείους αἱρῶνται, αἱρετώτερα τῶν τοῖς ἀτέχνοις αἱρετωτέρων εἶναι δοκούντων ἢ τοῖς ἐλάττοσι τῶν κατὰ τὴν αὐτὴν τέχνην. οὕτως καὶ ἁπλῶς, ἃ πᾶσιν ἢ τοῖς πλείστοις δοκεῖ, αἱρετώτερα ἂν εἴη· αἱρετώτερα γὰρ τά τε πᾶσι τῶν μὴ πᾶσι δοκούντων καὶ τὰ τοῖς πλείοσι τῶν τοῖς ἐλάττοσι. τὸ δὲ ὁ φρόνιμος ἢ ὁ ἀγαθὸς οὐχ ὡς ἐκ παραλλήλου εἶπεν· οὐ γὰρ ἐπ’ ἴσης ὁ φρόνιμος καὶ ὁ ἀγαθός, ἀλλ’ ἐπὶ πλέον ὁ ἀγαθός· ἀγαθὸς μὲν γὰρ καὶ ὁ φρόνιμος, οὐ μὴν μόνος· καὶ γὰρ ὁ ἀνδρεῖος καὶ ὁ σώφρων ἀγαθός. ἴσον οὖν τὸ εἰρημένον τῷ ‘ὁ φρόνιμος ἢ ὅλως ἀγαθόσ‘· πᾶς γὰρ ὁ ἀγαθός, οὐ μόνον ὁ φρόνιμος, ἀξιοπιστότερος ἐν τοῖς περὶ τὰς αἱρέσεις τοῦ μὴ τοιούτου. δύναται καὶ τὸν μὲν φρόνιμον κατὰ τὴν λογικὴν ἀρετὴν εἰρηκέναι, τὸν δὲ ἀγαθὸν κατὰ τὴν ἠθικήν· ἰδίως γὰρ λέγει τοὺς κατὰ τὰς ἀρετὰς ταύτας ἀγαθούς, ὥσπερ πάλιν σοφοὺς τοὺς κατὰ τὰς λογικάς, ὅτι κατὰ ταύτας πρακτικώτεροι τῶν καλῶν· ἡ μὲν γὰρ φρόνησις κριτική, αἱ δὲ τοῦ ἤθους ἀρεταὶ πρακτικαί. τὸ μὲν οὖν τοὺς ἀγαθοὺς δεῖν πρὸ τῶν ἄλλων τιμᾶν αἱρετώτερον, ὅτι τοῖς φρονίμοις οὕτως δοκεῖ· αὕτη γὰρ ἡ τοῦ φρονίμου κρίσις. ἀλλὰ καὶ τὸ δεῖν τὰ κοινὰ τῶν ἰδίων προτιμᾶν· “τὸ μὲν γὰρ κοινὸν συνδεῖ, τὸ δ’ ἴδιον διασπᾷ τὰς πόλεις”, ὡς Πλάτων· καὶ ὡς Θουκυδίδης· “καλῶς μὲν γὰρ φερόμενος τὸ καθ’ αὑτὸν διαφθειρομένης τῆς πατρίδος οὐδὲν ἧττον διαφθείρεται, κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ πολλῷ μᾶλλον διασώζεται.” τὸ δὲ εὖ ποιεῖν μᾶλλον ἢ εὖ πάσχειν αἱρετώτερον, ὅτι τοῖς ἀγαθοῖς ἀνδράσιν αἱρετώτερον τοῦτο. ὁμοίως τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν αἱρετώτερον διὰ τὸ τοὺς ἀγαθοὺς τοῦτο μᾶλλον αἱρεῖσθαι.

in Top.225 ἀλλὰ καὶ τὸ ἀποθνήσκειν εὐκλεῶς τοῦ ἀδόξως σώζεσθαι διὰ τὸ αὐτὸ αἱρετώτερον, καὶ τὸ πένεσθαι δικαιοπραγοῦντα μᾶλλον ἢ ἀδικοῦντα πλουτεῖν. πάλιν ἐπεὶ οὐ πάντες οἱ νόμοι ὀρθοί, εἰσὶ δέ τινες καὶ ἐπαινούμενοι ὡς ὀρθοί, οἷον οἱ Λυκούργου, οἱ Ζαλεύκου, οἱ Σόλωνος, ὅταν ἀμφισβητούμενόν τι ᾖ τῶν ὑπὸ νόμων διωρισμένων, ὃ οἱ ὀρθοὶ νόμοι ὁρίζουσιν, αἱρετώτερον, [ἢ] ἐπεὶ καὶ οἱ ὀρθοὶ νόμοι κατὰ φρόνησιν κεῖνται. ἢ οὐ δεῖ ταὐτὸν ἡγεῖσθαι τὸ ‘ὁ φρόνιμος ἢ ὁ ὀρθὸς νόμοσ‘· τὸ μὲν γὰρ τῶν νόμων ὥρισται καὶ περὶ ὡρισμένων λέγεται, τὰ δὲ τοῦ φρονίμου καὶ πρὸς τοὺς καιροὺς καὶ πρὸς τὰς περιστάσεις καὶ πρὸς τὰς τύχας ἁρμόζεται καὶ ἄλλα ἐπ’

ἄλλων ἐστίν. οὕτως οὖν δειχθήσεται τὰ συσσίτια αἱρετώτερα ἐν ταῖς πόλεσιν ὄντα, ἐπεὶ οἱ ὀρθοὶ νόμοι ὡρίκασιν αὐτὰ εἶναι, καὶ τὸ τοὺς ἀρετῇ ἀλλὰ μὴ πλούτῳ προέχοντας ἄρχειν. ἀλλὰ καὶ ἡ τοῦ ἐπιεικοῦς κρίσις δύναιτ' ἂν χώραν ἔχειν ἀξιοῦντος μὴ πρὸς τὸ γεγραμμένον ἐν τοῖς νόμοις βλέπειν ἀλλὰ πρὸς τὴν διάνοιαν τοῦ γράψαντος καὶ τί ἂν ἐποίησεν ἐκεῖνος περιών τε καὶ κατὰ τὸν ὀρθὸν λόγον τε καὶ νόμον κρίνων ἀλλὰ μὴ κατὰ τὰ γεγραμμένα αὐτοῦ μὴ πάντη ὑγιῶς ἔχει, ἄλλας προφάσεις ἔχων. αἱρετώτερα δὲ καὶ κατὰ μὲν πόλεμον ἃ οἱ περὶ ταῦτα ἀγαθοὶ αἱροῦνται, οἷον τὸ τὴν τάξιν φυλάσσειν καὶ μὴ προεξανίστασθαι, τὸ τῷ στρατηγῷ πείθεσθαι, τὸ ἔχειν πρὸ ὀφθαλμῶν τὸ "εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης." τοιοῦτον καὶ τὸ τοῦ Ὀδυσσέως τὸ "οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω, εἷς βασιλεύς." κατὰ δὲ πολιτείαν ἃ οἱ περὶ ταῦτα ἀγαθοί. οὕτως τὸ μὴ τὰ κεχαρισμένα τοῖς πλήθεσι πρὸ τῶν συμφερόντων ποιεῖν αἱρετώτερον· τοῖς γὰρ περὶ ταῦτα ἀγαθοῖς αἱρετώτερον τοῦτο. ἀλλὰ καὶ κατὰ τὰς τέχνας αἱρετώτερα ὅσα ἢ πᾶσιν ἢ τοῖς πλείστοις δοκεῖ τῶν τεχνιτῶν. τὸ δὲ ᾗ τοιοῦτοι προσέθηκεν, ὅτι περὶ μὲν τῶν ἰατρικῶν τοῖς ἰατροῖς καὶ τῇ τούτων αἱρέσει ἐπακολουθητέον, περὶ δὲ τῶν μουσικῶν τῇ τῶν μουσικῶν.

in Top.226 ἂν γὰρ οἱ ἐν μουσικῇ προέχοντες περὶ τῶν ἐν ἰατρικῇ λέγωσί τι, οὐχ ᾗ μουσικοὶ ἐροῦσιν· ὁμοίως δὲ καὶ ἂν οἱ ἐν ἰατρικῇ περὶ τῶν ἐν πολέμῳ. τὸ μὲν οὖν αἱρετώτερα εἶναι καθ' ἑκάστην τέχνην, ὅσα πάντες οἱ τεχνῖται τῆς τέχνης ἐκείνης αἱροῦνται, αὐτόθεν ὡς ἀληθὲς προσπίπτει. τὸ δὲ ὅσα οἱ πλείους ἔνδοξον μέν, οὐ μὴν καὶ ἀληθές· πολλάκις γὰρ ἡ ἑνὸς τοῦ βελτίονος κατὰ τέχνην αἵρεσίς τε καὶ κρίσις βελτίων τῆς τῶν ἄλλων ἁπάντων. διὸ ἐν τοῖς τοιούτοις πρὸς ἄμφω ἡ ἐπιχείρησις· καὶ γὰρ ἀπὸ τῶν πλειόνων καὶ ἀπὸ τοῦ βελτίονος. οὐ μόνον δὲ ἐπὶ τῶν κατὰ τὰς τέχνας, ἃ οἱ πάντες ἢ οἱ πλείους τῶν τεχνιτῶν λέγουσιν, αἱρετώτερα, ἀλλὰ καὶ ἁπλῶς, ἃ πάντες ἢ οἱ πλεῖστοι τῶν ἀνθρώπων αἱροῦνται, αἱρετώτερα ἂν δεικνύοιτο ὧν μὴ πάντες. οὕτως τὸ εἶναι τοῦ μανθάνειν ἢ εἰδέναι αἱρετώτερον ἂν δεικνύοιτο· τὸ μὲν γὰρ εἶναι πάντες, μανθάνειν δὲ καὶ εἰδέναι οὐ πάντες αἱροῦνται. καὶ τὸ ἥδεσθαι τοῦ γυμνάζεσθαι· Πλάτων γοῦν τούτῳ χρώμενος ὡς ὄντι ἐνδόξῳ τἀγαθὸν ἔλεγεν εἶναι οὗ πάντα ἐφίεται. ἀλλὰ καὶ Εὔδοξος ἐδείκνυε τὴν ἡδονὴν τὸ μέγιστον τῶν ἀγαθῶν ἀπὸ τοῦ πάντα μὲν τὰ ζῷα ταύτην αἱρεῖσθαι, μηδὲν δὲ τῶν ἄλλων ἀγαθῶν κοινὴν οὕτως ἔχειν τὴν αἵρεσιν. διὰ τοῦτο καὶ ὑγεία δόξης αἱρετώτερον, ὅτι πάντες μὲν ἄνθρωποι ὑγιαίνειν αἱροῦνται, οὐ πάντες δὲ τὴν δόξαν. ἀλλὰ καὶ οἱ πλείους πλοῦτον δόξης μᾶλλον αἱροῦνται· ὥστε δεικνύοιτ' ἂν διὰ τούτου καὶ ὁ πλοῦτος δόξης αἱρετώτερος. ἀλλὰ καὶ τέχνας ἔχειν τοῖς πλείοσιν αἱρετώτερον τοῦ μή. Δεῖν δέ φησιν ἑκάστῳ τῶν εἰρημένων χρῆσθαι πρὸς ὅ ἐστι χρήσιμον· οὐ γὰρ πάντα πρὸς πάντα ἁρμόττει· οὐ γὰρ διὰ τῶν αὐτῶν οἷόν τε τήν τε ἡδονὴν τῆς ἀρετῆς αἱρετωτέραν δεῖξαι καὶ τὴν ἀρετὴν τῆς ἡδονῆς, ἀλλὰ τὴν μὲν ἡδονὴν βουλόμενοι δεῖξαι τῇ πάντων αἱρέσει προσχρησόμεθα ἢ τῇ τῶν πολλῶν, τὴν δὲ ἀρετὴν τῇ τῶν σπουδαίων. ἐπεὶ δὲ περὶ αἱρετωτέρου τὸν λόγον ἐποιήσατο, οὐκ ἔστι δὲ πᾶσι τὸ αὐτὸ αἱρετώτερον, καὶ περὶ τούτου διαιρεῖται, καὶ λέγει τὰ μὲν ἁπλῶς εἶναι αἱρετώτερα τὰ δὲ τισίν, ἁπλῶς μὲν αἱρετώτερα τὰ κατὰ τὰς βελτίους ἐπιστήμας, οἷον εἰ βελτίων ἐπιστήμη φιλοσοφία τεκτονικῆς, καὶ ἁπλῶς αἱρετώτερα τὰ κατὰ φιλοσοφίαν τῶν κατὰ τεκτονικήν· τῷ μέντοι τέκτονι τὰ κατὰ τεκτονικὴν τῶν κατὰ φιλοσοφίαν, καὶ τῷ δεομένῳ τεκτονικοῦ τινος αἱρετώτερον τὸ τῷ τέκτονι δοκοῦν.

in Top.227 δύναταί τις καὶ ὡς τόπῳ χρῆσθαι τῷ εἰρημένῳ πρὸς ἐπίκρισιν τοῦ ἁπλῶς αἱρετωτέρου. p. 116a23 Ἔπειτα τὸ ὅπερ τόδε τι τοῦ μὴ ἐν γένε ι . Τὸ ὅπερ αὐτῷ τοῦ κυρίως ἐστὶ δηλωτικόν, καὶ ᾧ ἂν προστεθῇ τὸ ὅπε ρ , τὸ κυρίως ἐκεῖνο εἶναι σημαίνει· οἷον 'ὅπερ ἄνθρωποσ' ὁ κυρίως ἄνθρωπος, καὶ 'ὅπερ ὄν' τὸ κυρίως ὄν. καὶ 'ὅπερ ἀγαθόν' τὸ κυρίως ἀγαθόν. καὶ τῶν κατηγορουμένων δὴ κατ' ἄλλου ᾧ ἂν τὸ ὅπερ προστεθῇ, τὸ κυρίως τοῦτο ἐκείνου κατηγορεῖσθαι σημαίνει καὶ τὸ εἶναι τὸ ὑποκείμενον κυρίως ἐν τούτῳ τε καὶ τοῦτο. ἐπεὶ οὖν τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γένη τῶν ὑπ’ αὐτὰ κυρίως κατηγορεῖται, ἐν τῷ τί ἐστι κατηγορούμενα, ἐν τῷ ὅπερ αὐτὰ κατηγορεῖσθαι λέγει, καὶ τὰ ὑπὸ τὸ γένος 〈ὅπερ τὸ γένοσ〉 εἶναί φησιν· οἷον τὸ χρῶμα ἐν τῷ ὅπερ τοῦ λευκοῦ κατηγορεῖται, καὶ τὸ λευκόν ἐστιν ὅπερ χρῶμα· πάλιν τὸ ζῷον τοῦ ἀνθρώπου ἐν τῷ ὅπερ, καὶ ὁ ἄνθρωπος ζῷον. ἐπεὶ οὖν τῶν κατηγορουμένων τὰ αὐτὰ τῶν μὲν ὡς γένη κατηγορεῖται τῶν δὲ ὡς συμβεβηκότα (τὸ γὰρ χρῶμα τοῦ μὲν ὡς χρώματος λευκοῦ ὡς γένος κατηγορεῖται, τοῦ δὲ σώματος τοῦ λευκοῦ ὡς συμβεβηκός), τόπον τινὰ ἀπὸ τούτου παραδίδωσιν ἡμῖν, δι’ οὗ τὸ αἱρετώτερον γνωρίσομεν. ἂν γὰρ ὧν τὴν σύγκρισιν ποιούμεθα, τὸ μὲν ὡς ἐν γένει τούτῳ, καθ’ ὃ ἡ σύγκρισις αὐτῶν, γίνηται, οἷον τῷ αἱρετῷ τε καὶ ἀγαθῷ, τὸ δὲ ὡς ἔχον συμβεβηκὸς αὐτό, αἱρετώτερον τὸ ὡς ἐν γένει ὂν αὐτῷ· τὸ μὲν γὰρ ὡς ἐν γένει ὂν τῷ ἀγαθῷ ὅπερ ἀγαθὸν γίνεται καὶ ὅπερ αἱρετόν, ὃ τοῦ κυρίως ἐστὶ δηλωτικόν, τὸ δὲ μὴ ὂν ἐν αὐτῷ ὡς ἐν γένει ἀλλὰ συμβεβηκὸς ἔχον αὐτὸ οὐ κυρίως αἱρετὸν οὐδὲ ὁμοίως ἀγαθόν. εἰ οὖν τὸ κυρίως αἱρετὸν τοῦ μὴ κυρίως αἱρετώτερον, καὶ τὸ ἐν γένει ὂν τῷ ἀγαθῷ τοῦ ἔχοντος μὲν τὸ ἀγαθὸν κατηγορούμενον μὴ ὡς γένος δὲ αἱρετώτερον· καθόλου γὰρ τῶν συγκρινομένων πρὸς ἄλληλα κατά τι μᾶλλόν ἐστι τὸ ὂν ἐν γένει τῷ καθ’ ὃ ἡ σύγκρισις τοῦ μὴ οὕτως ὄντος ἐν αὐτῷ ἀλλὰ συμβεβηκὸς ἔχοντος αὐτό.

in Top.228 μᾶλλον γὰρ ποσὸν οὗ ὡς γένος τὸ ποσὸν κατηγορεῖται τοῦ κατὰ συμβεβηκὸς ποσοῦ, ὡς ἡ ἐπιφάνεια τοῦ λευκοῦ, καὶ μᾶλλον ποιὸν οὗ ὡς γένος ἡ ποιότης κατηγορεῖται ἢ τοῦτο οὗ ὡς συμβεβηκός· ἡ γὰρ λευκότης μᾶλλον χρῶμα τοῦ λευκοῦ. βραχέως δὲ εἶπε τὸν τόπον εἰπὼν τὸ ὅπερ τόδε τι τοῦ μὴ ὡς ἐν γένει διὰ τοῦ μὴ ἐν γένε ι . τοῦ δὲ δικαίου εἶπεν ἀνδρός, ἀλλ’ οὐ τοῦ κατὰ τῆς ἕξεως λεγομένου· τοῦτο γὰρ ὁμοίως τῇ δικαιοσύνῃ καὶ αὐτὸ ἐν γένει τῷ ἀγαθῷ. τούτῳ τῷ τόπῳ χρώμενοι δείξομεν τὴν δικαιοσύνην καὶ ἑκάστην τῶν ἀρετῶν αἱρετώτερον καὶ μᾶλλον ἀγαθὸν οὖσαν τοῦ ἑκάστην ἔχοντος αὐτῶν, οἷον τοῦ δικαίου, τοῦ σώφρονος, τοῦ ἀνδρείου. τῶν μὲν γὰρ ἀρετῶν ἑκάστη ἐν γένει ἐστὶ τῇ ἀρετῇ καί, ὡς αὐτὸς κοινότερον νῦν γένος λαμβάνων τὸ ἀγαθὸν λέγει, ἐν τῷ ἀγαθῷ · διὸ καὶ ἑκάστη αὐτῶν ὅπερ ἀρετή ἐστι καὶ ὅπερ ἀγαθόν. τῶν δ’ ἐχόντων τὰς ἀρετὰς οὐδεὶς ἐν γένει ἐστὶ τῇ ἀρετῇ ἢ τῷ ἀγαθῷ· ὁ γὰρ δίκαιος οὔτε ὅπερ ἀρετή ἐστιν οὔτε ὅπερ ἀγαθόν, ἀλλ’ ἔστιν ἀγαθός, ὅτι συμβεβηκυῖαν ἔχει τὴν ἀρετὴν καὶ τὸ ἀγαθόν. τὸ δὲ οὐδὲν γὰρ λέγεται ὅπερ τὸ γένο ς , ὃ μὴ τυγχάνει ἐν τῷ γένει ὄ ν , ἴσον ἐστὶ τῷ ‘οὐδὲν γὰρ λέγεται ὅπερ καὶ τὸ κατηγορούμενον αὐτοῦ εἶναι, εἰ μὴ εἴη ὡς ἐν γένει [ὂν] τῷ κατηγορουμένῳ‘. τοῦ γὰρ λευκοῦ τὸ χρῶμα κατηγορεῖται, καὶ λέγεται ὅπερ χρῶμα εἶναι τὸ λευκόν, ὅτι ἐστὶν ὡς γένος αὐτοῦ κατηγορούμενον· τοῦ δὲ λευκοῦ ἀνθρώπου κατηγορεῖται μὲν τὸ χρῶμα, οὐ μὴν διὰ τοῦτο ὅπερ χρῶμά ἐστιν ὁ ἄνθρωπος, ὅτι μὴ ὡς γένος αὐτοῦ ἀλλ’ ὡς συμβεβηκὸς τὸ χρῶμα κατηγορεῖται. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων τῶν κατηγορουμένων· ὡς γὰρ τὸ χρῶμα τῶν μὲν ὡς γένος τῶν δὲ οὐχ ὡς γένος κατηγορεῖται, οὕτως καὶ ἐπὶ τῶν ἄλλων ἔχει. δύναται τὸ ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων προσκείμενον δηλωτικὸν εἶναι τοῦ ὡς ἐπὶ τῶν αἱρετῶν καὶ ἀγαθῶν αἱρετώτερον τὸ ὡς ἐν γένει ὂν τῷ ἀγαθῷ τοῦ μὴ ὡς ἐν γένει ὄντος αὐτῷ, οὕτως καὶ ἐπὶ τῶν ἄλλων μᾶλλον ἕκαστον ἐκεῖνο, ὃ ἐν γένει ἐστὶ τούτῳ καθ’ ὃ ἡ σύγκρισις αὐτοῖς, τοῦ ὄντος μὲν ἐν ἐκείνῳ, μὴ ὡς ἐν γένει δὲ 〈ἢ〉 [εἴη δὲ καὶ τὰ] ὡς ἐν εἴδει· καὶ τὰ εἴδη γὰρ ὧν ἐστιν εἴδη ἐν τῷ ὅπερ κατηγορεῖται· καὶ γὰρ φευκτὸν μᾶλλον τὸ ὡς ἐν γένει ὂν τῷ φευκτῷ τοῦ μὴ ὡς ἐν γένει ὄντος τῷ φευκτῷ. p.

in Top.229 116a29 Καὶ τὸ δ ι ’ αὑτὸ αἱρετὸν τοῦ δ ι ’ ἕτερον αἱρετο ῦ . Φανερὸς καὶ οὗτος ὁ τόπος. ἐπεὶ γὰρ τῶν ἀγαθῶν τε καὶ αἱρετῶν τὰ μὲν δι’ αὑτά ἐστιν αἱρετά, ὡς ἡ εὐδαιμονία καὶ ὅσα τίμια, τὰ δὲ δι’ ἕτερον, οἷον τέμνεσθαι, γυμνάζεσθαι, χρηματίζεσθαι καὶ ὅλως τὰ ὠφέλιμα, τὰ δὲ καὶ δι’ αὑτὰ καὶ δι’ ἕτερα, ὡς αἱ ἀρεταί (καὶ γὰρ δι’ αὑτὰς καὶ διὰ τὴν εὐδαιμονίαν αἱρούμεθα), ὁμοίως ὑγεία, πλοῦτος καὶ ὅσα ὡς δυνάμεις ἀγαθά, δῆλον ὡς αἱρετώτερον ὃ δι’ αὑτὸ αἱρεῖταί τις τοῦ ὃ αἱρεῖται μέν, οὐ δι’ αὑτὸ δὲ ἀλλὰ δι’ ἕτερον, ὡς καὶ διὰ τῶν παραδειγμάτων γνώριμον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεποίηκεν. εἰ γὰρ τὸ μὲν ὑγιαίνειν δι’ αὑτὸ αἱρούμεθα (ἔστι γὰρ τοῦτο τῶν δι’ αὑτὰ αἱρετῶν), τὸ δὲ γυμνάζεσθαι δι’ ἕτερον (διὰ γὰρ τὴν ὑγείαν ἢ διὰ τὸ ἀγωνίζεσθαί τε καὶ στεφανοῦσθαι βούλεσθαι), αἱρετώτερον ἡ ὑγεία τοῦ γυμνάζεσθαι. οὕτως καὶ εἰ τὸν μὲν φίλον αἱρούμεθα δι’ ἑαυτούς, εἴ γε ὁ φίλος ἕτερός ἐστιν αὐτός, τὰ δὲ χρήματα οὐ δι’ αὑτά, αἱρετώτερος ὁ φίλος τῶν χρημάτων· αὐτὸς γὰρ ἑαυτῷ ἕκαστος δι’ αὑτὸν αἱρετός, ὥστε καὶ 〈ὁ〉 φίλος. ἀλλὰ καὶ ὕπνου ἐγρήγορσις αἱρετώτερον, ᾗ ὁ ὕπνος ἐπὶ τὴν ἐγρήγορσιν ἔχει τὴν ἀναφοράν· ἵνα γὰρ δυνώμεθα ἐγρηγορέναι, ὕπνου καὶ ἀναπαύσεως δεόμεθα. οὕτως δεικνύοιτ’ ἂν καὶ φιλοσοφία ῥητορικῆς αἱρετωτέρα. Προστίθησι δὲ τῷ προειρημένῳ τόπῳ καὶ ἄλλον, ὅτι τὸ κα θ ’ αὑτὸ αἱρετὸν τοῦ κατὰ συμβεβηκὸς αἱρετώτερόν ἐστιν. ἔστι δὲ καθ’ αὑτὸ μὲν αἱρετὸν ὃ διὰ τὴν οἰκείαν φύσιν τε καὶ παρουσίαν ἐστὶν αἱρετόν, κατὰ συμβεβηκὸς δὲ ᾧ οὐκ ὄντι τῇ οἰκείᾳ φύσει αἱρετῷ συμβέβηκε κατά τινα περίστασιν εἶναι αἱρετῷ. καὶ αὐτὸς δὲ διὰ τῶν παραδειγμάτων, ὁποῖόν ἐστιν ἑκάτερον αὐτῶν, ἐδήλωσεν. τὸ μὲν γὰρ τοὺς φίλους δικαίους εἶναι καθ’ αὑτό ἐστιν αἱρετόν· οὐ γὰρ δι’ ἡμᾶς οὐδ’ ἵνα τι ἡμῖν ἐκ τούτου περιγένηται αἱρούμεθα αὐτό, ἀλλ’ ὅτι ἡ φιλία ἐστὶ βούλησις ἀγαθῶν ἐκείνων χάριν, αἱρούμεθα τὰ ἀγαθὰ τοῖς φίλοις ὑπάρχειν· ἀγαθὸν δὲ καὶ ἡ δικαιοσύνη τῷ ἔχοντι. τὸ δὲ τοὺς ἐχθροὺς δικαίους εἶναι αἱρετὸν ἡμῖν ἐστιν οὐκέτι καθ’ αὑτό· οὐ γὰρ οἰκεῖον τῆς ἔχθρας ἡ βούλησις τῶν ἀγαθῶν τοῖς ἐχθροῖς ἐκείνων χάριν, ἐπεὶ ταὐτὸν ἂν ἦν ἔχθρα τε καὶ φιλία.

in Top.230 οὐ δὴ καθ’ αὑτὸ τοῦτο αἱρούμεθα ἀλλὰ κατὰ συμβεβηκός· ἐπεὶ γὰρ συμβέβηκε τοῖς δικαίοις τὸ μὴ ἀδικεῖν, ὡς μὴ ἀδικοῖεν ἡμᾶς οἱ ἐχθροί, αἱρούμεθα αὐτοὺς εἶναι δικαίους. εἰ δὲ τοῦτο μὲν κατὰ συμβεβηκὸς αἱρετόν, ἐκεῖνο δὲ καθ’ αὑτό, δῆλον ὡς τὸ καθ’ αὑτὸ αἱρετὸν τοῦ κατὰ συμβεβηκὸς αἱρετώτερον. Τὸν αὐτὸν δέ φησιν εἶναι τόπον τοῦτον, τὸν τὸ καθ’ αὑτὸ λέγοντα τοῦ κατὰ συμβεβηκὸς αἱρετώτερον εἶναι, τῷ πρὸ αὐτοῦ, τῷ τὸ δι’ αὑτὸ αἱρετὸν τοῦ δι’ ἄλλο αἱρετώτερον δεικνύντι, τῷ ταὐτὸν εἶναι τὸ μὲν δι’ αὑτὸ τῷ καθ’ αὑτὸ τὸ δι’ ἄλλο δὲ τῷ κατὰ συμβεβηκός. τὸ μὲν γὰρ τοὺς φίλους δικαίους εἶναι καὶ καθ’ αὑτὸ καὶ δι’ αὑτὸ αἱρετόν, ὥσπερ καὶ ἡ ὑγεία· τὸ δὲ τοὺς ἐχθροὺς εἶναι δικαίους κατὰ συμβεβηκός (συμβέβηκε γὰρ αὐτοῖς δικαίοις γενομένοις μὴ βλάπτειν) καὶ δι’ ἄλλο· ἵνα γὰρ ἡμᾶς μὴ βλάπτωσιν. τοιοῦτον δὲ καὶ τὸ γυμνάζεσθαι· καὶ γὰρ δι’ ἄλλο (διὰ γὰρ τὴν ὑγείαν) καὶ κατὰ συμβεβηκός, ὅτι συμβέβηκε τοῖς γυμναζομένοις τὸ ὑγιαίνειν. μόνον δὲ εἶναι αὐτοῖς τὴν διαφορὰν εἶπε κατὰ τὸν τρόπον τῆς ἐκφορᾶς, ὅτι ἐπὶ μὲν τοῦ τῷ δι’ αὑτὸ καὶ δι’ ἕτερον χρώμεθα, ἐπὶ δὲ τοῦ τῷ καθ’ αὑτὸ καὶ κατὰ συμβεβηκός. ἢ ἐπὶ μὲν τῶν εἰρημένων παραδειγμάτων τῷ τρόπῳ μόνον τῆς ἐκφορᾶς ἡ διαφορά· ἐπὶ δὲ ἄλλων ἔστιν εὑρεῖν πλείονα 〈ἢ〉 κατὰ τὸν τῆς ἐκφορᾶς τρόπον τὴν διαφορὰν ἐν αὐτοῖς. ἔστι γὰρ ἃ καθ’ αὑτὰ μέν ἐστιν αἱρετά, οὐ μὴν δι’ αὑτά· τοῖς γοῦν ῥιγοῦσι καθ’ αὑτό ἐστιν αἱρετὸν ἡ θερμὴ ἐσθής· εἰ δὲ καθ’ αὑτό, οὐ κατὰ συμβεβηκός· οὐ μὴν καὶ δι’ αὑτήν ἐστιν αἱρετὴ ἀλλὰ δι’ ἄλλο· ὅτι γὰρ τὸ μὴ ῥιγοῦν ἐξ αὐτῆς περιγίνεται. κατὰ συμβεβηκὸς δὲ ἢ λευκὸν ἢ φαιὸν ἢ ὁτιοῦν χρῶμα ἔχει ἡ ἐσθής, ἣν καθ’ αὑτὴν ῥιγοῦντες αἱρούμεθα. ἀλλὰ καὶ τῷ ἱππικῷ καθ’ αὑτὸ μὲν αἱρετὸν ἵππος· οὕτως γὰρ ἐνεργήσει κατὰ τὴν ἱππικήν· οὐ μὴν καὶ δι’ αὑτό, ὅπου γε μηδὲ τὸ ἱππεύειν αὐτό, πρὸς ὃ ἡ τοῦ ἵππου χρεία, δι’ αὑτὸ αἱρετόν· κατὰ συμβεβηκὸς δὲ ὁ ξανθὸς ἢ ὁ μέλας. ἀλλὰ καὶ τὸ τρέφεσθαι τῷ δεομένῳ τροφῆς καθ’ αὑτὸ μέν, οὐ δι’ αὑτὸ δὲ αἱρετὸν εἶναι δόξει. τοῖς μὲν οὖν δι’ αὑτὰ αἱρετοῖς οὖσιν ἀκολουθεῖ τὸ καθ’ αὑτὰ αἱρετοῖς εἶναι, οὐ μὴν ἔτι ἀντιστρέφειν ἂν δόξειεν. ἢ ὅλως κατὰ συμβεβηκός ἐστιν ἀγαθὸν ὃ οὐκ ὂν ἀγαθὸν τῇ αὑτοῦ φύσει διά τι ἀγαθὸν συμβεβηκὸς αὐτῷ ἀγαθὸν λέγεται.

in Top.231 οὕτως γὰρ τὸ τοὺς ἐχθροὺς δικαίους εἶναι, ὅτι μὴ ὄντι αὐτῷ ἀγαθῷ ἀγαθόν τι συμβέβηκε (τὸ γὰρ μὴ ἀδικεῖσθαι ὑπ’ αὐτῶν, ἀγαθὸν οὐκ ἐκείνων ἕνεκεν ἀλλὰ ἡμῶν ὑπάρχον), κατὰ συμβεβηκὸς ἀγαθὸν φαίνεται, οὐχ ὡς ὁ πλοῦτος οὐδ’ ἄλλο τι τῶν ὀργανικῶν ἀγαθῶν ἀγαθὸν [ἀλλὰ] καθ’ αὑτὸ μέν, οὐ δι’ αὑτὸ δέ· καθ’ αὑτὸ μὲν γὰρ ὁ πλοῦτος, ὅτι τῇ αὑτοῦ φύσει ὄργανόν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστιν ἐνεργειῶν καλῶν, οὐ δι’ αὑτὸ δέ, ὅτι πᾶν ὄργανον δι’ ἄλλο αἱρετόν. ἔσται οὖν τὸ μὲν κατὰ συμβεβηκὸς αἱρετὸν πάντως δι’ ἄλλο αἱρετόν, τὸ δὲ δι’ ἄλλο αἱρετὸν οὐ πάντως καὶ κατὰ συμβεβηκός· δι’ ἄλλα μὲν γὰρ αἱρετὰ πολλὰ τῶν τῇ αὑτῶν φύσει ἀγαθῶν, κατὰ συμβεβηκὸς δὲ μόνα ἃ διά τι συμβεβηκὸς αὐτοῖς ἔχει τὸ αἱρετόν· οὕτως γὰρ αἱρετὸν γίνεταί ποτε καὶ πενία καὶ νόσος καὶ θάνατος. ὥστε, εἰ μὴ τὸ καθ’ αὑτὸ ταὐτὸν τῷ δι’ αὑτὸ μήτε τὸ δι’ ἄλλο τῷ κατὰ συμβεβηκός, οὐδ’ ἂν οἱ τόποι οἱ αὐτοὶ εἶεν. p. 116b1 Καὶ τὸ αἴτιον ἀγαθοῦ κα θ ’ αὑτὸ τοῦ κατὰ συμβεβηκό ς . Εἰπὼν τὸ καθ’ αὑτὸ αἱρετὸν αἱρετώτερον εἶναι τοῦ κατὰ συμβεβηκός, ἐπεὶ καὶ ἐν τοῖς αἰτίοις ἐστί τις τοιαύτη διαφορά (τὰ μὲν γάρ ἐστι καθ’ αὑτά τινων αἴτια, τὰ δὲ κατὰ συμβεβηκός· καθ’ αὑτὸ μὲν γὰρ ὁ οἰκοδόμος τῆς οἰκίας αἴτιος, κατὰ συμβεβηκὸς δὲ ὁ Ἀθηναῖος ἢ ὁ λευκός), τόπον τινὰ ἡμῖν καὶ ἀπὸ τῶν αἰτίων εἰς ἐπίκρισιν τοῦ αἱρετωτέρου παραδίδωσιν. ὅταν γὰρ δύο τινὰ ἀγαθὰ ἀγαθοῦ τινος καὶ αἱρετοῦ αἴτια ὄντα τὸ μὲν καθ’ αὑτὸ ᾖ αἴτιον τὸ δὲ κατὰ συμβεβηκός, αἱρετώτερον τὸ καθ’ αὑτό. ὁ δὲ τόπος οὗτος προάγοι ἂν ἐπὶ ὁμολογουμένῳ τῷ τὸ τοῦ αἱρετοῦ αἴτιον αἱρετὸν καὶ αὐτὸ εἶναι. οὕτως ἡ ἀρετὴ τῆς τύχης αἱρετωτέρα· ἡ μὲν γὰρ ἀρετὴ καθ’ αὑτὴν αἰτία τῶν ἐπ’ αὐτῇ κατορθωμάτων. ὅταν δὲ καὶ τύχη αἰτία γένηται, κατὰ συμβεβηκὸς ἂν εἴη· καθόλου γὰρ κατὰ συμβεβηκὸς ἡ τύχη αἰτία οὖσα ἐδείχθη. οὕτως τῆς τύχης καὶ ἡ ἰατρικὴ ἂν αἱρετωτέρα δεικνύοιτο, ὅταν ἀμφότεραι ὑγείας ὦσιν αἴτιαι. ἀλλὰ καὶ ὑγεία εὐχροίας αἱρετώτερον διὰ τοῦτο· ὑγεία μὲν γὰρ καθ’ αὑτήν, εὔχροια δὲ κατὰ συμβεβηκὸς ἀγαθοῦ αἰτία.

in Top.232 καὶ τὸ γυμνάζεσθαι τοῦ 〈προσγυμνάζεσθαι〉 τῷδέ τινι· τὸ μὲν γὰρ καθ’ αὑτό, τὸ δὲ κατὰ συμβεβηκὸς ὑγείας ποιητικόν· ὅτι γὰρ γυμνάζεται καὶ ὁ τῷδέ τινι προσγυμναζόμενος, δῆλον, ἀλλ’ οὐ διὰ τὸ γυμνάζεσθαι ἀλλὰ διὰ τὸ προσγυμνάζεσθαι. p. 116b Ὁμοίως καὶ ἐπὶ τοῦ ἐναντίο υ . Δεικνύοιτο ἂν κατὰ τὸν αὐτὸν λόγον καὶ φευκτότερον τὸ καθ’ αὑτὸ κακοῦ αἴτιον τοῦ κατὰ συμβεβηκός, ὡς κακία τύχης· καὶ κυβερνήτης χείρων ὁ αὐτὸς ἀνατρέψας τὴν ναῦν τούτου οὗ διὰ τὴν ἀπουσίαν ἡ ναῦς ἀνετράπη· κατὰ συμβεβηκὸς μὲν γὰρ οὗτος, ἐκεῖνος δὲ καθ’ αὑτὸν αἴτιος τῆς ἀνατροπῆς. ὅμοιος ὁ λόγος καὶ ἐπὶ στρατηγοῦ καὶ ἰατροῦ· οὗ γὰρ παρόντος ἀπώλετο τὸ στρατόπεδον στρατηγοῦ, χείρων οὗτος τοῦ διὰ τὴν ἀπουσίαν αἰτίου τῆς ἀπωλείας γενομένου· καὶ ἐπὶ ἰατροῦ τὸ αὐτό. p. 116b8 Καὶ τὸ ἁπλῶς ἀγαθὸν τοῦ τινὶ αἱρετώτερο ν . Ὡς ἐπὶ τῶν ὑγιεινῶν τὰ μὲν ἁπλῶς ὑγιεινά, 〈ἃ〉 τοῖς ὑγιαίνουσι καὶ κατὰ φύσιν ἔχουσι 〈πᾶσίν〉 ἐστι τοιαῦτα, ὡς περίπατοι, γυμνάσια, σιτία τοιάδε, τὰ δὲ ἁπλῶς μὲν οὐκ ἔστιν ὑγιεινά, τισὶ δέ, οἷον τοῖς νοσοῦσιν, ὡς τομαὶ τοῖς τούτων δεομένοις καὶ ἀσιτίαι καὶ ἡσυχίαι καὶ φαρμακεῖαι, οὕτω καὶ ἀγαθὰ τὰ μὲν ἁπλῶς ἐστιν [ἀγαθά], ἃ πᾶσι τοῖς κατὰ φύσιν ἔχουσίν ἐστι τοιαῦτα, τὰ δὲ τινί. οἷον ὑγεία μὲν ἁπλῶς ἀγαθόν· τοῖς γὰρ κατὰ φύσιν ἔχουσι πᾶσιν ἀγαθόν· νόσος δὲ ἁπλῶς μὲν κακόν, γένοιτο δ’ ἄν τινί ποτε ἀγαθόν, ὡς Θεάγει, εἴ γε τοῦτον “ἡ τοῦ σώματος νοσοτροφία” κατέσχεν ἐν φιλοσοφίᾳ, ὡς Πλάτων λέγει. ὁμοίως πλοῦτος μὲν καὶ δόξα ἁπλῶς ἀγαθόν· γένοιτο δ’ ἂν ποτέ τινι καὶ πενία ἀγαθὸν καὶ ἀδοξία, εἰ διὰ πενίαν καὶ ἀδοξίαν μὴ ἐπιβουλευθείη μηδὲ ἀναιρεθείη ὑπὸ τυράννου τινὸς ἀναιροῦντος τοὺς ἐνδόξους τε καὶ πλουσίους. τούτων δὴ οὕτως ἐχόντων αἱρετώτερά φησιν εἶναι τὰ ἁπλῶς ἀγαθὰ τῶν μὴ ἁπλῶς ἀλλὰ τισὶ καὶ ποτέ. καὶ ὁ τόπος σαφής. εἴη δ’ ἂν ὁ αὐτὸς οὗτος τῷ πρὸ ὀλίγου εἰρημένῳ τῷ ἀπὸ τοῦ καθ’ αὑτὸ καὶ κατὰ συμβεβηκός. p.

in Top.233 116b10 Καὶ τὸ φύσει τοῦ μὴ φύσε ι , οἷον ἡ δικαιοσύνη τοῦ δικαίο υ . Ἔστι μὲν καὶ οὗτος ὁ τόπος δυνάμει ὁ αὐτὸς τῷ πρὸ αὐτοῦ· τὰ γὰρ τῇ αὑτῶν φύσει ἀγαθὰ καὶ ἁπλῶς ἐστιν ἀγαθά, τὰ δὲ ἐπίκτητα οὐχ ἁπλῶς οὐδὲ πᾶσι. διαφέροι δ’ ἂν τῇ ἐπιβολῇ· οὐ γὰρ διότι ἁπλῶς, ἀλλὰ διότι τῇ αὑτοῦ φύσει τοιοῦτον. καθόλου δὲ τὰ φύσει συνεστῶτα τῶν μὴ φύσει ἀλλὰ ἐπικτήτων τε καὶ κατὰ τέχνας καὶ νενομισμένων βελτίω· τά τε γὰρ κατὰ τὰς τέχνας μιμήματα ὄντα τῆς φύσεως δεύτερα ἂν εἴη τῆς φύσεως, ἀλλὰ καὶ τὰ κατὰ ἔθη τε καὶ συνθήκας καὶ νόμους δεύτερα τῶν

φύσει· τοῖς μὲν γὰρ ἡ φύσις ἡ οἰκεία αἰτία τοῦ τοιούτοις εἶναι, τοῖς δὲ ἡ περὶ αὐτῶν συνθήκη τῶνδέ τινων ἢ ἔθος. καὶ τῶν ἀγαθῶν δή, ὅσα τῇ ἑαυτῶν φύσει ἐστὶν ἀγαθά, αἱρετώτερα τῶν μὴ φύσει τοιούτων. οἷον ἡ μὲν δικαιοσύνη, ὡσπεροῦν καὶ πᾶσα ἀρετή, τῇ φύσει τῇ αὑτῶν ἀγαθά· τὸ μέντοι παρ' ἑκάστοις δίκαιον οὐ τῇ αὑτοῦ φύσει τοιοῦτον, ἀλλὰ ἢ κατ' ἔθος ἢ κατὰ νόμον· ἄλλα γὰρ παρ' ἄλλοις νόμιμα, καὶ ἔστιν ἑκάστοις τὰ οἰκεῖα νόμιμα ἀγαθά τε καὶ αἱρετά. ὄντων δὲ ἀμφοτέρων ἀγαθῶν, καὶ τῆς δικαιοσύνης καὶ τῶν δικαίων τῶν νενομοθετημένων, ἡ κατὰ φύσιν δικαιοσύνη τοῦ δικαίου τοῦ τοιούτου αἱρετωτέρα, ὅτι ἡ μὲν φύσει τὸ δὲ οὐ φύσει. δίκαιον γὰρ νῦν τὸ μὴ φύσει λαμβάνει, ἐπεὶ ἔστι τι καὶ φύσει δίκαιον, κατὰ δικαιοσύνην γινόμενον τοιοῦτον. ἢ τοῦ δικαίου λέγει τοῦ τὴν δικαιοσύνην ἔχοντος· ἐπίκτητον γὰρ τούτῳ [τὸ] ἀγαθὸν ἡ δικαιοσύνη καὶ οὐ φύσει, εἴ γε μὴ φύσει δίκαιοι οἱ δίκαιοι· ἡ δὲ δικαιοσύνη τῇ αὑτῆς φύσει ἀγαθόν. p. 116b12 Καὶ τὸ τῷ βελτίονι καὶ τιμιωτέρῳ αἱρετώτερο ν , οἷον θεῷ ἢ ἀνθρώπῳ καὶ ψυχῇ ἢ σώματ ι . Σαφὴς μὲν ὁ τόπος· λέγει γὰρ δι' αὐτοῦ ὅτι τὸ τοῦ βελτίονος ἀγαθὸν αἱρετώτερον τοῦ ἀγαθοῦ ὃ τοῦ χείρονός ἐστιν. οὐ γάρ ἐστι τὸ λεγόμενον, ὡς ἂν δόξαι, ὅτι τὸ τῷ βελτίονι αἱρετώτερον τοῦτο καὶ αἱρετώτερον· οὐ γὰρ ποιεῖται τὴν σύγκρισιν τούτων ἃ τῷ αὐτῷ ἐστιν ἀγαθὰ ἢ αἱρετά, ἀλλ' ἃ διαφερούσαις φύσεσι.

in Top.234 δεῖται μέντοι διαστολῆς τινος ὁ τόπος. εἰ μὲν γὰρ ἁπλῶς τῇ ἑαυτοῦ φύσει τὸ αἱρετώτερον λαμβάνειν ἔοικεν ἀλλὰ μὴ τῷ τὴν ἐπίκρισιν αὐτοῦ ποιουμένῳ, ἁπλῶς ἀληθὴς ὁ τόπος, ἐπειδὴ τὸ τῷ βελτίονι καὶ τιμιωτέρῳ, καθ' ὃ βελτίων ἐστὶ καὶ τιμιώτερος, αἱρετὸν αἱρετώτερον τοῦ αἱρετοῦ τῷ μὴ τοιούτῳ καὶ μᾶλλον ἀγαθόν· τὰ γοῦν τοῖς θεοῖς αἱρετὰ ἁπλῶς αἱρετώτερα καὶ βελτίω τῶν τοῖς ἀνθρώποις αἱρετῶν, οἷον ἀθανασία ἢ ἡ τῶν ὅλων διακόσμησις καὶ ἀπάθεια σοφίας, ὑγείας, ἀρετῆς, πλούτου, φιλοσοφίας, τῶν τοιούτων ἃ τοῖς ἀνθρώποις ἐστὶν αἱρετά. εἰ δ' ἡ κρίσις τοῦ αἱρετωτέρου τῷ αἱρουμένῳ γίνοιτο, οὐκέτ' ἂν ἁπλῶς ὁ τόπος ὑγιὴς εἴη· οὐ γὰρ τὰ τοῖς θεοῖς αἱρετὰ αἱρετώτερα ἡμῖν τῶν ἡμῖν αἱρετῶν, εἴ γε ἀδύνατα μὲν ἡμῖν πολλὰ τῶν ἐκείνοις αἱρετῶν. ἠλιθίου δὲ τὸ αἱρεῖσθαι τὰ ἀδύνατα. διὸ δέοιτο ἂν προσθήκης τῆς 'δυνατῶν ὄντων ἀμφοτέρων'. εἰ γὰρ εἴη ἄμφω δυνατὰ τῷ τὴν τοῦ αἱρετωτέρου ποιουμένῳ ἐπίκρισιν, αἱρετώτερον τὸ τῷ βελτίονι καὶ τιμιωτέρῳ αἱρετόν, οἷον τὸ κοινωφελὲς τοῦ ἰδιωφελοῦς αἱρετώτερον· ἀμφότερα γὰρ δυνατὰ τῷ ἀνθρώπῳ, καὶ τοῖς θεοῖς τὸ κοινωφελὲς αἱρετόν τε καὶ κατὰ φύσιν. ὁμοίως καὶ τὸ εὖ ποιεῖν τοῦ εὖ πάσχειν· τοῖς γὰρ θεοῖς αἱρετὸν τὸ εὖ ποιεῖν, καὶ ἄμφω δυνατὰ τῷ ἀνθρώπῳ. οὕτως καὶ εἰ τῇ ψυχῇ μὲν αἱρετὸν τὸ φρονεῖν καὶ ὅλως αἱ ἀρεταί, σώματι δὲ τὸ ὑγιαίνειν καὶ τὸ ἰσχύειν, αἱρετώτερον τὸ φρονεῖν καὶ αἱ ἀρεταί, 〈εἴ γε〉 καὶ ὅλως αἱρετώτερα τὰ τῷ τιμιωτέρῳ τε καὶ βελτίονι· ψυχὴ γὰρ βελτίων σώματος. ὁμοίως καὶ τὸ ἐπίστασθαι τοῦ αἰσθάνεσθαι αἱρετώτερον, ἐπεὶ τὸ μὲν αἰσθάνεσθαι σωματικώτερον (διὰ γὰρ σώματος), τὸ δ' ἐπίστασθαι οἰκεῖον καὶ ἴδιον τῆς ψυχῆς. διαφέροι δ' ἂν οὗτος ὁ τόπος τοῦ ἤδη εἰρημένου τοῦ "καὶ ὃ μᾶλλον ἂν ἕλοιτο ὁ φρόνιμος ἢ ὁ ἀγαθὸς ἀνήρ", ὅτι ἐν ἐκείνῳ μὲν ἀπὸ τοῦ μᾶλλον αἱρετοῦ τῷ βελτίονι ἡ ἐπιχείρησις ἐγίνετο, ἀμφοτέρων ὄντων αἱρετῶν τῷ αὐτῷ, ἐνταῦθα δέ, ὅταν ἄλλο μὲν ᾖ τῷ βελτίονι αἱρετὸν ἄλλο δὲ τῷ χείρονι, τὸ τῷ βελτίονι δείκνυται αἱρετώτερον, ὡς ἔχει ἡ ψυχὴ καὶ τὸ σῶμα· οὐ γὰρ ἄμφω ἑκατέρῳ αἱρετά· καὶ ἐκεῖ μὲν ἐζητεῖτο τὸ τῷ αἱρουμένῳ αἱρετώτερον, ἐνταῦθα δὲ τὸ ἁπλῶς αἱρετώτερον, οὐ τὸ τινί.

in Top.235 p. 116b13 Καὶ τὸ τοῦ βελτίονος ἴδιον βέλτιον ἢ τὸ τοῦ χείρονο ς . Παραδοὺς τόπον ἀπὸ τοῦ τῷ βελτίονι αἱρετοῦ συνιστάντα τὸ αἱρετώτερον, ἐπεὶ οὐ πάντως τὸ αἱρετόν τινι ἤδη καὶ ἴδιόν ἐστιν αὐτοῦ (ὑγεία γὰρ αἱρετὸν μὲν ἀνθρώπῳ, οὐ μὴν καὶ ἴδιον τὸ ὑγιαίνειν ἀνθρώπου), νῦν ἀπὸ τοῦ ἰδίου τόπον παραδίδωσι (τὸ γὰρ τοῦ βελτίονος ἴδιον βέλτιον τοῦ ὃ ἴδιόν ἐστι τοῦ χείρονο ς) , οὐκέτι κατὰ τὸ αἱρετώτερον τὴν σύγκρισιν ποιούμενος ἀλλὰ κατὰ τὸ βέλτιον ἁπλῶς· τὸ γὰρ τοῦ βελτίονος ἴδιον, εἰ μὴ δυνατὸν τῷ χείρονι, οὐδ' ἂν αἱρετώτερον αὐτῷ εἴη. ἢ τὸ βέλτιον ἁπλῶς καὶ αἱρετώτερον ἁπλῶς εἶναι λαμβάνει, εἰ καὶ 〈ὡσ〉 διαφόροις αὐτοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρῆται· οὐ γὰρ τὴν σύγκρισιν ποιεῖται τοῦ αἱρετωτέρου τινὶ ἀεί, ἀλλὰ [καὶ] τοῦ ἁπλῶς καὶ κατὰ τὴν οἰκείαν φύσιν, ὥσπερ ἐποίησε καὶ ἐπὶ τοῦ πρὸ τούτου τόπου. ὅτι δὲ τὸ τοῦ βελτίονος ἴδιον βέλτιον, ἔδειξε διὰ τοῦ εἶναι μὲν τὸ βέλτιον καὶ κατά τι αὐτοῦ βέλτιον· ἀλλὰ κατὰ μὲν τὰ κοινὰ καὶ τὰ ὅμοια τῷ τε χείρονι καὶ τῷ βελτίονι οὐδέτερον οὐδετέρου ὑπερέχει· οὐδὲ γὰρ διαφέρει· λείπεται κατὰ τὰ ἴδια αὐτῶν εἶναι τὴν διαφορὰν καὶ κατὰ τοῦτο τὸ βέλτιον ὑπερέχειν τοῦ χείρονος. εἰ δὲ κατὰ ταῦτα ἥ τε διαφορὰ αὐτοῖς καὶ ἡ ὑπεροχή, καὶ τὸ τοῦ βελτίονος ἴδιον βέλτιον ἂν εἴη. οἷον εἰ ζῷα ὁ θεὸς καὶ ὁ ἄνθρωπος καὶ ὁ ἵππος, κατὰ μὲν τὸ γένος τὸ κοινὸν οὐδὲν ἀλλήλων διαφέρουσιν· ἐπεὶ δὲ βελτίων ὁ μὲν θεὸς τοῦ ἀνθρώπου, ὁ δὲ ἄνθρωπος τοῦ ἵππου, λείπεται τὴν διαφορὰν αὐτῶν εἶναι κατὰ τὰ ἴδια· εἰ οὖν θεοῦ μὲν ἴδιον ἀθανασία, ἀνθρώπου δὲ τὸ ἐπιστήμης δεκτικόν, ἵππου δὲ τὸ χρεμετιστικόν, ἡ ἀθανασία μὲν βελτίων τοῦ ἐπιστήμης δεκτικοῦ, τὸ δὲ ἐπιστήμης δεκτικὸν τοῦ χρεμετιστικοῦ. οὕτως καὶ εἰ ψυχῆς μὲν ἴδιον ὁρμή, σώματος δὲ ῥοπή, εἴη ἂν ὁρμὴ ῥοπῆς βελτίων, ἐπεὶ καὶ ψυχὴ σώματος. δοκεῖ δέ μοι τὸ βέλτιον καὶ τὸ χεῖρον ἐν τοῖς ὁμογενέσι λαμβάνειν, ἐπειδὴ καὶ ἡ σύγκρισις ἐν τοῖς κοινωνίαν ἔχουσι πρὸς ἄλληλα· διὸ καὶ εἶπε κατὰ μὲν γὰρ τὰ κοινὰ ἐν ἀμφοτέροις οὐδὲν διαφέρε ι , ὡς τῶν συγκρινομένων ὀφειλόντων ἔχειν τινὰ καὶ κοινά.

in Top.236 p. 116b17 Καὶ τὸ ἐν βελτίοσιν ἢ προτέροις ἢ τιμιωτέροις βέλτιο ν . Ὁ τόπος τοιοῦτος· εἰ τῶν συγκρινομένων πρὸς ἄλληλα κατὰ τὸ αἱρετὸν τὸ μὲν ἐν βελτίοσιν εἴη τὸ δὲ ἐν χείροσιν, ἢ τὸ μὲν ἐν προτέροις τὸ δὲ ἐν ὑστέροις, ἢ τὸ μὲν ἐν τιμιωτέροις τὸ δὲ ἐν ἧττον τοιούτοις, βέλτιον τὸ ἐν τοῖς ὑπερέχουσιν. οἷον εἰ ζητοῖτο πότερον ἐπιστήμη ἢ ὑγεία αἱρετώτερον, δεικνύοιτο ἂν ὅτι ἐπιστήμη ἀμφοτέρων ὄντων αἱρετῶν, ὅτι ἡ μὲν ἐπιστήμη ἐν ψυχῇ, ἡ δὲ ὑγεία ἐν σώματι, βελτίων δὲ ψυχὴ σώματος. πάλιν εἰ ζητοῖτο πότερον αἱρετώτερον ὑγεία ἢ ἰσχὺς ἢ κάλλος, δεικνύοιτο ἂν ἡ ὑγεία, ὅτι ἐν προτέροις, εἴ γε ἡ μὲν ὑγεία ἐν συμμετρίᾳ τῶν πρώτων σωματικῶν δυνάμεών ἐστιν, ἅ ἐστι θερμότης, ψυχρότης, ὑγρότης, ξηρότης, ἐκείνων δὲ ἡ μὲν ἰσχὺς ἐν συμμετρίᾳ τῶν ὁμοιομερῶν, νεύρων τε καὶ ὀστῶν καὶ πνεύμονος, τὸ δὲ κάλλος ἐν συμμετρίᾳ τῶν ἀνομοιομερῶν ἐν ἡμῖν μερῶν, προσώπου, τραχήλου, χειρῶν, τῶν ἄλλων μερῶν, ἅ ἐστι ὕστερα τῶν πρώτων ἐν ἡμῖν δυνάμεων. τῷ δὲ αὐτῷ λόγῳ πάλιν δεικνύοιτο ἂν καὶ ἡ ἰσχὺς αἱρετωτέρα τοῦ κάλλους· πρῶτα γὰρ τὰ ὁμοιομερῆ ἐν ἡμῖν, ἐν οἷς ἡ ἰσχύς, τῶν ἀνομοιομερῶν, ἐν οἷς τὸ κάλλος· ἕκαστον γὰρ τῶν ἀνομοιομερῶν ἐκ τῶν ὁμοιομερῶν σύγκειται, οἷον τὸ πρόσωπον ἐξ ὀστῶν καὶ νεύρων καὶ σαρκῶν· διὸ καὶ συναναιρεῖται μὲν ἀναιρουμένων, οὐ συναναιρεῖ δὲ ἀναιρούμενον. πάλιν εἰ ζητεῖται πότερον αἱρετώτερον θεωρία ἢ πρᾶξις, δεικνύοιτο ἂν ὅτι θεωρία τῷ εἶναι περὶ τὰ τιμιώτερα τὴν ἐνέργειαν αὐτῇ (ἡ μὲν γὰρ πρᾶξις περὶ τὰ πρακτά τε καὶ ἐφ' ἡμῖν, ἡ δὲ θεωρία περὶ τὰ θεῖα), καὶ ἐπειδὴ τῷ τιμιωτάτῳ τῆς ψυχῆς γίνεται· τιμιώτατον γὰρ ὁ νοῦς τῶν τῆς ψυχῆς δυνάμεων, οὗ ἐνέργεια ἡ θεωρία. p.

in Top.237 116b22 Καὶ τὸ τέλος τῶν πρὸς τὸ τέλος αἱρετώτερο ν . Σχεδὸν οὗτος ὁ τόπος ἐμπεριέχεται τῷ ἤδη εἰρημένῳ πρὸ ὀλίγου, τῷ "καὶ 〈τὸ〉 δι' αὑτὸ αἱρετὸν τοῦ δι' ἕτερον αἱρετοῦ"· τὸ μὲν γὰρ τέλος δι' αὑτὸ αἱρετόν, τὸ δὲ πρὸς τὸ τέλος δι' ἕτερον· διὰ γὰρ τὸ τέλος. διαφέροι δ' ἄν, ὅτι ἐκεῖ οὐ τὰ πρὸς τὸ τέλος συνεκρίνετο τῷ τέλει, ἀλλὰ τοῖς δι' αὑτὰ αἱρετοῖς τὰ ὁπωσοῦν δι' ἄλλα αἱρετὰ καθόλου καὶ ἃ μὴ δι' αὐτὸ τοῦτο ὡς ὄντα τέλος αὐτῶν ἦν αἱρετά, διὰ δέ τι ἄλλο, ἐνταῦθα δὲ τῶν τελῶν καὶ τῶν πρὸς αὐτὰ ἡ σύγκρισις. οὕτως ὑγεία μὲν αἱρετωτέρα γυμνασίων, περιπάτων, σιτίων, ὅλως διαίτης, ὅτι ἡ μὲν τέλος, ταῦτα δὲ ἐκείνης χάριν· καὶ εὐδαιμονία ἀρετῆς, ὑγείας, πλούτου, τῶν ἄλλων ἀγαθῶν· ἡ μὲν γὰρ τέλος, ταῦτα δ' ἐκείνης χάριν· καὶ τὸ εἰδέναι τοῦ μανθάνειν, καὶ τὸ κατὰ τὰς ἕξεις ἐνεργεῖν τοῦ τὰς ἕξεις ἔχειν. p. 116b23 Καὶ δυοῖν τὸ ἔγγιον τοῦ τέλου ς . Ὁ τόπος ἐν τοῖς πρὸς τὸ τέλος συντελοῦσιν ἔχει τὴν σύγκρισιν· εἰ γὰρ εἴη δύο τινὰ ἔχοντα πρὸς ἕν τι τέλος τὴν ἀναφοράν, τὸ ἐγγύτερον τοῦ τέλους

τοῦ πορρωτέρω αἱρετώτερόν τε καὶ ἄμεινον. οἷον ὑγείας αἴτιον καὶ τὸ κείρεσθαι καὶ τὸ γυμνάζεσθαι· ἀλλ' ἐπεὶ τὸ γυμνάσιον ἐγγύτερον τῆς ὑγείας, ἄμεινον καὶ αἱρετώτερον· τὸ γὰρ ἐγγυτέρω τοῦ τέλους δοκεῖ τὸν αὐτὸν λόγον ἔχειν πρὸς τὸ πρὸ αὐτοῦ αἴτιον ὃν τὸ τέλος πρὸς αὐτό· τέλος γάρ πως καὶ τοῦτο ἐκείνου. οὕτως καὶ ἡ κατ' ἀρετὴν ἐνέργεια τῆς ἕξεως αἱρετωτέρα· ἐγγυτέρω γὰρ τῆς εὐδαιμονίας, ὃ τέλος ἐστὶν ἀμφοῖν. δόξαι δ' ἂν οὕτως καὶ τὰ ὑγείας φυλακτικὰ αἱρετώτερα εἶναι τῶν ποιητικῶν αὐτῆς· τὰ μὲν γὰρ συνυπάρχει τῇ ὑγείᾳ, τὰ δὲ πρὸ αὐτῆς ἐστιν. οὕτως ἱππικὴ μὲν ἀμείνων χαλινοποιητικῆς ἀμφοτέρων συντελουσῶν πρὸς στρατηγίαν, ὅτι ἐγγυτέρω ἡ ἱππική· τεκτονικὴ δὲ ὑλοτομικῆς ἀμφοτέρων χρησίμων οὐσῶν πρὸς ναυπηγίαν, καὶ ἰατρικῆς γυμναστικὴ ἀμφοτέρων πρὸς εὐεξίαν συντελουσῶν. p.

in Top.238 116b24 Καὶ ὅλως τὸ πρὸς τὸ τοῦ βίου τέλος αἱρετώτερον μᾶλλον ἢ τὸ πρὸς ἄλλο τ ι . Ἃ γὰρ πρὸς τὸ τελειότατον τέλος συντελεῖ, αἱρετώτερα τῶν πρὸς ἄλλο τι συντελούντων· τελειότατον δὲ τέλος ἐστὶν ἡ εὐδαιμονία· πάντα γὰρ τὰ ἄλλα ἐπὶ ταύτην τὴν ἀναφορὰν ἔχει. εἰ οὖν καὶ τῶν ἄλλων τὰ τέλη πρὸς εὐδαιμονίαν ἔχει τὴν ἀναφοράν, δῆλον ὅτι καὶ ὅσα πρὸς ἐκείνων τι συντελεῖ, δεύτερα ἂν εἴη τῶν πρὸς εὐδαιμονίαν συντελούντων. δυνάμει δὲ καὶ οὗτος ὁ τόπος ἐστὶν ἐν τῷ πρὸ αὐτοῦ· ἐπεὶ γὰρ ἓν τὸ τελειότατόν ἐστι τέλος (καὶ γὰρ τὰ ἄλλα, ὅσα δοκεῖ τέλη ἄλλων εἶναι, τοῦ τελειοτάτου τέλους χάριν ἐστί), καὶ τὰ ἄλλων τινῶν τέλη καὶ αὐτὰ τοῦ τελείου τέλους χάριν δῆλον ὅτι ὄντα· διαφορὰ δὲ αὐτῶν ἐστιν, ὅτι τὰ μὲν ἐγγὺς τοῦ τελειοτάτου τέλους ἐστὶ τὰ δὲ πόρρω. οἷον εὐδαιμονία μὲν τὸ τελειότατον τέλος, φρόνησις δὲ τέλος καὶ αὐτὴ ἄλλου τινὸς οὖσα τῆς εὐδαιμονίας χάριν ἐστὶ καὶ αὐτή· γίνεται οὖν καὶ αὐτὴ καὶ τὰ δι' αὐτὴν τέλος ἔχοντα τὴν εὐδαιμονίαν, ἀλλ' ἡ μὲν φρόνησις ἐγγὺς τῆς εὐδαιμονίας (προσεχῶς γὰρ τέλος αὐτῆς αὕτη), τὸ δὲ φρονήσεως ποιητικόν, οἷον παιδεία, προσεχὲς μὲν τέλος ἔχει τὴν φρόνησιν, ἔσχατον δὲ τὴν εὐδαιμονίαν· ἐγγυτέρω γὰρ ἡ φρόνησις τῆς εὐδαιμονίας παιδείας τε καὶ τῶν φρονήσεως ποιητικῶν· εὐλόγως οὖν αὐτῶν ἐστι καὶ αἱρετωτέρα. εἰ τοίνυν ζητοῖτο πότερον αἱρετώτερον ὑγεία ἢ πλοῦτος, ἐπεὶ ἡ μὲν ὑγεία πρὸς τὸ τοῦ βίου τέλος τὴν ἀναφορὰν ἔχει, τοῦτ' ἔστι πρὸς εὐδαιμονίαν, ὁ δὲ πλοῦτος πρὸς τὰς κατ' ἐλευθεριότητα ἐνεργείας, αἵτινες καὶ αὐταὶ ἐπὶ τὴν εὐδαιμονίαν ἔχουσι τὴν ἀναφοράν, εἴη ἂν ἡ ὑγεία τοῦ πλούτου αἱρετωτέρα. ἀλλὰ καὶ τῶν φρονήσεως ποιητικῶν αἱρετωτέρα ἡ κατὰ δικαιοσύνην ἐνέργεια· ποιητικὴ γὰρ εὐδαιμονίας αὕτη. δεικνύοιτο δ' ἂν διὰ τοῦ τόπου τούτου ἡ ἀρετὴ αἱρετωτέρα τῆς παρὰ βασιλέως τιμῆς, εἴ γε τῆς μὲν ἀρετῆς εὐδαιμονία τέλος, τῆς δὲ παρὰ βασιλέως τιμῆς τὸ ἔθνους ἄρξαι τινός. p.

in Top.239 116b26 Καὶ τὸ δυνατὸν τοῦ ἀδυνάτο υ . Οὐκέτι τοῦτο ἁπλῶς αἱρετώτερον ἀλλὰ τῷ αἱρουμένῳ. σαφὴς δὲ ὁ τόπος· εἰ γὰρ τῶν συγκρινομένων εἴη τὸ μὲν δυνατὸν τὸ δὲ ἀδύνατον, αἱρετώτερον τὸ δυνατὸν τούτῳ ᾧ τὸ ἕτερον ἀδύνατον. οἷον ἐπεὶ μακροβιότης μὲν ἀνθρώπῳ δυνατὸν ἀθανασία δὲ ἀδύνατον, αἱρετώτερον ἂν εἴη ἀνθρώπῳ μακροβιότης ἀθανασίας· ὁμοίως καὶ μετριοπάθεια ἀπαθείας. ἁπλῶς μὲν γὰρ ἀθανασία ἂν εἴη αἱρετώτερον καὶ ἀπάθεια, ἐπεὶ τῷ βελτίονι ταῦτα αἱρετά, θεῷ. ὅτι γὰρ καὶ ἀδύνατα αἱρετὰ λέγει, οὐ τούτοις οἷς ἐστιν ἀδύνατα, ἀλλ' ἁπλῶς, εἰ εἴη τοιαῦτα, ἔδειξε διὰ τοῦ τὴν σύγκρισιν ποιήσασθαι τὴν κατὰ τὸ αἱρετώτερον καὶ ἐπὶ ἀδυνάτου· τοῦτο γὰρ αἱρετώτερον. ἁπλῶς μὲν οὖν δύναται καὶ τὸ ἀδύνατον αἱρετώτερον ὂν δείκνυσθαι τοῦ δυνατοῦ· τῷ δὲ αἱρουμένῳ τὸ δυνατὸν αἱρετώτερον. p. 116b26 Ἔτι δύο ποιητικῶ ν , οὗ τὸ τέλος βέλτιο ν . Ἀσαφῶς εἴρηται διὰ βραχύτητα ὁ τόπος. ἔστι δὲ τοιοῦτος· εἰ δύο εἴη τινὰ δύο τελῶν ποιητικά τινων, οὗ τὸ τέλος βέλτιον καὶ αἱρετώτερον, καὶ αὐτὸ βέλτιον. οὕτως παιδεία γυμνασίων δεικνύοιτ' ἂν ἀμείνων, εἴ γε γυμνάσια μὲν ὑγείας ἐστὶ ποιητικά, παιδεία δὲ φρονήσεως, καὶ ἔστιν ἡ φρόνησις τῆς ὑγείας αἱρετώτερον. πάλιν τὸ γυμνάζεσθαι τοῦ χρηματίζεσθαι αἱρετώτερον· τὸ μὲν γὰρ πλούτου, τὸ δὲ ὑγείας ποιητικόν, βέλτιον δ' ὑγεία πλούτου. δῆλον δὲ ὅτι, εἰ ἀμφότερα ποιητικὰ τῶν οἰκείων τελῶν λαμβάνοιτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ ὁμοίως γε, ὁ τόπος ὑγιής. ἐὰν γὰρ τὸ μὲν τοῦ ἧττον αἱρετοῦ τέλους προσεχῶς ποιητικὸν ᾖ, τὸ δὲ τοῦ αἱρετωτέρου πορρωτέρω, οὐ πάντως τὸ τοῦ αἱρετωτέρου ποιητικὸν αἱρετώτερον· οὐ γὰρ αἱρετώτερον τὸ κείρεσθαι τοῦ χρηματίζεσθαι, καίτοι τὸ μὲν ἐπὶ ὑγείαν, τὸ δ᾽ ἐπὶ πλοῦτον ἄγει· ἀλλὰ πλεῖον ἀφέστηκε τὸ κείρεσθαι τῆς ὑγείας ἢ τὸ χρηματίζεσθαι τοῦ πλούτου. p.

in Top.240 116b27 Ποιητικοῦ δὲ καὶ τέλους ἐκ τοῦ ἀνάλογο ν . Εἰπὼν διὰ τοῦ πρὸ τούτου τόπου τὸ τοῦ βελτίονος ποιητικὸν τέλους βέλτιον εἶναι, ὡς ἀναλογίαν ἐχόντων πρὸς ἄλληλα τῶν τελῶν καὶ τῶν ποιητικῶν αὐτῶν (ὅσῳ γὰρ ἂν τὸ τέλος τοῦ τέλους ὑπερέχῃ, τοσοῦτον καὶ τὸ ποιητικὸν τοῦ ποιητικοῦ), ταύτῃ τῇ ἀναλογίᾳ προσχρώμενος τόπον τινὰ ἡμᾶς διδάσκει, ᾧ προσχρώμενοι δυνησόμεθα συγκρίνειν τέλος τινὸς καὶ ποιητικόν τι ἄλλου τέλους. πάνυ δὲ γλαφυρὰ ἡ τοῦ τόπου τούτου εὕρεσις· φησὶ γὰρ ὅτι ἐκ τοῦ ἀνάλογον εὑρήσομεν καὶ ἐν τούτοις τήν τε ὑπεροχὴν καὶ τὸ αἱρετώτερον. ἂν γὰρ λάβωμεν καὶ τὸ τοῦ ποιητικοῦ τοῦ συγκρινομένου τῷ τέλει οἰκεῖον τέλος, οὗ ἐστι ποιητικόν, καὶ πάλιν τοῦ τέλους τοῦ συγκρινομένου τῷ ποιητικῷ τὸ οἰκεῖον ποιητικὸν καὶ εὕρωμεν πόσῳ ὑπερέχει τὸ τέλος τοῦ ποιητικοῦ τοῦ συγκρινομένου τέλους αὐτῷ, δῆλον ὅτι ἔχοιμεν ἂν καὶ ὅσῳ τὸ συγκρινόμενον ποιητικὸν ὑπερέχει τοῦ ποιητικοῦ, ὅ ἐστι τοῦ συγκρινομένου ποιητικὸν τέλους· ὡς γὰρ τὸ τέλος πρὸς τὸ τέλος, οὕτως καὶ τὸ ποιητικόν, ὡς ἐδείχθη διὰ τοῦ πρὸ τούτου τόπου. τούτων τοίνυν οὕτως ἐχόντων, ἂν τὸ τέλος τοῦ τέλους πλέον ὑπερέχῃ ἢ τὸ ὑπερεχόμενον τέλος τοῦ ἰδίου ποιητικοῦ, εἴη ἂν καὶ τὸ ποιητικὸν τοῦ ὑπερέχοντος τέλους πλεῖον ὑπερέχον τοῦ ποιητικοῦ τοῦ ὑπερεχομένου τέλους ἢ τὸ τέλος τὸ ὑπερεχόμενον τοῦ οἰκείου ποιητικοῦ. εἰ γὰρ ὅσον τὸ τέλος τοῦ τέλους ὑπερεῖχε, τοσοῦτον καὶ τὸ ποιητικὸν τοῦ ποιητικοῦ, πλείονι δὲ τὸ τέλος τοῦ τέλους ἢ τὸ ὑπερεχόμενον τέλος τοῦ ἰδίου ποιητικοῦ, δῆλον ὅτι καὶ τὸ ποιητικὸν πλείονι ὑπερέχει τοῦ ποιητικοῦ ἢ τὸ ἴδιον αὐτοῦ τέλος. τὸ δὲ τοῦ αὐτοῦ πλείονι ὑπερέχον τοῦ ἐλάττονι ὑπερέχοντος βέλτιον· ὑπερέξει ἄρα καὶ τὸ ποιητικὸν τοῦ τέλους ᾧ συνεκρίνετο, καὶ αἱρετώτερον αὐτοῦ ἔσται. οἷον ἔστω ποιητικὸν εὐδαιμονίας ἡ φρόνησις, καὶ ζητείσθω πότερον αἱρετώτερον ἡ φρόνησις οὖσα ποιητικὸν εὐδαιμονίας ἢ ἡ ὑγεία, ἥτις καὶ αὐτὴ τέλος ἐστίν. ἂν δὴ λάβωμεν τήν τε εὐδαιμονίαν, ἧς ἡ φρόνησίς ἐστι ποιητική, καὶ τὸ τῆς ὑγείας οὔσης τέλους ποιητικόν, οἷον τὸ γυμνάσιον, ἔσται ὡς τὸ τέλος πρὸς τὸ τέλος, ἡ εὐδαιμονία πρὸς τὴν ὑγείαν, οὕτως καὶ τὸ ποιητικὸν πρὸς τὸ ποιητικόν, ἡ φρόνησις πρὸς τὸ γυμνάσιον· ὥσπερ γὰρ ἔχει ἡ εὐδαιμονία πρὸς τὴν φρόνησιν, τὸ ἴδιον ποιητικόν, οὕτως ἔχει καὶ ἡ ὑγεία πρὸς τὸ ἴδιον ποιητικόν, ὅ ἐστι τὸ γυμνάσιον.

in Top.241 οὕτως δ᾽ ἐχόντων καὶ ὡς τὸ ἡγούμενον πρὸς τὸ ἡγούμενον, ἡ εὐδαιμονία πρὸς τὴν ὑγείαν, οὕτως τὸ ἑπόμενον πρὸς τὸ ἑπόμενον, ἡ φρόνησις πρὸς τὸ γυμνάσιον· ὅσῳ δὴ αἱρετωτέρα εὐδαιμονία ὑγείας, τοσούτῳ καὶ φρόνησις γυμνασίου. κειμένων τούτων ἐξετάσωμεν πάλιν εἰ ἴσον ὑπερέχει ἡ εὐδαιμονία τῆς ὑγείας καὶ ἡ ὑγεία τοῦ γυμνασίου, ὃ ἦν αὐτῆς ποιητικόν, ἢ πλέον ἢ ἔλαττον. ἂν μὲν γὰρ πλέον ὑπερέχῃ ἡ εὐδαιμονία τῆς ὑγείας ἢ ἡ ὑγεία τοῦ γυμνασίου, ἔσται καὶ ἡ φρόνησις ἡ ποιητικὴ τῆς εὐδαιμονίας πλέον ὑπερέχουσα τοῦ γυμνασίου ἤπερ ἡ ὑγεία· εἰ δὲ πλέον τοῦ αὐτοῦ ὑπερέχει, δῆλον ὅτι καὶ αἱρετωτέρα ἐστὶ τῆς ὑγείας· πλείονι γὰρ τοῦ αὐτοῦ ὑπερέχουσα ὑπερέχοι ἂν καὶ ταύτης. εἰ δὲ ἴσον ἥ τε εὐδαιμονία τῆς ὑγείας καὶ ἡ ὑγεία τοῦ γυμνασίου ὑπερέχει, ἴσον ἂν καὶ ἡ φρόνησις τοῦ γυμνασίου ὑπερέχοι καὶ ἡ ὑγεία· εἰ δὲ ἴσον, ὁμοίως ἂν εἴη καὶ αἱρετὴ αὐτῇ. εἰ δὲ ἔλαττον ἡ εὐδαιμονία ὑπερέχει τῆς ὑγείας ἢ ἡ ὑγεία τοῦ γυμνασίου, ἔλαττον ἂν καὶ ἡ φρόνησις ὑπερέχοι τοῦ γυμνασίου ἤπερ ἡ ὑγεία· ἔλαττον δὲ ὑπερέχουσα δῆλον ὡς καὶ ἔλαττον [ἂν] αἱρετὴ 〈ἢ〉 αὕτη. καὶ οὕτως ἂν εἴη τέλος αἱρετώτερον δεδειγμένον ἡ ὑγεία τοῦ ποιητικοῦ, τοῦτ᾽ ἔστι τῆς φρονήσεως, ᾧ συνεκρίνετο. δεικνύοιτο δ᾽ ἂν ἡ εὐδαιμονία πλέον ὑπερέχουσα τῆς ὑγείας ἢ ἡ ὑγεία τοῦ γυμνάζεσθαι διὰ τὸ μὴ οὕτως δεῖσθαι τὴν εὐδαιμονίαν τῆς ὑγείας, ὡς δεῖται ἡ ὑγεία τοῦ γυμνάζεσθαι· τὸ μὲν γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γυμνάζεσθαι ποιητικὸν τῆς ὑγείας, ἡ δὲ ὑγεία, εἰ καὶ συντελεῖ πρὸς εὐδαιμονίαν, ἀλλ’ οὐχ ὡς ποιητικὸν αὐτῆς ἀλλὰ πορρωτέρω. ὥστε πλείονι ὑπερέχοι ἂν ἡ εὐδαιμονία τῆς ὑγείας ἢ ἡ ὑγεία τοῦ γυμνάζεσθαι· πλείονι ἄρα καὶ ἡ φρόνησις τοῦ γυμνάζεσθαι ἢ ἡ ὑγεία· τὸ δὲ τοῦ αὐτοῦ πλείονι κατὰ τὸ ἀγαθὸν ὑπερέχον καὶ αἱρετώτερον. οὐ μόνον δὲ εὗρε τὸν τόπον περιττῶς, ἀλλὰ καὶ ἡρμήνευσεν ἰσχυρῶς τε καὶ βραχέως. p.

in Top.242 116b37 Ἔτι τὸ κάλλιον κα θ ’ αὑτὸ καὶ τιμιώτερον καὶ ἐπαινετώτερο ν . Κοινότερον τοῖς ὀνόμασι νῦν χρῆται, τῷ τε καλλίονι καὶ τῷ τιμιωτέρῳ καὶ ἐπαινετωτέρῳ. ἐν μὲν γὰρ τῇ τῶν ἀγαθῶν διαιρέσει τίμια μὲν τῶν ἀγαθῶν εἶπεν εἶναι τὰ ἀρχικώτερα, ὡς θεούς, γονεῖς, εὐδαιμονίαν, καλὰ δὲ καὶ ἐπαινετὰ τὰς ἀρετὰς καὶ τὰς κατ’ αὐτὰς ἐνεργείας, δυνάμεις δὲ οἷς ἔνεστιν εὖ καὶ κακῶς χρῆσθαι, ὠφέλιμα δὲ τὰ τούτων ποιητικὰ τῶν ἀγαθῶν καὶ εἰς ταῦτα συντελοῦντα. νῦν δὲ τὸ καλὸν καὶ τὸ ἐπαινετὸν καὶ τὸ τίμιον ἔοικε καὶ κατὰ τῶν ὡς δυνάμεων ἀγαθῶν φέρειν. ὁ δὲ τόπος τοιοῦτος· τὸ κα θ ’ αὑτὸ κάλλιο ν , τοῦτ’ ἔστι τὸ τῇ ἑαυτοῦ φύσει κάλλιον, καὶ τιμιώτερον καὶ ἐπαινετώτερον [καὶ αἱρετώτερον] τοῦ ἧττον τοιούτου τῇ ἑαυτοῦ φύσει αἱρετώτερον. κάλλιον γὰρ τῇ αὑτοῦ φύσει καὶ τιμιώτερον καὶ ἐπαινετώτερον ἡ φιλία τοῦ πλούτου, ὁμοίως καὶ ἡ δικαιοσύνη ἰσχύος· πλοῦτος μὲν γὰρ καὶ ἰσχύς, εἰ καὶ καθ’ αὑτὰ ἀγαθά τε δοκεῖ καὶ καλὰ καὶ τιμῆς καὶ σπουδῆς ἄξια εἶναι, ἀλλ’ ἐφ’ ἕτερον ἡ ἀναφορὰ τῆς αἱρέσεως αὐτῶν, τοῦ μὲν πλούτου ἐπὶ τὴν χρῆσιν, τῆς δὲ ἰσχύος ἐπὶ τὸ τὸ προκείμενον ποιεῖν ἀνεμποδίστως· ἡ δὲ φιλία καὶ ἡ δικαιοσύνη δι’ αὑτὰ τιμᾶται. ἐπιζητήσαι δ’ ἄν τις τίνι διαφέρει οὗτος ὁ τόπος τοῦ πρὸ ὀλίγου ῥηθέντος, ἐν ᾧ ἔλεγε τὰ καθ’ αὑτὰ αἱρετὰ τῶν κατὰ συμβεβηκὸς αἱρετώτερα εἶναι ἢ τὰ δι’ αὑτὰ τῶν δι’ ἄλλα. ἢ ἐν ἐκείνοις μὲν τὰ δι’ αὑτὰ αἱρετὰ τῶν δι’ ἄλλα ἔλεγεν αἱρετώτερα εἶναι καὶ τὰ καθ’ αὑτὰ αἱρετὰ τῶν κατὰ συμβεβηκός, τὰ ὠφέλιμα τῶν ἀγαθῶν συγκρίνων τοῖς δι’ αὑτὰ αἱρετοῖς· οὐ γὰρ δεῖ τοὺς τόπους ἀπὸ τῶν παραδειγμάτων κρίνειν· ἐνταῦθα δὲ τῶν καλῶν καὶ τιμίων τὰ δι’ αὑτὰ τὸ κάλλιον ἔχοντα καὶ τιμιώτερον καὶ ἐπαινετώτερον αἱρετώτερά φησιν, ὡς ἀμφοτέρων μὲν ἐχόντων τὸ δι’ αὑτό, μᾶλλον δὲ τῶν ἑτέρων. οὕτως δὲ ἂν διαφέροι οὗτος ὁ τόπος καὶ ἐκείνου δι’ οὗ ἔλεγε “καὶ τὸ φύσει τοῦ μὴ φύσει”· ἐνταῦθα γὰρ ἀμφότερα φύσει· φιλία γὰρ καὶ δικαιοσύνη πλούτου καὶ ἰσχύος κατὰ τὸ καλλίω εἶναι δι’ αὑτὰ καὶ τιμιώτερα καὶ ἐπαινετώτερα αἱρετώτερά ἐστιν, ὄντων καὶ ἐκείνων αἱρετῶν τῇ αὑτῶν φύσει.

in Top.243 τὸ δὲ οὐδεὶς γὰρ τιμᾷ τὸν πλοῦτον δ ι ’ αὑτὸν ἀλλὰ δ ι ’ ἕτερον οὐκ ἔστιν ἀναιρετικὸν τοῦ τῇ αὑτοῦ φύσει αἱρετὸν εἶναι τὸν πλοῦτον. καθ’ ὅσον μὲν γὰρ ὄργανον, τοιοῦτο· καθ’ ὅσον δὲ ἐν τῇ αὑτοῦ φύσει ἔχει τὸ εἶναι τῷ σπουδαίῳ πρὸς τὰς κατ’ ἀρετὴν ἐνεργείας ὄργανον, ἀλλ’ οὐχ ὑπὸ τοῦ σπουδαίου πρὸς τὰς κατ’ ἀρετὴν ἐνεργείας ὄργανον γίνεται, καθ’ αὑτόν ἐστιν ἀγαθός τε καὶ αἱρετός· ἔχει γὰρ ἐν τῇ αὑτοῦ φύσει τὸ εἶναι χρήσιμος. ὅτι γὰρ μὴ ὁ σπουδαῖος τοιοῦτον αὐτὸν ποιεῖ, δῆλον ἐκ τοῦ μὴ ποιεῖν αὐτὸν τὴν πενίαν τοιαύτην, καίτοι χρώμενον καὶ ταύτῃ, καὶ ἔτι αἱρεῖσθαι αὐτὸν πρὸ πενίας πλοῦτον. p. 117a5 Ἔτι ὅταν δύο τινὰ αὑτοῖς σφόδρα ᾖ παραπλήσι α . Τόπον ἡμῖν παραδίδωσιν ἀπὸ τῶν παρεπομένων. ὅταν γάρ, ὧν τὴν σύγκρισιν ποιούμεθα ζητοῦντες πότερόν ἐστιν αὐτῶν αἱρετώτερον, [ἐὰν] παραπλήσια ἀλλήλοις ᾖ καὶ διὰ τοῦτο δύσκριτον καὶ δυσφώρατον ἔχῃ τὴν ὑπεροχήν, δεῖν φησιν ἐκ τῶν παρεπομένων αὐτοῖς τὴν ἐπίκρισιν ποιεῖσθαι· ᾧ γὰρ ἕπεται μεῖζον ἀγαθὸν τῶν ἄλλων ὁμοίων ὄντων αὐτοῖς, τοῦτο αἱρετώτερον. ἐὰν δὲ κακὰ ᾖ τὰ ἑπόμενα αὐτοῖς (οὐδὲν γὰρ κωλύει καὶ αἱρετοῖς τισιν οὖσιν ἕπεσθαί τινα δυσχερῆ τε καὶ φευκτά), ᾧ ἕπεται τὸ ἔλαττον κακόν, τοῦτο ἔσται αἱρετώτερον. οἷον ἐὰν ζητῶμεν πότερον τὸ μανθάνειν ἢ τὸ γυμνάζεσθαι αἱρετώτερον, λαμβάνομεν τὰ ἑπόμενα αὐτοῖς· ἕπεται δὲ τῷ μὲν μανθάνειν τὸ ἐπίστασθαι, τῷ δὲ γυμνάζεσθαι τὸ ὑγιαίνειν· **** μεῖζον ἀγαθόν, ἐροῦμεν τὸ μανθάνειν τοῦ γυμνάζεσθαι αἱρετώτερον. *** καὶ τὸ ἀνενδεὲς τοῦ δεομένου, ὅταν ζητῶμεν πότερον αἱρετώτερον τὸ εὖ ποιεῖν ἢ τὸ εὖ πάσχειν, ἐπεὶ τῷ μὲν εὖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιεῖν ἕπεται τὸ ὅμοιον θεῷ καὶ τοῖς ἀνενδεέσιν εἶναι, τὸ δὲ εὖ πάσχειν τῶν θνητῶν τε καὶ ἐνδεῶν, τὸ εὖ ποιεῖν τοῦ εὖ πάσχειν ἐροῦμεν αἱρετώτερον. οὕτως δειχθήσεται καὶ ἐγκράτεια καρτερίας αἱρετώτερον, εἴ γε τῇ μὲν ἐγκρατείᾳ ἕπεται τὸ νικᾶν τῇ δὲ καρτερίᾳ τὸ μὴ ἡττᾶσθαι, αἱρετώτερον δὲ τὸ νικᾶν τοῦ μὴ ἡττᾶσθαι.

in Top.244 ἂν δὲ ᾖ τὰ ἑπόμενα κακά, τὴν ἐπίκρισιν τοῦ αἱρετωτέρου ἀπὸ τοῦ ἐλάττονος ποιησόμεθα κακοῦ· ἂν γὰρ ζητῶμεν πότερον αἱρετώτερον θεραπεύεσθαι ἢ πλεῖν, ἐπεὶ τῷ μὲν πλεῖν ἕπεται τὸ ναυτιᾶν τῷ δὲ θεραπεύεσθαι τὸ καίεσθαί τε καὶ τέμνεσθαι, καὶ ἔστι μεῖζον κακὸν τοῦτο τοῦ ναυτιᾶν, ἐροῦμεν αἱρετώτερον τὸ πλεῖν τοῦ θεραπεύεσθαι. ἐπὶ δὲ τῶν αὐτῶν τούτων καὶ ἀπὸ τῶν ἑπομένων αὐτοῖς ἀγαθῶν ἔστι τὴν ἐπίκρισιν ποιεῖσθαι· ἐπεὶ γὰρ τῷ μὲν θεραπεύεσθαι ἕπεται ἡ ὑγεία τῷ δὲ πλεῖν ἢ κέρδος ἢ ἱστορία, μεῖζον δὲ ἀγαθὸν ἡ ὑγεία τούτων, ἔσται κατὰ τοῦτο τὸ θεραπεύεσθαι τοῦ πλεῖν αἱρετώτερον. ἔνεστι τούτῳ προσχρωμένους τῷ τόπῳ καὶ τὸν θεωρητικὸν βίον αἱρετώτερον δεικνύναι τοῦ πρακτικοῦ· ἕπεται γὰρ τῷ μὲν θεωρητικῷ τὸ ὑπερορᾶσθαί τε καὶ ἀμελεῖσθαι καὶ καταφρονεῖσθαι, τῷ δὲ πρακτικῷ τὸ φθονεῖσθαί τε καὶ ἐπιβουλεύεσθαι μείζονα ὄντα τοῦ ὑπερορᾶσθαι καὶ καταφρονεῖσθαι κακά, δεικνύοιτο δ’ ἂν καὶ δόξα πλούτου αἱρετώτερον, ἐπεὶ τῇ μὲν δόξῃ χαυνότης ἕπεται τῷ δὲ πλούτῳ ὕβρις μεῖζον ὂν κακὸν χαυνότητος. καὶ οὕτως μὲν τοῖς συγκρινομένοις αἱρετοῖς οὖσιν ἔνεστι δεικνύναι ἑπόμενα κακά τινα. ἔνεστι δὲ ἀπὸ τῶν παρακολουθούντων κακῶν καὶ φευκτῶν ὄντων ἄλλο ἄλλου φευκτότερον δεικνύναι. ἐπεὶ γὰρ τῷ μὲν ἀδικεῖν ἕπεται τὸ μισεῖσθαι τῷ δὲ ἀδικεῖσθαι τὸ ἐλεεῖσθαι, καὶ ἔστι μεῖζον κακὸν τὸ μισεῖσθαι τοῦ ἐλεεῖσθαι, ἔλαττον φευκτὸν τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν. πάλιν εἰ τὸ τοὺς οἰκείους ἀλλήλοις ἐπιβουλεύειν μεῖζον κακὸν ἢ τὸ τοὺς ἀλλοτρίους, ἕπεται δὲ τῇ μὲν στάσει τὸ τοὺς οἰκείους ἀλλήλοις ἐπιβουλεύειν τῷ δὲ πολέμῳ τὸ τοὺς ἀλλοτρίους, ἔλαττον φευκτὸν τὸ πολεμεῖν ἂν εἴη τοῦ στασιάζειν. οὕτω δειχθήσεται καὶ μανία ὀργῆς ἧττον κακόν, εἴ γε τῇ μὲν μανίᾳ ἕπεται τὸ ἀτυχεῖν τῇ δὲ ὀργῇ τὸ ἁμαρτάνειν μεῖζον 〈ὂν〉 τοῦ ἀτυχεῖν κακόν. λέγει δὲ καὶ διαφοράν τινα τῶν ἑπομένων τισίν· τὰ μὲν γὰρ πρότερά ἐστι τῷ χρόνῳ αὐτῶν, οἷς λέγεται ἕπεσθαι, τὰ δὲ ὕστερα. καὶ ἔστιν ὡς ἐπὶ τὸ πολὺ τῶν ἑπομένων τοῖς αἱρετοῖς τὰ ὕστερα τῶν πρώτων βελτίω· τῷ γὰρ μανθάνειν ὡς μὲν πρῶτον ἕπεται τὸ ἀγνοεῖν (εἰ γὰρ μανθάνει, ἠγνόει· ἐν ὑποθέσει γὰρ ἡ ἀκολουθία), ὡς δὲ ὕστερον τὸ ἐπίστασθαι (εἰ γὰρ μεμάθηκεν, ἐπίσταται), καὶ τῷ θεραπεύεσθαι ὡς μὲν πρῶτον τὸ νοσεῖν (εἰ γὰρ θεραπεύεται, νοσεῖ), ὡς δὲ δεύτερον τὸ ὑγιαίνειν (εἰ γὰρ θεραπεύεται, ὑγιανεῖ), καὶ τῷ χρηματίζεσθαι ὡς μὲν πρῶτον ἡ πενία, ὡς δὲ δεύτερον τὸ ἔχειν χρήματα, [καὶ τῷ χρόνῳ] καὶ τοῖς γινομένοις ὡς μὲν πρότερον τὸ μὴ εἶναι, ὡς δ’ ὕστερον τὸ εἶναι.

in Top.245 καὶ ἔμπαλιν ἐπὶ τοῦ φθείρεσθαι καὶ ὅλως ἐπὶ τῶν φευκτῶν· καὶ γὰρ τῇ νόσῳ ὡς μὲν πρῶτον ἡ ὑγεία, ὡς δ’ ὕστερον ἡ φθορά, καὶ τῇ ἀπωλείᾳ ὡς μὲν πρῶτον ἡ κτῆσις, ὡς δ’ ὕστερον ἡ ἀπορία, καὶ ἐπὶ τῶν ἀνδραποδιζομένων πρότερον μὲν ἡ ἐλευθερία, ὕστερον δὲ ἡ δουλεία. ὥστε ἔστιν ἐφ’ ὧν τὸ μὲν πρῶτον βέλτιον, χεῖρον δὲ τὸ δεύτερον. Δείξας δὲ τὸ διττὸν τῶν ἑπομένων δεῖν φησιν ἀεὶ τοῦτο λαμβάνειν τῶν ἑπομένων ὃ πρὸς τὴν τοῦ προκειμένου δεῖξιν χρήσιμον. ἐκ μὲν γὰρ τῶν ὕστερον ἑπομένων ἀγαθῶν δείξομεν τὸ μανθάνειν τοῦ ὑγιάζεσθαι αἱρετώτερον, ἐπεὶ τῷ μὲν ἐπιστήμη τῷ δὲ ὑγεία ἕπεται, μεῖζον δὲ ἀγαθὸν ὑγείας ἐπιστήμη, τὸ δὲ ἐπίστασθαι τοῦ ὑγιαίνειν, ἐπεὶ τῷ μὲν ἕπεται τὸ εὖ διακεῖσθαι τὴν ψυχήν, τῷ δὲ τὸ εὖ τὸ σῶμα ἔχειν ἔλαττον ὂν ἐκείνου. πάλιν δὲ ἐκ τῶν κακῶν τῶν ἑπομένων ὕστερον δειχθήσεται τὸ φιλοθέωρον εἶναι τοῦ ἰσχύειν τῷ σώματι αἱρετώτερον· ἕπεται γὰρ τοῖς μὲν φιλοθεώροις κακὸν ἡ τῶν ἀναγκαίων ἀμέλεια καὶ ἄγνοια, τοῖς δ’ ἰσχυροῖς τὰ σώματα θρασύτης καὶ ἀδικία μεῖζον οὖσα κακὸν τῆς τῶν ἀναγκαίων ἀμελείας τε καὶ ἀγνοίας. ἐκ δὲ τῶν ὕστερον ἑπομένων ἀγαθῶν τε καὶ κακῶν δεικνύοιτ’ ἂν τὸ πολεμοῦντα ἀποθνήσκειν αἱρετώτερον τοῦ φεύγοντα δουλεύειν· τοῖς μὲν γὰρ ἐν πολέμῳ ἀποθανοῦσιν ἕπεται ἀγαθὸν μὲν ἡ εὔκλεια, κακὸν δὲ τὸ ἐλεεῖσθαι, τοῖς δὲ φυγοῦσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγαθὸν μὲν τὸ ζῆν, κακὸν δὲ ἡ δουλεία· εἰ δὴ καὶ ζωῆς εὔκλεια μεῖζον ἀγαθὸν καὶ τὸ ἐλεεῖσθαι δουλείας ἔλαττον κακόν, κατ' ἄμφω ἂν αἱρετώτερον εἴη πολεμοῦντα ἀποθνήσκειν τοῦ φεύγοντα δουλεύειν. διὰ δὲ τῶν πρώτων ἑπομένων ἀγαθῶν τε καὶ κακῶν δεικνύοιτ' ἂν πάλιν τὸ μανθάνειν τοῦ ὑγιάζεσθαι αἱρετώτερον· τοῦ μὲν γὰρ ἡγεῖται τὸ βουλεύεσθαι ἀγνοίας ἀπαλλαγῆναι, τοῦ δὲ τὸ νόσου, καὶ ἔστιν ἀμφοτέρων αἱρετῶν ὄντων τὸ βουλεύεσθαι ἀγνοίας ἀπαλλαγῆναι αἱρετώτερον· ὥστε καὶ τὸ ᾧ τοῦτο ἕπεται αἱρετώτερον.

in Top.246 ἔμπαλιν δὲ ἔχει τὰ ἡγούμενα αὐτῶν κακά· τοῦ μὲν γὰρ μανθάνειν ἄγνοια ἡγεῖται, τοῦ δὲ ὑγιάζεσθαι νόσος, καὶ ἔστιν ἔλαττον κακὸν νόσος ἀγνοίας· ὥστε κατὰ τοῦτο αἱρετώτερον ἂν φαίνοιτο τὸ ὑγιάζεσθαι τοῦ μανθάνειν. ἢ οὐ κυρίως ταῦτα ἑπόμενα· διὸ ὑπάγοιτο ἂν τόπῳ ἄλλῳ τῷ ἀξιοῦντι αἱρετώτερον εἶναι δι' οὗ μείζονός τις κακοῦ παύεται ἢ δι' οὗ ἐλάττονος. ἔνεστι δὲ πρὸς τὸ χρήσιμον τοῦ προκειμένου καὶ ἐναλλὰξ λαμβάνειν τοῦ μὲν τὸ πρότερον ἑπόμενον τοῦ δὲ τὸ ὕστερον. ἐπιστήμην γὰρ ἡδονῆς αἱρετωτέραν δείξομεν λαμβάνοντες τῆς μὲν ἐπιστήμης τὸ πρότερον ἑπόμενον αὐτῇ (τοῦτο δέ ἐστι τὸ μανθάνειν) τῆς δὲ ἡδονῆς τὸ ὕστερον· ἔστι δὲ τοῦτο τὸ ἀπολελαυκέναι· καὶ ἐπεὶ αἱρετώτερον τὸ μανθάνειν τοῦ ἀπολελαυκέναι, εἴη ἂν καὶ ἐπιστήμη ἡδονῆς αἱρετωτέρα. p. 117a16 Ἔτι τὰ πλείω ἀγαθὰ τῶν ἐλαττόνω ν , ἢ ἁπλῶ ς , ἢ ὅταν τὰ ἕτερα ἐν τοῖς ἑτέροις ἐνυπάρχ η . Τὰ πλείω φησὶν ἀγαθὰ τῶν ἐλαττόνων αἱρετώτερα εἶναι, ἢ ἁπλῶ ς , ὅταν διαφέροντα ἀλλήλων λαμβάνηται, οἷον ὑγεία καὶ εὐγένεια καὶ πλοῦτος καὶ μνήμη τιμῆς καὶ ἰσχύος (ἁπλῶς γὰρ ταῦτα εἴληπται διαφέροντα ἀλλήλων τῷ ἐν τοῖς ἑτέροις μηδὲν τῶν ἑτέρων εἶναι), ἢ οὐχ ἁπλῶς, ἀλλ' ὅταν τὰ ἕτερα ἐν τοῖς ἑτέροι ς , τὰ [δὲ] ἐλάττω ἐν τοῖς πλείοσιν ᾖ περιεχόμενα. δοκεῖ δὲ τοῦτο ἀληθέστερον εἶναι. ἐπὶ γὰρ τῶν ἁπλῶς καὶ πάντῃ ἑτέρων οὐκ ἀληθές· δύναται γὰρ τὰ ἐλάττω κατ' ἀριθμὸν τῶν πλειόνων αἱρετώτερα εἶναι, ἂν ᾖ τὰ μὲν ἐλάττω μείζω τὰ δὲ πλείω μὴ τοιαῦτα· δικαιοσύνη γὰρ μετὰ φρονήσεως αἱρετωτέρα ὑγείας, πλούτου, ἰσχύος, κάλλους, εὐγενείας, ἅμα λαμβανομένων. οὐκέτι δὲ τοῦτ' ἂν γένοιτο, εἰ τὰ ἐλάττω ἐν τοῖς πλείοσιν· ὑγεία γὰρ καὶ πλοῦτος καὶ τιμὴ καὶ εὐγένεια αἱρετώτερα ὑγείας καὶ πλούτου. Εἰπὼν δὲ τὸν τόπον ἔνστασίν φησιν ἔχειν αὐτόν· μὴ γὰρ πάντως τὰ πλείω τῶν ἐλαττόνων εἶναι αἱρετώτερα, ἂν τὰ μὲν περιέχῃ, τὰ δὲ περιέχηται. ὅταν γὰρ λαμβάνηται δύο ἀγαθά, τὸ τέλος καὶ τὸ ἐκείνου χάριν, οἷον τὸ ὑγιάζεσθαι καὶ ἡ ὑγεί α , καὶ συγκρίνηται πρὸς τὴν ὑγείαν, ἥτις ἐνυπῆρχε τοῖς πρώτοις ῥηθεῖσιν ἀγαθοῖς δύο, οὐκ ἔστι τῆς ὑγείας αἱρετώτερα τὰ δύο, καίτοι πλείονα ὄντα, ἐπειδὴ τὸ ὑγιάζεσθαι τῆς ὑγείας ἕνεκεν αἱρούμεθ α .

in Top.247 ὁμοίως ἡ ἐπιστήμη μετὰ τοῦ μανθάνειν οὐκ ἔστιν αἱρετωτέρα τῆς ἐπιστήμης μιᾶς οὔσης δύο ὄντα, ὅτι τὸ μανθάνειν διὰ τὴν ἐπιστήμην αἱρούμεθα. ἀλλ' οὐδὲ εὐδαιμονία μετὰ τῶν ἀρετῶν αἱρετωτέρα τῆς εὐδαιμονίας μόνης, ἐπεὶ ἐν τῇ εὐδαιμονίᾳ περιέχονται καὶ αἱ ἀρεταί. ἀλλὰ καὶ ἐν τῷ πόλιν εὐεργετεῖν περιέχεται τὸ καὶ τοὺς οἰκείους, ὥστε οὐκ ἂν εἴη ἀμφότερα αἱρετώτερα τοῦ τὴν πόλιν εὖ ποιεῖν. καὶ ἡ εὐεξία δὲ ἐν αὑτῇ τὴν ὑγείαν περιέχουσα οὐ γίνεται ταύτῃ αἱρετωτέρα. οὐ γὰρ συναριθμεῖται τοῖς περιέχουσί τινα τὰ περιεχόμενα ὑπ' αὐτῶν, ὡς ἐν τῷ πρώτῳ τῶν Ἠθικῶν ἐρρέθη, τοῦτ' ἔστιν οὐ συγκρίνεται· διὸ δεῖ προσδιορίζεσθαι τὸ ἐν τούτοις εἶναι τὰ πλείω καὶ περιέχοντα ἀγαθὰ αἱρετώτερα τῶν ἐλαττόνων καὶ περιεχομένων, ἐν τοῖς συναριθμεῖσθαι πεφυκόσι. p. 117a21 Καὶ μὴ ἀγαθὰ δὲ ἀγαθῶν οὐδὲν κωλύει εἶναι αἱρετώτερ α . Λέγει ὅτι καὶ ἀγαθόν τι μετὰ μὴ ἀγαθοῦ οὐδὲν κωλύει πλειόνων ἀγαθῶν αἱρετώτερον εἶναι· οὐ γὰρ πάντα μὴ ἀγαθὰ ληφθέντα ἀγαθῶν αἱρετώτερα ἂν εἴη, ἀλλ' εἰ ἀγαθῷ μὴ ἀγαθόν τι συντεθείη· ἐκεῖνο γὰρ ἀδύνατον. δυνάμει δὲ τὴν ἔνστασιν, ἣν ἡμεῖς εἰρήκαμεν πρὸς τὸ πρῶτον εἰρημένον, τὸ ὅτι τὰ πλείω ἀγαθὰ τῶν ἐλαττόνων ἁπλῶς αἱρετώτερα, τίθησι διὰ τούτων. σωφροσύνη γὰρ μετά τινος ἀδιαφόρου, οἷον ληκυθίου ἢ ἰόνθου ἢ οὐλότητος τριχῶν ἢ στάσεως ἢ τοῦ περιπατεῖν, ἢ καὶ κακοῦ τινος τῶν μικρῶν, οἷον ἀδοξίας, ὑγείας καὶ πλούτου καὶ ἰσχύος

αἱρετώτερον· εἰ δὲ καὶ μετὰ κακοῦ τινος οὖσα ἡ σωφροσύνη αἱρετωτέρα ὁμοῦ πλειόνων ἀγαθῶν, οἷον πλούτου, εὐγενείας, δόξης, δῆλον ὅτι καὶ μόνη ἂν εἴη αὐτῶν αἱρετωτέρα· οὕτως δ’ οὐκέτ’ ἂν τὰ πλείω ἀγαθὰ τῶν ἐλαττόνων αἱρετώτερα εἴη, οὐδ’ ἂν μὴ τέλος ᾖ τῶν πλειόνων τὸ ἀντιτιθέμενον αὐτοῖς. ὁμοίως δὲ καὶ εὐδαιμονία μετά τινος ἀδιαφόρου αἱρετωτέρα δικαιοσύνης καὶ ἀνδρείας. p. 117a23 Καὶ τὰ αὐτὰ μετὰ ἡδονῆς μᾶλλον ἢ ἄνευ ἡδονῆ ς . Οὐκ ἄλλων πρὸς ἄλλα σύγκρισιν ὁ τόπος οὗτος ποιεῖται, ἀλλ’ αὐτῶν πρὸς αὐτά· τὰ γὰρ αὐτὰ ἀγαθὰ με θ ’ ἡδονῆς αἱρετώτερα ἢ χωρὶς ἡδονῆς, οἷον ἀνδρεία μεθ’ ἡδονῆς αἱρετωτέρα ἢ χωρὶς ταύτης.

in Top.248 ἢ εἰ καὶ ἡ ἡδονὴ εἴη τῇ αὐτῆς φύσει ἀγαθόν, εἴη ἂν καὶ ἐνταῦθα τὰ πλείω ἀγαθὰ τῶν ἐλαττόνων αἱρετώτερα δεικνὺς τῷ τὰ ἐλάττω ἐν τοῖς πλείοσι περιέχεσθαι. ἔτι καὶ εἰ μὴ μετὰ ἡδονῆς τὰ αὐτὰ ἀγαθὰ εἴη ἀλλὰ μετὰ ἀλυπία ς , αἱρετώτερα γίνεται, καὶ εἰκότως· τὰ γὰρ αὐτὰ ἀγαθὰ ἔλαττον αἱρετώτερα γίνεται μετὰ κακοῦ τινος ἢ εἰ χωρὶς τούτου λαμβάνοιτο. δῆλος δέ ἐστι τὴν ἀλυπίαν ἄλλο τι τῆς ἡδονῆς λέγων. p. 117a26 Καὶ ἕκαστον ἐν ᾧ καιρῷ μεῖζον δύνατα ι . Διὰ τούτου τοῦ τόπου δείκνυσιν ὅτι τῶν αἱρετῶν ἕκαστον αἱρετώτερόν ἐστιν ἐν ἐκείνῳ τῷ καιρῷ ἐν ᾧ πλεῖον δύναται. δύναται δὲ ἕκαστον πλεῖον, ὅτε καὶ μάλιστά ἐστιν αὐτοῦ χρεία· δείκνυσι γὰρ τὴν ἑκάστου δύναμιν ἡ χρεία μάλιστα, καὶ εἰκότως. τὸν γὰρ πεπληρωμένον ἤδη οὔτε ἥδεσθαι οὔτε λυπεῖσθαι λέγει, ἥδεσθαι δὲ τὸν ἐν ἐνδείᾳ τρεφόμενον. καὶ ὁ μὲν μὴ ὁρῶν τι ἡδὺ ἢ μὴ ἀκούων τινὸς τοιούτου οὔτε ἥδεται οὔτε λυπεῖται, ἥδεται δὲ ὁ ἐν τούτοις ὤν. οἷον ἐπεὶ αἱρετὸν ἡ ἀλυπία, εἰσὶ δὲ οἱ γέροντες τῶν νέων ἐπιλυπότεροι (ἡ γὰρ νεότης φαιδρότητα ἔχει σύμφυτον), ἐν τῷ γήρᾳ ἡ ἀλυπία αἱρετωτέρα ἢ ἐν νεότητι · πλεῖον γὰρ ἰσχύει τότε· κατισχύει γὰρ τῆς λύπης ἐν τούτοις οὔσης πλείονος, καὶ μᾶλλον αὐτῆς χρεία τότε. ἀλλὰ καὶ ἡ φρόνησις αἱρετὴ οὖσα αἱρετωτέρα ἐστὶν ἐν τῷ γήρᾳ· μᾶλλον γὰρ ταύτης χρεία τοῖς γεγηρακόσιν, ἐπεὶ οὗτοι καὶ ἀπαιτοῦνται τοῦτο, καὶ ἐγχειρίζεται τούτοις ὅσα δεῖται φρονήσεως (τοὺς γὰρ νέους οὐδὲν ἀπαιτοῦσι τοιοῦτον), καὶ ἀκριβὴς ἡ [τῆς ἰσχύος] τῆς φρονήσεως ἐξέτασις ἐπὶ τούτων γίνεται. πάλιν ἡ ἀνδρεία τοῖς νέοις καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ αἱρετωτέρα· μᾶλλον γὰρ χρεία τοῖς νέοις τούτου, καὶ τοῦτο ἀπαιτοῦνται ὡς προσῆκον αὐτοῖς. ὁμοίως καὶ ἡ σωφροσύνη μᾶλλον ἐν τοῖς νέοις ἰσχύει· οὗτοι γάρ εἰσιν οἱ ὑπὸ ἡδονῶν ἐνοχλούμενοι μάλιστα, πρὸς ἃς σωφροσύνης δεῖ. τούτῳ δὲ τῷ λόγῳ δεικνύοιτο ἂν καὶ πενία μὲν ἐν γήρᾳ φευκτότερον (διὰ γὰρ ἀσθένειαν τὸ γῆρας πλειόνων δεῖται), ἀσθένεια δὲ ἐν νεότητι· μάλιστα γὰρ οὗτοι ἰσχύος δέονται. p.

in Top.249 117a35 Καὶ ὃ ἐν παντὶ καιρῷ ἢ ἐν τοῖς πλείστοις χρησιμώτερο ν . Εἰπὼν ἐν παντὶ ἀσφαλέστερον ἐποίησε τὸ λεγόμενον προσθεὶς τὸ ἐν τοῖς πλείστοι ς . σαφὴς δὲ καὶ οὗτος ὁ τόπος· τῶν γὰρ ἐπ’ ἴσης ἀλλήλοις αἱρετῶν εἶναι δοκούντων αἱρετώτερον οὗ ἐν παντὶ καιρῷ δεόμεθα ἢ οὗ μή. οὕτως δικαιοσύνη καὶ σωφροσύνη ἀνδρείας αἱρετωτέρα δεικνύοιτο ἄν, ὅτι δικαιοσύνης μὲν καὶ σωφροσύνης ἐν παντὶ καιρῷ χρεία (καὶ γὰρ καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ), ἀνδρείας δὲ ἐν πολέμῳ μόνῳ. εἴη δ’ ἂν οὐκ ἀμφοτέρας ἅμα συγκρίνων τῇ ἀνδρείᾳ, τὴν δικαιοσύνην καὶ τὴν σωφροσύνην, ἀλλὰ ἰδίᾳ ἑκατέραν. οὕτως ἂν αἱρετωτέρα δεικνύοιτο ἡ φρόνησις τῶν ἄλλων ἀρετῶν ἁπασῶν· ἐκείνων μὲν γὰρ ἑκάστη περὶ ἀφωρισμένα τινά, ἡ δὲ φρόνησις περὶ πάντα. οὐ περὶ τῶν τελείων δὲ ἀρετῶν λέγοι ἄν· ἐκεῖναι γὰρ ἅμα εἰσὶν ἀλλήλαις. ἢ εἰ καὶ ἅμα, ἀλλ’ οὐχὶ καὶ αἱ κατ’ αὐτὰς ἐνέργειαι ἅμα οὐδὲ ἡ χρεία αὐτῶν. p. 117a37 Καὶ ὃ πάντων ἐχόντων μηδὲν θατέρου δεόμεθ α . Δύο τινῶν αἱρετῶν εἰ τὸ μὲν τοιοῦτον εἴη ὥστε, εἰ πάντες αὐτὸ ἔχοιεν, ἀναιρεῖσθαι τὴν τοῦ ἑτέρου χρείαν καὶ μηδὲν αὐτοῦ δεῖσθαι, τὸ δὲ τοιοῦτον εἴη ὥστε, κἂν πάντες αὐτὸ ἔχωσι, χρείαν αὐτοὺς ἔχειν καὶ τοῦ ἑτέρου, αἱρετώτερόν φησιν εἶναι τοῦτο ὃ ἔχοντες οὐδὲν ἔτι τοῦ ἑτέρου δεόμεθα. τούτῳ τῷ τόπῳ χρωμένους ἔνεστι δεικνύειν αἱρετώτερον ἀνδρείας δικαιοσύνην. δικαίων μὲν γὰρ πάντων ὄντων οὐδὲν ἀνδρείας δεῖ, εἴ γε

πρὸς πολέμους μὲν ἡ ἀνδρεία χρήσιμος, ἀναιρεῖται δὲ ὁ πόλεμος, εἰ πάντες εἶεν δίκαιοι· καρτερίας γὰρ ἀλλ' οὐκ ἀνδρείας δοκεῖ εἶναι τὸ πρὸς τομὰς καὶ ἀλγηδόνας ἀντέχειν· πάντων μέντοι ἀνδρείων ὄντων χρεία δικαιοσύνης· οὐ γὰρ ἀναιρεῖται τὰ συναλλάγματα, πρὸς ἃ δικαιοσύνης χρεία, ἀλλὰ καὶ πρὸς αὐτοὺς τοὺς πολέμους χρεία δικαιοσύνης. ὅτι δὲ μὴ τὰς τελείας ἀρετὰς λαμβάνει, διὰ τῶν παραδειγμάτων δῆλον. οὕτως πάλιν φιλία δικαιοσύνης αἱρετωτέρα· οἱ μὲν γὰρ φίλοι οὐδὲν δικαιοσύνης δέονται, οἱ δὲ δίκαιοι φιλίας δέονται.

in Top.250 p. 117b3 Ἔτι ἐκ τῶν φθορῶν καὶ τῶν ἀποβολῶν καὶ τῶν γενέσεων καὶ τῶν λήψεων καὶ τῶν ἐναντίω ν . Τόποις ἐχρήσατο ἐν τῷ δευτέρῳ εἰς κατασκευὴν τοῦ ἢ αἱρετόν τι εἶναι ἢ φευκτὸν τοῖς ἀπὸ τῶν φθορῶν καὶ τῶν γενέσεων καὶ τῶν ποιητικῶν τε καὶ φθαρτικῶν οὕτως· οὗ τὰ φθαρτικὰ φευκτά, τοῦτο αἱρετόν, καὶ οὗ τὰ ποιητικὰ αἱρετά, καὶ αὐτὸ αἱρετόν· ἔμπαλιν δέ, οὗ μὲν τὰ φθαρτικὰ αἱρετά, αὐτὸ φευκτόν, οὗ δὲ τὰ ποιητικὰ φευκτά, φευκτὸν καὶ αὐτό. τούτους δὴ ἐπὶ συγκριτικὸν μεταφέρει· εἰ γὰρ οὗ τὸ φθαρτικὸν φευκτόν, τοῦτο αἱρετόν, καὶ οὗ τὸ φθαρτικὸν φευκτότερον, τοῦτο αἱρετώτερον. οὕτως δεικνύοιτο ἂν ὑγείας ἐπιστήμη αἱρετώτερον· φευκτότερον γὰρ ἡ λήθη, τὸ τῆς ἐπιστήμης φθαρτικόν, τῆς νόσου, ἣ τῆς ὑγείας ἐστὶ φθαρτικόν. ἀλλὰ καὶ ἐπιστήμης πλοῦτος, εἴ γε φευκτότερον ἀσωτία φθαρτικὴ οὖσα πλούτου λήθης, ἣ ἐπιστήμης ἐστὶ φθαρτική. τὸ δὲ τῶν ἀποβολῶν ἤτοι ἐκ παραλλήλου εἶπε τῷ τῶν φθορῶν (τὰ γὰρ αὐτὰ ἐπὶ τῶν φθορῶν ἁρμόζει καὶ ἐπὶ τῶν ἀποβολῶν), ἢ φθοραὶ μὲν ἂν εἶεν τούτων ὧν οὐκ ἔστιν ἐπάνοδος οὐδὲ ἀνάληψις, ὡς ἐπὶ τῶν στερήσεων, ἀποβολαὶ δὲ τούτων ἃ καὶ ἀναλαβεῖν πάλιν οἷόν τε τὸν ἀποβαλόντα. τυφλότης μὲν γὰρ καὶ κωφότης φθοραί· διό, εἰ ἡ τῆς ὄψεως φθορὰ φευκτοτέρα τῆς φθορᾶς τῆς ἀκοῆς, αἱρετωτέρα ἂν ἡ ὄψις τῆς ἀκοῆς δεικνύοιτο. ἀποβολαὶ δὲ [καὶ] ἐπὶ ὑγείας καὶ πλούτου, ἃ καὶ ἀναληφθῆναι ἀποβληθέντα δύναται· εἰ γὰρ ἡ τῆς ὑγείας ἀποβολὴ τῆς τοῦ πλούτου φευκτοτέρα, εἴη ἂν ἡ ὑγεία τοῦ πλούτου αἱρετωτέρα. ἀλλ' εἰ ἐπὶ τούτων αἱ φθοραί, πῶς ἂν ἔτι εἶεν αἱρεταί τινες φθοραί; αὗται γὰρ ἔσονται τῶν στερήσεων φθαρτικαί· οὐχ οἷόν τε δὲ στερήσεων εἶναι φθοράν. μήποτ' οὖν φθορὰ μὲν ἐπὶ τῶν ἀχωρίστων λέγεται, ὧν ἡ ἀποβολὴ διὰ φθορᾶς γίνεται διὰ τὸ μὴ δύνασθαι αὐτὰ σώζεσθαι χωρισθέντα τῶν ἐν οἷς ἐστι· τοιαῦται δέ εἰσιν αἵ τε ποιότητες καὶ αἱ ἕξεις. ἡ δὲ ἀποβολὴ ἐπὶ τῶν χωρίζεσθαι δυναμένων, ὁποῖά ἐστι τὰ κτήματα· εἰ γὰρ ἡ τοῦ χωρίου ἀποβολὴ φευκτοτέρα τῆς ἀποβολῆς τῆς οἰκίας, τὸ χωρίον τῆς οἰκίας αἱρετώτερον.

in Top.251 προσέθηκε δὲ τὸ καὶ τῶν ἐναντίω ν , ὅτι ὡς ἐπ' ἐκείνων οὕτως ἔχει καὶ ἐπὶ τῶν ἐναντίων πάλιν· ἐπεὶ γὰρ τῶν ἀποβολῶν αἱ μὲν δι' ἐναντίων παρουσίαν γίνονται, αἱ δὲ αὐτὸ 〈τοῦτο〉 μόνον εἰσίν, ἀποβολαί, προσέθηκε ταῖς ἀποβολαῖς τὰ ἐναντία. ἀσπίδος μὲν γὰρ ἀποβολὴ οὐ δι' ἐναντίου· ἀλλ' οὐδὲ τὸ ἐπιλανθάνεσθαι ἐναντίον ἐστὶ τῷ εἰδέναι, ἀποβολὴ ὂν ἐπιστήμης, ὥσπερ οὐδὲ τὸ ἐμπίπλασθαι, ἀποβολὴ ὂν ὑγείας, ἐναντίον ἐστὶν αὐτῇ· καὶ εἰ τὸ ἐπιλανθάνεσθαι τοῦ ἐμπίπλασθαι φευκτότερον, καὶ ἐπιστήμη ὑγείας αἱρετώτερον. εἰ δὲ ἡ τῆς νόσου ἀποβολὴ αἱρετωτέρα τῆς ἀποβολῆς τῆς ἀγνοίας, φευκτοτέρα νόσος ἀγνοίας· πάλιν εἰ ἡ τῆς ἀρετῆς ἀποβολὴ φευκτοτέρα τῆς τῆς ὑγείας ἀποβολῆς, καὶ ἀρετὴ ὑγείας αἱρετώτερον. νόσος δὲ καὶ πενία ἐναντία ὑγείας καὶ πλούτου· καὶ ὡς ἐπὶ τῶν φθορῶν καὶ τῶν ἀποβολῶν, οὕτως καὶ ἐπὶ τούτων καὶ τῶν τοιούτων ἔχει. ὧν γὰρ τὰ ἐναντία φευκτότερα, ὡς ὧν αἱ φθοραὶ ἢ ἀποβολαὶ [ἢ τὰ ἐναντία] φευκτότερα, ταῦτα αἱρετώτερα, καὶ ὧν αἱρετώτερα τὰ ἐναντία, ταῦτα φευκτότερα, προσκειμένου τοῦ 'ἂν μὴ συνεπιφέρηται τὸ ἕτερον τῷ ἑτέρῳ' διὰ τοῦτο γὰρ νόσου φευκτοτέρας οὔσης ἢ καχεξίας οὐκ ἔστιν ὑγεία αἱρετωτέρα εὐεξίας, ὅτι ἡ εὐεξία συνεπιφέρει τὴν ὑγείαν. οὕτως, ἐπεὶ ἀδικία ἀσωτίας φευκτοτέρα, καὶ δικαιοσύνη ἐλευθεριότητος αἱρετωτέρα. Ἔμπαλιν δὲ ἐπὶ τῶν γενέσεών τε καὶ λήψεων ἔχει μόνον, ὡς καὶ αὐτὸς λέγει· ὧν γὰρ αἱ γενέσεις τε καὶ αἱ λήψεις αἱρετώτερα ι , καὶ αὐτὰ αἱρετώτερ α , καὶ ὧν φευκτότεραι, καὶ αὐτὰ φευκτότερα. εἰ γὰρ τὸ μανθάνειν τοῦ γυμνάζεσθαι αἱρετώτερον, καὶ ἔστι τὸ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μανθάνειν ἐπιστήμης γένεσις τὸ δὲ γυμνάζεσθαι ὑγείας, καὶ ἐπιστήμη ὑγείας αἱρετώτερον. καὶ εἰ τὸ γυμνάζεσθαι τοῦ χρηματίζεσθαι αἱρετώτερον, εἴη ἂν καὶ πλούτου ὑγεία αἱρετωτέρα. καὶ εἰ τὸ αἰδημόνως 〈καὶ〉 ὀφειλόντως ζῆν τοῦ καταφρονητικῶς καὶ ἀναισχύντως αἱρετώτερον, καὶ ἔστι τὸ μὲν φιλοσόφου βίου ποιητικὸν τὸ δὲ ἀγοραίου, καὶ ὁ φιλόσοφος τοῦ ἀγοραίου αἱρετώτερος. καὶ εἰ τὸ χαίρειν μᾶλλον τῷ εἰδέναι ἢ τῷ φαίνεσθαι 〈τοῦ χαίρειν ἧττον τῷ εἰδέναι ἢ τῷ φαίνεσθαι〉 αἱρετώτερον, καὶ τὸ μὲν φιλοσόφου ἤθους ἐστὶ ποιητικὸν τὸ δὲ σοφιστικοῦ, καὶ τὸ φιλόσοφον εἶναι τοῦ σοφιστὴν αἱρετώτερον. πάλιν εἰ τὸ ἐπιλανθάνεσθαι τῶν αἰσχρῶν αἱρετώτερον τοῦ ὑγιάζεσθαι, ἡ ἄγνοια τῶν αἰσχρῶν αἱρετώτερον ὑγείας.

in Top.252 καὶ εἰ τὸ ὑπέχειν δίκην ἁμαρτάνοντα τοῦ ὑγιάζεσθαι αἱρετώτερον 〈, καὶ δικαιοσύνη ὑγείας αἱρετώτερον〉 · πάλιν δέ, εἰ τὸ λαμβάνειν βιαίως τὰ ἀλλότρια τοῦ νόσον λαμβάνειν φευκτότερον, καὶ ἀδικία νόσου φευκτότερον. καὶ εἰ τὸ μανθάνειν τοῦ χρηματίζεσθαι αἱρετώτερον, καὶ ἐπιστήμη πλούτου· ἄμφω γὰρ λαμβάνειν τί ἐστι, καὶ τὸ μανθάνειν καὶ τὸ χρηματίζεσθαι. αὐτὸς μέντοι τοῖς τόποις ἐχρήσατο πρὸς μόνην τὴν τῶν αἱρετωτέρων δεῖξιν. p. 117b10 Ἄλλος τόπο ς , τὸ ἐγγύτερον τοῦ ἀγαθοῦ βέλτιον καὶ αἱρετώτερο ν , καὶ τὸ ὁμοιότερον τῷ ἀγαθ ῷ . Οὗτοι εἰ ὡς δύο τόποι λαμβάνοιντο, εἴη ἂν πρῶτος, ὁ λέγων τὸ ἐγγυτέρω τοῦ ἀγαθοῦ βέλτιο ν , ὁ αὐτὸς τῷ ἤδη προειρημένῳ τῷ “καὶ δυοῖν τὸ ἔγγιον τοῦ τέλους”· ἴσον γὰρ τὸ ἐγγυτέρω τοῦ ἀγαθοῦ καὶ τὸ “ἔγγιον τοῦ τέλους”. δῆλον γὰρ ὅτι τοῦ ἀγαθοῦ ὡς τέλους λέγει· πῶς γὰρ ἄλλως ἐγγυτέρω ἂν ἡ δικαιοσύνη ληφθείη τῷ ἀγαθῷ, εἰ μή τις λέγοι ὅτι τῷ τέλει καὶ τῇ εὐδαιμονίᾳ; ἢ δὴ τούτῳ ὁ αὐτὸς ἔσται ἢ τῷ προειρημένῳ τῷ “ἔπειτα δὲ τὸ ὅπερ τόδε τι τοῦ μὴ ἐν γένει”· καὶ γὰρ τὰ παραδείγματα, οἷς ἐπ’ αὐτοῦ χρῆται, τοιαῦτα εἶναι δοκεῖ. ἡ γὰρ δικαιοσύνη, φησί, τοῦ δικαίου ἐγγυτέρω τοῦ ἀγαθοῦ· τοῦτο δέ ἐστιν, ὅτι ἡ μὲν δικαιοσύνη ἐν γένει ἐστὶ τῇ ἀρετῇ καὶ τῷ ἀγαθῷ, ὁ δὲ δίκαιος οὐκέτι. ἢ οὐ τοῦτον δίκαιον λέγει τὸν ἔχοντα τὴν δικαιοσύνην, ἀλλὰ δίκαιόν τι, ὃ δύναται θέσει καὶ νόμῳ καὶ οὐ φύσει εἶναι τοιοῦτο. καὶ οὕτως δὲ ἡ διαφορὰ αὐτοῖς, ὅτι ἡ μὲν δικαιοσύνη ἐν γένει τῷ ἀγαθῷ, τὸ δὲ δίκαιον οὐ πάντως. καὶ οὗτος δὲ ὁ τόπος προείρηται, ὡς εἶπον. εἰ δὲ εἷς εἴη ὁ τόπος, λέγοι ἂν δι’ αὐτοῦ τὸ ἐγγυτέρω τοῦ ἀγαθοῦ βέλτιον · ἐξηγούμενος δέ, πῶς ἐγγυτέρω εἶπε, προσέθηκε καὶ τὸ ὁμοιότερον ὂν τῷ ἀγαθῷ · τὸ γὰρ οὕτως ἐγγυτέρω ὡς ὁμοιότερον αὐτῷ εἶναι, τοῦτο αἱρετώτερον. εἰ δὲ τοῦτο εἴη λέγων, τὰ παραδείγματα αὐτῷ δοκεῖ εἶναι [ἢ] ὅτι ἡ δικαιοσύνη ὁμοιοτερόν ἐστι τῷ ἀγαθῷ, τοῦτ’ ἔστι τῇ εὐδαιμονίᾳ, ἢ τὸ δίκαιον πρᾶγμα ἢ ὁ δίκαιος· καὶ γὰρ οὐδὲ εἶπε ‘τὸ ἐγγυτέρω ἀγαθοῦ‘, ἀλλὰ τοῦ ἀγαθοῦ καὶ τὸ ὁμοιότερον τῷ ἀγαθ ῷ , ὃ σημαίνοι ἂν τὸ κυριώτατον τῶν ἀγαθῶν· ἔτι ὁ μετὰ τοῦτον τόπος ἐστὶν ἀπὸ τῆς πρὸς τὰ ἄλλα ἀγαθὰ ὁμοιότητος.

in Top.253 οὕτως ἂν δεικνύοιτο καὶ ἀρετὴ εὐτυχίας αἱρετώτερον· ἐγγυτέρω γὰρ καὶ ὁμοιότερον εὐδαιμονίᾳ· καὶ εὔκλεια ἡδονῆς· ὁμοιότερον γὰρ τῷ καλῷ. ἀλλὰ καὶ τὸ τοὺς φίλους εὖ ποιεῖν τοῦ βλάπτειν τοὺς ἐχθροὺς ὁμοιότητα μᾶλλον πρὸς τὸ καλὸν ἔχει. [καὶ] εἰ διαιροῖτο δὲ ὁ τόπος, εἴη ἂν τοῦ μὲν ἐγγυτέρω τοῦ ἀγαθοῦ παράδειγμα ἡ κατ’ ἀρετὴν ἐνέργεια καὶ αὐταὶ αἱ ἕξεις· ἐγγυτέρω γὰρ εὐδαιμονίας αἱ ἐνέργειαι· τοῦ δὲ ὁμοιοτέρου τὸ εὖ ποιεῖν τοῦ εὖ πάσχειν· ὁμοιότερον γὰρ δὴ εὐδαιμονίᾳ τὸ εὖ ποιεῖν. Προστίθησι δὲ τῷ προειρημένῳ τόπῳ ἄλλον, τὸν λέγοντα ὅτι καὶ τὸ τῷ βελτίονι ἀμφοτέρων τῶν συγκρινομένων ὁμοιότερον βέλτιον καὶ αἱρετώτερον. ὃ γνώριμον διὰ τοῦ παραδείγματος ἐποίησεν· ἐπεὶ γὰρ τοῦ Αἴαντος καὶ τοῦ Ὀδυσσέως βελτίων ὁ Ἀχιλλεύς, ὁ τούτων τῷ Ἀχιλλεῖ ὁμοιότερος βελτίων· διὸ Αἴας Ὀδυσσέως· ὁμοιότερος γὰρ Ἀχιλλεῖ. ἔνστασιν δὲ πρὸς τὸ τῷ τόπῳ προκείμενον φέρει· εἰ γὰρ μή, ᾗ βελτίων ἐστίν, ὁμοιότερός τις εἴη αὐτῷ, μὴ εἶναι τοῦ ἑτέρου τοῦ ἧττον ὁμοίου τοῦτον βελτίονα, ἂν ἐκεῖνος αὐτῷ, καθ’ ὃ βελτίων ἐστίν, ὅμοιος ᾖ. οἷον Ἀχιλλεὺς ἦν μὲν καὶ ἀνδρεῖος καὶ κατὰ τοῦτο βελτίων τοῦ τε Αἴαντος καὶ τοῦ Ὀδυσσέως, ἦν δὲ καὶ ὀργίλος· ἂν δὴ τῶν συγκρινομένων πρὸς ἀλλήλους ὁ μὲν πάνυ αὐτῷ κατὰ τὸ ὀργίλον ὅμοιος ᾖ, ὁ δ’ ἠρέμα κατὰ τὸ ἀνδρεῖον, οὐκ

ἐπεὶ ὁμοιότερος αὐτῷ ὁ ὀργίλος, διὰ τοῦτο βελτίων τοῦ ἑτέρου. δεῖ δὲ καὶ τῆς λέξεως ἀκούειν τῆς τοῦ ἑτέρου ὄντος μὲν ἀγαθοῦ μὴ ὁμοίου δὲ ὡς λεγούσης τὸ μὴ ὁμοίου δὲ ἀντὶ τοῦ ‘μὴ ἐπ’ ἴσης δὲ ὁμοίου‘· οὕτως γὰρ τὸ συγκριτικὸν σώζοιτο ἄν. ἢ δύναται καὶ ἁπλῶς εἰρῆσθαι· καὶ γὰρ ἐπὶ τοῦ ἐπιφερομένου οὐχ ἧττον λέγει τὸν ἵππον τῷ ἀνθρώπῳ ὅμοιον εἶναι τοῦ πιθήκου, ἀλλὰ τὸν μὲν πίθηκον ἐπὶ τὰ γελοιότερα ὅμοιον, τὸν δ’ ἵππον οὐδ’ ὅλως ὅμοιον. δύναται γάρ τις, ὥς φησιν, ὅμοιός τινι εἶναι καὶ ἐπὶ τὸ γελοιότερον, ὡς πίθηκος ἀνθρώπῳ.

in Top.254 ὃς οὐκ ἐπεὶ οὕτως ὅμοιός ἐστιν ἀνθρώπῳ βελτίονι ὄντι καὶ τοῦ πιθήκου καὶ τοῦ ἵππου, ἤδη βελτίων ἔσται τοῦ ἵππου. δεῖ οὖν τὴν ὁμοιότητα ἐπὶ τὰ βελτίονα εἶναι καὶ μὴ ἐπὶ τὰ γελοιότερ α , εἰ μέλλοι ὁ ὁμοιότερος τῷ βελτίονι βελτίων εἶναι. οὕτως ὁ διδοὺς τοῦ λαμβάνοντος δεικνύοιτ’ ἂν βελτίων· ὁμοιότερος γὰρ θεῷ· καὶ θεωρία πράξεως διὰ τὸ αὐτό. p. 117b20 Πάλιν ἐπὶ δυοῖ ν , εἰ τὸ μὲν τῷ βελτίονι τὸ δὲ τῷ χείρονι ὁμοιότερο ν . Εἰπὼν τόπον τὸν ἀπὸ τῆς ὁμοιότητος ἑνὸς ὄντος πρὸς ὃ ἡ ὁμοιότης ἐλαμβάνετο τῶν συγκρινομένων ἀλλήλοις, προστίθησιν ἄλλον, εἰ μὴ ἓν εἴη ᾧ τὸ ὁμοιότερον ζητεῖται, ἀλλὰ δύο, καὶ εἴη τὸ μὲν βέλτιον αὐτῶν τὸ δὲ ἧττον τοιοῦτον. καὶ εἰ τῶν συγκρινομένων τὸ μὲν τῷ βελτίονι ὅμοιον εἴη τὸ δὲ τῷ χείρον ι , τὸ τῷ βελτίονι ὅμοιον βέλτιον. δεῖ δὲ καὶ ἐνταῦθα, εἰ μέλλοι τις τὰς ἐνστάσεις φυλάσσεσθαι, κατά τε τὸ βέλτιον τὴν ὁμοιότητα εἶναι καὶ μὴ τοῦ μὲν ἠρέμα τοῦ δὲ μᾶλλον τὴν ὁμοιότητα λαμβάνεσθαι. εἴτε γὰρ μὴ ἐπὶ τὸ βέλτιον εἴη ὅμοιόν τι αὐτῶν, οὐ βέλτιον (διὰ γὰρ τοῦτο οὐκ ἔστι βελτίων πίθηκος ἵππου· καίτοι ὁ μὲν ἀνθρώπῳ ὅμοιός ἐστιν, ὁ δὲ ὄνῳ· ἀλλ’ ὁ μὲν ἐπὶ τὸ χεῖρον καὶ οὐχὶ βέλτιον, ὁ δὲ ἐπὶ τὸ βέλτιον), εἴτε πάλιν τὸ τῷ μὲν βελτίονι ὁμοιότερον ἠρέμα εἴη ὅμοιον αὐτῷ τὸ δὲ τῷ χείρονι σφόδρ α , οὐδὲ οὕτως βέλτιον πάντως τὸ τῷ βελτίονι ὅμοιον. εἰ γὰρ ὁ μὲν Ὀδυσσεὺς ἠρέμα εἴη τῷ Νέστορι ὅμοιος ὄντι τοῦ Ἀχιλλέως βελτίονι, ὁ δὲ Αἴας σφόδρα τῷ Ἀχιλλεῖ, οὐκ ἤδη ὁ Ὀδυσσεὺς βελτίων ἂν εἴη τοῦ Αἴαντος. αὐτὸς μέντοι διὰ τοῦ παραδείγματος ὡς βελτίονα τὸν Ἀχιλλέα τοῦ Νέστορος λαβὼν οὕτως τὴν σύγκρισιν πεποίηται. δεῖ δὲ λαμβάνεσθαι τὰς ὁμοιότητας καθ’ ἑκάτερον τῶν πρὸς ἃ ἡ ὁμοιότης ἔχει τι ἀγαθόν. οὕτως ἔνεστι δεικνύναι ὑπεροψίαν **** ὁμοιότερον μεγαλοψυχίᾳ, ἡ δὲ θρασύτης ἀνδρείᾳ· κεῖται γὰρ ἡ μεγαλοψυχία βελτίων ἀρετὴ εἶναι. καὶ τὸ εὐεργετεῖν τοῦ εὐεργετεῖσθαι, εἴ γε τὸ μὲν τῷ ἀνενδεεῖ τὸ δὲ τῷ δεομένῳ ἔοικε. καὶ ἡ κατ’ ἐνέργειαν ἀρετὴ τῆς ἐν ἕξει· ἔοικε γὰρ ἡ μὲν τοῖς ἐνεργείᾳ οὖσιν, ἡ δὲ τοῖς δυνάμει. p.

in Top.255 117b28 Ἄλλο ς , τὸ ἐπιφανέστερον τοῦ ἧττον τοιούτο υ . Δύο αἱρετῶν τὰ ἄλλα ἐπ’ ἴσης ἐχόντων τὸ ἐπιφανέστερόν φησι τοῦ ἧττον τοιούτου αἱρετώτερον εἶναι. εἴη δ’ ἂν ἐπιφανέστερον τὸ πόλιν εὖ ποιῆσαι τοῦ ἕνα καὶ τὸ ἄρχοντα τοῦ ἰδιώτην, τὸ εὖ ποιεῖν τοῦ πλουτεῖν, τὸ δημηγορεῖν τοῦ δίκας λέγειν, ἀνδρεία σωφροσύνης, μεγαλοπρέπεια ἐλευθεριότητος. οὕτως δεικνύοι τις ἂν καὶ τὴν πρᾶξιν τῆς θεωρίας αἱρετωτέραν· ἐπιφανέστερος γὰρ ὁ πρακτικὸς βίος τοῦ θεωρητικοῦ. προστίθησι δὲ τῷ προειρημένῳ αἱρετώτερον εἶναι καὶ τὸ χαλεπώτερον τοῦ ῥᾳδίου· τὰ γὰρ σπάνια καὶ δυσπόριστα καὶ χαλεπὰ κτηθῆναι τῶν ἀγαθῶν μᾶλλον ἀγαπᾶταί τε καὶ σπουδάζεται. οὕτως ἀρετὴ πλούτου καὶ ὑγείας αἱρετώτερον 〈ἂν〉 δεικνύοιτο· σπάνιον γὰρ καὶ χαλεπὸν ληφθῆναι· “τῆς γὰρ ἀρετῆς” κατὰ τὸν Ἡσίοδον “ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν”. καὶ θεωρία πράξεως· χαλεπωτέρα γὰρ ἡ τῶν θεῶν γνῶσις. καὶ κάλλος πλούτου· χαλεπώτατα γὰρ καὶ σπάνια τὰ τοιαῦτα τῶν κτημάτων. ἔτι καὶ τὸ ἰδιαίτερόν φησιν αἱρετώτερον εἶναι τοῦ κοινοτέρο υ . ἰδιαίτερον δέ ἐστιν ὃ μόνῳ ἢ μετ’ ὀλίγων ὑπάρχει. οὕτως ἀνθρώπῳ αἱρετώτερον φρόνησις ὑγείας· τὸ μὲν γὰρ ἴδιον αὐτοῦ, τὸ δὲ κοινὸν αὐτῷ καὶ πρὸς τὰ ζῷα τὰ ἄλλα· καὶ ἐπιστήμη ἰσχύος, καὶ λόγος κάλλους. ἀγαπᾶται δὲ καὶ ἡ εὐγένεια τῶν χρημάτων μᾶλλον· ἰδιαίτερον γὰρ τῶν ἐχόντων ἄμφω. ἀλλὰ καὶ κάλλος πλούτου ἰδιαίτερον. ἀλλὰ καὶ τοῖς ἀγαθοῖς ἰδιαίτερον ἀρετὴ χρημάτων· τῶν μὲν γὰρ χρημάτων καὶ οἱ κακοὶ κοινωνοῦσιν, ἀρετῆς δὲ οὐδαμῶς. οὕτω καὶ ὅσα αὐτοὶ εὑρίσκουσί τινες κατ’ ἐπιστήμας ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέχνας, μᾶλλον ἀγαπῶσιν. ἀλλὰ καὶ τὸ τοῖς κακοῖς ἀκοινωνητότερον αἱρετώτερόν φησιν. οὕτω δεικνύοιτ' ἂν σωφροσύνη ἐγκρατείας αἱρετώτερον· ἡ μὲν γὰρ σωφροσύνη ἐκτὸς πάσης ἐπιθυμίας φαύλης, ἡ δὲ ἔχει φαύλας τε καὶ σφοδρὰς ἐπιθυμίας. καὶ ὁ θεωρητικὸς τοῦ πρακτικοῦ· ἄμικτος γὰρ τῶν περιστατικῶν ἐνοχλήσεων καὶ ἧττον ἐνοχλεῖται. δεικνύοιτο δ' ἂν οὕτω καὶ ὑγεία πλούτου αἱρετώτερον, τῷ τὸν πλοῦτον εἶναι μετὰ φόβου· ἀλλὰ καὶ σωφροσύνη ἀνδρείας, εἴ 〈γε〉 τῇ ἀνδρείᾳ ἕπονται πόνοι καὶ τραύματα, καὶ κάλλους εὐγένεια. p.

in Top.256 117b33 Ἔτι εἰ ἁπλῶς τοῦτο τούτου βέλτιο ν , καὶ τὸ βέλτιστον τῶν ἐν τούτῳ βέλτιον τοῦ ἐν τῷ ἑτέρῳ βελτίστο υ . Ὁ τόπος τοιοῦτος· εἰ [τι] ἁπλῶς γένος τι γένους τινὸς ἢ εἶδός τι εἴδους τινὸς βέλτιον, καὶ τὸ ἐν τῷ βελτίονι γένει ἢ εἴδει ἄριστον βέλτιον ἔσται τοῦ ἐν τῷ ἐλάττονι ἀρίστου. δεῖ δὲ ἀκούειν τοῦ ἐν τούτῳ ὡς 'ἐν γένει ἢ εἴδει'. οἷον εἰ τὸ ἔμψυχον πᾶν γένος παντὸς τοῦ ἀψύχου βέλτιον, καὶ τὸ ἄριστον τῶν ἐμψύχων τοῦ ἀρίστου τῶν ἀψύχων βέλτιον· καὶ εἰ ἁπλῶς ὁ ἄνθρωπος τοῦ ἵππου βελτίων, καὶ ὁ ἄριστος ἄνθρωπος τοῦ ἀρίστου ἵππου βελτίων· καὶ εἰ ψυχὴ σώματος βελτίων, καὶ ἡ ἀρίστη ψυχὴ τοῦ ἀρίστου σώματος βελτίων· καὶ εἰ ἀνὴρ γυναικὸς βελτίων, καὶ ὁ ἄριστος ἀνὴρ τῆς ἀρίστης γυναικὸς βελτίων. καὶ εἰ τὸ βέλτιστον δὲ τῶν ἔν τινι γένει τοῦ βελτίστου τῶν ἐν ἄλλῳ γένει βέλτιο ν , καὶ ἁπλῶς τὸ γένος τοῦ γένους βέλτιον ἔσται. ἔστι δὲ τοῦτο ἀντιστροφὴ τοῦ πρώτου τόπου. εἰ γὰρ ὁ ἄριστος ἀνὴρ τῆς ἀρίστης γυναικὸς βελτίων, καὶ ἀνὴρ γυναικὸς βελτίων· καὶ εἰ ὁ ἄριστος ἄνθρωπος τοῦ ἀρίστου ἵππου βελτίων, καὶ ἄνθρωπος ἵππου βελτίων. ἐνίσταιτο δ' ἄν τις τῇ ἀντιστροφῇ λέγων τὸν μὲν ἄριστον θάνατον τοῦ ἀρίστου περιπάτου βελτίονα εἶναι, οὐ μὴν καὶ ἁπλῶς θάνατον περιπάτου αἱρετώτερον. ἢ οὐκ ἔστιν ὁ ἄριστος θάνατος ἐν εἴδει τῷ θανάτῳ, ὡς 〈ὁ〉 ἄριστος ἄνθρωπος ἐν εἴδει τῷ ἀνθρώπῳ. ὁ μὲν γὰρ ἄριστος ἄνθρωπος μάλιστα ἄνθρωπος (κατὰ γὰρ τὴν ἀνθρώπου ἀρετήν, καὶ πᾶν τὸ ἔν τινι γένει ἄριστον μάλιστά ἐστιν ἐκεῖνο), ὁ δὲ ἄριστος θάνατος οὐκ ἔστι μάλιστα θάνατος· τὸ γὰρ εὖ ἐπὶ τοῦ θανάτου οὐκ ἐν αὐτῷ τῷ θανάτῳ γίνεται, ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου, ἀλλὰ ἐν ἄλλῳ τινὶ τὸ ἐν θανάτῳ εὖ, καὶ οὐ καθ' ὃ θάνατος, ἀλλὰ κατά τινος ἄλλου παρουσίαν· κατὰ γὰρ ἀρετήν, οὐ τὴν θανάτου ἀλλὰ τὴν τοῦ ἀποθνήσκοντος· μέμικται γὰρ ὁ ἄριστος θάνατος ἔκ τε ἀρετῆς ἀνθρώπου καὶ ἐκ θανάτου. τῷ οὖν 〈τὸ〉 προσκείμενον τῷ θανάτῳ ὄντι κακῷ, τὴν ἀρετήν, μέγα ἀγαθὸν εἶναι, τούτῳ τοῦ ὑγιεινοῦ τε καὶ τοῦ ἀρίστου περιπάτου ἀμείνων· προείρηται γὰρ ὅτι ἀγαθόν τι μετὰ μὴ ἀγαθοῦ οὐδὲν κεκώλυται ἀγαθῶν πλειόνων αἱρετώτερον εἶναι, μήτι γε ἀγαθοῦ μικροῦ, ὁποῖόν ἐστι τὸ ὑγιεινόν, τοῦ περιπάτου ὄντος μέσου. p.

in Top.257 118a1 Ἔτι ὧν ἔστι τοὺς φίλους μετασχεῖ ν . Τῶν ἐπ' ἴσης ἀλλήλοις αἱρετῶν εἶναι δοκούντων αἱρετώτερά φησιν εἶναι ὧν μετασχεῖν οἷόν τέ ἐστι καὶ τοὺς φίλους τῶν μ ή . οὕτως δειχθήσεται ἀρετὴ μὲν ὑγείας αἱρετωτέρα, πλοῦτος δὲ εὐγενείας· τῶν μὲν γὰρ μετασχεῖν ἔστι καὶ τοὺς φίλους, τῶν δὲ οὐχ οἷόν τε κοινωνῆσαι ἄλλοις. οὕτως καὶ παιδεία ἡδονῆς αἱρετώτερον ἂν δεικνύοιτο· μόνος γὰρ ὁ ἡδόμενος ἡδονῆς ἀπολαύει· καὶ ἐλευθεριότης πραότητος, εἴ γε πραότης αὐτὸν μόνον τὸν ἔχοντα πραΰνει πρὸς ὀργάς· καὶ ἰσχὺς κάλλους, εἴ γε τὸ μὲν κάλλος αὐτοῦ μόνου ἐστὶ τοῦ ἔχοντος αὐτὸ κόσμος, ἡ δ' ἰσχὺς καὶ τοῖς φίλοις χρησιμωτάτη. ἀλλὰ καὶ ἃ πρὸς τὸν φίλον πρᾶξαι μᾶλλον βουλόμεθα ἢ πρὸς τὸν τυχόντ α , καὶ ταῦτα αἱρετώτερ α . οὕτω δεικνύοιτ' ἂν τὸ τὰ δίκαια ποιεῖν τοῦ δοκεῖν ποιεῖν τὰ δίκαια αἱρετώτερον· πρὸς μὲν γὰρ τοὺς φίλους αἱρούμεθα τὰ δίκαια ποιεῖν ἀληθῶς, πρὸς δὲ τοὺς τυχόντας καὶ τὸ δοκεῖν ποιεῖν τὰ δίκαια ἐξαρκεῖν ἡγούμεθα. χρὴ δὲ μεμνῆσθαι ὅτι ἔνδοξοι καὶ πιθαναὶ ἐπιχειρήσεις εἰσί. δεικνύοι δ' ἄν τις οὕτως καὶ τὸ χαρίσαι τοῦ δανεῖσαι αἱρετώτερον· ἡ μὲν γὰρ χάρις πρὸς τοὺς φίλους, τὸ δὲ δανεῖσαι πρὸς τοὺς τυχόντας· καὶ τὸ διδάσκειν τοῦ ἐπιδείκνυσθαι· διδάσκειν μὲν γὰρ τοὺς φίλους αἱρούμεθα, ἐπιδείκνυσθαι δὲ καὶ τοῖς τυχοῦσιν. p. 118a6 Καὶ τὰ ἐκ περιουσίας τῶν ἀναγκαίων βελτί ω . Τίνα ἐστὶ τὰ ἐκ περιουσίας καὶ τίνα τὰ ἀναγκαῖα, πρῶτον εἰδέναι δεῖ·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτως γὰρ ἐνέσται χρῆσθαι τῷ τόπῳ. ἀναγκαῖα μὲν οὖν ἐστιν ὧν χωρὶς ἀδύνατον εἶναι· ἐκ περιουσίας δὲ ὧν ἡ παρουσία οὐκ [οὖσα] ἀναγκαία, καὶ ὡς αὐτὸς ἐρεῖ, ὅταν ὑπαρχόντων τῶν ἀναγκαίων ἄλλα τινὰ προσκατασκευάζηται τῶν καλῶ ν . οἷον τὸ μὲν ζῆν ἀναγκαῖον, ἐκ περιουσίας δὲ τὸ εὖ ζῆν · τῇ γὰρ τοῦ εὖ παρουσίᾳ οὐκ οὔσῃ πρὸς τὸ εἶναι ἀναγκαίᾳ ἐπικοσμεῖται τὸ ζῆν ἀναγκαῖον ὄν. βελτίω δὴ τὰ ἐκ περιουσίας τῶν ἀναγκαίων εἶναί φησι· βέλτιον γὰρ τὸ μὲν εὖ ζῆν τοῦ ζῆν, τὸ δὲ εὖ λέγειν τοῦ λέγειν.

in Top.258 οὐχὶ δὲ καὶ αἰεὶ ἡμῖν αἱρετώτερα τὰ βελτίω, εἰ καὶ ἁπλῶς αἱρετώτερα· τὰ γοῦν ἡμῖν ἀδύνατα, εἰ καὶ βελτίω εἴη τῶν δυνατῶν, ἀλλ' οὐχ αἱρετώτερα· βέλτιον μὲν γὰρ ἀθανασία μακροβιότητος, ἀλλ' ἡμῖν οὐχ αἱρετώτερον. καὶ τῶν ἐκ περιουσίας δὴ τὰ μὲν πρὸς τῷ βελτίω εἶναι καὶ αἱρετώτερά ἐστιν, ὥσπερ τὸ εὖ λέγειν τοῦ λέγειν, τὰ δὲ βελτίω μέν ἐστιν, οὐ μὴν καὶ αἱρετώτερα. τὸ γοῦν φιλοσοφεῖν τε καὶ θεωρεῖν βέλτιον μέν ἐστι τοῦ χρηματίζεσθα ι , οὐ μὴν καὶ αἱρετώτερον τοῖς ἐν ἐνδείᾳ οὖσι καὶ μὴ δυναμένοις ἄλλως εἶναι· κατὰ γὰρ τὸν Φωκυλίδην "δεῖ ζητεῖν βιοτήν, ἀρετὴν δ', ὅταν ᾖ βίος ἤδη". οὕτω δὲ καὶ τὸ ὑγιαίνειν τοῦ φιλοσοφεῖν τῷ νοσοῦντι αἱρετώτερον ἂν εἴη. διὸ καὶ σχεδόν φησι βελτίω μὲν εἶναι τὰ ἐκ περιουσίας, αἱρετώτερα δὲ τὰ ἀναγκαῖα, τὸ σχεδὸν οὐ τοῖς βελτίοσι προσθεὶς ἀλλὰ τοῖς αἱρετωτέροις. καὶ γὰρ δοκεῖ κατὰ φύσιν εἶναι ἡ τῶν ἐκ περιουσίας αἵρεσις μετὰ τὰ ἀναγκαῖα· πρῶτον μὲν γὰρ εἶναι δεῖ, εἶθ' οὕτως αἱρεῖσθαι τὰ ἐκ περιουσίας· πρὸς δὲ τὸ εἶναι τὰ ἀναγκαῖα συντελεῖ. ὡς γὰρ εὐεξία ἐπὶ ὑγείᾳ γίνεται καὶ ὀξυδερκία ἐπὶ ὄψει καὶ ταχυτὴς ἐπὶ κινήσει καὶ καθόλου τὸ καθ' ἕκαστον εὖ ἐπὶ προϋπάρχοντι ἐκείνῳ, οὕτω καὶ τὰ ἐκ περιουσίας ἐπὶ προϋπάρχουσι τοῖς ἀναγκαίοις ἔχειν δοκεῖ τὴν αἵρεσιν· οὐδὲν γὰρ τούτων ὄφελος ἄνευ ἐκείνων, εἴ γε μηδὲ εἶναι οἷόν τε χωρὶς αὐτῶν. p. 118a16 Καὶ ὃ μὴ πα ρ ' ἄλλου ἔστι πορίσασθαι ἢ ὃ ἔστι καὶ πα ρ ' ἄλλο υ . Δοκεῖ τὰ σπανιώτερα τῶν κοινοτέρων αἱρετώτερα εἶναι· διὰ τοῦτο, ὃ μὴ οἷόν τε πα ρ ' ἄλλου πορίσασθα ι , ἀλλ' ἢ μόνος τις ἔχει ἢ παρ' αὑτοῦ μόνου κτήσασθαι δύναται, αἱρετώτερον τῶν παρ' ἄλλου γενέσθαι δυναμένων. οὕτως δείξεις τὰς μὲν ἀρετὰς τῶν τυχηρῶν ἀγαθῶν αἱρετωτέρας (τῶν μὲν γὰρ δι' ἡμῶν μόνων ἡ κτῆσις, τῶν δὲ πολλαὶ προφάσεις καὶ αἰτίαι τῆς κτήσεως), πάλιν δὲ τὴν εὐγένειαν πλούτου· πλούτου μὲν γὰρ πολλαὶ ὁδοὶ καὶ παρὰ πολλῶν οἷός τε περιγενέσθαι, εὐγένειαν δὲ παρ' οὐδενὸς ἔστιν ἐπικτήσασθαι.

in Top.259 οὕτως καὶ τῶν κτημάτων καὶ βιβλίων περὶ ταῦτα μᾶλλον σπουδάζομεν, ἃ μὴ ἔστι παρ' ἄλλου λαβεῖν, [καὶ] ἂν ἀπολείπηται, τῶν κοινοτέρων τε καὶ παρὰ πλείοσιν ὄντων· διὸ καὶ περὶ τὰ ἴδια συγγράμματα πλείστη σπουδή. οὕτως ἂν δεικνύοιτο καὶ τὸ γυμνάζεσθαι αἱρετώτερον τοῦ ἰατρεύεσθαι καὶ τὸ περιγινομένους τῶν ἀνταγωνιστῶν στεφανοῦσθαι τοῦ κατὰ σπουδήν. λέγει δὲ καὶ αὐτὸς τοῦτο πεπονθέναι τὴν δικαιοσύνην πρὸς τὴν ἀνδρεία ν . γίνοιτο δ' ἂν τὸ λεγόμενον σαφές, εἰ πρῶτον εἴη γνώριμον τί παρ' ἑκατέρας ἡμῖν τῶν ἀρετῶν τούτων γίνεται. δοκεῖ δὴ παρὰ μὲν τῆς ἀνδρείας ἡμῖν περιγίνεσθαι ἡ ἐκ τῶν κινδύνων σωτηρία, παρὰ δὲ τῆς δικαιοσύνης τὸ τοῦ ἴσου διανεμητικοῖς εἶναι· τούτων δ' ἡ μὲν σωτηρία παρὰ τῆς ἀνδρείας γινομένη δύναται καὶ παρ' ἄλλων ἡμῖν περιγενέσθαι μὴ οὖσιν αὐτοῖς ἀνδρείοις, τὸ δὲ διανεμητικοῖς εἶναι τοῦ ἴσου χωρὶς τῆς οἰκείας δικαιοσύνης οὐκ ἄν τινι περιγένοιτο· διὸ αἱρετωτέρα ἀνδρείας δικαιοσύνη. δύναται καὶ ἔμπαλιν λέγεσθαι· τὸ μὲν γὰρ ἐκ τῶν κινδύνων σωθῆναι δι' αὑτῶν, τὸ δὲ παρὰ τῆς δικαιοσύνης ἴσον παρ' ἄλλων. δύναται τὸ καὶ ὃ μὴ ἔστι πα ρ ' ἄλλου πορίσασθαι λέγεσθαι ἐπὶ τούτων, ἃ μηκέτι δύναταί τις ἀποβαλὼν κτήσασθαι τῷ μηκέτι εἶναι τὸν ποιήσαντα, οἷον εἰ βιβλίον οὗ μὴ ἔστιν ἀντίγραφον, ἢ τεχνίτου τινὸς μηκέτ' ὄντος ἔργον. p. 118a18 Καὶ εἰ τόδε μὲν ἄνευ τοῦδε αἱρετό ν . Δύο τινῶν ὄντων αἱρετῶν, ἂν τὸ μὲν ἕτερον αὐτῶν χωρὶς τοῦ ἑτέρου μὴ ᾖ αἱρετόν, τὸ δὲ ἕτερον αἱρετὸν ᾖ καὶ καθ' αὑτὸ καὶ χωρὶς τοῦ ἑτέρου, αὐτοῦ αἱρετώτερόν ἐστιν. οὕτως φρόνησις δυνάμεως εἴη ἂν αἱρετωτέρα, εἴ γε δύναμις μὲν χωρὶς φρονήσεως οὐχ αἱρετή, φρόνησις δὲ καὶ χωρὶς δυνάμεως αἱρετή. οὐ

μόνον δὲ ἐπὶ τῆς ἰδίως δυνάμεως λεγομένης τοῦτο, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἀγαθῶν, ἃ ἔθος αὐτῷ δυνάμεις λέγειν, ὅμοιος ὁ λόγος· οὐδὲν γὰρ αὐτῶν αἱρετόν ἐστι χωρὶς φρονήσεως. δεικνύοις δ’ ἂν καὶ ἀρετὴν ἡδονῆς οὕτως αἱρετωτέραν· ἡδονὴ μὲν γὰρ χωρὶς ἀρετῆς οὐχ αἱρετή, ἡ δὲ ἀρετὴ καὶ χωρὶς ἡδονῆς αἱρετή.

in Top.260 ἀλλὰ καὶ ὑγεία ἡδονῆς· ὑγιαίνειν μὲν γὰρ καὶ χωρὶς ἡδονῆς αἱρετόν, ἥδεσθαι δὲ χωρὶς τοῦ ὑγιαίνειν τὰς τῶν νοσούντων ἡδονὰς οὐκ ἂν ἕλοιτό τις. οὕτως καὶ τὸ ὑγιαίνειν τοῦ πλουτεῖν ἢ ἐν δόξῃ εἶναι δεικνύοιτ’ ἂν αἱρετώτερον· οὐδὲν μὲν γὰρ τούτων βλαβείσης ὑγείας αἱρετόν, ὑγιαίνειν δὲ καὶ χωρὶς τούτων αἱρούμεθα. p. 118a20 Καὶ δυοῖν εἰ θάτερον ἀρνούμεθ α , ἵνα τὸ λοιπὸν δόξῃ ἡμῖν ὑπάρχει ν . Εἰ δύο ὄντων αἱρετῶν τὸ ἕτερον ἀρνούμεθα παρεῖναι ἡμῖν ὑπὲρ τοῦ δόξαι τὸ ἕτερον ἡμῖν παρεῖναι, ὃ βουλόμεθα μᾶλλον δοκεῖν παρεῖναι ἡμῖν αἱρετώτερον. οὕτως εὐφυΐα δεικνύοιτο ἂν φιλοπονίας αἱρετωτέρα· ἀρνούμεθα γὰρ εἶναι φιλόπονοι βουλόμενοι δοκεῖν εὐφυεῖς εἶναι. τοῦτο ὁμοίως μὲν ἐπὶ μαθημάτων, ὁμοίως δὲ ἐπὶ γυμνασίων. ἀλλὰ καὶ καλλωπίζεσθαι ἀρνοῦνται αἱ γυναῖκες, φύσει καλαὶ δοκεῖν εἶναι αἱρούμεναι. οὕτως καὶ τοῦ ἥδεσθαι τὸ ἐγκρατεύεσθαι καὶ τοῦ μὴ πονεῖν τὸ καρτερεῖν αἱρετώτερον ἂν δεικνύοιτο· καὶ γὰρ ἡδονῶν προσποιούμεθα ὑπερορᾶν ὑπὲρ τοῦ δοκεῖν ἐγκρατεῖς εἶναι, καὶ πόνων ὑπὲρ τοῦ καρτερικοὺς φαίνεσθαι. p. 118a24 Ἔτι οὗ τῇ ἀπουσίᾳ ἧττον ἐπιτιμητέον δυσφοροῦσ ι , τοῦτο αἱρετώτερο ν . Ἐπεὶ τῶν δυσφορούντων ἐπί τισιν ἀποῦσι τῶν αἱρετῶν τοῖς μὲν εὔλογον ἐπιτιμᾶν μᾶλλον τοῖς δὲ ἧττον, ὧν τοῖς δυσφοροῦσιν ἐπὶ τῇ ἀπουσίᾳ ἧττον ἐπιτιμητέο ν , ταῦτα αἱρετώτερα τῶν ἐφ’ οἷς ἄξιον ἐπιτιμᾶν μᾶλλον τοῖς δυσφοροῦσιν ἐπὶ τῇ ἀπουσίᾳ. ἀλλὰ καὶ ὧν ἐπὶ τῇ ἀπουσίᾳ τοῖς μὴ δυσφοροῦσιν ἄξιον ἐπιτιμᾶν μᾶλλον, καὶ ταῦτα αἱρετώτερα τῶν ἐφ’ οἷς ἧττον ἄξιον ἐπιτιμᾶν τοῖς μὴ δυσφοροῦσιν ἐπὶ τῇ ἀπουσίᾳ αὐτῶν. οἷον ἐπεὶ ἧττον ἐπιτιμῶμεν τοῖς δυσφοροῦσιν ἐπὶ τέκνων ἀποβολῇ ἢ χρημάτων, αἱρετώτερα τὰ τέκνα τῶν χρημάτων. καὶ ὑγεία δὲ ἡδονῆς τῷ αὐτῷ λόγῳ αἱρετωτέρα· ἧττον γὰρ ἐπιτιμήσεως ἄξιοι οἱ δυσφοροῦντες ἐπὶ τῇ τῆς ὑγείας ἀποβολῇ τῶν ἐπὶ ἡδονῆς ἀποβολῇ δυσφορούντων. καὶ ὁ ἐπὶ τῇ τῶν ἀναγκαίων ἀποβολῇ δυσφορῶν τοῦ ἐπὶ τιμῆς ἢ δόξης ἀποβολῇ ἧττον ἐπιτιμήσεως ἄξιος, ὥστε αἱρετώτερα τὰ ἀναγκαῖα δόξης.

in Top.261 ὁμοίως δὲ καὶ πλοῦτος δόξης δεικνύοιτ’ ἂν αἱρετώτερος· ἧττον γὰρ ἐπιτιμῶμεν τοῖς ἐπὶ πενίᾳ δυσφοροῦσι τῶν ἐπ’ ἀδοξίᾳ. καὶ φίλοι χρημάτων· ἧττον γὰρ ἐπιτιμᾶν ἄξιον τοῖς δυσφοροῦσιν ἐπὶ τῇ τῶν φίλων ἀποβολῇ τῶν δυσφορούντων ἐπὶ τῇ τῶν χρημάτων ἀφαιρέσει. ἀλλὰ καὶ οὗ τῇ ἀπουσία μὴ δυσφοροῦντι μᾶλλον ἐπιτιμητέο ν , καὶ τοῦτο αἱρετώτερο ν . οὕτως ἐπιστήμη ὑγείας αἱρετώτερον· μᾶλλον γὰρ ἐπιτιμῶμεν τοῖς μὴ δυσφοροῦσιν ἐπὶ ἀγνοίᾳ τῶν ἐπὶ νόσῳ μὴ δυσφορούντων. πάλιν ὑγεία πλούτου αἱρετωτέρα· τοῖς γὰρ ταύτης ἀμελοῦσιν μᾶλλον ἐπιτιμῶμεν. ἀλλὰ καὶ ἡ τῶν κοινῶν ἐπιμέλεια τῆς τῶν ἰδίων αἱρετωτέρα· μᾶλλον γὰρ ἐπιτιμῶμεν τοῖς μὴ δυσχεραίνουσιν ἐπὶ τῇ τῶν κοινῶν ἀμελείᾳ τῶν μὴ δυσχεραινόντων ἐπὶ τῇ τῶν ἰδίων ἀμελείᾳ. καὶ γονέων δὲ ἐπιμέλεια κατὰ τοῦτο αἱρετωτέρα τῆς τῶν τέκνων ἐπιμελείας· μᾶλλον γὰρ ἐπιτιμήσεως ἄξιοι οἱ μὴ δυσφοροῦντες ἐπὶ τῇ τῶν γονέων ἀμελείᾳ. καὶ τὸ παιδεύεσθαι τοῦ γυμνάζεσθαι· μᾶλλον γὰρ ἐπιτιμῶνται οἱ παιδείας ἢ οἱ γυμνασίων ὀλιγωροῦντες. p. 118a27 Ἔτι τῶν ὑπὸ τὸ αὐτὸ εἶδος τὸ ἔχον τὴν οἰκείαν ἀρετὴν τοῦ μὴ ἔχοντος αἱρετώτερο ν . Ἐπεὶ ἡ οἰκεία ἀρετὴ ἑκάστου ἀκρότης ἐστὶ καὶ τελειότης τῆς οἰκείας φύσεως αὐτοῦ, πᾶν δὲ αἱρετώτερον τέλειον ἁπλῶς, εἰκότως τῶν ὑπὸ τὸ αὐτὸ εἶδος τὸ τὴν οἰκείαν ἔχον ἀρετὴν αἱρετώτερον τοῦ μή. οὕτως ἄνθρωπος μὲν ὁ τὴν ἀρετὴν ἔχων τὴν ἀνθρώπου τοῦ μὴ τὴν ἀρετὴν ἔχοντος αἱρετώτερος· ὑπὸ γὰρ ταὐτὸν εἶδος πάντες ἄνθρωποι. ἵππος δ’ ἵππου καὶ κύων κυνός, ἀλλὰ καὶ σκεῦος σκεύους τὸ τὴν οἰκείαν χρείαν παρεχόμενον, πρὸς ἣν πεποίηται, αἱρετώτερον· αὕτη γὰρ ἀρετὴ σκεύους. διὰ τοῦ τόπου τούτου δείξεις ἔκπωμα μὲν τὸ πρὸς τὸ πίνειν ἐπιτηδειότερον αἱρετώτερον τοῦ χρυσοῦ τε καὶ ἀργυροῦ (αὕτη γὰρ ἐκπώματος ἀρετή,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’ οὐχ ἡ πολυτέλεια), οἰκίαν δὲ τὴν πρὸς σκέπην ἐπιτηδειοτέραν αἱρετωτέραν τῆς λιθοικοδομήτου μὲν οὐχ ὁμοίως δὲ τὸ ἀπὸ σκέπης εὔχρηστον παρεχομένης. ὁ αὐτὸς καὶ ἐπὶ ἐσθῆτος λόγος· ἡ γὰρ θερμαίνουσα, οὐχ ἡ πορφυρᾶ ἢ χρυσόσημος· καὶ ἐπὶ ξίφους· οὐ γὰρ τὸ ἐλεφαντόκωπον ἀλλὰ τὸ χρησιμώτερον πρὸς τὴν διακονίαν τοῦ ξίφους αἱρετώτερον.

in Top.262 ἀκριβῶς δὲ προσέθηκε τὸ τῶν ὑπὸ τὸ αὐτὸ εἶδος · οὕτως γὰρ ἀληθὴς ὁ τόπος· οὐ γὰρ ἔτι ἀληθὲς τὸ λέγειν ‘τῶν ὑπὸ τὸ αὐτὸ γένος τὸ ἔχον τὴν οἰκείαν ἀρετὴν ἄμεινον τοῦ μὴ ἔχοντοσ ‘ . οὐ γὰρ λαγωὸς ἔχων τὴν οἰκείαν ἀρετὴν ἀμείνων ἀνθρώπου μὴ ἔχοντος τὴν οἰκείαν ἀρετήν· οὐδεὶς γὰρ λαγωὸς ἀνθρώπου καλλίων. τῶν δέ γε ὁμοειδῶν καὶ τῶν τῆς αὐτῆς ἀρετῆς δεκτικῶν τὸ ἔχον τὴν οἰκείαν ἀρετὴν τοῦ μὴ ἔχοντος βέλτιον. εἰ δ’ ἀμφότερα ἔχοι τὰ ὑπὸ ταὐτὸν εἶδος τὴν οἰκείαν ἀρετήν, τὸ μᾶλλον ἔχον δῆλον ὅτι αἱρετώτερον· αἱρετωτέρα γὰρ ὄψις μὲν ἡ ὀξυδερκεστέρα, ἀκοὴ δὲ ἡ εὐηκοωτέρα, ἵππος δὲ ὁ εὐπειθέστερός τε καὶ δρομικώτερος, καὶ ἐπιστήμη ἡ ἀκριβεστέρα. p. 118a29 Ἔτι εἰ τὸ μὲν ποιεῖ ἀγαθὸν ἐκεῖνο ᾧ ἂν παρ ῇ , τὸ δὲ μὴ ποιε ῖ , τὸ ποιοῦν αἱρετώτερο ν . Ἐπεὶ τὰ ἀγαθὰ πολλαχῶς λέγεται καὶ τὰ μὲν αὐτῶν ποιεῖ ἀγαθοὺς τῇ ἑαυτῶν παρουσίᾳ τοὺς ἔχοντας αὐτά, ὡς αἱ ἀρεταί, τὰ δὲ οὔ, ὡς πλοῦτος, εὐγένεια, ἡδονή, τὰ τοιαῦτα, αἱρετώτερα τῶν ἀγαθῶν ἃ ἀγαθοὺς παρόντα ποιεῖ. οὕτως πᾶσα ἀρετὴ αἱρετωτέρα πάσης ἡδονῆς καὶ πάσης εὐτυχίας τῶν ἐκτός τε καὶ σωματικῶν ἀγαθῶν δεικνύοιτ’ ἂν ***** τὸ δὲ μᾶλλον ἀγαθὸν καὶ αἱρετώτερον εἶναι, ὡς τὸ θερμαῖνόν τε καὶ θερμὰ ποιοῦν τοῦ μὴ 〈θερμότερον〉 · θερμότερον γὰρ τὸ πῦρ τῆς χιόνος, ἐχούσης καὶ ταύτης θερμότητα, ὅτι τὸ μὲν θερμαίνει ἡ δ’ οὔ, ἢ τὸ μὲν μᾶλλον ἡ δ’ ἧττον. εἰ δὲ ἀμφότερα ἀγαθοὺς ποιεῖ τῇ παρουσίᾳ τὰ συγκρινόμενα, αἱρετώτερον τὸ μᾶλλον ποιοῦν ἀγαθόν. εἴη δ’ ἂν καὶ κατὰ τοῦτο ἡ τέλειος ἀρετὴ τῆς φυσικῆς δεικνυμένη αἱρετωτέρα· ἄμφω μὲν γὰρ ἀγαθοὺς ποιοῦσι τοὺς ἔχοντας, ἀλλὰ μᾶλλον ἡ τέλειος ἀρετή. ἀλλὰ καὶ ὃ τὸ βέλτιον ἀγαθὸν ποιεῖ τοῦ ποιοῦντος τὸ χεῖρον ἀγαθὸν αἱρετώτερον. οὕτως ἀρετὴ ὑγείας καὶ ἰσχύος αἱρετωτέρα· ἡ μὲν γὰρ ἀρετὴ τὴν ψυχὴν ἀγαθήν, αἱ δὲ τὸ σῶμα ποιοῦσι· βέλτιον δὲ ψυχὴ σώματος. οὕτω καὶ σοφία σωφροσύνης αἱρετωτέρα· ἡ μὲν γὰρ τὸν νοῦν, ἡ δὲ τὸ ἐπιθυμητικὸν ἀγαθὸν ποιεῖ· βέλτιον δὲ ὁ νοῦς τοῦ ἐπιθυμητικοῦ τῆς ψυχῆς μέρους. p.

in Top.263 118a34 Ἔτι ἀπὸ τῶν πτώσεων καὶ τῶν χρήσεων καὶ τῶν πράξεων καὶ τῶν ἔργω ν . Ὥσπερ τὸ αἱρετὸν ἐν τῷ πρὸ τούτου ἁπλῶς ἀπὸ τῶν πτώσεων καὶ τῶν συστοίχων ἔδειξε δείκνυσθαι δυνάμενον, οὕτω καὶ τὸ αἱρετώτερον· κοινοὶ γὰρ οἱ τόποι καὶ οὗτοι, ὥσπερ γε καὶ οἱ ἀπὸ τῶν γενέσεών τε καὶ φθορῶν ἐδείχθησαν. εἰ γάρ τινων κατὰ πτῶσιν ἐκφερομένων τὸ κατὰ τὴν ἑτέραν πτῶσιν τοῦ κατὰ τὴν ἑτέραν αἱρετώτερον, καὶ τὸ ἁπλῶς λεγόμενον τοῦ ἁπλῶς λεγομένου ὧν ἦσαν αἱ πτώσεις αἱρετώτερον. ἔστι δὲ πτῶσις μὲν τὸ δικαίως, τὸ ἀνδρείως καὶ ὅσα οὕτω τὴν λέξιν ἐσχημάτισται· ὧν δὲ αὗται πτώσεις ἡ δικαιοσύνη, ἡ ἀνδρεία. εἰ δὴ τὸ δικαίως τοῦ ἀνδρείως αἱρετώτερον, καὶ ἡ δικαιοσύνη τῆς ἀνδρείας αἱρετωτέρα· καὶ ἀνάπαλιν, εἰ ἡ δικαιοσύνη τῆς ἀνδρείας αἱρετωτέρα, καὶ τὸ κατὰ τὴν πτῶσιν τῆς δικαιοσύνης τοῦ κατὰ τὴν πτῶσιν τῆς ἀνδρείας αἱρετώτερον. ὡς δὲ ἐπὶ τῶν πτώσεων, οὕτως καὶ ἐπὶ τῶν χρήσεων. εἰ γὰρ τὸ δικαίως τοῦ ἀνδρείως αἱρετώτερον, καὶ ἡ δικαία χρῆσις τῆς ἀνδρείας χρήσεως αἱρετωτέρα, τοῦτ’ ἔστιν ὁ χρώμενος τῇ δικαιοσύνῃ, ὅπερ ἐστὶν ὁ δίκαιος, τοῦ χρωμένου τῇ ἀνδρείᾳ, ὅπερ ἐστὶν ὁ ἀνδρεῖος. καὶ ἡ δικαία πρᾶξις καὶ τὸ δίκαιον ἔργον αἱρετώτερον τῆς τε ἀνδρείας πράξεως καὶ τοῦ ἀνδρείου ἔργου· ἔστι γάρ τις καὶ πρᾶξις καὶ ἐνέργεια δικαία καὶ ἔργον δίκαιον. ὁμοίως καὶ ἐπὶ ἀνδρείας. καὶ ἀντιστρέφει πάντα ἀλλήλοις· ὅ τι γὰρ ἂν ἐξ αὐτῶν αἱρετώτερον εἶναι ληφθῇ ἑνός, καὶ τἆλλα τῶν ἄλλων. καὶ ἔστιν ἴσον τὸ εἰρημένον τῷ ἀπὸ τῶν συστοίχων· ἦν δὲ σύστοιχα δικαιοσύνη, δίκαιος, δίκαιον, δικαίως. καθόλου γὰρ οὗ ἡ χρῆσις αἱρετωτέρα, καὶ ὁ χρώμενος τοῦ χρωμένου καὶ ἡ ἕξις τῆς ἕξεως καὶ τὸ ἔργον τοῦ ἔργου, καὶ ἔμπαλιν. δύναται καὶ ἄλλος μὲν εἶναι τόπος ὁ ἀπὸ τῶν πτώσεων, ἄλλος δὲ ὁ ἀπὸ τῶν πράξεων,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἄλλος ὁ ἀπὸ τῶν ἔργων. καὶ γὰρ αἱ χρήσεις κυρίως λέγονται τῶν χρησίμων· τινὸς γὰρ χρῆσις ἡ χρῆσις· ἐνέργεια γάρ ἐστί τις ἢ περὶ τὸ χρήσιμον ἢ τοῦ χρησίμου· χρήσιμα δὲ λέγεται τῶν ἀγαθῶν ἰδίως τὰ ὀργανικά. ὧν οὖν αἱ χρήσεις αἱρετώτεραι, καὶ αὐτὰ αἱρετώτερα· εἰ γὰρ ἡ χρῆσις τοῦ πλούτου τῆς χρήσεως τῆς ἰσχύος αἱρετωτέρα, καὶ ὁ πλοῦτος τῆς ἰσχύος αἱρετώτερος· καὶ ἀναστρέψαντι, εἰ ὁ πλοῦτος τῆς ἰσχύος, καὶ ἡ χρῆσις ἡ τοῦ πλούτου τῆς χρήσεως τῆς ἰσχύος.

in Top.264 ἄλλος πάλιν ὁ ἀπὸ τῶν πράξεων· ἔστι δὲ πρᾶξις κοινότερον μὲν πᾶσα λογικὴ ἐνέργεια, ἰδίως δὲ καὶ κυριώτερον ἡ κατὰ προαίρεσιν, τοῦτ᾽ ἔστιν ἡ κατ᾽ ἀρετὴν ἢ κακίαν ἐνέργεια γινομένη. ὧν οὖν αἱ πράξεις αἱρετώτεραι, ταῦτα αἱρετώτερα· οἷον εἰ τὸ τὰ δίκαια πράσσειν τοῦ τὰ ἀνδρεῖα πράσσειν αἱρετώτερον, καὶ ἡ δικαιοσύνη τῆς ἀνδρείας αἱρετωτέρα· καὶ ἔμπαλιν, εἰ ἡ δικαιοσύνη τῆς ἀνδρείας αἱρετωτέρα, καὶ τὸ τὰ δίκαια πράσσειν τοῦ τὰ ἀνδρεῖα αἱρετώτερον. ὁμοίως δὲ καὶ ὁ ἀπὸ τῶν ἔργων τόπος. οὗ γὰρ τὸ ἔργον αἱρετώτερον, καὶ αὐτό. οἷον εἰ τὸ οἰκοδομικῆς ἔργον τοῦ τεκτονικῆς αἱρετώτερον, καὶ οἰκοδομικὴ τεκτονικῆς αἱρετώτερον· καὶ ἔμπαλιν, εἰ οἰκοδομικὴ τεκτονικῆς, καὶ τὸ ἔργον τοῦ ἔργου. καὶ ἐπεὶ τὸ τοῦ φίλου ἔργον αἱρετώτερον ἢ τὸ τοῦ εὔνου, καὶ φιλία εὐνοίας· ἔστι δὲ τοῦ μὲν φίλου ἔργον ἡ μετὰ βουλήσεως πρᾶξις τῶν ἀγαθῶν εἰς τὸν φίλον, τοῦ δὲ εὔνου ἡ βούλησις μόνον· καὶ ἔμπαλιν, ἐπεὶ φιλία εὐνοίας αἱρετώτερον, καὶ τὸ τῆς φιλίας ἔργον τοῦ τῆς εὐνοίας αἱρετώτερον. καὶ εἰ τὸ εὖ ποιεῖν τοὺς φίλους τοῦ κακῶς ποιεῖν τοὺς πολεμίους, καὶ ἔστι τὸ μὲν εὖ ποιεῖν τοὺς φίλους ἔργον τοῦ ἐλευθερίου τὸ δὲ κακῶς τοὺς ἐχθροὺς τοῦ ἀνδρείου, καὶ ἡ ἐλευθεριότης τῆς ἀνδρείας αἱρετώτερον· ****** καὶ ἀναστρέψαντι πάλιν, εἰ ὁ ἰατρὸς οἰκοδόμου βελτίων, καὶ τὸ τοῦ ἰατροῦ ἔργον τοῦ οἰκοδόμου βέλτιον. ἔστι δὲ πρᾶξις μὲν ἡ πρὸς τὸ τέλος τείνουσα ἐνέργεια, ἔργον δὲ τὸ τέλος. p. 118b1 Ἔτι εἴ τινος τοῦ αὐτοῦ τὸ μὲν μεῖζον ἀγαθόν ἐστι τὸ δὲ ἔλαττο ν , αἱρετώτερον τὸ μεῖζο ν . Ὡς τὸ [τοῦ] μείζονός τινος μεγέθους μεῖζον καὶ τοῦ ἐλάττονός ἐστι μεῖζον (εἰ γὰρ τὸ τρίπηχυ τοῦ διπήχεος μεῖζόν ἐστι, δῆλον ὅτι καὶ τοῦ πηχυαίου, ὃ ἔλαττόν ἐστι τοῦ διπήχεος, μεῖζον ἂν εἴη), οὕτως καὶ εἴ 〈τι〉 τινος μεῖζον ἀγαθὸν καὶ αἱρετώτερόν ἐστι, τὸ αὐτὸ τοῦτο καὶ ὧν τὸ ἔλαττον αὐτοῦ μεῖζον ἀγαθὸν καὶ αἱρετώτερον.

in Top.265 οὕτως δειχθήσεται ἀρετὴ ἡδονῆς αἱρετωτέρα, ἐπεὶ τῆς ὑγείας, ἥ ἐστι τῆς ἡδονῆς αἱρετωτέρα, ὑπερέχει τῷ αἱρετῷ. ὁμοίως καὶ ὁ θεωρητικὸς βίος τοῦ ἀπολαυστικοῦ αἱρετώτερος, ἐπεὶ καὶ τοῦ πρακτικοῦ, ὅς ἐστι τοῦ ἀπολαυστικοῦ αἱρετώτερος. ἀλλὰ καὶ εἰ δύο τινὰ ἑνός τινος εἴη αἱρετώτερ α , τὸ μᾶλλον αἱρετώτερον αὐτοῦ τοῦ ἧττον αἱρετωτέρου αἱρετώτερον · τῶν γὰρ ὑπερεχόντων τινὸς τὸ μείζονι ὑπερέχον μεῖζον. οἷον ἐπεὶ πλούτου ἀρετὴ καὶ ὑγεία αἱρετώτερα, πλείων δὲ ἡ τῆς ἀρετῆς ὑπεροχὴ ἢ ἡ τῆς ὑγείας, ἡ ἀρετὴ τῆς ὑγείας αἱρετωτέρα. οὕτω καὶ ἐπιστήμη ὀρθῆς δόξης αἱρετωτέρα· ἄμφω μὲν γὰρ αἰσθήσεως αἱρετώτερα, μᾶλλον δὲ τὸ ἐπίστασθαι τοῦ ὀρθοδοξεῖν. p. 118b4 Ἔτι οὗ ἡ ὑπερβολὴ τῆς ὑπερβολῆς αἱρετωτέρ α , καὶ αὐτὸ αἱρετώτερο ν . Οὗ ἡ ἀκρότης, φησί, καὶ ἡ ὑπερβολὴ αἱρετωτέρα, καὶ αὐτὸ αἱρετώτερον· οἷον ἐπεὶ ἡ ἐν φιλίᾳ ἀκρότης τῆς ἐν πλούτῳ ἀκρότητος αἱρετωτέρα, καὶ φιλία πλούτου αἱρετωτέρα. καὶ ἐπειδὴ ἡ ἐν ὑγείᾳ ἀκρότης τῆς ἐν ἡδονῇ αἱρετωτέρα, καὶ ὑγεία ἡδονῆς· ἔστι γὰρ ὑγείας μὲν ἀκρότης εὐεξία, ἡδονῆς δὲ τὸ πρὸς λύπην ἄμικτον. p. 118b7 Καὶ οὗ μᾶλλον ἂν ἕλοιτο αὐτὸς αὑτῷ αἴτιος εἶναι ἢ οὗ ἕτερο ς . Ὃ δι᾽ αὑτοῦ τις μᾶλλον κτήσασθαι αἱρεῖται, τοῦτο αἱρετώτερον τοῦ δι᾽ ἄλλου οἷον φίλους δι᾽ αὑτῶν μᾶλλον αἱρούμεθα κτήσασθαι ἢ δι᾽ ἄλλων, χρήματα δὲ παρ᾽ ἄλλων διαδέξασθαι μᾶλλον βουλόμεθα ἢ αὐτοὶ πορίσαι· αἱρετώτεροι ἄρα οἱ φίλοι τῶν χρημάτων. οὕτως δεικνύοιντ᾽ ἂν καὶ αἱ καλαὶ πράξεις νίκης αἱρετώτεραι· τῶν μὲν γὰρ καλῶν ἐνεργειῶν αὐτοὶ ἑαυτοῖς αἴτιοι βουλόμεθα εἶναι, νικῆσαι δὲ καὶ δι᾽ ἄλλων αἱρούμεθα.

in Top.266 ἀλλὰ καὶ ὁ θεωρητικὸς βίος τοῦ πολιτικοῦ αἱρετώτερος· τὴν μὲν γὰρ θεωρίαν ἡμῖν ὑπάρχειν αἱρούμεθα καὶ δι᾽ ἡμῶν γίνεσθαι τὴν κατ᾽ αὐτὴν ἐνέργειαν, πολιτεύεσθαι δὲ καὶ τὰ πολιτικὰ εὖ

διοικεῖν ἄλλους· οὕτω γὰρ ἕξομεν πλείω πρὸς τὸ θεωρεῖν σχολήν. καὶ εἰ τὸ μὲν ἐλευθερῶσαι τὴν πατρίδα δι’ αὑτῶν, τὸ δὲ πλουσίαν ποιῆσαι δι’ ἄλλων, αἱρετώτερον ἐλευθέρα πατρὶς ἢ πλουσία. οὐκ ἔστι δὲ ὁ τόπος οὗτος ὁ αὐτὸς τῷ πρὸ ὀλίγου εἰρημένῳ τῷ “καὶ ὃ μὴ ἔστι παρ’ ἄλλου πορίσασθαι ἢ ὃ ἔστι καὶ παρ’ ἄλλου”· ἐκεῖ μὲν γὰρ ‘ὃ μὴ ἔστι παρ’ ἄλλου πορίσασθαι ἀλλὰ δι’ αὑτοῦ μόνου‘, ἐνταῦθα δὲ ‘οὗ αἴτιος αὐτὸς ἑαυτῷ μᾶλλον ἢ οὗ ἕτερος ‘ · καὶ γὰρ τῶν δυναμένων δι’ ἄλλου ἔστιν ἃ αἱρούμεθα μᾶλλον τῶν δι’ αὑτῶν ἡμῶν. p. 118b10 Ἔτι ἐκ τῆς προσθέσεω ς , εἰ τῷ αὐτῷ προστιθέμενόν τι τὸ ὅλον αἱρετώτερον ποιε ῖ . Ὁ τόπος οὗτος· εἰ προστίθοιτο τῷ αὐτῷ ἐν μέρει ἄλλο καὶ ἄλλο καὶ γίνοιτο τὸ ὅλον μετὰ τῶν προστιθεμένων ποτὲ μὲν αἱρετώτερον ποτὲ δὲ ἧττον, οὗ τῇ προσθήκῃ αἱρετώτερον γίνεται, ἐκεῖνο αἱρετώτερον τῶν ἄλλων τῶν προστιθεμένων αὐτῷ. οἷον εἰ τῷ πλούτῳ ἀρετῆς προστιθεμένης καὶ πάλιν ὑγείας αἱρετώτερος ὁ πλοῦτος ὁ μετὰ τῆς ἀρετῆς τοῦ μετὰ τῆς ὑγείας γίνεται, καὶ ἀρετὴ ὑγείας αἱρετωτέρα ἐστί. καὶ ἐπεὶ τῷ ζῆν ποτὲ μὲν τοῦ δικαίως ποτὲ δὲ τοῦ ἡδέως προστιθεμένων τὸ δικαίως ζῆν αἱρετώτερον τοῦ ἡδέως ζῆν, καὶ τὸ δικαίως τοῦ ἡδέως αἱρετώτερον· οὕτως δὲ καὶ ἡ δικαιοσύνη ἡδονῆς. πάλιν εἰ τῷ ἀποθανεῖν τοῦ τε ἀλύπως προστιθεμένου καὶ τοῦ ἐνδόξως αἱρετώτερον τὸ ἀλύπως ἀποθανεῖν τοῦ ἐνδόξως, καὶ ἀλυπία δόξης αἱρετωτέρα. δεικνύοιτο δ’ ἂν ὁμοίως καὶ λύπη ἀδοξίας φευκτότερον διὰ τοῦ τὸ λυπούμενον ἀποθανεῖν φευκτότερον εἶναι τοῦ ἀγνοούμενον· ὡς γὰρ οὗ τῇ προσθήκῃ τι αἱρετώτερον γίνεται, ἐκεῖνο αἱρετώτερον, οὕτω καὶ οὗ τῇ προσθήκῃ γίνεταί τι φευκτότερον, ἐκεῖνο φευκτότερον.

in Top.267 οὐκ ἐπὶ πάντων δὲ δόξει ὁ τόπος ἀληθὴς εἶναι. οὐ γάρ, ἐπεὶ ἡ ἐλευθεριότης ἡ μετὰ πλούτου αἱρετωτέρα τῆς μετ’ ἰσχύος ἐλευθεριότητος, ἤδη καὶ πλοῦτος ἰσχύος αἱρετώτερος· οὐδὲ πάλιν, ἐπεὶ ἰσχὺς μετὰ ἀνδρείας αἱρετωτέρα ἢ πλοῦτος μετὰ ἀνδρείας, διὰ τοῦτο πάλιν ἰσχὺς αἱρετωτέρα πλούτου. εἴη γὰρ ἂν τὸ αὐτὸ τοῦ αὐτοῦ ἧττον αἱρετώτερον καὶ μᾶλλον, εἴ γε ἐπὶ μὲν τῆς ἐλευθεριότητος ὁ πλοῦτος τῆς ἰσχύος, ἐπὶ δὲ τῆς ἀνδρείας ἡ ἰσχὺς αἱρετωτέρα τοῦ πλούτου, ὅπερ ἄτοπον. ἀλλ’ οὐδέ, εἰ ἰσχὺς μετὰ ἀνδρείας αἱρετώτερον ἢ μετὰ σωφροσύνης, ἤδη καὶ ἀνδρεία σωφροσύνης αἱρετωτέρα. αἴτιον δὲ τοῦ μὴ ἐπὶ πάντων ἀληθῆ γίνεσθαι τὸν τόπον, ὅτι ἐπὶ πολλῶν τὸ κοινόν, ᾧ ἡ προσθήκη γίνεται, τῷ ἑτέρῳ τῶν προστιθεμένων ἢ χρῆται ἢ ὅλως ἐστὶν αὐτῷ συνεργόν· διὸ οὐκ ὄντος αὐτοῦ αἱρετωτέρου, ὁμοίως τὸ ὅλον αἱρετώτερον γίνεται. τῷ μὲν γὰρ πλούτῳ ἡ ἐλευθεριότης χρῆται, μὴ χρωμένη τῇ ἰσχύι κατὰ τὴν οἰκείαν ἐνέργειαν· πάλιν δὲ τῇ ἰσχύι ἡ ἀνδρεία, μὴ χρωμένη τῷ πλούτῳ· καὶ ἡ ἰσχὺς τῇ μὲν ἀνδρείᾳ συνεργός ἐστι, τῇ δὲ σωφροσύνῃ οὐδαμῶς. διὸ καὶ αὐτὸς εἶπε δεῖν εὐλαβεῖσθαι τὰ τοιαῦτα προτείνειν ἐ φ ’ ὧν τῷ μὲν ἑτέρῳ τῶν προστιθεμένων χρῆται τὸ κοινὸν ἢ ἄλλως πως συνεργόν ἐστ ι , τῷ δὲ λοιπῷ μὴ χρῆται μηδὲ συνεργόν ἐστι ν . οὐ γάρ, εἰ πρίων μετὰ τεκτονικῆς αἱρετώτερον δρεπάνου μετὰ τεκτονικῆς, διὰ τοῦτο ἀνάγκη πρίονα δρεπάνου εἶναι αἱρετώτερον· διότι γὰρ ὄργανον τῆς τεκτονικῆς ἐστιν ὁ πρίων, οὐκέτι δὲ καὶ τὸ δρέπανον, διὰ τοῦτο αἱρετώτερον· ἐπεὶ καὶ τὸ δρέπανον πάλιν μετὰ ἀμπελουργικῆς αἱρετώτερον ἢ ὁ πρίων. ἐφ’ ὧν οὖν τὰ προστιθέμενα ὁμοίως ἔχει πρὸς τὸ κοινόν, ἐπὶ τούτων ὁ τόπος ἀληθής. p. 118b16 Πάλιν εἰ ἐλάττονι προστεθέν τι τὸ ὅλον μεῖζον ποιε ῖ . Ὁ τόπος τοιοῦτος· τὸ τῷ ἐλάττονι ἀγαθῷ προστιθέμενον καὶ τὸ ὅλον μεῖζον ἀγαθὸν ποιοῦν αἱρετώτερον τοῦ τῷ μείζονι προστιθεμένου καὶ τὸ ὅλον τοῦ ὅλου ἔλαττον ποιοῦντος. ἂν γὰρ ᾖ δύο τινὰ ἀγαθά, τὸ μὲν μεῖζον τὸ δὲ ἔλαττον, καὶ προστεθῇ τινα ἑκατέρῳ αὐτῶν, ὡς γίνεσθαι διὰ τὴν πρόσθεσιν αὐτῶν τό τε ὡς ἔλαττον ἀγαθὸν μεῖζον τὸ δὲ ὡς μεῖζον ἀγαθὸν ἔλαττον, τὸ τῷ ἐλάττονι προσκείμενον αἱρετώτερον τοῦ τῷ ἑτέρῳ τῷ μείζονι προσκειμένου.

in Top.268 δύο γὰρ ἀγαθὰ ἡ εὐεξία καὶ ἡ ὑγεία· προσκείσθω οὖν τῇ μὲν ὑγείᾳ ἐλάττονι οὔσῃ ἀγαθῷ ἀρετή, τῇ δὲ εὐεξίᾳ μείζονι ἀγαθῷ οὔσῃ πλοῦτος· ἐπεὶ οὖν ἡ ὑγεία μετὰ ἀρετῆς μεῖζον ἀγαθὸν εὐεξίας μετὰ πλούτου, καὶ ἀρετὴ πλούτου αἱρετωτέρα. πάλιν ἐπεὶ τοῦ λέγειν καὶ τοῦ σιωπᾶν δύο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄντων καὶ αἱρετωτέρου ὄντος τοῦ λέγειν, ἐπεὶ καὶ πολὺ χρηστότερον, προστεθέντων τῷ μὲν σιωπᾶν τοῦ σωφρόνως τῷ δὲ λέγειν τοῦ ῥητορικῶς τὸ σωφρόνως σιωπᾶν αἱρετώτερον τοῦ ῥητορικῶς λέγειν, καὶ σωφροσύνη ῥητορικῆς αἱρετωτέρα. καὶ ἐπεὶ εὐεξία μὲν ὑγείας μεῖζον ἀγαθόν, προστεθέντων δὲ τῇ μὲν ὑγείᾳ τοῦ θεωρεῖν τῇ δὲ εὐεξίᾳ τοῦ πράσσειν αἱρετώτερον θεωρία μετὰ ὑγείας πράξεως μετὰ εὐεξίας, καὶ θεωρία πράξεως αἱρετωτέρα. p. 118b17 Ὁμοίως δὲ καὶ ἐκ τῆς ἀφαιρέσεω ς . Ὁμοίως φησὶ δεῖν ἐπιχειρεῖν ὥσπερ ἀπὸ τῆς προσθέσεως οὕτω καὶ ἀπὸ τῆς ἀφαιρέσεως· εἰ γὰρ τῶν ἐπ' ἴσης αἱρετῶν ἀφαιρουμένων τινῶν τὸ καταλειπόμενον τῇ τοῦ ἑτέρου ἀφαιρέσει ἔλαττον γίνοιτο ἢ τῇ τοῦ ἑτέρου, οὗ τῇ ἀφαιρέσει ἔλαττον γίνεται, ἐκεῖνο αἱρετώτερον. οὐ μόνον δὲ ἂν δύο τινὰ ὁμοίως αἱρετὰ ληφθῇ, ἀλλὰ κἂν ἕν τι αἱρετόν, ἔπειτα ἀφαιρεθῇ αὐτοῦ δι' ἃ αἱρετώτερον, εἰ εἴη δύο τινὰ καὶ εἴη τῇ τοῦ ἑτέρου αὐτῶν ἀφαιρέσει μειζόνως κατὰ τὴν αἵρεσιν ἐλαττούμενον, οὗ τῇ ἀφαιρέσει ἧττον αἱρετὸν τὸ αὐτὸ γίνεται, ἐκεῖνο αἱρετώτερον τοῦ ἑτέρου, οὗ μετὰ τὴν ἀφαίρεσιν αἱρετώτερον. τοῦτο δὲ προδηλότατον μὲν ἐπὶ μεγεθῶν τε καὶ ἀριθμῶν ἐστιν· ἐλαττοῦται γὰρ τὰ δέκα καὶ τῇ τῶν τριῶν καὶ τῇ τῶν πέντε ἀφαιρέσει· ἀλλ' ἐπειδὴ μᾶλλον ἐλαττοῦται τῇ τῶν πέντε ἀφαιρέσει ἢ τῇ τῶν τριῶν, τὰ πέντε τῶν τριῶν πλείω. ὁ αὐτὸς καὶ ἐπὶ τῶν μεγεθῶν λόγος. ἐπὶ δὲ τῶν αἱρετῶν, ἐφ' ὧν ποιεῖται τὸν λόγον, οὕτως ἂν δεικνύοιτο· εἰ ἀπὸ ὑγείας καὶ πλούτου καὶ κάλλους, ἅμα τῶν τριῶν ὄντων, ἔλαττον τὰ καταλειπόμενα δύο αἱρετὰ γίνεται ὑγείας ἀφαιρεθείσης ἢ πλούτου, ἡ ὑγεία τοῦ πλούτου αἱρετωτέρα· ἔλαττον γὰρ αἱρετὸν πλοῦτος μετὰ κάλλους ἢ κάλλος μετὰ ὑγείας.

in Top.269 καὶ οὕτως μὲν ἐπὶ τοῦ αὐτοῦ. ἔνεστι δὲ καὶ οὕτως δεῖξαι· εἰ ἐπ' ἴσης αἱρετῶν ὄντων πλούτου μετὰ ἰσχύος καὶ ὑγείας μετὰ εὐγενείας, ἀφαιρεθέντων τοῦ μὲν πλούτου τῆς ἰσχύος τῆς δὲ ὑγείας τῆς εὐγενείας ἔλαττον αἱρετὸν ὁ πλοῦτος τῆς ὑγείας, δῆλον ὡς αἱρετώτερον ἰσχὺς εὐγενείας· τὸ γὰρ ἐπ' ἴσης αἱρετὸν ἧττον αἱρετώτερον γίνεται ἀφαιρουμένων τινῶν ἀπ' αὐτῶν, ὅταν μᾶλλον αἱρετὸν ᾖ τὸ ἀφαιρούμενον. p. 118b20 Καὶ εἰ τὸ μὲν δ ι ' αὑτὸ τὸ δὲ διὰ τὴν δόξαν αἱρετό ν . Αἱρετώτερον ὃ δι' αὑτὸ αἱρούμεθα τοῦ διὰ τὴν ἀπὸ τῶν ἄλλων δόξαν. οὕτως ὑγεία κάλλους αἱρετωτέρα· τὴν μὲν γὰρ ὑγείαν δι' αὑτὴν αἱρούμεθα, κἂν μηδεὶς εἴσεσθαι μέλλῃ, τὸ δὲ κάλλος διὰ τὴν ἐπ' αὐτοῦ δόξαν· μάταιον γοῦν δοκεῖ τὸ κάλλος εἶναι μὴ γνωριζόμενον. ὡρίσατο δὲ καὶ τὸ πρὸς δόξαν αἱρετόν· ὃ γὰρ μηδενὸς συνειδότος μὴ ἂν σπουδάσαι τις ὑπάρχειν αὑτῷ, τοῦτ' ἔστι τὸ διὰ δόξαν αἱρετό ν . οὕτως δεικνύοιτ' ἂν ὁ πλοῦτος τιμῆς αἱρετώτερος, καὶ οἰκία εὐοίκητος τῆς κεκοσμημένης, καὶ ἐσθὴς ἡ χρησιμωτέρα τῆς πολυτελοῦς, καὶ τῶν κτημάτων τὰ προσόδους φέροντα τῶν ἐν ἐπιφανέσι καὶ αἰεὶ διοδευομένοις ὄντων χωρίοις. p. 118b22 Καὶ εἰ τὸ μὲν δ ι ' αὑτὸ καὶ τὴν δόξαν αἱρετό ν , τὸ δὲ διὰ θάτερον μόνο ν . [Αἱρετώτερόν φησιν εἶναι τὸ δι' ἀμφότερα αἱρετὸν τοῦ διὰ δόξαν μόνην, οἶμαι καὶ τοῦ δι' αὑτό, ἐὰν ἐπὶ τοῦ αὐτοῦ παραληφθῇ· τὸ γὰρ δι' ἄμφω αἱρετώτερον πρόδηλον.] ἐπεὶ καὶ τὸ δι' αὑτὸ μόνον τοῦ πρὸς δόξαν αἱρετώτερον, καὶ τὸ δι' ἄμφω, φησί, τοῦ πρὸς θάτερον μόνον· τὸ γὰρ διὰ δύο τοῦ διὰ τὸ ἕτερον αὐτῶν αἱρετοῦ αἱρετώτερον. οὕτως ἡ μετὰ τοῦ χρησίμου τὸ κεκοσμημένον ἔχουσα οἰκία αἱρετωτέρα τῆς μόνον τὸν κόσμον περικειμένης ἢ μόνον τὸ χρήσιμον ἐχούσης.

in Top.270 ὁμοίως δὲ καὶ ἐσθὴς ἢ σκεῦος. ἀλλὰ καὶ ἵππος αἱρετώτερος ὁ πρὸς τῷ εὐπειθής τε καὶ ταχὺς εἶναι καὶ ὀφθῆναι καλὸς ὢν τοῦ τὸ ἕτερον ἔχοντος μόνον. ἀλλὰ καὶ τὰ ἄλλα κτήματα ἄμφω ἔχοντα τῶν μόνον τὸ ἕτερον. δεικνύοιτο δ' ἂν οὕτω καὶ τὸ ἐν ὄψει τῶν πολλῶν τὰ καλὰ προσεῖναι αἱρετώτερον ὂν τοῦ λανθάνοντα, καὶ τὸ πρὸς τῷ εἶναι δίκαιον καὶ τὸ δοκεῖν ἔχειν τοῦ μόνον εἶναι. καὶ ἐπὶ τῶν ἄλλων αἱρετῶν ὁμοίως· ὅθεν εἴρηται καὶ τὸ "ἄγνωστον μηδὲν ἔχοιμι καλόν". ὁμοίως δ' ἂν δεικνύοιτο καὶ φευκτότερον, ὃ καὶ δι' αὑτὸ καὶ διὰ τὴν δόξαν φευκτόν ἐστι, τοῦ διὰ θάτερον μόνον· φευκτότερον γὰρ τὸ φανερῶς ἀδικεῖν τοῦ κρύφα· καὶ τὸ ἀκολασταίνειν ὁμοίως. p. 118b24 Καὶ ὁπότερον μᾶλλον δ ι ' αὑτὸ τίμιο ν , τοῦτο καὶ βέλτιον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ αἱρετώτερο ν . Ὥσπερ τὸ δι’ αὑτὸ αἱρετὸν τοῦ διὰ δόξαν αἱρετώτερον καὶ τὸ δι’ αὑτὸ καὶ διὰ δόξαν τοῦ διὰ θάτερον, οὕτω καὶ τῶν δι’ αὑτὰ αἱρετῶν τε καὶ τιμίων τὸ μᾶλλον δι’ αὑτὸ αἱρετὸν καὶ τίμιον αἱρετώτερον. οἷον εἰ μᾶλλον δ ι ’ αὑτὸ τίμιον θεωρία πράξεως (πᾶσα γὰρ πρᾶξις ὑπὲρ τοῦ ἐπανορθῶσαί τι γίνεσθαι δοκεῖ, ἡ δὲ θεωρία αὐτὴ δι’ αὑτήν), αἱρετώτερον. καὶ εἰ μᾶλλον δι’ αὑτὴν ἡ φρόνησις τῆς ἀνδρείας τιμία, καὶ αἱρετωτέρα· τῆς μὲν γὰρ πανταχοῦ, τῆς δὲ ἐν τοῖς κινδύνοις ἡ ἐνέργεια. ὡρίσατο δὲ καὶ τὸ δι’ αὑτὸ τιμιώτερον, τοῦτ’ ἔστιν αἱρετώτερον, ὥσπερ καὶ τὸ πρὸς δόξαν αἱρετὸν πρὸ ὀλίγου· ὃ γὰρ μηδενὸς ἄλλου μέλλοντος ὑπάρξειν δ ι ’ αὑτὸ αἱρούμεθα μᾶλλο ν , τοῦτ’ ἔστι κα θ ’ αὑτὸ καὶ δι’ αὑτὸ τιμιώτερο ν . οὕτω τιμιώτερον ὑγεία πλούτου καὶ εὐγενείας καὶ ἰσχύος καὶ κάλλους. p.

in Top.271 118b27 Ἔτι διελέσθαι ποσαχῶς τὸ αἱρετὸν λέγεται καὶ τινῶν χάρι ν . Δεῖν φησι καὶ ἐκ τῆς διαιρέσεως τοῦ αἱρετοῦ ἀφορμὰς λαμβάνειν· ἂν γὰρ διελώμεθα ποσαχῶς λέγεται τὸ αἱρετόν, ἐπεὶ μὴ μοναχῶς, εὐπορήσομεν ἐπιχειρημάτων πρὸς τὴν τοῦ αἱρετωτέρου κατασκευήν. λέγεται δὴ τὸ αἱρετὸν τριχῶς· καὶ γὰρ τὸ καλὸν καὶ τὸ ἡδὺ καὶ τὸ συμφέρον αἱρετά. ᾧ δὴ πάντα ταῦτα ὑπάρχει καὶ διὰ πάντα ἐστὶν αἱρετόν, τοῦτο τῶν μὴ πάντα ἐχόντων αἱρετώτερον· καὶ ᾧ τὰ πλείω τῶν οἷς τὰ ἐλάττω, ἂν τὸ ὁμοίως αὐτοῖς ὑπάρχῃ, ἐπειδὴ δύναταί γε τὸ κατὰ τὶ ὂν σφόδρα αἱρετὸν τοῦ κατὰ πάντα μὲν μὴ μέντοι σφόδρα αἱρετοῦ αἱρετώτερον εἶναι· ἡ γοῦν φρόνησις δι’ αὑτὴν μόνον οὖσα αἱρετὴ αἱρετωτέρα ἐστὶν ἰσχύος διὰ πάντα οὔσης αἱρετῆς· καὶ γὰρ δι’ αὑτὸ ἡ ἰσχὺς αἱρετὸν εἶναι δοκεῖ καὶ ὡς καλὸν καὶ ὡς συμφέρον καὶ ὡς ἡδύ, ἀλλ’ ὑπερέχει τῷ δι’ αὑτὸ αἱρετῷ ἡ φρόνησις τούτων ἁπάντων. ἀλλὰ κἂν τὸ μὲν δι’ αὑτὸ ᾖ αἱρετόν, τὸ δὲ διὰ τὸ ἡδὺ καὶ τὸ χρήσιμον, τὸ δι’ αὑτὸ αἱρετὸν καίτοι δι’ ἓν ὂν αἱρετὸν αἱρετώτερον ἂν εἴη [καὶ] τοῦ δι’ ἐκεῖνα αἱρετοῦ καίτοι διὰ πλείω ὄντος αἱρετοῦ. σωφροσύνη γοῦν δι’ αὑτὴν μόνον οὖσα αἱρετὴ αἱρετωτέρα ἐστὶ τιμῆς καὶ διὰ τὸ ἡδὺ καὶ διὰ τὸ χρήσιμον οὔσης αἱρετῆς. ἢ πᾶσα ἀρετὴ καὶ δι’ αὑτὴν καὶ διὰ τὸ ἡδύ ἐστιν αἱρετή, ὅτι ἡδεῖαι καθ’ αὑτὰς αἱ κατ’ ἀρετὴν ἐνέργειαι· διὸ καὶ εἰ κατὰ πλείω τι εἴη αἱρετὸν οὐκ ὂν ἀρετή, τῷ καὶ διὰ τὸ καλὸν καὶ διὰ τὸ ἡδὺ ἐλαττοῦσθαι τῆς ἀρετῆς ἔλαττον αὐτῆς ἔσται αἱρετόν. ἔσται οὖν αἱρετώτερον τὸ κατὰ πάντα τοῦ κατὰ τινὰ καὶ τὸ κατὰ πλείω τοῦ κατὰ ἐλάττω, ἂν ᾖ τὸ κατὰ πλείω ὁμοίως τῷ κατὰ ἐλάττω καθ’ ἕκαστον τῶν αἱρετῶν αἱρετὸν καὶ ἔτι τὰ ἐλάττω ἐν τοῖς πλείοσι περιέχηται. οὕτως ἐν Ἠθικοῖς ἔδειξε τὴν διὰ τὸ καλὸν φιλίαν αἱρετωτέραν οὖσαν τῆς τε διὰ τὸ ἡδὺ καὶ τῆς διὰ τὸ χρήσιμον· ἡ γὰρ διὰ τὸ καλὸν πρὸς τῷ διὰ τὸ καλὸν αἱρετὴ εἶναι καὶ τὸ ἡδὺ καὶ τὸ χρήσιμον ἔχει.

in Top.272 καὶ ἰσχὺς δὲ πλούτου αἱρετωτέρα ἂν δεικνύοιτο τῷ διὰ τὰ πλείω αἱρετὴ εἶναι [καὶ τὸ ἡδὺ καὶ τὸ χρήσιμον ἔχειν]· ὁ μὲν γὰρ διὰ τὸ συμφέρον μόνον, ἡ δὲ καὶ τὸ καλὸν καὶ τὸ ἡδὺ ἔχειν δοκεῖ. ἀλλὰ καὶ ὑγεία ἡδονῆς· καὶ γὰρ τὸ ἡδὺ καὶ τὸ συμφέρον ἔχει. εἰ δὲ εἴη τὰ συγκρινόμενα διὰ τὰ αὐτὰ αἱρετά, ᾧ μᾶλλον ὑπάρχει ταῦτα, ἐκεῖνο αἱρετώτερον ἔσται. οὕτω σωφροσύνη ἐγκρατείας· διὰ τὰ αὐτὰ μὲν γὰρ ἄμφω, ἀλλὰ μᾶλλον ἡ σωφροσύνη. καὶ τὸ μανθάνειν δὲ τοῦ γυμνάζεσθαι αἱρετώτερον, καίτοι ἄμφω διὰ τὸ συμφέρον αἱρετά· ἀλλὰ μᾶλλον ὑπάρχει τοῦτο τῷ μανθάνειν. οὕτω δειχθήσεται καὶ ἀνδρείας δικαιοσύνη αἱρετωτέρα· ἀμφότεραι μὲν γὰρ καὶ διὰ τὸ καλὸν καὶ διὰ τὸ ἡδύ, ἀλλ’ οὐχ ὁμοίως ἡ ἀνδρεία τὸ ἡδὺ ἔχει διὰ τὰ τραύματα καὶ τὰς ἀναιρέσεις. ἀλλὰ καὶ τὸ τοῦ βελτίονος χάριν αἱρετὸν αἱρετώτερον, οἷον τὸ μανθάνειν τοῦ γυμνάζεσθαι· τὸ μὲν γὰρ ἐπιστήμης χάριν, τὸ δὲ ἰσχύος. ἀλλὰ καὶ τὰ χρηστὰ ἤθη τῆς ἀσκήσεως τοῦ σώματος· τὰ μὲν γὰρ διὰ φιλοσοφίαν, ἡ δὲ διὰ ἄθλησιν αἱρετή. καὶ τοῦ πανηγυρίζειν τὸ παιδεύεσθαι· τὸ μὲν γὰρ ἀρετῆς χάριν, τὸ δὲ ἡδονῆς. ὁ δὲ τόπος δυνάμει ἤδη καὶ ἐν τοῖς πρώτοις εἴρηται· ὧν γὰρ τὰ τέλη αἱρετώτερα, καὶ αὐτὰ αἱρετά. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν φευκτῶν · καὶ γὰρ καὶ ἐπὶ τούτων φευκτότερον τὸ πλειόνων ἀγαθῶν ἐμποδιστικὸν καὶ τὸ τῶν μᾶλλον ἀγαθῶν ἀναιρετικόν. οὕτω νόσος αἴσχους · πλειόνων γὰρ ἡ νόσος ἐμποδιστική· καὶ γὰρ ἡδονῆς καὶ τοῦ σπουδαῖον εἶναι · τὸ δὲ ἡδονῆς μόνης. καὶ πενία ἀδοξίας, καὶ ἡ τῆς ψυχῆς ἀφυΐα τῆς τοῦ σώματος· τοῦ γὰρ

μᾶλλον αἱρετοῦ ἐμποδιστικόν. καὶ ἀποβολὴ μαθημάτων ἀποβολῆς χρημάτων· βελτίονος γὰρ ἀναιρετικόν. εἴη δ' ἂν τὸ διὰ τὴν δόξαν αἱρετὸν ἢ ὑπὸ τὸ ἡδὺ ἢ ὑπὸ τὸ συμφέρον. p. 118b37 Ἔτι ἐκ τοῦ ὁμοίως δεικνύναι φευκτὸν καὶ αἱρετό ν . Ἧττον αἱρετὸν τὸ ὁμοίως αἱρετόν τε καὶ φευκτὸν τοῦ μόνον αἱρετοῦ. οἷον εἰ τὸ μὲν πολιτεύεσθαι καὶ αἱρετὸν καὶ φευκτόν (φευκτὸν γὰρ διά τε τὰς ἐνοχλήσεις καὶ τὰς ἐπηρείας), τὸ δὲ φιλοσοφεῖν αἱρετὸν μόνον, αἱρετώτερον τὸ φιλοσοφεῖν. καὶ εἰ δόξα μὲν καὶ κάλλος καὶ πλοῦτος καὶ αἱρετὰ καὶ φευκτά (διὰ γὰρ τὰς δι' αὐτὰ ἐπιβουλὰς ἔχει τι καὶ φευκτόν), ὑγεία δὲ καὶ ἰσχὺς αἱρετὰ μόνον, αἱρετώτερα ταῦτα ἐκείνων τῶν αἱρετῶν καὶ φευκτῶν.

in Top.273 εἴη ἂν καὶ τὸ πλεῖν τε καὶ ἐμπορεύεσθαι διὰ τοὺς κινδύνους τοὺς κατὰ θάλατταν πρὸς τῷ αἱρετῷ καὶ τὸ φευκτὸν ἔχοντα, τὸ δὲ γεωργεῖν αἱρετὸν μόνον. p. 119a2 Οἱ αὐτοὶ δὲ τόποι χρήσιμοι καὶ πρὸς τὸ δεικνύναι ὁτιοῦν αἱρετὸν ἢ φευκτό ν . Παραδοὺς τοὺς τόπους, δι' ὧν οἷόν τέ ἐστι τὰς κατὰ τὸ αἱρετὸν συγκρίσεις ποιεῖσθαι, τοὺς αὐτοὺς τόπους φησὶν ἁρμόζειν καὶ πρὸς τὸ δεικνύναι ὅτι ἁπλῶς τί ἐστιν αἱρετόν. ἐπεὶ γὰρ τὸ αἱρετώτερον καὶ αἱρετόν, ὥσπερ τὸ χρησιμώτερον καὶ χρήσιμον καὶ τὸ κάλλιον καὶ καλόν, ἂν τὰς ὑπεροχὰς καὶ τὰς συγκρίσεις τὰς πρὸς ἄλληλα ἑκάστου αὐτῶν ἀφαιρῶμεν, δεικνύοιμεν ἂν αὐτὰ δῆλον ὅτι καὶ ἁπλῶς ὄντα τοιαῦτα διὰ τῶν αὐτῶν τόπων. τῷ γὰρ τὸ τίμιον αἱρετὸν εἶναι, τούτῳ καὶ τὸ τιμιώτερόν τινος αἱρετώτερον ἐκείνου· ὥστε ἐν τῷ λαβεῖν ὅτι τίμιον εἴη ἂν καὶ ὅτι αἱρετὸν λαμβάνων· ὁμοίως καὶ τὸ χρησιμώτερον αἱρετώτερον, ὅτι τὸ χρήσιμον αἱρετόν. ἀφελόντας οὖν χρὴ τὴν πρὸς ἄλληλα σύγκρισιν λαμβάνειν 'πᾶν τὸ τίμιον αἱρετόν, ἀρχὴ δὲ φέρε εἰπεῖν τίμιον, ὥστε καὶ αἱρετόν'· ὁμοίως καὶ ἐπὶ τοῦ χρησίμου 'τὸ χρήσιμον αἱρετόν, πλοῦτος δὲ χρήσιμον'. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων, καθ' ἃ τὸ αἱρετώτερον δείκνυται, ὅσα τῷ ὁμολογουμένως αἱρετὰ εἶναι, καθ' ἃ ἡ σύγκρισις αὐτοῖς, αἱρετώτερα εἶναι δείκνυται· οὐ γὰρ μόνον τὸ τιμιώτερον καὶ τὸ χρησιμώτερον αἱρετώτερον, ἀλλὰ καὶ τὸ ἀλυπότερον, ἂν οὕτως τύχῃ, καὶ τὸ ἥδιον καὶ ὃ ὁ σπουδαῖος ἂν ἕλοιτο μᾶλλον· καὶ καθ' ὅσα ἄλλα τοιαῦτα ἡ κατὰ τὸ αἱρετὸν ὑπεροχὴ γίνεσθαι δέδεικται, κατὰ πάντα, ἂν ἀφελόντες τὴν πρὸς ἄλληλα σύγκρισιν καὶ ὑπεροχὴν τὸ ἁπλῶς λαμβάνωμεν, εἴημεν ἂν αἱρετὸν ἕκαστον αὐτῶν δεικνύντες. ἐ π ' ἐνίων δέ φησιν εὐθέως ἐν τῇ πρὸς ἕτερον συγκρίσει περιέχεσθαί τε καὶ ἐλέγχεσθαι καὶ τὸ ἑκάτερον αὐτῶν αἱρετὸν εἶναι, ἢ τὸ ἕτερόν γε φανερῶς. πάντως μὲν γὰρ ἄμφω δεῖ εἶναι τοιαῦτα τὰ συγκρινόμενα, προδήλως μέντοι τὸ ἕτερον [τὸ προσκείμενον] τοιοῦτον εἶναι τίθεται· ᾧ γὰρ πρόσκειται τὸ ἀγαθόν, προδήλως τοῦτο ἔχει καὶ τὸ αἱρετὸν προσκείμενον.

in Top.274 οὐκέθ' ὁμοίως φανερῶς τὸ αἱρετὸν ἐν τῇ κατὰ τὸ χρήσιμον συγκρίσει περιέχεται. ἔστιν οὖν ὃ λέγει, ὅτι ἐπ' ἐνίων οὐ δεῖ κατασκευῆς πρὸς τὸ δεῖξαι αἱρετὸν τῶν κατὰ τὴν σύγκρισιν λεγομένων. ἴσως μὲν γὰρ πρὸς τὸ δεῖξαι τὸ χρήσιμον αἱρετὸν ἢ τὸ ἡδὺ ἢ τὸ ἄλυπον ἢ τὸ πολυχρόνιον λόγου δεῖ· ἐν οἷς δὲ κατὰ τὸ ἀγαθὸν ἡ σύγκρισις, ταῦτα προδήλως τὸ αἱρετὸν ἔχει· τὸ γὰρ αἱρετὸν ἀγαθόν. ἢ οὐ τοῦτ' ἔστι τὸ λεγόμενον διὰ τοῦ ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ὅσα τοιαύτην ἔχει τὴν σύγκρισιν · ἀλλ' ἐπεὶ ἔνια τῶν κατὰ σύγκρισιν λεγομένων οὐ πάντως καὶ τὸ ἁπλῶς ἐμφαινόμενον ἔχει (οὐ γάρ, εἰ τὸ ἑνὶ ὑπερέχον τινὸς πλεῖον ἐκείνου καὶ διὰ τοῦτο τὰ τρία τῶν δύο πλείω, ἤδη καὶ τὸ πολλὰ εἶναι τὰ τρία οἷόν τε διὰ τοῦ κειμένου τόπου δεικνύναι, ἀφελόντας αὐτοῦ τὴν πρὸς τὰ δύο ὑπεροχήν· ἀλλ' οὐδ', ἐπεὶ πᾶν τὸ ληφθὲν μέγεθος, κἂν ᾖ μικρόν, ὑπερέχει τινός, τὸ δ' ὑπερέχον τινὸς μεῖζον, ἤδη, διότι μεῖζον, καὶ μέγα), διὰ τοῦτο οὖν προσέθηκε τὸ ὅσα τοιαύτην ἔχει τὴν σύγκρισι ν . τοιαύτην δὲ ἔχει τὰ αἱρετώτερον ἄλλο ἄλλου δεικνύντα τι τῷ πολυχρονιωτέρῳ ἀγαθῷ, τῷ βεβαιοτέρῳ, τοῖς τοιούτοις. ὁ γὰρ λέγων τὸ φύσει ἀγαθὸν τοῦ μὴ φύσει ἀγαθοῦ αἱρετώτερον εἶναι, τῷ τὸ ἀγαθὸν αἱρετὸν εἶναι ἐπ' ἀμφοτέρων δὲ αὐτὸ λαμβάνειν καὶ ὅτι ἀμφότερά ἐστιν αἱρετὰ τίθησιν· καὶ γάρ, εἴ τι φύσει ἀγαθόν ἐστι, τοῦτο αἱρετόν· κἂν μὴ φύσει δὲ ᾖ τι, ἀγαθὸν δέ, καὶ τοῦτο αἱρετόν· πᾶν γὰρ ἀγαθὸν αἱρετόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συγκρίνοντες μὲν οὖν ἐροῦμεν ‘τὸ φύσει ἀγαθὸν τοῦ μὴ φύσει αἱρετώτερον· καὶ ἔστι φύσει μὲν ἀγαθὸν ἡ ὑγεία, οὐ φύσει δὲ τὸ νικᾶν μαχόμενον· αἱρετώτερον ἄρα ὑγεία τῆς ἐν πολέμῳ νίκησ‘. δεικνύντες δὲ αἱρετὸν ἐροῦμεν ‘τὸ φύσει ἀγαθὸν αἱρετόν, φύσει δὲ ἀγαθὸν ἡ ὑγεία, καὶ αἱρετὸν ἄρα‘, καὶ πάλιν ‘πᾶν ἀγαθὸν αἱρετόν, ὥστε καὶ τὸ μὴ φύσει‘. ὁμοίως καὶ ἐπὶ τοῦ τιμιωτέρου· εἰ τοῦτο τούτου τῷ τιμιώτερον εἶναι αἱρετώτερόν ἐστιν, ἐπεὶ τὸ τίμιον αἱρετόν, τὸ δὲ τιμιώτερόν τινος τίμιον (οὐ γὰρ ἂν ἦν τιμιώτερον μὴ ὂν τίμιον), τόδε ἄρα αἱρετόν. ὁμοίως, εἰ τόδε τῷ πολυχρονιώτερον ἀγαθὸν εἶναι τοῦδε αἱρετώτερον, τὸ αὐτὸ τοῦτο τῷ πολυχρόνιον εἶναι αἱρετὸν ἂν εἴη.

in Top.275 δῆλον οὖν πῶς οἷόν τε τοῖς συγκριτικοῖς τόποις χρῆσθαι καὶ πρὸς τὴν τοῦ ἁπλῶς αἱρετοῦ δεῖξιν. ἐπιζητήσαι δ’ ἄν τις εἰ ἐπὶ πάντων ὑγιὲς τὸ τὸ μᾶλλόν τι ὂν καὶ ἁπλῶς εἶναι· λέγεται γὰρ καὶ γῆ γῆς κουφοτέρα οὐκ οὖσα ἁπλῶς κούφη, καὶ πῦρ πυρὸς βαρύτερον οὐκ ὂν ἁπλῶς βαρύ. ἢ οὐ κυρίως ἐπὶ τούτων τὰ συγκριτικὰ λέγεται τῶν μὴ ἀναδεχομένων τὸν λόγον τοῦ καθ’ ὃ ἡ σύγκρισις· οὔτε γὰρ ἡ γῆ τὸν τοῦ κούφου λόγον ἐπιδέχεται, ἥ γε ἁπλῶς ἐστι βαρεῖα (κοῦφον δέ ἐστι τὸ ἐξ ἑαυτοῦ φερόμενον εἰς τὸν ἄνω τόπον), οὔτε τὸ πῦρ 〈τὸν〉 τοῦ βαρέως. οὐ λέγεται γὰρ ἡ γῆ κουφοτέρα τῷ θᾶττον ἐξ αὑτῆς ἄνω φέρεσθαι, ἀλλὰ τῷ εὐβιαστοτέρα εἶναι καὶ ῥᾷον ἄνω βιάζεσθαι, ὃ οὐκ ἔστι κούφου· ὁμοίως καὶ πῦρ βαρύτερον λέγεται τὸ ῥᾷον κάτω σπώμενον. καθ’ ὁμοιότητα οὖν τινα ταῦτα λέγεται, οὐ κυρίως. p. 119a12 Ληπτέον δὲ ὅτι μάλιστα καθόλου τοὺς τόπου ς . Περὶ τοῦ μᾶλλον καὶ τοῦ μείζονος καὶ ὅλως τῶν ἐν συγκρίσει παραδοὺς ἡμῖν τοὺς συγκριτικοὺς τόπους ἐπὶ ὡρισμένου τινός (ἐπὶ γὰρ τοῦ αἱρετοῦ· πάντες γὰρ κατὰ τοῦτο τὴν σύγκρισιν ἐποιοῦντο, ἐπειδὴ εὐπαρακολουθητοτέρα ἡ τῶν τόπων παράδοσις ἐπὶ ὡρισμένου τινός [ὡς τὸ φύσει ἀγαθὸν αἱρετόν, φύσει δὲ ἀγαθὸν ἡ ὑγεία, ἡ ὑγεία φύσει αἱρετόν. ἔστι δέ τινα φύσει αἱρετὰ οὐ πάντως ἀγαθά· οἷον ἀγαθὸν ἄρα ἡ ὑγεία πρώτη πρότασις, ὡς εἴπομεν, γινομένη]), ἐπεὶ μὴ γίνεται ἡ σύγκρισις κατὰ τὸ αἱρετὸν μόνον, πάνυ ἐμμεθόδως ὑποδείκνυσιν ἡμῖν δι’ ὧν προστίθησι, πῶς τοῖς αὐτοῖς τούτοις τόποις καθόλου καὶ πρὸς τὰ ἄλλα πάντα, καθ’ ἃ ἡ σύγκρισις γίνεται, χρῆσθαι δυνησόμεθα. ἐπεὶ γὰρ τὸ μᾶλλον συγκριτικὸν ὄν, καὶ τὸ μεῖζον ὁμοίως, οὐκ ἐν ἀγαθοῖς μόνον καὶ αἱρετοῖς ἐστιν ἀλλὰ καὶ ἐν ἄλλοις (μᾶλλον γὰρ καὶ ἐπὶ θερμοῦ καὶ βαρέος καὶ λευκοῦ καὶ μυρίων ἄλλων λέγεται· ὁμοίως καὶ τὸ μεῖζον συγκριτικὸν 〈ὂν〉 οὐκ ἐπὶ ἀγαθῶν μόνον ἢ κακῶν καὶ αἱρετῶν τε καὶ φευκτῶν λέγεται ἀλλὰ καὶ ἐπ’ ἄλλων· μάλιστα μὲν γὰρ ἐπὶ μεγεθῶν, καὶ ἐπὶ ἀριθμῶν δὲ καὶ βαρέων καὶ ἐπ’ ἄλλων μυρίων ἡ κατὰ τὸ μεῖζον γίνεται σύγκρισις), δεῖν φησι τοὺς συγκριτικοὺς τόπους, ὡς ἐδήλωσε τῇ προσθέσει τῇ περὶ τοῦ μᾶλλον καὶ μείζονο ς , καθολικωτέρους λαμβάνειν· οὕτως γὰρ λαμβανόμενοι πρὸς πλείω χρήσιμοι ἔσονται καὶ οὐ μόνον πρὸς τὰ αἱρετὰ καὶ φευκτά, πρὸς ἃ νῦν αὐτοῖς κεχρήμεθα.

in Top.276 εἰπὼν δὲ τοῦτο, πῶς οἷόν τε τοὺς προειρημένους τόπους καθόλου ποιεῖν, ὑποτίθεται. ἂν γὰρ μικρὸν παραλλάσσωμεν ἐν τῇ ἐκθέσει αὐτῶν, τὸ κοινότερον ἀντὶ τοῦ εἰδικωτέρου προστιθέντες, γίνοιτ’ ἂν τὸ προειρημένον. καὶ πῶς τοῦτο γίνοιτ’ ἄν, διὰ παραδειγμάτων δηλοῖ ἐπὶ τόπων, πρῶτον μὲν τοῦ ‘τὸ φύσει ἀγαθὸν τοῦ μὴ φύσει αἱρετώτερον‘. οὕτως μὲν γὰρ ῥηθεὶς οὗτος ὁ τόπος ἐπὶ ἀγαθῶν μόνον καὶ τῆς τούτων συγκρίσεως χρήσιμος γίνεται· ἐπεὶ δὲ οὐ μόνον τὸ φύσει ἀγαθὸν τοῦ μὴ φύσει ἀγαθοῦ μᾶλλον ἀγαθὸν καὶ αἱρετώτερον, ἀλλὰ καὶ τὸ φύσει φευκτὸν τοῦ μὴ φύσει φευκτότερον καὶ τὸ φύσει λευκὸν τοῦ μὴ φύσει λευκότερον (καὶ ἐπὶ ὑγιεινοῦ δὲ καὶ γλυκέος καὶ τῶν ὁμοίων τούτοις ὁ αὐτὸς λόγος), ἂν δὴ εἴπωμεν ἀντὶ τοῦ ‘τὸ φύσει ἀγαθὸν 〈τοῦ μὴ φύσει ἀγαθοῦ μᾶλλον ἀγαθόν‘〉 τὸ φύσει τοιοῦτον τοῦ μὴ φύσει τοιούτου μᾶλλον τοιοῦτο ν , καθόλου τε ποιήσομεν τὸν τόπον καὶ χρῆσθαι αὐτῷ πρὸς πάντα δυνησόμεθα ἐν οἷς ἐστι τὸ φύσει καὶ μὴ φύσει· πάντα γὰρ συγκεχώρηται οὕτως τεθέντος τοῦ τόπου. πάλιν κείσθω τὸ ποιοῦν τῇ παρουσίᾳ ἀγαθοὺς αἱρετώτερον τοῦ μὴ ποιοῦντος· ἂν δὴ

ἀντὶ τοῦ ‘τὸ ποιοῦν ἀγαθοὺς αἱρετώτερον τοῦ μὴ ποιοῦντοσ‘ εἰδικῶς εἰρημένου λάβωμεν ‘τὸ ποιοῦν τὸ ἔχον αὐτὸ τοιόνδε τι τοῦ μὴ ποιοῦντος μᾶλλόν ἐστι τοιοῦτον‘, καθόλου τε ποιήσομεν τὸν τόπον καὶ πρὸς πολλὰ αὐτῷ χρῆσθαι δυνησόμεθα. αὐτὸς δὲ οὕτως ἔθηκε τὸν τόπον· εἰ τὸ μὲν ποιεῖ τὸν ἔχοντα αὐτὸ τοιοῦτον, ᾧ ἂν ὑπάρχ ῃ , τὸ δὲ μὴ ποιε ῖ , μᾶλλον τοιοῦτον ὅ ποτε ποιεῖ ἢ ὃ μὴ ποιε ῖ . οὕτω γὰρ καὶ τὸ ποιοῦν θερμὸν τοῦ μὴ ποιοῦντος θερμότερον, καὶ τὸ ποιοῦν γλυκὺ καὶ τὸ ποιοῦν καλὸν καὶ τὸ ποιοῦν ἡδὺ **** . εἰ δὲ ἀμφότερα ποιεῖ τὸ αὐτό, τὸ μᾶλλον ποιοῦν τοιοῦτο μᾶλλο ν , οἷον εἰ ἀμφότερα ποιεῖ τὸ ἔχον γλυκὺ ἢ θερμὸν ἢ ἀγαθὸν ἢ μεῖζον.

in Top.277 ἡ γὰρ εἰς τὸ γενικώτερον, ὅπερ ἐστὶ τὸ τοιοῦτο ν , μετάθεσις κοινότερον ἐποίησε τὸν τόπον καὶ πολυχρηστότερον. p. 119a20 Ἔτι εἰ τοῦ αὐτοῦ τινος τὸ μὲν μᾶλλον τὸ δὲ ἧττον τοιοῦτο ν . Παρέδωκέ τινα καὶ τοιοῦτον τόπον “εἴ τινος τοῦ αὐτοῦ τὸ μὲν μεῖζον ἀγαθόν ἐστι τὸ δὲ ἔλαττον, αἱρετώτερον τὸ μεῖζον”· οὕτως γὰρ εὐεξία πλούτου αἱρετωτέρα, ὅτι τῆς ὑγείας ἡ μὲν εὐεξία αἱρετωτέρα, ὁ δὲ πλοῦτος ἧττον αἱρετός. πῶς οὖν καὶ τοῦτον καθολικώτερον ποιήσομεν τῇ ἐκθέσει τε καὶ προσηγορίᾳ, λέγει. οὕτω γὰρ ῥηθείς ‘ εἰ τοῦ αὐτοῦ τινος τὸ μὲν μᾶλλον τὸ δὲ ἧττον τοιοῦτο ν , μᾶλλον τοιοῦτον ὃ τοῦ αὐτοῦ μᾶλλόν ἐστι τοιοῦτον‘ καθόλου [γὰρ] ἔσται, λαβόντων ἡμῶν ἀντὶ τοῦ ‘ἀγαθόν‘ τὸ τοιοῦτον · κειμένου γὰρ τούτου καὶ μεῖζόν τι ἄλλο ἄλλου καὶ πλεῖον καὶ θερμότερον καὶ γλυκύτερον καὶ πάντα τὰ τούτοις ὅμοια δεικνύναι δυνησόμεθα τῷ πᾶσιν αὐτοῖς ἐφαρμόζειν τὸ τοιοῦτο ν . Καὶ εἰ τὸ μὲν μᾶλλον τοιούτου τοιοῦτον τὸ δὲ μὴ τοιοῦτο ν , δῆλον ὅτι τὸ πρῶτον ῥηθὲν μᾶλλον τοιοῦτο ν . τοῦ τόπου τοῦ λέγοντος ‘εἰ τὸ μὲν ἀγαθοῦ τινος μεῖζον εἴη ἀγαθόν, τὸ δὲ ἀγαθὸν μὲν εἴη μηδενὸς δὲ ἀγαθοῦ μεῖζον, αἱρετώτερον τὸ ἀγαθοῦ τινος μεῖζον‘ [καὶ] καθόλου ἐστὶν οὗτος ὃν ἐκτίθεται· δυνάμεθα γὰρ δι’ αὐτοῦ καὶ θερμότερον ἄλλο ἄλλου δεικνύναι καὶ γλυκύτερον καὶ ἄλλα μυρία τῷ τὸ τοιοῦτο πολλοῖς ἐφαρμόζειν καὶ μὴ τοῖς αἱρετοῖς μόνοις. ἔοικε δὲ ἄλλος τις παρὰ τοὺς εἰρημένους ὁ τόπος οὗτος εἶναι, ἂν οὕτως τις αὐτοῦ ἀκούῃ. τὸ γὰρ θερμόν, εἰ τοῦ μᾶλλον θερμοῦ θερμότερον, πολλῷ μᾶλλον θερμόν, καὶ τὸ τοῦ μᾶλλον γλυκέος 〈γλυκύτερον πολλῷ μᾶλλον γλυκύ〉 · ὁμοίως καὶ ἐπὶ ψυχροῦ καὶ πικροῦ καὶ τῶν τοιούτων. p. 119a22 Ἔτι ἐκ τῆς προσθέσεω ς . Δείκνυσι, πῶς καὶ οἱ ἐκ τῆς προσθέσεώς τε καὶ ἀφαιρέσεως τόποι, οὓς ἐξέθετο, καὶ αὐτοὶ γίνοιντ’ ἂν καθολικώτεροι. οὓς μὲν οὖν ἐξέθετο ἐκ τῆς προσθέσεως, ἦσαν οὗτοι· “εἰ τῷ αὐτῷ προστιθέμενόν τι τὸ ὅλον αἱρετώτερον ποιεῖ”, καὶ “εἰ ἐλάττονι προστεθέν τι τὸ ὅλον μεῖζον ποιεῖ”.

in Top.278 εἰς οὓς δὲ νῦν μετατίθησιν αὐτούς, εἰσὶν οὗτοι· εἰ τῷ αὐτῷ προστιθέμενον τὸ ὅλον μᾶλλον ποιεῖ τοιοῦτον (τὸ γὰρ μᾶλλον τοιοῦτον καθολικώτερον τοῦ ‘αἱρετώτερον‘, ἁρμόζον καὶ ἐπὶ λευκοῦ καὶ γλυκέος καὶ κακοῦ καὶ τῶν τοιούτων) καὶ εἰ τῷ ἧττον τοιούτῳ προστιθέμενον τὸ ὅλον μᾶλλον ποιεῖ τοιοῦτον · τὸ γὰρ ἧττον τοιοῦτο καὶ μᾶλλον τοιοῦτο καθολικώτερα τοῦ ἧττον αἱρετοῦ καὶ μᾶλλον αἱρετοῦ. πάλιν ἐκ τῆς ἀφαιρέσεως ὁ μὲν εἰρημένος ἦν ἐπὶ τοῦ αἱρετοῦ “οὗ γὰρ ἀφαιρεθέντος ἀπὸ τοῦ αὐτοῦ τὸ λειπόμενον ἔλαττον, ἐκεῖνο μεῖζον ἂν εἴη, ὁπότε ἀφαιρεθὲν τὸ λειπόμενον ἔλαττον ἐποίει”. εἰς ὃν δὲ νῦν μεταλαμβάνει, ἔστιν οὗτος· οὗ ἀφαιρεθέντος τὸ λειπόμενον ἧττον τοιοῦτο ν , αὐτὸ μᾶλλον τοιοῦτον · τοῦ γὰρ ἔλαττον καὶ μεῖζον, οἷς ἐχρήσατο τότε, τὸ ἧττον τοιοῦτον καὶ μᾶλλον τοιοῦτον κοινότερά τε καὶ καθολικώτερα. διὸ οὕτω κειμένῳ τῷ τόπῳ ἔνεστιν ἐπὶ πλειόνων χρῆσθαι. p. 119a27 Καὶ τὰ τοῖς ἐναντίοις ἀμιγέστερα μᾶλλον τοιαῦτ α . Οὗτος μετενήνεκται ἐπὶ τὸ καθολικώτερον ἀπὸ τοῦ τὸ ἄμικτον κακῷ ἀγαθὸν αἱρετώτερον εἶναι τοῦ μεμιγμένου· τὰ γὰρ αὐτὰ εἶπε μετὰ ἀλυπίας αἱρετώτερα εἶναι ἢ μετὰ λύπης. καθόλου γὰρ μᾶλλον τοιαῦτα [ὁποῖα] εἶναι λέγεται τὰ ἀμιγέστερα τοῖς ἐναντίοις · λευκόν τε γὰρ μᾶλλον τὸ ἀμιγέστερον τῷ ἐναντίῳ καὶ γλυκύ, ἀλλὰ καὶ ἡδύ· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων, οἷς ἐστί τι ἐναντίον. δύναται καὶ ἀπὸ τοῦ τελευταίου

εἰρημένου τόπου οὗτος μετενηνέχθαι τοῦ “ἔτι ἐκ τοῦ ὁμοίως δεικνύναι φευκτόν”. p. 119a28 Ἔτι παρὰ τὰ εἰρημένα πρότερον τὸ μᾶλλον ἐπιδεχόμενον τὸν οἰκεῖον τοῦ προκειμένου λόγο ν . Παρὰ τοὺς παραδεδομένους τόπους συγκριτικοὺς τοῦτον νῦν προστίθησιν ὄντα ἀπὸ τοῦ ὁρισμοῦ· οὐ γὰρ ἐμνημόνευσεν αὐτοῦ ἐπὶ τῆς κατὰ τὸ αἱρετὸν συγκρίσεως.

in Top.279 τὸ γὰρ ἐπιδεχόμενον μᾶλλον τὸν ὁρισμὸν τὸν τοῦ προκειμένου μᾶλλον τοιοῦτον. λευκὸν μὲν γὰρ μᾶλλον τὸ τὸν τοῦ λευκοῦ λόγον ἐπιδεχόμενον μᾶλλον· τὸ γὰρ χρῶμα τὸ μᾶλλον διακριτικὸν ὄψεως μᾶλλον λευκόν, ἐπεὶ τὸ λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεω ς . ὁμοίως καὶ γλυκύτερον τὸ μᾶλλον ἐπιδεχόμενον τὸν τοῦ γλυκέος λόγον. καὶ αἱρετώτερον δὲ κατὰ τὰ αὐτὰ ἂν εἴη τὸ μᾶλλον τὸν τοῦ αἱρετοῦ λόγον ἐπιδεχόμενον, καὶ ἥδιον τὸ τὸν τῆς ἡδονῆς. ὃν ἴσως οὐ παραδέδωκε τόπον ἐπὶ τῶν τὸ αἱρετώτερον δεικνύντων τόπων, ὅτι μήτε τοῦ αἱρετοῦ μήτε τοῦ ἀγαθοῦ εἷς ἦν ὁ λόγος· τῶν γὰρ πολλαχῶς λεγομένων τὰ ἀγαθὰ καὶ αἱρετά. p. 119a32 Ἐὰν δὲ ἐπὶ μέρους καὶ μὴ καθόλου τὸ πρόβλημα τεθ ῇ . Εἰπὼν ἐν τῷ δευτέρῳ καὶ ἐν τούτῳ περὶ τῶν καθόλου προβλημάτων ὅσα τοῦ συμβεβηκότος ἔχεται, ἢ ἁπλῶς τὴν ζήτησιν ἔχοντα ἢ συγκριτικήν, τίνες ἁρμόζουσι πρὸς αὐτὰ τόποι, νῦν περὶ μὲν τῶν συγκριτικῶν προβλημάτων οὐκέτι λέγει, δείκνυσι δὲ πῶς οἷόν τέ ἐστι τοῖς παραδεδομένοις τόποις χρῆσθαι καὶ πρὸς τὴν τῶν ἐπὶ μέρους προβλημάτων κατασκευήν τε καὶ ἀνασκευήν. καὶ πρῶτόν γε δείκνυσιν, ὃ καὶ κατὰ τὴν ἀρχὴν εἶπε τοῦ δευτέρου, ὅτι οἱ καθολικῶς λεγόμενοι τόποι οὐ μόνον εἰσὶ πρὸς τὰ καθολικὰ προβλήματα χρήσιμοι ἀλλὰ καὶ πρὸς τὰ ἐπὶ μέρους· τῷ γὰρ τοῦ καθόλου κατασκευαστικῷ καὶ τὸ ἐπὶ μέρους συγκατασκευάζεται, καὶ πάλιν τῷ καθόλου ἀνασκευαστικῷ καὶ τὸ ἐπὶ μέρους ἀνασκευάζεται. εἰ καὶ ἐπὶ μέρους οὖν εἴη τὸ πρόβλημα κείμενον, χρήσιμοι οἱ καθόλου τόποι. ζητουμένου γὰρ εἰ ἥδε ἡ ἡδονὴ ἀγαθόν, ὁ δείξας πᾶσαν ἡδονὴν ἀγαθὸν ἔδειξεν ὅτι καὶ ἡ ζητουμένη· πάλιν εἰ εἴη προκείμενον δεῖξαι τήνδε τινὰ τὴν ἡδονὴν μὴ εἶναι ἀγαθόν, ὁ δείξας μηδεμίαν οὖσαν ἡδονὴν ἀγαθὸν ἔδειξεν ὅτι μηδὲ ἡ προκειμένη. τούτων δὲ ἐμνημόνευσεν, ὡς εἶπον, καὶ τοῦ δευτέρου ἀρχόμενος δι’ ὧν εἶπεν “ἔστι δὲ πρὸς ἀμφότερα τὰ γένη τῶν προβλημάτων κοινὰ τὰ καθόλου κατασκευαστικὰ καὶ ἀνασκευαστικά”. νῦν δὲ σαφέστερον ἐξείργασται. Εἰπὼν δὲ πάντας τοὺς καθόλου χρησίμους εἶναι καὶ πρὸς τὰ ἐπὶ μέρους προβλήματα (πᾶν γὰρ τὸ καθόλου δειχθὲν συναποδείκνυσι καὶ τὸ ὑπ’ αὐτό) μάλιστα ἐπικαίρους καὶ κοινούς φησιν εἶναι τόπους πρός τε τὰ καθόλου καὶ τὰ ἐπὶ μέρους προβλήματα, ὡς δύνασθαι μὴ μόνον τῷ τὰ καθόλου δεδεῖχθαι συναποδείκνυσθαι καὶ τὰ ἐπὶ μέρους ἀλλὰ ἀπὸ τῶν καθόλου καὶ πρὸς τὰ ἐπὶ μέρους μεταφέρεσθαι, τούς τε ἐκ τῶν ἀντικειμένων καὶ τῶν συστοίχων καὶ τῶν πτώσεω ν .

in Top.280 οὐ γὰρ πάντα τὰ ἐπὶ μέρους οἷόν τε διὰ τῶν καθόλου δείκνυσθαι, τῷ εἶναί τινα τῶν ἐπὶ μέρους καὶ καθ’ αὑτὰ ἀληθῆ τε καὶ ψευδῆ· διὸ δεῖ πρὸς αὐτὰ καὶ ἰδίων τινῶν τόπων. πρὸς γὰρ τὸ δεῖξαι τινὰ ἄνθρωπον μουσικὸν οὐχ οἷόν τε χρῆσθαι τῷ πάντα εἶναι μουσικόν, ὅτι μὴ ἀληθὲς τοῦτο, οὐδὲ πρὸς τὸ τινὰ μὴ εἶναι γραμματικὸν τῷ μηδένα. καὶ ἐπεὶ τετραχῶς λέγεται τὰ ἀντικείμενα, ἐφ’ ἑκάστου εἴδους ἀντιθέσεως χωρὶς τῶν κατὰ ἀντίφασιν ἀντικειμένων δείκνυσιν ὅτι ὁ αὐτὸς τόπος ὁμοίως ἁρμόσει καθόλου τε ὄντος τοῦ προβλήματος καὶ ἐν μέρει, μεταφερόμενος ἐπὶ ταῦτα ἀπ’ ἐκείνων. καὶ πρῶτόν γε ἐπὶ τῶν ἐναντίων δείκνυσι τοῦτο. ὁμοίως γά ρ , φησίν, ἔνδοξον τό τε ζητουμένου εἰ πᾶσα λύπη κακὸν ἀξιῶσα ι , εἰ πᾶσα ἡδονὴ ἀγαθό ν , καὶ πᾶσαν λύπην εἶναι κακό ν , ὅς ἐστι τόπος ἀπὸ τῶν ἐναντίων καθόλου, καὶ τὸ ζητουμένου εἴ τις λύπη κακὸν ἀξιῶσαι, εἰ ἡδονή τις ἀγαθό ν , καὶ λύπην τινὰ εἶναι κακόν · εἴη γὰρ ἂν ἡ ἐπὶ ταῖς καλαῖς ἐνεργείαις ἡδονὴ ἀγαθὸν καὶ ἡ ἐπὶ ταῖς αὐταῖς ἐνεργείαις λύπη κακόν. καθόλου μὲν γὰρ ὄντος τοῦ προβλήματος καὶ ζητουμένου εἰ πᾶσα λύπη κακόν, ἔνδοξον τὸ ἐκ τοῦ ἐναντίου τὴν ἐπιχείρησιν ποιήσασθαι οὕτως· εἰ πᾶσα ἡδονὴ ἀγαθό ν , καὶ πᾶσα λύπη κακόν. εἰ δὲ ἐπὶ μέρους εἴη τὸ πρόβλημα, ζητουμένου πότερον λύπη τις κακὸν ἢ οὔ, οὐδὲν ἔλαττον ἔνδοξον τὸ ἀξιοῦν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰ ἡδονή τις ἀγαθό ν , καὶ λύπην τινὰ εἶναι κακό ν . πάλιν τῷ ἀπὸ τῶν κατὰ ἕξιν καὶ στέρησιν ἀντικειμένων τόπῳ ὁμοίως ἔνεστι χρῆσθαι καὶ πρὸς τὰ καθόλου προβλήματα καὶ πρὸς τὰ ἐπὶ μέρους. αὐτὸς δὲ τῶν ἐπὶ μέρους μόνον ἐμνημόνευσεν ὡς ἐν τοῖς πρώτοις εἰρηκὼς περὶ τοῦ καθόλου. ἔστι μὲν γὰρ κατὰ ἕξιν καὶ στέρησιν ἀντικείμενα αἴσθησις καὶ ἀναισθησία· λέγων δὲ ἐπὶ τῶν ἐν μέρει, ε ἴ , φησίν, αἴσθησίς τις μή ἐστι δύναμι ς , οὐ δ ' ἄν τις ἀναισθησία ἀδυναμία εἴη · εἰ γὰρ βουλοίμεθα δεῖξαι ὅτι τις ἀναισθησία οὐκ ἔστιν ἀδυναμία, δεικνύοιμεν ἂν λαβόντες ὅτι τις αἴσθησις οὐκ ἔστι δύναμις.

in Top.281 εἰ δὲ ἦν προκείμενον ἡμῖν δεῖξαι τὸ πρόβλημα καθόλου, πᾶσαν ἀναισθησίαν ἀδυναμίαν οὖσαν, καθόλου ἂν καὶ τὸ ἀντικείμενον λαβόντες ἐπὶ τῆς ἕξεως, ὅτι πᾶσα αἴσθησις δύναμις, εἴημεν ἂν δεδειχότες ὅτι καὶ πᾶσα ἀναισθησία ἀδυναμία· ὁμοία γὰρ ἡ ἀξίωσις ἐφ' ἑκάστου τῶν προβλημάτων. καὶ πάλιν, εἰ ἐβουλόμεθα δεῖξαι ὅτι μηδεμία ἀναισθησία ἀδυναμία, ἐλαμβάνομεν ἂν ὅτι οὐδεμία αἴσθησις δύναμις. τούτῳ γὰρ ἀκόλουθον καὶ τὸ παράδειγμα, ὃ παρέθετο· εἴ τις αἴσθησις δύναμις μή ἐστ ι , καὶ ἀναισθησία τις οὐκ ἔστιν ἀδυναμία · ἧς γὰρ 〈ἂν〉 αἰσθήσεως ἡ ἕξις ληφθῇ μὴ οὖσα δύναμις, ταύτης οὐδὲ ἡ στέρησις εἴη ἂν ἀδυναμία. παρατίθεται δὲ παράδειγμα καὶ τῶν κατὰ πρός τι ἀντικειμένων ἐπὶ μέρους, δεικνὺς ὅτι ἔστι μεταφέρειν τὸ καθόλου ἐπὶ τὸ κατὰ μέρος. ζητουμένου γὰρ εἴ τις ὑπόληψις ἐπιστήμη, ἀπὸ τοῦ ἀντικειμένου οὕτως ἂν ἐπιχειρήσαι τις· εἴ τι ὑποληπτὸν ἐπιστητό ν , καί τις ὑπόληψις ἐπιστήμη · ἡ γὰρ ὑπόληψις ὑποληπτοῦ ὑπόληψις. εἰ δὲ ἦν καθόλου τὸ πρόβλημα καὶ ἐζητεῖτο εἰ πᾶσα ὑπόληψις ἐπιστήμη, ἐλαμβάνετο ἂν καὶ τὸ ἀντικείμενον τῇ ὑπολήψει, τὸ ὑποληπτόν, καθόλου οὕτως· εἰ πᾶν ὑποληπτὸν ἐπιστητόν, καὶ πᾶσα ὑπόληψις ἐπιστήμη. οὐκέτι δὲ ἐμνημόνευσε τῶν κατὰ κατάφασιν καὶ ἀπόφασιν ἀντικειμένων, ὅτι μηδὲ ἔστιν ἐν μέρει ἀντίφασις· τῷ γὰρ τὶ εἶναι τὸ τὶ μὴ εἶναι οὐκ ἀντίκειται· αἱ γὰρ κατὰ ἀντίφασιν ἀντιθέσεις τῶν καθόλου τοῖς ἐπὶ μέρους ἀντιτιθεμένων γίνονται. διὸ ὁ μὲν δείξας, ὅτι ψευδὴς ἡ καθόλου κατάφασις ἐπί τινος, δείκνυσιν ὅτι ἀληθὴς ἡ ἐπὶ μέρους ἀπόφασις ἐπὶ τοῦ αὐτοῦ· κἂν δείξῃ ψευδῆ τὴν ἐπὶ μέρους ἀπόφασιν, ἔδειξεν ἀληθῆ τὴν καθόλου κατάφασιν. ὁμοίως καὶ ἐπὶ τῆς καθόλου ἀποφάσεως καὶ τῆς ἐπὶ μέρους καταφάσεως. οὐκέτι μέντοι ὁ δείξας τὸ ἐπὶ μέρους καταφατικὸν ψεῦδος ἔδειξεν ἤδη τὸ ἐπὶ μέρους ἀποφατικὸν καθ' αὑτό, ἀλλά, εἴπερ ἄρα, τῷ ὑπὸ τὸ καθόλου αὐτὸ εἶναι· οὐ γὰρ ὁ δείξας ψεῦδος τινὰ ἄνθρωπον μουσικὸν δέδειχεν ἤδη καὶ τὸ τινὰ ἄνθρωπον μὴ εἶναι μουσικόν. Εἰπὼν δὲ περὶ τῶν ἀντικειμένων καὶ δείξας πῶς ἔνεστι τοῖς αὐτοῖς τόποις καὶ ἐπὶ τῶν καθόλου χρῆσθαι καὶ ἐπὶ τῶν ἐπὶ μέρους, πάλιν δείκνυσιν πῶς τῷ ἀπὸ τῶν πτώσεων καὶ ἐπὶ τῶν ἐπὶ μέρους προβλημάτων οἷόν τε χρῆσθαι.

in Top.282 πτῶσις μὲν γὰρ τὸ ἀδίκως, τὸ ἄδικον. ζητουμένου δὲ ἐπὶ μέρους εἴ τι ἄδικον ἀγαθόν, ἀπὸ τῶν πτώσεων οὕτως ἂν ἐπιχειρήσαι τις· εἴ τι τῶν ἀδίκως γινομένων ἀγαθόν, καί τι ἄδικον ἀγαθόν. εἰ δὲ καθόλου ἐζητεῖτο εἰ τὸ ἄδικον ἀγαθόν, ἁπλῶς ἂν ἐλαμβάνετο ἡ πτῶσις· εἰ τὸ ἀδίκως ἀγαθῶς, καὶ τὸ ἄδικον ἀγαθόν· ὅμοιον γὰρ ὡς ἐπὶ τοῦ καθόλου τὸ καθόλου, οὕτω καὶ ἐπὶ τοῦ ἐπὶ μέρους τὸ ἐπὶ μέρους λαμβάνειν. ἑξῆς δὲ τὸν ἀπὸ τῶν συστοίχων τόπον δείκνυσιν ἐφαρμόζοντα τοῖς ἐπὶ μέρους. σύστοιχα δὲ ἀλλήλοις ἀνδρεία, ἀνδρεῖος, ἀνδρείως, ἀνδρεῖον, πάλιν ἡδονή, ἡδόμενος, ἡδέως, ἡδὺ καὶ πάντα τὰ οὕτω πρὸς ἄλληλα ἔχοντα, ὡς ἐν τοῖς πρώτοις εἴρηται. εἰ ζητούμενον 〈μὲν οὖν〉 εἴη ἐπὶ μέρους πότερόν τις ἡδονὴ φευκτὸν ἢ οὔ, ἀπὸ τοῦ συστοίχου οὕτως ἡ ἐπιχείρησις ἔσται· εἴ τι τῶν ἡδέων φευκτόν 〈, καί τις ἡδονὴ φευκτόν〉 [ἢ οὔ, ἀπὸ τοῦ ἡδέος ἡ ἐπιχείρησις]· καὶ ὁμοίως, εἴ τι ἡδὺ ὠφέλιμον, καὶ ἡδονή τις ἀγαθόν· τὸ γὰρ ὠφέλιμον ἀγαθόν. εἰ δὲ ἁπλῶς καθόλου ἐζητεῖτο περὶ πάσης ἡδονῆς εἰ φευκτή, καθόλου ἂν ἐλαμβάνετο, εἰ πάντα τὰ ἡδέα φευκτά, καὶ πᾶσα ἡδονὴ φευκτόν. p. 119b8 Καὶ ἐπὶ τῶν φθαρτικῶν δὲ καὶ τῶν γενέσεων καὶ φθορῶ ν . Ὁμοίως φησὶ τοῖς ἀπὸ τῶν ἀντικειμένων καὶ τῶν πτώσεων καὶ τῶν συστοίχων τόποις καὶ τοὺς ἀπὸ τῶν φθαρτικῶν καὶ τῶν γενέσεων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ φθορῶν καὶ ἐπικαίρους καὶ κοινοὺς εἶναι καὶ πρὸς τὰ ἐπὶ μέρους προβλήματα καὶ τὸ ἔνδοξον ὅμοιον ἔχειν ἐπί τε τῶν καθόλου προβλημάτων καὶ ἐπὶ τῶν ἐπὶ μέρους. ὡς γὰρ ἔνδοξον τὸ καθόλου τὸ εἰ πᾶν τὸ ἡδονῆς φθαρτικὸν ἀγαθόν ἐστι, καὶ πᾶσαν ἡδονὴν κακὸν εἶναι, οὕτως ἔνδοξον καὶ τὸ εἰ τὸ τινὸς ἡδονῆς φθαρτικὸν ἀγαθόν ἐστιν, τὸ τινὰ ἡδονὴν κακὸν εἶναι· ἔκειτο γάρ, ὧν μὲν τὰ φθαρτικὰ ἀγαθά, αὐτὰ τῶν κακῶν εἶναι, ὧν δὲ κακά, αὐτὰ τῶν ἀγαθῶν. ἔμπαλιν δὲ ἐπὶ τῶν γενέσεων. ὡς δὲ ἐπὶ τῶν φθαρτικῶν, οὕτω καὶ ἐπὶ τῶν φθορῶν. ἔστι δὲ φθαρτικὸν μὲν ἐπιστήμης, ἂν οὕτω τύχῃ, λήθη, φθορὰ δὲ ἄγνοια, καὶ φθαρτικὸν μὲν ὑγείας τὸ ἐμπίπλασθαι, φθορὰ δὲ νόσος.

in Top.283 ὁ αὐτὸς δὲ καὶ ἐπὶ τῆς ἐπιστήμης λόγος· ὡς γὰρ ἔνδοξον καθόλου τὸ εἰ τὸ ἐπιστήμης φθαρτικὸν ἀγαθόν, ἡ ἐπιστήμη κακόν, οὕτως ἔνδοξον καὶ ἐπὶ μέρους λαμβανόμενον· εἰ γὰρ τὸ τινὸς ἐπιστήμης φθαρτικὸν ἀγαθόν, καὶ τὶς ἐπιστήμη κακόν. καὶ ταῦτα μὲν τοῦ ἀπὸ τῶν φθαρτικῶν τόπου παραδείγματα. τῶν δὲ ἀπὸ τῶν φθορῶν τε καὶ γενέσεων τόπων καθόλου μὲν παραδείγματα εἴη ἂν τοιαῦτα· εἰ ἡ τῆς ἐπιστήμης φθορὰ ἀγαθόν, ἡ ἐπιστήμη κακόν, καὶ εἰ ἡ γένεσις τῆς ἐπιστήμης τῶν κακῶν, ἡ ἐπιστήμη κακόν. ἔστι γὰρ τόπος ὁ μὲν ἀπὸ τῶν φθορῶν ‘οὗ ἡ φθορὰ ἀγαθόν, αὐτὸ κακόν, καὶ οὗ ἡ φθορὰ κακόν, αὐτὸ ἀγαθόν‘, ὡς εἶπον, ὁ δὲ ἀπὸ τῶν γενέσεων ‘οὗ ἡ γένεσις κακόν, καὶ αὐτὸ τοιοῦτον, καὶ οὗ ἡ γένεσις ἀγαθόν, καὶ αὐτὸ ἀγαθόν‘. τὰ μὲν οὖν καθόλου τῶν τόπων παραδείγματα τοιαῦτα· αὐτὸς δὲ οὐκέτι παρατίθεται τῷ φθάνειν εἰρῆσθαι περὶ αὐτῶν. τὰ δὲ ἐπὶ μέρους, περὶ ὧν νῦν τὸν λόγον ποιεῖται δεικνὺς ὁμοίως καὶ πρὸς ταῦτα χρησίμους ὄντας τοὺς τόπους, ταῦτα· εἰ ἡ φθορὰ τῆς ἐπιστήμης τῶν ἀγαθῶν ἢ ἡ γένεσις τῶν κακῶ ν , ἔστι τις ἐπιστήμη τῶν κακῶν · ἅμα γὰρ ἀμφοτέρων τῶν τόπων εἴη ἂν τὸ παράδειγμα. εἰ γὰρ τὸ ἐπιλανθάνεσθαι τῶν πραχθέντων τινὶ αἰσχρῶν ἀγαθόν, τὸ ἐπίστασθαι τὰ πραχθέντα αἰσχρὰ κακόν. καὶ τοῦτο μὲν τοῦ ἀπὸ τῶν φθορῶν τε καὶ φθαρτικῶν τὸ παράδειγμα· φθαρτικὸν μὲν γὰρ ἐπιστήμης τε καὶ γνώσεως τὸ ἐπιλανθάνεσθαι· κοινότερον γὰρ τῷ τῆς ἐπιστήμης ὀνόματι ἀντὶ τῆς γνώσεως χρῆται· φθορὰ δὲ εἴη ἂν τὸ ἐπιλελῆσθαι. τοῦ δὲ ἀπὸ τῶν γενέσεων· εἰ τὸ ἀναμιμνήσκεσθαι τῶν αἰσχρῶς πραχθέντων κακόν, καὶ τὸ ἐπίστασθαι αὐτὰ κακόν· τὸ γὰρ ἀναμιμνήσκεσθαι γένεσίς τις. ὡσαύτως δέ φησι καὶ ἐπὶ τῶν ἄλλων ἔχειν· ὅμοιον γὰρ τὸ ἔνδοξον ἐπί τε τῶν καθόλου προβλημάτων καὶ ἐπὶ τῶν καθ’ ἕκαστα. τὸ δὲ τῶν ἄλλων ἤτοι πρὸς τὰ παραδείγματα εἴρηκεν (οὐ γὰρ μόνον ἐπὶ τῶν εἰρημένων ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων, ἃ ἂν προχειρισώμεθα, ἀληθὲς τὸ οὗ τὸ φθαρτικὸν αἱρετόν, αὐτὸ φευκτὸν εἶναι, καὶ οὗ ἡ γένεσις τῶν κακῶν, καὶ αὐτὸ κακόν, οὐκ ἐπὶ τῆς ἐπιστήμης μόνης), ἢ ἐπὶ τῶν ἄλλων λέγει τῶν παρεπομένων ταῖς γενέσεσι καὶ ταῖς φθοραῖς, οἷον τῶν ποιητικῶν, τῶν χρήσεων, τῶν λήψεων. ἔκειτο γὰρ οὗ τὸ ποιητικὸν ἀγαθόν, καὶ αὐτὸ τοιοῦτον, καὶ οὗ ἡ χρῆσις ἢ ἡ λῆψις αἱρετή, καὶ αὐτὸ αἱρετόν· ἔτι ὥσπερ οὗ τὸ φθαρτικὸν ἀγαθόν, αὐτὸ κακόν, οὕτως καὶ ἔμπαλιν, οὗ τὸ φθαρτικὸν κακὸν ἢ ἡ φθορά, αὐτὸ ἀγαθόν.

in Top.284 καὶ ἐπὶ τούτων 〈οὖν〉 φησιν ὅμοιον τὸ ἔνδοξον ἐπί τε τῶν καθόλου καὶ ἐπὶ τῶν καθ’ ἕκαστα προβλημάτων εἶναι. p. 119b17 Ἔτι ἐκ τοῦ μᾶλλον καὶ ἧττον καὶ ὁμοίω ς . Καὶ οἱ ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον καὶ τοῦ ὁμοίως παραδεδομένοι τόποι, ὁ μὲν ἐκ τοῦ μᾶλλον ἀνασκευαστικὸς μόνον (εἰ γὰρ τὸ μᾶλλόν τι ὂν μή ἐστιν, οὐδ’ ἂν τὸ ἧττον εἴη), ὁ δὲ ἐκ τοῦ ἧττον κατασκευαστικός (εἰ γὰρ τὸ ἧττόν τι ὄν ἐστι, καὶ τὸ μᾶλλον τὸ αὐτὸ εἴη ἄν), καὶ ὁ ἀπὸ τοῦ ὁμοίου ὁμοίως πρὸς ἄμφω χρήσιμος, καὶ πρὸς κατασκευὴν καὶ πρὸς ἀνασκευήν (εἰ γὰρ τὸ ὁμοίως τινί 〈τι〉 ὄν ἐστιν ἐκεῖνο, καὶ τὸ ὁμοίως αὐτῷ τὸ αὐτὸ εἴη ἄν, καὶ εἰ τὸ ὁμοίως [αὐτῷ] τινί τι ὂν μή ἐστιν, οὐδ’ ἂν τὸ ὁμοίως αὐτῷ τὸ αὐτὸ εἴη ἄν), φησὶ δὴ καὶ τούτους τοὺς τόπους ὁμοίως καὶ ἐπὶ τῶν ἐπὶ μέρους προβλημάτων τὸ πιθανὸν ἔχειν ὡς καὶ ἐπὶ τῶν καθόλου. οὐκέτι δὲ τῆς διαφορᾶς αὐτῶν μνημονεύει, ἥν, ὅτε τὴν παράδοσιν αὐτῶν ἐποιεῖτο, ἐξέθετο εἰπὼν ἢ ἓν περὶ 〈ἑνὸς ἢ ἓν περὶ〉 δύο λέγεσθαι ἢ δύο περὶ ἑνὸς ἢ δύο περὶ δύο· φθάνει γὰρ εἰρῆσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρῆται μέντοι παραδείγματι ἐν ᾧ ἓν περὶ δύο λέγεται· τὸ γὰρ ἀγαθὸν περὶ ἐπιστήμης καὶ ἡδονῆς διὰ τοῦ παραδείγματος λέγεται. ἔνεστιν ὁμοίοις χρήσασθαι, καὶ εἰ δύο περὶ ἑνὸς λέγοιτο· εἰ γὰρ μᾶλλόν τις ἀδικία συμφέρον ἢ ἡδὺ οὖσα οὐκ ἔστι συμφέρον, οὐδ’ ἂν ἡδὺ εἴη. ἀλλὰ καὶ εἰ δύο περὶ δύο λέγοιτο· εἰ μᾶλλόν τις ἀσωτία ἐλευθεριότης ἢ ἠλιθιότης τις σωφροσύνη, εἰ μὴ τὸ πρῶτον, οὐδὲ τὸ δεύτερον. οὐκέτ’ ἂν ἐπὶ τῶν ἐπὶ μέρους προβλημάτων ἔχοι χώραν ὁ πρῶτος τῶν ἀπὸ τοῦ μᾶλλον τόπων παραδοθείς, οὗ ἦν παράδειγμα ‘εἰ ἡ μᾶλλον ἡδονὴ μᾶλλον ἀγαθόν, καὶ ἁπλῶς ἡ ἡδονὴ ἀγαθόν‘. πάλιν δὲ καὶ ἐπὶ τούτων τῶν μὲν καθόλου οὐ μνημονεύει ὡς εἰρηκὼς ἤδη περὶ αὐτῶν, δείκνυσι δὲ τὴν τῶν ἐπὶ μέρους [ἐν] αὐτοῖς ὁμοιότητα. ποιεῖται δὲ τὴν δεῖξιν πρῶτον ἐπὶ τοῦ τόπου τοῦ ἀπὸ τοῦ μᾶλλον ὄντος ἀνασκευαστικοῦ.

in Top.285 τοῦ μὲν οὖν καθόλου προβλήματος εἴη ἂν παράδειγμα καθόλου· εἰ μᾶλλον ἐπιστήμη ἡδονῆς οὖσα ἀγαθὸν μή ἐστιν ἀγαθόν, οὐδ’ ἂν ἡδονὴ ἀγαθὸν εἴη. τοῦ δὲ ἐπὶ μέρους αὐτὸς οὕτως μνημονεύει· εἰ γὰρ μᾶλλον μὲν τῶν ἐξ ἄλλου γένους τι τοιοῦτο ν , ἐκείνων δὲ μηδέν ἐστι ν , οὐ δ ’ ἂν τὸ εἰρημένον εἴη τοιοῦτο ν . τί δέ ἐστι τὸ ἐξ ἄλλου γένου ς , αὐτὸς διὰ τοῦ παραδείγματος ἐδήλωσεν εἰπὼν οἷον εἰ μᾶλλον μὲν ἐπιστήμη τις ἀγαθὸν ἢ ἡδον ή , μηδεμία δὲ ἐπιστήμη ἀγαθό ν , οὐ δ ’ ἂν ἡδονὴ εἴη · ἄλλο γὰρ γένος ἡ ἐπιστήμη καὶ ἄλλο ἡ ἡδονή. εἰ μὲν οὖν ἦν ἁπλῶς εἰλημμένον ‘εἰ μᾶλλον ἐπιστήμη ἀγαθὸν ἢ ἡδονή‘, καθόλου ἂν ἦν λεγόμενον ἐπὶ διαφερόντων γενῶν, ὥσπερ καὶ εἰ ἐλέγετο ‘εἰ μᾶλλον μὲν τόδε γένος τοῦδε τοιοῦτον‘, οἷον ἐπιστήμη ἡδονῆς· νῦν δὲ προσκείμενον τῷ μὲν τὸ τὶ τῷ δὲ τὸ τὶς ἐπὶ μέρους αὐτὰ ποιεῖ. ἐπὶ μέρους δὲ ὄντος τοῦ προβλήματος ἀνασκευάζων αὐτὸ καθόλου λέγει οὐδεμία δὲ ἐπιστήμη ἀγαθό ν , ὅτι μὴ ἔστιν ἄλλως ἀνασκευάζειν τὰ ἐπὶ μέρους καταφατικά, εἰ ἁπλῶς ἀνασκευάζοιτο ἀορίστως τιθέμενα, ἢ διὰ τοῦ καθόλου ἀποφατικοῦ, ὡς καὶ αὐτὸς προελθὼν ἐρεῖ. ἔστι δὲ οὐ μόνον ἐπὶ διαφερόντων γενῶν ὁ τόπος προϊὼν ἀλλὰ καὶ ἐπὶ τῶν ὑπὸ τὸ αὐτό. ἂν γὰρ τῶν ἐν ταὐτῷ γένει τὸ μάλιστα τοιοῦτον εἶναι δοκοῦν λαμβάνων τις δεικνύῃ μὴ τοιοῦτον ὄν, ἀνασκευάσει τὸ καὶ ἄλλο τι τῶν ὑπ’ αὐτὸ τοιοῦτον εἶναι· οἷον εἰ τὸ ἐν τῷ γένει μάλιστα τοιοῦτον εἶναι δοκοῦν μή ἐστι τοιοῦτον, οὐδ’ ἂν ἄλλο τι τῶν ἐν τῷ γένει τοιοῦτον εἴη. εἰ γὰρ ἡ μάλιστα ἂν δόξασα ἡδονὴ τὸ ἄριστον εἶναι (αὕτη δέ ἐστιν ἡ τῆς ψυχῆς) μή ἐστι τὸ ἄριστον, οὐδ’ ἂν ἄλλη τις ἡδονὴ τὸ ἄριστον εἴη. πάλιν εἰ ὃ μάλιστα τοῦ ἐνδεχομένου ἐπιστητὸν φαίνεται, μή ἐστιν ἐπιστητόν, οὐδ’ ἂν ἄλλο τι ἐνδεχόμενον ἐπιστητὸν εἴη· μάλιστα δὲ τοῦ ἐνδεχομένου ἐπιστητὸν ἂν δόξαι εἶναι τὸ ὡς ἐπὶ τὸ πολύ· εἰ οὖν τοῦτο οὐκ ἔστιν ἐπιστητόν, οὐδ’ ἄλλο τι ἄρα ἐνδεχόμενον. οὕτως οὐδὲ αἴσθησίς τις ἐπιστήμη, ἐπεὶ οὐδ’ ἡ μάλιστα, οἷον ἡ ὄψις. ἀλλ’ οὐδὲ ἀπαθής τις ἄνθρωπος, ἐπεὶ οὐδ’ ὁ μάλιστα ἂν δόξας· οὗτος δέ ἐστιν ὁ σπουδαῖος. καὶ αὐτὸς δέ, ὅτι ἔστι καὶ ἐπὶ τοῦδε τοῦ γένους τὴν ἐκ τοῦ μᾶλλον ἀνασκευὴν ποιεῖσθαι, ὀλίγον προελθὼν λέγει.

in Top.286 ὡς δὲ τῷ ἀπὸ τοῦ μᾶλλον τόπῳ, φησίν, ἔνεστι χρῆσθαι καὶ ἐπὶ τῶν καθ’ ἕκαστα προβλημάτων ἀνασκευάζοντα, οὕτως καὶ τοῖς ἀπὸ τοῦ ὁμοίως τε καὶ ἧττον ἔσται καὶ τὰ ἐπὶ μέρους ἀναιρεῖν τε καὶ κατασκευάζειν. διοίσει δέ, ὅτι ὁ μὲν ἀπὸ τοῦ ὁμοίως τόπος, ὡς προείρηται, καὶ ἀνασκευαστικός ἐστι καὶ κατασκευαστικός, ὁ δὲ ἀπὸ τοῦ ἧττον κατασκευαστικὸς μόνον, ὥσπερ καὶ ὁ ἀπὸ τοῦ μᾶλλον μόνον ἀνασκευαστικός. καὶ παρατίθεται δὲ παραδείγματα, δι’ ὧν σαφῶς δείκνυσι τὸν μὲν ἀπὸ τοῦ ὁμοίως καὶ κατασκευαστικὸν ὄντα καὶ ἀνασκευαστικὸν ὥσπερ ἐπὶ τῶν καθόλου προβλημάτων οὕτως καὶ ἐπὶ τῶν ἐπὶ μέρους, τὸν δὲ ἀπὸ τοῦ ἧττον κατασκευαστικὸν μόνον· ὅτι γὰρ μὴ οἷόν τε τῷ ἀπὸ τοῦ ἧττον πρὸς ἀνασκευὴν χρήσασθαι, ἔδειξε. κειμένου γὰρ τοῦ εἰ ἧττον δύναμίς τις ἀγαθὸν ἢ ἐπιστήμ η , ἂν μὲν προσληφθῇ τὸ ἔστι δέ τις δύναμις ἀγαθό ν , δείκνυται καὶ κατασκευάζεται ὅτι καὶ ἐπιστήμη · ἂν δὲ προσληφθῇ τὸ μηδεμίαν δύναμιν ἀγαθὸν εἶναι, οὐ δείκνυται τὸ μηδὲ ἐπιστήμην· οὐ γὰρ ἀνάγκη, εἰ τὸ ἧττόν τι

ὂν μή ἐστι, μηδὲ τὸ μᾶλλον ὂν εἶναι, ὥσπερ ἀνάγκη, εἰ τὸ ἧττόν τι ὄν ἐστι, καὶ τὸ μᾶλλον [τι] ὂν εἶναι. τὸ δὲ παράδειγμα καὶ ἐπὶ τούτων, ᾧ κέχρηται, ἔχει ἓν περὶ δύο λεγόμενον· τὸ γὰρ ἀγαθὸν περὶ δυνάμεως καὶ ἐπιστήμης. p. 119b31 Οὐ μόνον δὲ ἐξ ἄλλου γένους ἔστιν ἀνασκευάζει ν . Ὅτι τῷ ἀπὸ τοῦ μᾶλλον τόπῳ ὄντι ἀνασκευαστικῷ οὐ μόνον ἔστιν ἐπὶ διαφερόντων γενῶν χρῆσθαι, ὡς φθάσας εἶπεν, ἀλλὰ καὶ ἐπὶ τοῦ αὐτοῦ, λέγει· ἐφθάσαμεν δὲ ἤδη τοῦτο δεδειχέναι διὰ πλειόνων παραδειγμάτων. διὰ δὲ τοῦ παραδείγματος κοινότερον περὶ τῶν ἀρετῶν ὥσπερ ἐπιστημῶν οὐσῶν εἶπε. εἴη δ' ἂν μᾶλλον ἁρμόζον τὸ παράδειγμα, εἰ δεικνύοι τις τὰς ἀρετὰς μὴ οὔσας ἐπιστήμας διὰ τοῦ τὴν μάλιστα δοκοῦσαν αὐτῶν ἐπιστήμην εἶναι (αὕτη δέ ἐστιν ἡ φρόνησις) δεικνύναι ὅτι μή ἐστιν ἐπιστήμη. τὸ δὲ ὑπ' αὐτοῦ εἰρημένον εἴη ἂν ἴσον τῷ ‘εἰ εἴη τὸ πρόβλημα εἴ τις ἐπιστήμη ἀγαθόν‘, ὃ ἴσον ἂν εἴη τῷ ‘εἴ τις ἀρετὴ ἀγαθόν, ἂν δειχθῇ ὅτι ἡ μάλιστα ἐπιστήμη, τοῦτ' ἔστιν ἡ μάλιστα ἀρετή, μή ἐστιν ἀγαθόν, οὐδ' ἂν ἄλλη τις ἀρετὴ ἀγαθὸν εἴη‘. p.

in Top.287 119b35 Ἔτι ἐξ ὑποθέσεω ς , ὁμοίως ἀξιώσαντ α , εἰ ἑν ί , καὶ πᾶσι ν . Ἐκθέμενος τίνες εἰσὶ χρήσιμοι τόποι πρὸς τὰ καθ' ἕκαστα προβλήματα, καὶ πρῶτον μὲν δείξας ὅτι καὶ δι' ὧν τὰ καθόλου δείκνυται, διὰ τούτων καὶ τὰ ἐν μέρει τῷ ὑπὸ τὰ καθόλου εἶναι, δεύτερον ἐκθέμενος τοὺς τόπους, οἳ ὅμοιον τὸ ἔνδοξον ἔχουσιν ἐπί τε τῶν καθόλου καὶ τῶν ἐπὶ μέρους λεγόμενοι, καὶ δείξας ὅτι ὁμοίως ἀπ' αὐτῶν πρὸς ἀμφότερα ἔστιν ἐπιχειρεῖν, νῦν περὶ τῶν ἐξ ὑποθέσεως λέγει, οὓς καὶ αὐτοὺς δείκνυσιν ἁρμόζοντας ὥσπερ τοῖς καθόλου οὕτως δὲ καὶ τοῖς καθ' ἕκαστα· χρηστέον γάρ φησι τῷ ἐξ ὑποθέσεως τόπῳ καὶ ἐπὶ τῶν ἐπὶ μέρους προβλημάτων. τίς δέ ἐστιν ὁ ἐξ ὑποθέσεως τόπος, ἐδήλωσεν προσθεὶς ὁμοίως ἀξιώσαντα ς , εἰ ἑν ί , καὶ πᾶσιν ὑπάρχειν ἢ μὴ ὑπάρχει ν . καὶ γὰρ κατασκευαστικὸς καὶ ἀνασκευαστικὸς οὗτος ὁ ἐξ ὑποθέσεως τόπος. ἂν μὲν γὰρ ᾖ ζητούμενον εἰ πᾶσα ψυχὴ ἀθάνατος, καθόλου τε τὸ πρόβλημα καὶ χρησόμεθα τῷ ἐξ ὑποθέσεως τόπῳ ἀξιώσαντες, εἰ μία δειχθείη, καὶ πάσας οὕτως ἔχειν· δείξαντες γὰρ ὅτι ἡ τοῦ ἀνθρώπου καὶ πάσας ἂν εἴημεν διὰ τὴν ὑπόθεσιν δεδειχότες. εἰ δὲ ἀνασκευάζοιμεν, λαβόντες ὅτι, εἰ μία μή ἐστιν ἀθάνατος, οὐδὲ ἄλλη, δείξαντες ἢ τὴν τοῦ ἀνθρώπου ἢ ἄλλην τινὰ μὴ οὖσαν ἀθάνατον καθόλου ἂν εἴημεν δεδειχότες ὅτι οὐδεμία. εἰ δὲ εἴη ζητούμενον εἴ τις ψυχὴ ἀθάνατος, οἷον ἡ τοῦ ἀνθρώπου, ἐπὶ μέρους μὲν ἔσται τὸ πρόβλημα· ὁμοίως δὲ χρησάμενοι τῷ ἐξ ὑποθέσεως τόπῳ καὶ λαβόντες τὸ ‘εἰ τὶς ἀθάνατος, καὶ πᾶσα ψυχή ἐστιν ἀθάνατοσ‘, δείξαντές τινα ἀθάνατον καὶ διὰ τούτου τὸ καὶ πᾶσαν ἀθάνατον εἶναι λαβόντες εἴημεν ἂν καὶ τὸ τὴν τοῦ ἀνθρώπου ἀθάνατον εἶναι δεδειχότες, ὃ ἦν ἐν τῷ προβλήματι, τὸ ἀντικείμενον πάλιν, ὅτι οὐκ ἔστιν ἀθάνατος **** δείξαντες καὶ ὅτι μηδεμία ἔχοιμεν ἄν· ἐξ οὗ συνάγοιμεν ἂν ὅτι οὐδὲ ἡ τοῦ ἀνθρώπου, περὶ ἧς ἡ ζήτησις ἦν. ὅτι δὲ τὸν οὕτως δεικνύντα ἀνάγκη τὸ καθόλου δεικνύναι, εἰ καὶ τὸ πρόβλημα ἐπὶ μέρους εἴη, γνώριμον· οὐ γὰρ οἷόν τε ἄλλως τῇ ἐξ ὑποθέσεως χρήσασθαι δείξει· ἀξιῶσαι γὰρ δεῖ ὅτι ὁμοίως, εἰ ἑνί, καὶ πᾶσιν. p.

in Top.288 119b37 Εἰ μὲν οὖν ὑπάρχειν τινὶ κεῖτα ι . Τὸ λεγόμενόν ἐστιν ὅτι, εἰ εἴη καταφατικὸν ἐπὶ μέρους κείμενον, ὃ βουλόμεθα ἀνασκευάσαι, δεῖ πειρᾶσθαι τῷ ἐξ ὑποθέσεως χρωμένους τόπῳ τὸ τινὶ μὴ ὑπάρχειν δεικνύναι, αἰτησαμένους τὸ εἰ δειχθείη ὅτι τινὶ μὴ ὑπάρχει, ἔσεσθαι δεδειγμένον καὶ τὸ μηδενί· δι' οὗ ἀναιρεθήσεται καὶ τὸ τινὶ ὑπάρχειν, ὃ ἀνελεῖν βουλόμεθα. εἰ δέ τινι μὴ ὑπάρχειν εἴη κείμενον, ἀνάπαλιν τὸ ἐπὶ μέρους καταφατικὸν δεικνύναι καὶ διὰ τούτου λαμβάνειν ἐκ τῆς ὑποθέσεως τὸ καὶ παντί. δῆλον δέ ἐστιν ὅτι ὁ ὑποτιθέμενος καθόλου ποιεῖ τὸ πρόβλημ α , ὃ ἴσον ἐστὶ τῷ ‘διὰ τὴν ὑπόθεσιν τὸ καθόλου δείκνυσι διὰ τοῦ ἐπὶ μέρουσ‘, καίτοι προκειμένου τὸ ἐπὶ μέρους ἀνελεῖν, ἐπεὶ ἦν τὸ πρόβλημα ἐπὶ μέρους. p. 120a6 Ἀδιορίστου μὲν οὖν ὄντος τοῦ προβλήματο ς . Καὶ ταῦτα ἔτι περὶ τῶν ἐπὶ μέρους προβλημάτων· τὰ μὲν γὰρ ἁπλῶς καὶ ἀδιορίστως λέγεται, τὰ δὲ μετὰ διορισμοῦ τινὸς ἢ καὶ πλειόνων. δείκνυσιν οὖν πῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν τὰ ἀδιόριστα ἐπὶ μέρους ἀνασκευάζειν τε καὶ κατασκευάζειν οἷόν τε, πῶς δὲ τὰ διωρισμένα, καὶ τούτων πῶς μὲν τὰ ἧττον, πῶς δὲ τὰ μᾶλλον, καὶ ὅτι τὰ ἀδιόριστα κατασκευασθῆναι ῥᾷον ἢ ἀνασκευασθῆναι. εἰκότως δὲ ἐν τοῖς περὶ τοῦ συμβεβηκότος λεγομένοις καὶ περὶ τῶν ἐπὶ μέρους προβλημάτων ἐπέξεισιν· ὡς γὰρ ἤδη πλεονάκις ἐρρήθη, ἐν μόνῳ τῷ συμβεβηκότι μάλιστα τὰ ἐπὶ μέρους ἐστὶ προβλήματα. ἔστι δὲ ἐπὶ μέρους μὲν ἀδιόριστα προβλήματα τὸ ‘τὶς ἡδονὴ ἀγαθόν‘, τοῦτο μὲν καταφατικόν, ἀποφατικὸν δὲ πάλιν τὸ ‘τὶς ἡδονὴ οὐκ ἔστιν ἀγαθόν‘. ἐπὶ μέρους μὲν γὰρ καὶ τὸ ‘ἡ τοῦ ἀκολάστου ἡδονὴ ἀγαθόν‘, ἀλλὰ τὸ οὕτως ἐπὶ μέρους διωρισμένον καὶ οὐχ ἁπλῶς λεγόμενον· ὡς δὲ ἴσον δυνάμενον [τῷ] ‘ἡδονὴ ἀγαθόν‘, ὃ κυρίως ἀδιόριστον λέγεται, καὶ ‘τὶς ἡδονή‘, καὶ πάλιν ‘ἡδονὴ οὐκ ἔστιν ἀγαθόν‘ καὶ ‘ 〈τὶσ〉 ἡδονὴ οὐκ ἀγαθόν‘, οὕτως αὐτοῖς χρῆται. διὰ τοῦτο γὰρ καὶ 〈αἱ〉 οὕτως ἐπὶ μέρους ἀδιόριστοι, ὅτι ταύταις τῶν ἐπὶ μέρους αἱ ἀδιόριστοι ἴσον δύνανται. προειπὼν γὰρ οἷον εἴ τις ἔφησεν ἡδονὴν ἀγαθὸν εἶναι ἢ μὴ ἀγαθό ν , τῷ μὲν ἡδονὴν ἀγαθὸν εἶναι ὡς ταὐτὸν λαμβάνει τὸ τινὰ ἡδονὴν ἀγαθὸν εἶνα ι , τῷ δὲ μὴ εἶναι ἀγαθὸν ἡδονὴν τὸ τινὰ ἡδονὴν μὴ εἶναι ἀγαθόν · λέγει γὰρ ὁμοίως δὲ καὶ εἴ τινα ἔφησεν ἡδονὴν μὴ εἶναι ἀγαθό ν .

in Top.289 αὗται μὲν οὖν ἐπὶ μέρους ἀδιόριστοι, [καὶ] διότι οὐ διώρισται πότερον διὰ τὸ καθόλου ἢ καθ’ αὑτὰς τιθέασι τὸ ἐν μέρει. διωρισμένας δὲ ἐπὶ μέρους λέγει τήν τε λέγουσαν ‘τὶς μὲν ἡδονὴ ἀγαθόν, τὶς δ’ οὔ‘ καὶ τὴν μίαν μόνην ἡδονὴν ἀγαθὸν καὶ τὴν θεωρητικὴν ἡδονὴν μόνην ἀγαθόν. Οὐσῶν δὴ διαφορῶν τούτων ἐν ταῖς ἐπὶ μέρους, πρῶτον μὲν περὶ τῆς ἀδιορίστου ἐπὶ μέρους τὸν λόγον ποιεῖται, καί φησι τὴν τοιαύτην ἐπὶ μέρους ἀνασκευάζεσθαι μὲν μοναχῶς, κατασκευάζεσθαι δὲ διχῶς. τὴν γὰρ λέγουσαν ‘τὶς ἡδονὴ ἀγαθόν‘ ἀνασκευάσαι μόνως ἔστι δείξαντας καθόλου ὅτι μηδεμία ἡδονὴ ἀγαθόν· ὁ γὰρ δείξας τινὰ ἡδονὴν μὴ οὖσαν ἀγαθὸν οὐκ ἀνεσκεύακε τὸ τινὰ ἀγαθὸν εἶναι διὰ τὸ δύνασθαι καὶ ταύτην ἀληθῆ εἶναι δειχθείσης ἐκείνης. ὁμοίως καὶ τὴν λέγουσαν τινὰ ἡδονὴν μὴ εἶναι ἀγαθὸν μόνως ἔστιν ἀνασκευάσαι δείξαντας ὅτι πᾶσα ἡδονὴ ἀγαθόν· οὐδέπω γὰρ ὁ δείξας τινὰ ἡδονὴν ἀγαθὸν ἀνῄρηκε τὸ μὴ εἶναί τινα ἀγαθόν. αὐτὸς δὲ εἰπὼν περὶ τῆς ἐπὶ μέρους ἀποφατικῆς ὅτι διὰ τῆς καθόλου καταφατικῆς μόνης ἀναιρεῖται, προσέθηκεν ἐὰν γὰρ δείξωμεν ὅτι ἐστί τις ἡδονὴ οὐκ ἀγαθό ν , οὔπω ἀναιρεῖται τὸ προκείμενο ν , οὐκ ἐπὶ τῆς ἐπὶ μέρους ἀποφατικῆς τοῦτο λέγων, ἀλλὰ περὶ τῆς ἐπὶ μέρους καταφατικῆς, περὶ ἧς φθάσας προειρήκει. οὐκέτι δὲ τὸ ὅμοιον παρατίθεται ἐπὶ τῆς ἐπὶ μέρους ἀποφατικῆς, δεικνὺς ὅτι ὑπὸ τῆς ἐπὶ μέρους καταφατικῆς οὐκ ἀναιρεῖται, ὡς γνωρίμου γεγονότος καὶ τούτου διὰ τοῦ εἰρημένου ἐπὶ τῆς ἐπὶ μέρους καταφατικῆς. κατασκευάζειν δὲ διχῶς φησιν εἶναι ἑκάτερον τῶν οὕτως ἐπὶ μέρους. καὶ γὰρ καθόλου δείξαντες πᾶσαν ἡδονὴν ἀγαθὸν καὶ ἐπὶ μέρους τινὰ ἡδονὴν ἀγαθὸν κατεσκευακότες ἂν εἴημεν τὸ ἐπὶ μέρους καταφατικόν. ὁμοίως δὲ καὶ τὸ ἐπὶ μέρους ἀποφατικὸν κατασκευάζοιτο ἄν, εἰ δειχθείη μηδεμία ἡδονὴ ἀγαθόν (εἰ γὰρ μηδεμία, οὐδὲ τίς), καὶ εἰ τὶς μὴ εἴη ἀγαθόν· ἀμφοτέρως γὰρ γίνεται δεδειγμένον ὅτι τις ἡδονὴ οὐκ ἔστιν ἀγαθόν. p.

in Top.290 120a20 Διωρισμένης δὲ τῆς θέσεω ς . Εἰ δὲ διωρισμένον εἴη τὸ πρόβλημα, ὃ θέσιν εἶπε, καὶ εἰ εἴη διορισμὸς τοιοῦτος ἐν τῷ προβλήματι, εἰ τὶς μὲν ἡδονὴ ἀγαθόν, τὶς δὲ οὔ (δοκεῖ δέ μοι τὸ ‘τὶς δὲ οὔ‘ προστεθεικέναι οὐχ ὡς πάντως ὀφεῖλον ἐν τῇ προτάσει κεῖσθαι, ἀλλ’ ὡς δηλωτικὸν ὂν τοῦ τὴν ἐπὶ μέρους ἀληθῆ εἶναι καθ’ αὑτὴν μόνον ἀλλὰ μὴ διὰ τὴν καθόλου, ὑφ’ ἥν ἐστι, μηδὲ ἀδιορίστως· καὶ γὰρ εἰ εἶεν δύο προτάσεις κείμεναι, οὐκέτι ἡ μία πρότασις διχῶς ἀναιρεθήσεται, ἀλλὰ δύο οὖσαι ὑπὸ δύο, ἡ μὲν καταφατικὴ ὑπὸ τῆς καθόλου ἀποφατικῆς, ἡ δὲ ἀποφατικὴ ὑπὸ τῆς καθόλου καταφατικῆς), διχῶς δή, φησίν, ἐνδέχεται τὴν οὕτω διωρισμένην ἐπὶ μέρους ἀναιρεῖσθαι. καὶ γὰρ πάσης ἀγαθῆς δειχθείσης ἀναιρεῖται τὸ τινὰ μὲν εἶναι τινὰ δὲ μή, καὶ εἰ μηδεμία ἀγαθὸν οὖσα δειχθείη· οὐ γὰρ οἷόν τε μηδεμιᾶς οὔσης ἡδονῆς ἀγαθῆς τινὰ μὲν εἶναι ἀγαθὸν τινὰ δὲ μή. εἰ δὲ οὕτως ἔχοι ὁ τῆς ἐπὶ μέρους διορισμός, εἰ μία μόνη ἡδονὴ ἀγαθόν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τριχῶς ἡ ἀναίρεσις αὐτῆς ἔσται. καὶ γὰρ ἂν πᾶσα ἡδονὴ ἀγαθὸν οὖσα δειχθῇ, ἀναιρεῖται τὸ ʻμία μόνηʻ, κἂν μηδεμία· εἰ γὰρ μηδεμία ἀγαθόν, οὐκ ἀληθὲς οὐδὲ τὸ ʻμία μόνηʻ· ἀλλὰ κἂν δειχθῶσιν πλείους οὖσαι ἀγαθαί, καὶ οὕτως ἀναιρεῖται τὸ μίαν μόνην ἀγαθὸν εἶναι. εἰ δὲ ἔτι ἐπὶ πλεῖον ὁ διορισμὸς τοῦ ἐπὶ μέρους προβλήματος γένοιτο καὶ ἔχοι οὕτως, εἰ ἡ φρόνησις μόνη τῶν ἀρετῶν ἐπιστήμη, τετραχῶς ἡ ἀναίρεσις αὐτῆς ἔσται. καὶ γὰρ ἂν ὅτι πᾶσα ἀρετὴ ἐπιστήμη ἐστὶ δειχθῇ, κἂν ὅτι οὐδεμία ἀρετὴ ἐπιστήμη, κἂν ὅτι πλείους, οἷον ἡ δικαιοσύνη (οὐκέτι γὰρ μόνη), κἂν ὅτι ἡ φρόνησις οὐκ ἔστιν ἐπιστήμη, δῆλον ὅτι ἄλλης τινὸς οὔσης· κἂν γὰρ ἄλλαι τινὲς ὦσιν, αὕτη δὲ μή, ἀναιρεῖται τὸ κείμενον. ἀλλὰ καὶ εἰ κείμενον εἴη τρεῖς μόνας τάσδε τινὰς ἀρετὰς ἐπιστήμας εἶναι, πενταχῶς ἂν ἀναιροῖτο κατὰ τὸν ὑφηγούμενον τρόπον· καὶ γὰρ διὰ τοῦ ʻπᾶσαʻ καὶ διὰ τοῦ ʻοὐδεμίαʻ καὶ διὰ τοῦ ʻπλείουσʻ καὶ διὰ τοῦ ʻἐλάττουσʻ καὶ διὰ τοῦ ʻοὐ καὶ αὗται αἱ τρεῖς αἳ ἦσαν ὠνομασμέναι ἐν τῷ προβλήματιʻ. περὶ τούτων καὶ Θεόφραστος ἐπὶ τέλει τοῦ Περὶ καταφάσεως δοκεῖ πεποιῆσθαι λόγον. p.

in Top.291 120a32 Χρήσιμον δὲ καὶ τὸ ἐπιβλέπειν ἐπὶ τὰ κα θ ’ ἕκαστ α , ἐν οἷς ὑπάρχειν τι ἢ μὴ εἴρητα ι , καθάπερ ἐν τοῖς καθόλου προβλήμασι ν . Ὡς ἐν τῷ δευτέρῳ ἠξίου περὶ τῶν καθόλου προβλημάτων τεθέντος τοῦ προβλήματος ἐπιβλέπειν ἐπὶ τὰ καθ’ ἕκαστα ἢ τὰ ὑπὸ τὸ καθόλου, καὶ εἰ μὲν μηδενὶ εὑρίσκοιτο ὑπάρχον τὸ τιθέμενον καθόλου ὑπάρχειν πολλὰ τῶν ὑπ’ αὐτὸ προενέγκασιν, καθόλου λαμβάνειν ὅτι μηδενὶ ὑπάρχει, ἢ ἐὰν πολλοῖς φαίνηται ὑπάρχον, τιθέναι ὅτι πᾶσιν ἢ φέρειν ἔνστασιν ἐπὶ τίνος οὐχ οὕτω ς , οὕτως φησὶ δεῖν ποιεῖν καὶ ἐπὶ τῶν ἐν μέρει προβλημάτων· τοῦτο γὰρ εἶπε διὰ τοῦ ἐν οἷς ὑπάρχειν τι ἢ μὴ εἴρηται. ἐὰν γὰρ ᾖ κείμενον ὅτι τις ἡδονὴ ἀγαθόν, χρὴ ἐπιβλέπειν ἐπὶ τὰς ἐν μέρει ἡδονάς, ὥσπερ καὶ εἰ ἦν κείμενον καθόλου ὅτι πᾶσα ἡδονὴ ἀγαθόν· κἂν μὲν εὑρίσκηται ἐν τῇ τοιαύτῃ ἐπιβλέψει τις ἡδονὴ οὖσα ἀγαθόν, δεδειγμένον ἂν εἴη τὸ προκείμενον· ἐὰν δὲ ἐπὶ πολλῶν μὴ οὕτως ἔχον εὑρίσκηται, τὸ καθόλου ἀξιώσομεν, τὸ μηδεμίαν εἶναι ἀγαθόν. οὕτως δὲ ἐσόμεθα καὶ τὸ προκείμενον ἐπὶ μέρους ὂν ἀνεσκευακότες, ὥστε καὶ τοῦτο κοινὸν τοῖς ἐπὶ μέρους προβλήμασιν. p. 120a34 Ἔτι δὲ ἐν τοῖς γένεσιν ἐπιβλεπτέον διαιροῦντα κα τ ’ εἴδη μέχρι τῶν ἀτόμω ν , καθάπερ εἴρηται πρότερο ν . Ἦν καὶ τοῦτο ἐπὶ τῶν καθόλου προβλημάτων εἰρημένον ἐν τῷ δευτέρῳ, ὅτι, ἐν οἷς προβλήμασιν γενικόν τι εἴληπται, χρὴ τὴν διαίρεσιν αὐτοῦ εἰς τὰ εἴδη ποιεῖσθαι καὶ πάλιν εἰς τὰ ὑπὸ τὰ εἴδη καὶ μέχρι τῶν ἀτόμων ἐπισκοπεῖν, εἰ ἑκάστῳ αὐτῶν ὑπάρχει τὸ τῷ γένει ἐν τῷ προβλήματι τεθὲν ὑπάρχειν. εἰ γὰρ εἴη πρόβλημα πότερόν ἐστι τῶν ἀντικειμένων ἡ αὐτὴ ἐπιστήμη ἢ οὔ, ἐπεὶ τὰ ἀντικείμενα πλεοναχῶς, ἠξίου ἕκαστον αὐτῶν ἰδίᾳ λαμβάνειν, εἶτα τὰ ὑπὸ ἕκαστον αὐτῶν ἰδίᾳ καὶ ἐπισκοπεῖν εἰ ἐφ’ ἑκάστου αὐτῶν ἡ αὐτὴ ἐπιστήμη· χρήσιμον γὰρ τοῦτο καὶ πρὸς ἀνασκευὴν καὶ πρὸς κατασκευήν. ὡς δὴ ἐπὶ τῶν καθόλου, οὕτως φησὶ δεῖν ποιεῖν καὶ ἐπὶ τῶν καθ’ ἕκαστα προβλημάτων, ὅταν τι γενικὸν ἐν αὐτοῖς ᾖ. οἷον εἰ εἴη τὸ πρόβλημα εἴ τινων ἀντικειμένων ἡ αὐτὴ ἐπιστήμη, διαιρετέον ὁμοίως τὰ ἀντικείμενα καὶ ἐφ’ ἕκαστον ἐπιβλεπτέον, αὐτό τε καὶ τὰ ὑπ’ αὐτό· κἂν μὲν ἐπὶ πολλῶν φαίνηται οὕτως ἔχον, κατασκευάζειν τὸ πρόβλημα ὡς καθόλου πᾶσιν ὑπάρχοντος τοῦ τινὶ αὐτῶν ὑπάρχειν κειμένου· ἂν δὲ ἐπὶ πολλῶν μὴ οὕτως ἔχον εὑρίσκηται, ἀπὸ τούτων ὁρμωμένους ἀξιωτέον πάλιν ὅτι οὐδενί.

in Top.292 καὶ οὕτως ἀνασκευαστέον τὸ ἐπὶ μέρους καταφατικὸν πρόβλημα. ὁμοίως, κἂν λέγῃ τις τινὰ ἀρετὴν ἐπιστήμην εἶναι, διαιρετέον τὰς ἀρετάς, πρῶτον μὲν εἰς τὰς λογικὰς καὶ τὰς ἠθικάς, εἶτα πάλιν τὰς λογικὰς ἰδίᾳ καὶ τὰς ἠθικὰς καθ’ αὑτάς, δεικνύντας ἐπὶ τῶν ἀεὶ προχειριζομένων ὅτι μὴ ἐπιστῆμαι, τὸ καθόλου λαμβάνειν, ὅτι μηδεμία, καὶ οὕτως ἀνασκευάζειν τινὰ εἶναι ἐπιστήμην. ἔστι δὲ οὐ πολὺ διαφέρων οὗτος τοῦ πρὸ αὐτοῦ, πλὴν ὅτι οὗτος μὲν τοῦ γένους τὴν διαίρεσιν εἰς εἴδη πρῶτον ἠξίου ποιεῖσθαι, εἶθ’ οὕτως ἐπὶ τὰ ὑπὸ τὰ εἴδη τῇ τάξει προϊόντας ἐπὶ τὰ καθ’ ἕκαστα ἔρχεσθαι, ὁ δὲ πρὸ τούτου, εἰ καὶ μὴ γένος ἦν τὸ λαμβανόμενον, κοινὸν δέ τι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἠξίου ἐπιβλέπειν εὐθὺς ἐπὶ τὰ ὑπ’ αὐτὸ ἄτομα. p. 120a38 Ἔτι ἐ φ ’ ὧν ἔστιν ἢ εἴδει ἢ ἀριθμῷ διορίσαι τὸ συμβεβηκό ς . Εἰπὼν δὲ δεῖν διαιρεῖν τὸν ὑποκείμενον ὅρον ἐν τοῖς προβλήμασι τοῖς ἀπὸ τοῦ συμβεβηκότος ὁμοίως ἔν τε τοῖς καθόλου καὶ τοῖς ἐν μέρει, καὶ ἐὰν ᾖ γενικόν, εἰς τὰ εἴδη ἕως τῶν ἀτόμων, νῦν λέγει περὶ τοῦ κατηγορουμένου καὶ συμβεβηκέναι λεγομένου 〈ὃ〉 καὶ αὐτὸ εἶπεν ἐπὶ τῶν καθόλου. καὶ γὰρ ἐπὶ τῶν ἐπὶ μέρους, ἐφ’ ὧν οἷόν τέ ἐστι, δεῖν φησι καὶ τοῦτον διαιρεῖν καὶ ὁρίζειν ἢ κατ’ εἶδος ἢ κατ’ ἀριθμὸν καὶ ὁρᾶν εἴ τι τῶν ἐκ τῆς διαιρέσεως ὑπάρχει τῷ ὑποκειμένῳ· ἂν μὲν γὰρ ὑπάρχον εὑρίσκηταί τι αὐτῶν τῷ ὑποκειμένῳ, κατεσκευασμένον ἔσται τὸ πρόβλημα ἐπὶ μέρους ὄν, εἰ δὲ μηδὲν εὑρίσκοιτο. ἀνεσκευασμένον. οἷον εἰ ζητοῖτο πότερον ὁ χρόνος κινεῖται ἢ οὔ, ἐπεὶ ἡ κίνησις πολλαχῶς λέγεται, διαιρετέον καὶ ληπτέον τὰ εἴδη τῆς κινήσεως. ἐπεὶ τοίνυν πᾶσα κίνησις ἢ κατὰ τόπον ἐστὶν ἢ κατὰ ποσὸν ἢ κατὰ ποιότητα, ἑκάστην τῶν κινήσεων ληπτέον καὶ ζητητέον εἰ κατά τινα αὐτῶν οἷόν τε κινεῖσθαι τὸν χρόνον. καὶ εἰ φαίνοιτο μήτε κατὰ τόπον κινούμενος (οὐ γὰρ ἀλλάσσει τόπον· πῶς γὰρ τὸ μὴ ὑπομένον οἷόν τε ἀλλάσσειν τόπον;), ἀλλὰ μηδὲ κατὰ μέγεθος (ὑπομένοντος γὰρ καὶ ἡ κατὰ ποσὸν κίνησις), μήτε κατὰ ποιότητα μήτε κατ’ ἄλλο τι κινήσεως εἶδος, ἀνασκευάζοιτο ἂν τὸ τὸν χρόνον κινεῖσθαι.

in Top.293 εἰ δὲ ζητοῖτο εἰ κίνησις ὁ χρόνος, γενικὸν ἂν τὸ πρόβλημα γίνοιτο. δεικνύοιτο δ’ ἂν ὅτι μή ἐστιν κίνησις, ὅτι μήτε τοπική ἐστι μήτε ἀλλοιωτικὴ μήτε κατὰ ποσόν· εἰ γάρ τις τούτων ἦν, πᾶν ἂν τὸ ἐν χρόνῳ ὂν ἐν κινήσει τούτων τινὶ ἦν τῇ αὐτῇ τε καὶ συνεχεῖ. ὁμοίως ὁ λόγος καὶ ἐπὶ ψυχῆς, εἰ ζητοῖτο πότερον κινεῖται ἢ οὔ. ἀλλὰ καὶ εἰ ζητοῖτο πότερον ἡ ψυχή τις ἀριθμός ἐστιν ἢ οὔ, ἐπεὶ πᾶς ἀριθμὸς ἢ περιττὸς ἢ ἄρτιος, ἂν ἡ ψυχὴ μήτε περιττὸς ἀριθμὸς ᾖ μήτε ἄρτιος, οὐδ’ ἂν ἀριθμὸς εἴη. καὶ αὕτη μὲν κατὰ εἴδη γενικώτερα ἡ διαίρεσις· κατὰ δὲ ἄτομα 〈ἂν〉 εἴη, εἰ διαιροῦντες πάλιν ἑκάτερον τούτων εἰς τοὺς ὑπ’ αὐτοὺς ἀριθμοὺς δεικνύοιμεν. εἰ μὲν γὰρ ἄρτιος, ἢ δύο ἔσται ἢ τέσσαρα ἢ ἓξ ἢ ὀκτὼ ἢ δέκα, εἰ δὲ περιττός, ἢ τρία ἢ πέντε ἢ ἑπτὰ ἢ ἐννέα· ὧν ἀριθμῶν λέγειν τινὰ τὴν ψυχὴν εἶναι ἄτοπον· οὔτε ἄρα περιττὸς ἀριθμὸς οὔτε ἄρτιος ἡ ψυχή· εἰ δὲ μὴ τούτων τις, οὐδὲ ἀριθμὸς ὅλως. δοκεῖ μέντοι αὐτὸς διὰ τῶν παραδειγμάτων τῶν καθόλου προβλημάτων ἀλλ’ οὐ τῶν ἐπὶ μέρους ἔτι μνημονεύειν.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΕΙΣ ΤΟ ΤΕΤΑΡΤΟΝ ΤΗΣ ΤΟΠΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ

Παραδοὺς διὰ τοῦ δευτέρου τε καὶ τρίτου τῆς τοπικῆς πραγματείας τοὺς τόπους, δι’ ὧν οἷόν τε πρὸς τὰ ἀπὸ τοῦ συμβεβηκότος προβλήματα ἐπιχειρεῖν κατασκευαστικῶς τε καὶ ἀνασκευαστικῶς, εἴτε ἁπλῶς, πότερον ὑπάρχει ἢ μὴ ὑπάρχει τὸ συμβεβηκὸς τῷ ὑποκειμένῳ, ζητοῖτο, εἴτε καὶ συγκριτικῶς πρὸς ἄλλο, ἐπειδὴ καὶ τὰ συγκριτικὰ προβλήματα ὑπήγετο τοῖς ἀπὸ τοῦ συμβεβηκότος, ἑξῆς περὶ τῶν ἄλλων γενῶν τῶν προβλημάτων ποιεῖται τὸν λόγον.

in Top.294.(1t) ἔστι δὲ ταῦτα τά τε ἀπὸ τοῦ γένους καὶ τὰ ἀπὸ τοῦ ἰδίου καὶ τὰ ἀπὸ τοῦ ὁρισμοῦ· ἐν γὰρ τούτοις τοῖς γένεσι πάντα τὰ διαλεκτικὰ προβλήματα. τὸ γὰρ διὰ τί ἐστί τι, οἷον διὰ τί ὁ κόσμος σφαιροειδὴς ἢ ἡ σελήνη ἐκλείπει, ζήτημα μέν ἐστι καὶ πρόβλημα, οὐ μὴν διαλεκτικόν· ἐπιστημονικωτέρα γὰρ ἡ ζήτησις ἡ τῆς αἰτίας. ὁμοίως δὲ οὐδὲ τὸ ζητεῖν τί ἐστι τόδε, οἷον τί ἐστι ψυχή, διαλεκτικόν. ζητεῖν μὲν γὰρ εἰ ὅδε ὁ λόγος ὁρισμός ἐστι ψυχῆς διαλεκτικόν· τὸ δὲ τίς ἐστιν ἢ τίς φύσις μαντικῶν ὑδάτων οὐ διαλεκτικόν. οὐδὲ γὰρ αἱ ἐρωτήσεις αἱ τοιαῦται διαλεκτικαί· ἡ μὲν γὰρ ἐρώτησις ἡ διαλεκτικὴ ἀντιφάσεως ἐρώτησίς ἐστιν· τὸ δὲ τί ἐστιν ἢ διὰ τί ἐστιν οὔτε ἀντίφασις οὔτε ὅλως ἀποφαντικὸς λόγος. παραδίδωσι δὲ καὶ πρὸς τὰς κατασκευάς τε καὶ ἀνασκευὰς τῶν ἐν τούτοις τοῖς γένεσι προβλημάτων τόπους οἰκείους, καὶ πρῶτόν γε τοὺς πρὸς τὰ γενικὰ προβλήματα, ἐπεὶ μετὰ τὸ συμβεβηκὸς κοινότερον τῶν ἄλλων τὸ γένος.

in Top.295 τὸ μὲν γὰρ συμβεβηκὸς κοινότατόν τε καὶ ἁπλούστατον τῶν προβλημάτων· ἐν γὰρ ὑπάρξει μόνῃ τούτῳ τὸ εἶναι· ταῦτα δέ, τὸ γένος καὶ τὸ ἴδιον καὶ ὁ ὁρισμός, ἐν ποιᾷ ὑπάρξει πάντα. οὐ γὰρ αὔταρκες τὸ μόνον ὑπάρχειν πρὸς τὸ ἢ ὡς γένος ἢ ὡς ἴδιον ἢ ὡς ὅρον ὑπάρχειν, ὥσπερ ἦν

αὔταρκες ἐπὶ τοῦ συμβεβηκότος, ἀλλὰ δεῖ καὶ τὸν οἰκεῖον τρόπον τῆς ὑπάρξεως ἑκάστου αὐτῶν ἐν τῇ κατασκευῇ δείκνυσθαι· οἰκειότητα γάρ τινα τὰ οὕτως ὑπάρχειν λεγόμενα πρὸς τὰ ὑποκείμενα ἔχει. ἀλλὰ τὸ μὲν γένος κοινότερον· κατὰ πλειόνων γὰρ τὸ γένος· τὸ δὲ ἴδιον καὶ ὁ ὁρισμὸς οὐ κατὰ πλειόνων καὶ διαφερόντων κατὰ τὸ εἶδός ἐστιν ἀλλὰ προσεχῶν μιᾷ τινι φύσει. ὥστε, ἐπεὶ τὰ κοινὰ τῶν ἰδίων πρῶτα, κοινότερον δὲ τὸ γένος ἐκείνων, εἰκότως πρῶτον τοὺς πρὸς τὰ ἀπὸ τοῦ γένους προβλήματα τόπους παραδίδωσι. συντάσσει δὲ τοῖς ἀπὸ τοῦ γένους προβλήμασι καὶ τὰ ἀπὸ τῶν διαφορῶν, ὡς εἶπε καὶ ἐν τῷ πρώτῳ, διὰ τὸ τὴν διαφορὰν οὖσαν ἐν τῇ οὐσίᾳ τοῦ πράγματος, οὗ ἐστι διαφορά, ὥσπερ καὶ τὸ γένος κοινὴν καὶ αὐτὴν εἶναι καὶ ἐπὶ πλεῖον ὁμοίως τῷ γένει. ὑπάγοιτο δ' ἂν τοῖς γενικοῖς προβλήμασι καὶ τὰ ἀπὸ τῶν εἰδῶν προβλήματα, εἴ τινα εἴη, ἐπεὶ καὶ τὸ εἶδος κατὰ πλειόνων τε καὶ ἐν τῷ τί ἐστι. p. 120b12 Μετὰ δὲ ταῦτα περὶ τῶν πρὸς τὸ γένος καὶ τὸ ἴδιον ἐπισκεπτέο ν . Μετὰ τοὺς πρὸς τὸ συμβεβηκὸς τόπους δεῖν φησι περὶ τῶν πρὸς τὸ γένος καὶ τὸ ἴδιον ἐπισκέψασθαι τόπων. καὶ διὰ τί περὶ τούτων πρῶτον, ὕστερον δὲ περὶ τῶν πρὸς τὸν ὁρισμόν, προσέθηκε τὸ ἔστι δὲ ταῦτα στοιχεῖα τῶν πρὸς τοὺς ὅρους · οἱ γὰρ τόποι, δι' ὧν πρὸς τὸ γένος καὶ τὸ ἴδιον ἐπιχειροῦμεν ἢ κατασκευάζοντες ἢ ἀνασκευάζοντες, στοιχεῖα καὶ ἀρχαί εἰσι τῶν πρὸς τοὺς ὁρισμοὺς ἐπιχειρημάτων. ἐπεὶ γὰρ δεῖ τὸν ὁρισμὸν μὴ μόνον τὸ γένος ἔχειν ἐν αὐτῷ ἀλλὰ καὶ ἴδιον εἶναι τοῦ πράγματος, οἵ τε τῶν γενῶν κατασκευαστικοὶ καὶ τῶν ἰδίων τόποι συντελοῖεν ἂν καὶ πρὸς τὴν τῶν ὁρισμῶν κατασκευήν· ὁ γὰρ δείξας, ὅτι καὶ τὸ ἀποδοθὲν ἐν τῷ λόγῳ γένος καὶ ὁ λόγος ἴδιος τοῦ πράγματος, εἴη ἂν καὶ ὅτι ὁρισμός ἐστιν ὁ ἀποδεδομένος λόγος δεδειχώς. ἀλλὰ καὶ οἱ τῶν γενῶν τε καὶ τῶν ἰδίων ἀνασκευαστικοὶ τόποι καὶ πρὸς τὴν τῶν ὁρισμῶν ἀνασκευὴν χρήσιμοι· ὁ γὰρ δείξας, ὅτι μὴ γένος τὸ ὡς γένος ἀποδοθὲν ἐν τῷ λόγῳ, ἀνῄρηκε καὶ τὸ ὁρισμὸν αὐτὸν εἶναι· ὁμοίως καὶ ὁ δείξας ὅτι μὴ ἴδιον.

in Top.296 καθ' ὃ δὴ συμβάλλονται οἱ πρὸς τὸ γένος καὶ τὸ ἴδιον τόποι καὶ πρὸς τὰ ὁρικὰ προβλήματα καί εἰσιν ἀρχαὶ τῆς τε κατασκευῆς τῶν ὁρισμῶν καὶ τῆς ἀνασκευῆς, ἐπειδὴ καὶ τὸ γένος καὶ τὸ ἴδιον στοιχεῖα τῶν ὁρισμῶν (δεῖ γὰρ καὶ ταῦτα τὸν ὁρισμὸν ἔχειν), εἰκότως ἂν καὶ οὗτοι στοιχεῖα λέγοιντο τῶν πρὸς τοὺς ὁρισμοὺς τόπων· καὶ ἐπεὶ τὰ στοιχεῖα πρῶτα τούτων ὧν ἐστι στοιχεῖα, εἶεν ἂν καὶ οἱ πρὸς ταῦτα τόποι πρῶτοι [οἱ πρὸς τὰ γένη]. αὐτῶν δὲ τούτων πάλιν πρῶτοι οἱ πρὸς τὰ γένη, ἐπειδὴ καὶ τὸ γένος τοῦ ἰδίου κοινότερον, ὡς εἶπον. λέγει δὲ ὀλιγάκις περὶ τῶν ἀπὸ γένους καὶ ἰδίου καὶ ὁρισμοῦ προβλημάτων γίνεσθαι τὸν λόγον τοῖς διαλεκτικοῖς· τὰ γὰρ πλεῖστα τῶν διαλεκτικῶν προβλημάτων περὶ συμβεβηκότος τινὸς τὴν ζήτησιν ἔχει. ζητεῖται γὰρ ἐν τοῖς πλείστοις τῶν διαλεκτικῶν προβλημάτων τὰ τοιαῦτα, οἷον εἰ αἱρετὸν τὸ γαμεῖν ἢ τὸ πολιτεύεσθαι, εἰ ἀγαθὸν ὁ πλοῦτος ἢ ἡ ὑγεία· τὰ δὲ περὶ τῶν γενῶν τε καὶ τῶν ἰδίων καὶ τῶν ὁρισμῶν προβλήματα ἀκριβεστέρας ἢ κατὰ διαλεκτικὴν μεθόδου χρῄζει καὶ ἐπιστημονικωτέρας. p. 120b15 Ἐὰν δὴ τεθῇ γένος τινὸς τῶν ὄντω ν . Ὁ πρῶτος τῶν πρὸς τὸ γένος τόπων παραδιδόμενος τοιοῦτός ἐστιν· ἐπεὶ τὸ γένος κατὰ πάντων τῶν ὁμοειδῶν ὁμοίως κατηγορεῖται, φησὶ δεῖν, ὅταν ἀποδοθῇ τί τινος ὡς γένος, ἐπιβλέπειν ἐπὶ πάντα τὰ συγγενῆ, τοῦτ' ἔστι τὰ τῆς αὐτῆς φύσεως καὶ ὑπὸ τὸ αὐτὸ ἀποδεδομένα γένος, ὡς ἐποιοῦμεν καὶ ἐπὶ τοῦ συμβεβηκότος· καὶ γὰρ ἐπὶ τῶν ἀπὸ τοῦ συμβεβηκότος προβλημάτων ἠξίου ἐπιβλέπειν ἐπὶ πάντα τὰ τῆς αὐτῆς φύσεως ὄντα. ἀλλ' ἐπ' ἐκείνου μὲν ἦν αὔταρκες εἰς κατασκευὴν τοῦ προβλήματος τὸ κἂν ἑνὶ ἐξ αὐτῶν εὑρεῖν ὑπάρχον τὸ τιθέμενον ὡς συμβεβηκός, εἰ μὴ καθόλου τὸ πρόβλημα ἦν [καὶ ἀνασκευάζειν πάλιν, εἰ μηδενὶ ὑπῆρχεν]· ἐπὶ δὲ τοῦ γένους, εἰ μὴ πᾶσιν ὑπάρχει τοῖς ὁμοειδέσι τῷ προκειμένῳ τὸ ἀποδεδομένον γένος, οὐχ οἷόν τε γένος αὐτὸ εἶναι, κἂν ὑπάρχῃ τισί. δεικνύοι τις ἂν οὕτως τῆς ἡδονῆς μὴ ὂν γένος τὸ ἀγαθόν, ὅτι μὴ πάσῃ ὑπάρχει· οὐ γὰρ ἀγαθὸν αἱ τῶν ἀκολάστων ἡδοναί.

in Top.297

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτως καὶ Πλάτων ἐπεχείρησεν ἐν Φιλήβῳ λαβὼν “ἥδεσθαι μὲν τὸν ἀκολασταίνοντα, ἥδεσθαι δὲ καὶ τὸν σωφρονοῦντα, ἥδεσθαι δ’ αὖ καὶ τὸν ἀνοηταίνοντα καὶ ἀνοήτων δοξῶν καὶ ἐλπίδων μεστόν”· οἷς ἐπήνεγκεν ὅτι ἀνόητος ἂν φαίνοιτο ἐνδίκως ὁ ἀνομοίους αὐτὰς οὕτως ἑαυταῖς οὔσας εἰς ἓν γένος συνάγων τὸ ἀγαθόν. οὕτως δεικνύοιτο ἂν καὶ τῆς ἀρετῆς μὴ ὂν γένος ἡ ἐπιστήμη· ἡ μὲν γὰρ ἐπιστήμη τῶν ἀναγκαίων τε καὶ ἀιδίων καὶ μὴ ἐνδεχομένων ἄλλως εἶναι, τῶν δὲ ἀρετῶν τὴν μὲν σοφίαν τοιαύτην εἶναι, τὴν δὲ φρόνησιν καὶ τὰς ἠθικὰς λεγομένας ἀρετὰς περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλως ἔχειν συνίστασθαι. ἔστι δὲ ὁ τόπος πρὸς ἀνασκευὴν χρήσιμος· οὔπω γάρ, εἰ πᾶσιν ὑπάρχει τοῖς ὁμοειδέσιν, ἀνάγκη αὐτὸ γένος εἶναι· δεῖ γὰρ πρὸς τούτῳ καὶ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι αὐτό. p. 120b21 Ἔτι εἰ μὴ ἐν τῷ τί ἐστι κατηγορεῖτα ι . Ὥσπερ ἐπὶ τοῦ συμβεβηκότος ἔλεγε δεῖν ἐπισκοπεῖν “εἰ τὸ κατ’ ἄλλον τινὰ τρόπον ὑπάρχον ὡς συμβεβηκὸς ἀποδέδωκεν” (ὁ γὰρ λέγων τῷ λευκῷ συμβεβηκέναι τὸ χρῶμα ἢ τὸ λευκὸν κεχρῶσθαι οὐχ ὑγιῶς ἀπεδίδου· τὸ γὰρ ὡς γένος ὑπάρχον συμβεβηκέναι ἔλεγεν), οὕτως καὶ ἐπὶ τοῦ γένους φησὶ δεῖν ἐξετάζειν μὴ τὸ συμβεβηκὸς ὡς γένος ἀποδέδωκεν· δύναται γάρ τι πᾶσι μὲν τοῖς ὁμοειδέσιν ὑπάρχειν, μὴ ὡς γένος δὲ ἀλλ’ ὡς συμβεβηκός. ἔστι δὲ οἰκεῖον τοῦ γένους ὡσπεροῦν καὶ τοῦ εἴδους τὸ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι· ἂν δὴ τὸ ἀποδεδομένον μὴ οὕτως κατηγορῆται, δεικνύοιτ’ ἂν ὅτι μή ἐστι γένος. οὕτως δειχθήσεται μήτε τὸ λευκὸν γένος ὂν τῆς χιόνος μήτε ἡ κίνησις ἢ ἡ αὐτοκινησία τῆς ψυχῆς, ὡς δοκεῖ Πλάτωνι· οὔτε γὰρ τῆς χιόνος ἐν τῷ τί ἐστι τὸ λευκόν (οὐ γάρ ἐστιν ἡ χιὼν ὅπερ λευκό ν) , ὁμοίως δὲ οὐδὲ τῆς ψυχῆς ἡ αὐτοκινησία· οὔτε γὰρ ὁ τοῦ λευκοῦ ὁρισμὸς κατὰ τῆς χιόνος ἐν τῷ τί ἐστιν οὔτε ὁ τῆς κινήσεως κατὰ τῆς ψυχῆς. εἰ γὰρ ἡ χιὼν ὅπερ λευκόν, τὸ δὲ λευκὸν ὅπερ χρῶμα, τὸ δὲ χρῶμα ὅπερ ποιότης, ἔσται ἡ χιὼν ὅπερ ποιότης· ὅταν γὰρ ἕτερον καθ’ ἑτέρου κατηγορῆται ὡς καθ’ ὑποκειμένου, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται· καθ’ ὑποκειμένου δὲ τὰ ἐν τῷ τί ἐστι λεγόμενά τινος κατηγορεῖται αὐτοῦ.

in Top.298 ὁμοίως δὲ καὶ εἰ ἡ ψυχὴ ὅπερ αὐτοκινησία, ἡ δὲ αὐτοκινησία ὅπερ κίνησις, ἡ δὲ κίνησις ἀτελὴς ἐνέργεια, ἔσται ἡ ψυχὴ ἀτελὴς ἐνέργεια. ὅτι δὲ μὴ γένος ἡ αὐτοκινησία τῆς ψυχῆς, δεικνύοιτ’ ἂν καὶ ἐκ τούτου· εἰ ἡ αὐτοκινησία γένος τῆς ψυχῆς, δεῖ αὐτὴν καὶ κατ’ ἄλλων τινῶν ὡς εἰδῶν κατηγορεῖσθαι ἀντιδιῃρημένων τῇ ψυχῇ ὡντινωνοῦν. οὐ μὴν κατὰ τοῦτο νῦν ὅτι μὴ γένος δείκνυσιν, ἀλλ’ ὅτι μὴ ἐν τῷ τί ἐστιν· ἄλλος γὰρ οὗτος τόπος. τὸ δὲ οὔτε ἡ ψυχὴ ὅπερ κινούμενον εἴη ἂν λέγων ἀντὶ τοῦ ‘ὅπερ κινήσισ‘. p. 120b26 Ἔτι τὸ κινούμενον οὐ τί ἐστι ν . Ὅτι μὴ γένος ἡ κίνησις τῆς ψυχῆς ἢ ὅλως οὐσίας τινός, καὶ οὕτως δείκνυσιν· [εἰ] τὸ μὲν γένος τί ἐστι σημαίνει, ἡ δὲ κίνησις καὶ ἡ αὐτοκινησία οὐ τί ἐστιν ἡ ψυχὴ σημαίνει, ἀλλὰ τί ποιεῖ ἢ πάσχει· καθ’ ὅσον μὲν γὰρ κινεῖσθαι λέγεται, πάσχει, καθ’ ὅσον δὲ ὑφ’ αὑτῆς, ποιεῖ. δύναται τὸ ἀλλά τι ποιοῦν ἢ πάσχον ἐπὶ τοῦ κινουμένου εἰρηκέναι ὡς τοῦ κινουμένου ἢ ποιοῦντος ἢ πάσχοντος ἐν τῷ κινεῖσθαι. ἔτι κατηγορεῖται μὲν ἡ κίνησις τῶν κινουμένων· εἰ δὲ εἴη ἡ ψυχὴ ὅπερ κίνησις ἢ ὅπερ αὐτοκινησία, οὐκέτ’ ἂν κινοῖτο· οὕτως γὰρ ἂν εἴη κίνησις κινουμένη. πρῶτον μὲν οὖν ἔδειξεν ὅτι μὴ ἐν τῷ τί ἐστιν ἀπὸ τοῦ τὸ ὑποκείμενον μὴ λέγεσθαι ὅπερ τοῦτο ὃ ὡς γένος αὐτοῦ κατηγορεῖται, τὸ δεύτερον δὲ ἀπὸ τοῦ τὸ μὲν γένος ἐν τῷ τί ἐστι κατηγορούμενον τί ἐστι τὸ ὑποκείμενον αὐτῷ σημαίνειν, ταῦτα δὲ μὴ τί ἐστι σημαίνειν τὸ ὑποκείμενον, ἀλλ’ ὁποῖόν τι ἤ τι ποιοῦν ἢ πάσχο ν . ὁμοίως δεικνύοιτο ἂν ὅτι οὐδὲ τὸ γλυκὺ μέλιτος γένος, οὐδὲ τὸ πικρὸν ἀψινθίου, οὐδὲ ἡδονὴ τοῦ καλοῦ· καὶ γὰρ εἰ ἀχώριστον τὸ ἡδὺ τοῦ καλοῦ, ἀλλ’ οὐκ ἐν τῷ τί ἐστιν αὐτοῦ κατηγορεῖται. διαφέροι δ’ ἂν οὗτος ὁ τόπος τοῦ πρὸ αὐτοῦ, ὅτι δι’ ἐκείνου μὲν ἐδείκνυτο τὸ ὑποκείμενον μὴ ὂν ὅπερ τὸ κατηγορούμενον, ἐν τούτῳ δὲ ἔμπαλιν τὸ κατηγορούμενον μὴ σημαῖνον τί ἐστι τὸ ὑποκείμενον. p. 120b30 Μάλιστα δὲ ἐπὶ τὸν τοῦ συμβεβηκότος ὁρισμὸν ἐπιβλέπει ν , εἰ ἐφαρμόττει ἐπὶ τὸ ῥηθὲν γένο ς . Μάλιστα δεῖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φησιν ἐπὶ τὸν ὁρισμὸν ἐπιβλέπειν τοῦ συμβεβηκότο ς , εἴ τινι ὑπάρχει τῶν ἀποδοθέντων ὡς γενῶν.

in Top.299 ἔστι δὲ τοῦ συμβεβηκότος ὁρισμὸς τὸ οἷόν τε ὑπάρχειν τε καὶ μή· εἰ δὴ τῷ λευκῷ, ὃ ὡς γένος ἀπεδόθη τῆς χιόνος, ἢ τῇ αὐτοκινησίᾳ, ὃ τῆς ψυχῆς, ὑπάρχει ὃ τοῦ συμβεβηκότος ἔκειτο λόγος, τὸ οἷόν τε ὑπάρχειν καὶ μή, οὐκ ἂν εἴη οὐδέτερον αὐτῶν γένο ς . ἐπιζητήσαι δ' ἄν τις πῶς ἢ τῇ χιόνι τὸ λευκὸν ἢ τῇ ψυχῇ τὸ αὐτοκίνητον οἷόν τε ὑπάρχειν τε καὶ μὴ κατὰ τοὺς ἀεικίνητον τιθεμένους τὴν ψυχήν. ἢ οὐ τούτοις αὐτὰ λέγει οἷά τε ὑπάρχειν τε καὶ μή, ἀλλὰ καθόλου τε καὶ ἁπλῶς πάσῃ οὐσίᾳ [ὑπάρχει]· εἰ γὰρ τούτοις ὡς εἴδεσι, καὶ ταῖς ἄλλαις ἂν οὐσίαις δέοι αὐτά, αἷς ὑπάρχει, ὡς εἴδεσιν ὑπάρχειν. εἰ δὲ ἔστιν αἷς οἷά τέ ἐστιν ὑπάρχειν τε καὶ μή, οὐκ ὄντα ἐκείνων γένη, οὐδ' ἂν τούτων εἴη τῶν ἐκείνοις ὄντων ἀνάλογον. ὥσπερ δὲ τὸ λευκὸν ὑπάρχον τισὶν οὐσίαις οἷόν τε καὶ μὴ ὑπάρχειν, οὕτως καὶ αὐτοκινησία (τὰ γὰρ ζῷα αὐτοκίνητα ὄντα οὐκ ἀεὶ κινεῖται), ὡς εἶναι τὸ λεγόμενον ἴσον τῷ μηδὲν τῶν οἵων τέ τισιν ὑπάρχειν τε καὶ μὴ γένος τινῶν οἷς ὑπάρχει εἶναι δύνασθαι, εἰ καί τισιν αὐτῶν οὕτως ὑπάρχει ὡς εἶναι αὐτῶν ἀχώριστον· τὸ γὰρ χρῶμα γένος οὐ τούτων τινὸς οἷς ὑπάρχει, ἀλλὰ ὧν ἐστιν ἐν τῇ οὐσίᾳ. ἢ οὐ χρὴ τοῦ εἰρημένου ἀκούειν ὡς ἐπὶ τούτων τῶν παραδειγμάτων λεγομένου, ἀλλ' ἐπεὶ δύναταί ποτε καὶ τοιοῦτον καὶ οὕτως ὑπάρχον τινὶ ὡς γένος ἀποδοθῆναι, τὸ τοιοῦτον ἀπὸ τοῦ ὁρισμοῦ τοῦ συμβεβηκότος, ὅτι μὴ γένος ἐστίν, ἐλέγχειν δεῖ. καὶ γὰρ τὰ νῦν εἰρημένα ὅτι μή ἐστιν ἐκείνων γένη οἷς ἐνδέχεται ὑπάρχειν αὐτὰ καὶ μή, ἀπὸ τοῦ ὁρισμοῦ τοῦ συμβεβηκότος ἂν δεικνύοιτο· οὔτε γὰρ τοῦ ζῴου τὸ αὐτοκίνητον γένος καίτοι ὄντος αὐτοκινήτου, ὅτι ἔστιν ὅτε μὴ ὑπάρχει αὐτῷ τὸ αὐτὸ κινεῖν, οὔτε τὸ λευκὸν ἐκείνου ᾧ οἷόν τε αὐτὸ καὶ ὑπάρχειν καὶ μή. οὕτως οὐδὲ τὸ αἰσθάνεσθαι ἀνθρώπου γένος· οἷόν τε γὰρ αὐτὸν καὶ αἰσθάνεσθαι καὶ μή· οὐ γὰρ ταὐτὸν τὸ αἰσθητικὸν καὶ τὸ αἰσθανόμενον. p. 120b36 Ἔτι εἰ μὴ ἐν τῇ αὐτῇ διαιρέσει τὸ γένος καὶ τὸ εἶδο ς . Δεῖ ἐν τῇ αὐτῇ κατηγορίᾳ καὶ τῷ αὐτῷ γένει καὶ τῇ αὐτῇ διαιρέσει εἶναι τό τε γένος καὶ τὸ εἶδος · τῆς γὰρ αὐτῆς φύσεως δεῖ ἄμφω εἶναι. εἰ δὴ τὸ ἀποδεδομένον γένος τινὸς ὑπ' ἄλλην κατηγορίαν εἴη καὶ ὑπ' ἄλλην τὸ εἶδος οὗ ὡς γένος ἀπεδόθη, οὐκ ἔσται τὸ ἀποδεδομένον γένος· εἰ γὰρ τὸ μὲν οὐσία εἴη, ὡς ἡ χιὼν καὶ ὁ κύκνος, τὸ δὲ ποιόν, ὡς τὸ λευκόν, οὐχ οἷόν τε τὸ λευκὸν εἶναι γένος χιόνος ἢ κύκνου.

in Top.300 διὰ ταῦτα δὲ οὐδὲ τῆς ψυχῆς ἡ κίνησις ἂν εἴη γένος, εἴ γε ἡ μὲν ψυχὴ οὐσία, ἡ δὲ κίνησις οὐκ οὐσία ἀλλ' ἢ πάθος τι καὶ ποιότης ἢ πρός τι ἢ ποσόν. ἀλλ' οὐδὲ τῆς ἐπιστήμης τὸ ἀγαθὸν ἂν εἴη γένος ἢ τὸ καλόν, εἴ γε τὸ μὲν καλὸν ποιόν, ἡ δὲ ἐπιστήμη τῶν πρός τι. ἐπιζητήσαι δ' ἄν τις πῶς ἡ ἐπιστήμη γένος ἔσται γεωμετρίας καὶ μουσικῆς καὶ τῶν ἄλλων ἐπιστημῶν, εἴ γε ἡ μὲν ἐπιστήμη πρός τι, ἐκεῖναι δὲ ποιότητες. ἢ οὐδὲν κωλύει τὴν ἐπιστήμην καὶ ποιότητα εἶναι ἕξιν οὖσαν καὶ πρός τι καὶ εἶναι αὐτήν, καθ' ὃ ποιότης ἐστί, γένος τῶν προειρημένων. ὁμοίως καὶ ἡ ἀρετὴ σωφροσύνης καὶ ἀνδρείας γένος οὐ καθ' ὃ πρός τι ἀλλὰ καθ' ὃ ποιότης. καὶ ἴσως ἐπὶ τοῦ πρός τι τοῦτο ἐνδέχεται μόνον τῷ τὸ πρός τι σχέσιν τινῶν σημαίνειν ἅτινα, ὧν ἡ σχέσις πρός τί ἐστιν, οὐκέτι ἐκεῖνα πρός τι. συμβαίνει γὰρ ὑπὸ δύο πίπτειν γένη κατὰ τοῦτο τὰ πρός τι, ὑπὸ μὲν τὸ πρός τι κατὰ τὴν σχέσιν, ὑπὸ δὲ ἄλλο τι, ὑφ' ὅ ἐστιν ἐκεῖνα χωρὶς τῆς σχέσεως λαμβανόμενα, κατὰ τὴν αὐτῶν φύσιν. ὃν γάρ τι πρῶτον, ἔπειτα τὴν πρὸς ἄλλο σχέσιν ἔχει· διὸ καὶ ὑπ' ἐκεῖνο τὸ γένος ἔσται. οὐδὲν δὴ κωλύει καὶ τὸ ἀγαθὸν ὑπὸ τὴν ποιότητα ὂν ἢ τὸ καλὸν γένος εἶναι τῆς ἐπιστήμης, καθ' ὅσον καὶ ἡ ἐπιστήμη ποιότης καὶ αὐτή. ὡς γὰρ πρός τι οὖσα ἡ ἐπιστήμη γένος ἐστὶ τῶν ὑπ' αὐτήν, γεωμετρίας καὶ μουσικῆς καὶ τῶν ἄλλων οὐ πρός τι ὄντων, τῷ μὴ κατὰ τὸ πρός τι γένος αὐτῶν εἶναι, οὕτως οὐδὲν κωλύει πάλιν τῆς ἐπιστήμης οὔσης πρός τι γένος εἶναι ἢ τὸ ἀγαθὸν ἢ τὸ καλὸν ὄντα ποιά, οὐ καθ' ὃ πρός τί ἐστιν ἡ ἐπιστήμη, γενῶν αὐτῆς τούτων λαμβανομένων, ἀλλὰ καθ' ὃ ποιόν· οὐ γὰρ πρός τι μόνον ἡ ἐπιστήμη. διὸ χρὴ ἐπὶ τῶν ἄλλων γενῶν παραφυλάττειν τοῦτο· οὐ γὰρ οἷόν τέ ἐστι κατ' ἐκείνας τὰς κατηγορίας ὑπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλείους τὸ αὐτὸ εἶναι. δεικνύοις δ’ ἂν ὁρμώμενος ἀπὸ τοῦ τόπου τούτου ὅτι μηδὲ ἡ σιμότης ῥίς ἐστι κοίλη, εἴ γε ἡ μὲν ῥὶς οὐσία, ἡ δὲ σιμότης οὐκ οὐσία ἀλλὰ ποιότης· πάθος γάρ τι ἡ σιμότης· διὸ εὐλογώτερον αὐτὴν κοιλότητα λέγειν ἐν ῥινί. δεικνύοιτο δ’ ἂν ὅτι μηδὲ ὁ ψόφος ἢ ἡ φωνὴ ἀὴρ πεπληγώς, εἴ γε ὁ μὲν ἀὴρ οὐσία, ὁ δὲ ψόφος οὐκ οὐσία· πάθος γάρ τι καὶ ποιότης· ἀλλὰ εὐλογώτερον λέγειν αὐτὸν πληγὴν ἐν ἀέρι.

in Top.301 ἔστι δὲ ὁ τόπος πρὸς ἀνασκευὴν μόνον χρήσιμος· εἰ μὲν γὰρ μὴ εἴη ὑπὸ τὴν αὐτὴν διαίρεσιν τὸ κατηγορούμενον καὶ τὸ ὑποκείμενον, οὐκ ἂν εἴη γένος τὸ κατηγορούμενον· οὐ μέντοι, εἰ ἄμφω εἴη ἐκ τοῦ αὐτοῦ γένους, ἤδη ἀνάγκη τὸ ἕτερον τοῦ ἑτέρου γένος εἶναι. p. 121a10 Πάλιν εἰ ἀνάγκη ἢ ἐνδέχεται τοῦ τεθέντος ἐν τῷ γένει μετέχειν τὸ γένο ς . Τί μέν ἐστι μετέχειν, αὐτὸς ἐδήλωσε· τὸ γὰρ ἐπιδέχεσθαι τὸν τοῦ μετέχεσθαι λεγομένου λόγον μετέχειν ἐστὶν αὐτοῦ. τὸ δὲ τιθέμενον ἐν τῷ γένει ἐστὶ τὸ εἶδος, οὗ τὸ ἀποδιδόμενον ὡς γένος ἀποδίδοται. ἐπεὶ τοίνυν κεῖται τὰ μὲν εἴδη τὸν τῶν γενῶν ἐπιδέχεσθαι λόγον, τὰ δὲ γένη τὸν τῶν εἰδῶν οὐκέτι, τὰ μὲν εἴδη μετέχοι ἂν τῶν γενῶν, οὐκέτι δὲ καὶ τὰ γένη τῶν εἰδῶν. οὕτως τοίνυν τούτων ἐχόντων, εἰ τοῦ τεθέντος ὡς ἐν γένει τινὶ τὸ κατηγορηθὲν ὡς γένος αὐτοῦ τὸν λόγον τε καὶ ὁρισμὸν ἢ ἐπιδέχεται ἢ οἷόν τε ἐπιδέχεσθαι, οὐκ ἂν εἴη γένος τὸ εἰλημμένον. οἷον ἂν λέγῃ τις τοῦ ὄντος γένος [τὸ] τι εἶναι ἢ τοῦ ἑνός· τὸ γὰρ τούτων τινὸς ἀποδοθὲν ὡς γένος πάντως ἐπιδέξεται τόν τε τοῦ ὄντος λόγον καὶ τὸν τοῦ ἑνός· πᾶν γὰρ τὸ ἐν ὑπάρξει ὂν καὶ ὂν καὶ ἕν ἐστιν. οὕτω δεικνύοις ἂν ὅτι μὴ καλῶς τὸ τὶ οἱ ἀπὸ τῆς Στοᾶς γένος τοῦ ὄντος τίθενται· εἰ γὰρ τί, δῆλον ὅτι καὶ ὄν· εἰ δὲ ὄν, τὸν τοῦ ὄντος ἀναδέχοιτο ἂν λόγον. ἀλλ’ ἐκεῖνοι νομοθετήσαντες αὑτοῖς τὸ ὂν κατὰ σωμάτων μόνων λέγεσθαι διαφεύγοιεν ἂν τὸ ἠπορημένον· διὰ τοῦτο γὰρ τὸ τὶ γενικώτερον αὐτοῦ φασιν εἶναι, κατηγορούμενον οὐ κατὰ σωμάτων μόνον ἀλλὰ καὶ κατὰ ἀσωμάτων. ἀλλ’ ἐπεὶ γενικώτατον τὸ τί, εἴη ἂν ὑπ’ αὐτὸ καὶ τὸ ἕν· ἀλλ’ ἔστι καὶ τοῦ τινὸς αὐτοῦ τὸ ἓν κατηγορῆσαι· ὥστε οὐ γένος τὸ τὶ τοῦ ἑνός, ἐπιδεχόμενον αὐτοῦ τὸν λόγον. δεικνύοις ἂν οὕτως μηδὲ τοῦ ἀριθμοῦ τὸ πλῆθος γένος ὄν· καὶ γὰρ τὸ πλῆθος ἀριθμός, καὶ ἐφαρμόζει αὐτῷ ὁ τοῦ ἀριθμοῦ λόγος. εἰ δὲ τοῦτο, οὐ καλῶς οἱ ὁριζόμενοί φασι τὸν ἀριθμὸν πλῆθος μονάδων· καὶ γὰρ αὐτὸ τὸ πλῆθος μονάδες εἰσὶ πολλαί. τοῦ δὲ ὄντος καὶ τοῦ ἑνὸς εἶπε λόγους καὶ ὁρισμοὺς εἶναι, ἤτοι κοινότερον καὶ ἐνδοξότερον, ἢ ὅτι ἀρέσκει αὐτῷ τῶν οὕτω πολλαχῶς λεγομένων, ὡς λέγεται τὰ ἀφ’ ἑνός τε καὶ πρὸς ἕν, καὶ ὁρισμοὺς εἶναι (τοιαῦτα δὲ τό τε ὂν καὶ τὸ ἕν), ἢ ὅτι κατὰ τοὺς ἀποδιδόντας τούτων τι ὡς γένος, κατ’ ἐκείνους εἴη ἂν καὶ τούτων γένη.

in Top.302 p. 121a20 Ἔτι εἰ κατά τινος τὸ ἀποδοθὲν εἶδος ἀληθεύετα ι , τὸ δὲ γένος μ ή . Ἐπεὶ τὸ γένος τοῦ οἰκείου εἴδους καθ’ ὑποκειμένου κατηγορεῖται, ἀνάγκη αὐτὸ καὶ ὧν τὸ εἶδος τὸ ὑπ’ αὐτὸ κατηγορεῖται, καὶ τούτων κατηγορεῖσθαι. μέρος γάρ πως τὸ εἶδος τοῦ γένους ἐστί· τὰ δὲ τῶν μερῶν μέρη καὶ τῶν ὅλων ἐστὶ μέρη. ὅταν οὖν τι ὡς γένος τινὸς ἀποδεδομένον ᾖ, χρὴ ἐπισκέπτεσθαι καὶ εἰ ὧν τὸ ὑποκείμενον ὡς εἶδος κατηγορεῖται, πάντων καὶ τὸ ὡς γένος ἀποδεδομένον κατηγορεῖται· ἂν γὰρ μὴ κατὰ πάντων κατηγορῆται, οὐκ ἔσται γένος τούτου. οὕτω δειχθήσεται τοῦ δοξαστοῦ μὴ ὂν γένος μήτε τὸ ὂν μήτε τὸ ἓν μήτε τὸ ἐπιστητόν, ἐπεὶ τὸ μὲν δοξαστὸν καὶ ἐπὶ τοῦ μὴ ὄντος κατηγορεῖται (δοξάζομεν γὰρ καὶ περὶ τοῦ μὴ ὄντος ὅτι οὐκ ἔστιν, ὡς εἶπε καὶ ἐν τῷ Περὶ ἑρμηνείας “δόξα γὰρ αὐτοῦ ἐστιν, ὅτι οὐκ ἔστιν”), οὐ μὴν τὸ ὂν ἢ τὸ ἓν ἢ τὸ ἐπιστητὸν ἔτι κατὰ τοῦ μὴ ὄντος ἀληθεύεται. δεικνύοιτο δ’ ἂν οὐδὲ τῆς ἡδονῆς γένος ὂν τὸ ἀγαθόν, ὅτι ἡ μὲν ἡδονὴ καὶ κατὰ τῆς τῶν ἀκολάστων ἀληθεύεται, τὸ δὲ ἀγαθὸν οὔ. ἀλλ’ οὐδὲ ἡ ἐπιστήμη γένος ἂν εἴη τῆς ἀρετῆς, ὅτι ἡ μὲν ἀρετὴ καὶ κατὰ τῶν ἐδεχομένων ἄλλως ἔχειν (περὶ γὰρ τὰ τοιοῦτα ἡ ἠθικὴ ἀρετή), ἐπιστήμη δὲ κατ’ οὐδενὸς τῶν ἐνδεχομένων ἄλλως ἔχειν ἀληθεύεται. ἔστι δὲ ὁ τόπος ἀνασκευαστικὸς καὶ αὐτός. p. 121a27 Πάλιν εἰ μηδενὸς τῶν εἰδῶν ἐνδέχεται μετέχει ν . Ἐπεὶ τὰ γένη διαιρεῖται εἰς τὰ προσεχῆ εἴδη. διαιρεῖται δὲ καὶ τὰ ὑπὸ τὸ γένος εἴδη πάλιν καὶ αὐτὰ ὄντα γένη τινῶν (οὐδὲν γὰρ κωλύει εἴδη τινῶν ὄντα ἄλλων

πάλιν αὐτὰ εἶναι γένη, ὡς ἔχει τὸ ὄρνεον, μὴ εἰς γένη ἀλλ' εἰς εἴδη, τοῦτ' ἔστι τὸν κόρακα καὶ τὰ ὅμοια, διαιρούμενον, ταῦτα δὲ πάλιν εἰς τὰ ἄτομα πάντα), δῆλον ὅτι τὰ ὑπὸ τὸ γένος ὄντα μὴ κατὰ τὴν πρώτην διαίρεσιν ἀλλ' ὑπό τι τῶν τοῦ γένους εἰδῶν ἀναγκαῖον τῶν εἰδῶν τινος μετέχειν καὶ ἀναδέχεσθαι τὸν τῶν εἰδῶν λόγον τῶν ὄντων ὑπὸ τὸ γένος τὸ ἀποδεδομένον.

in Top.303 τὰ μὲν γὰρ προσεχῆ τοῖς γένεσιν εἴδη μόνων τῶν γενῶν μετέχει καὶ τὸν τούτων μόνων ἐπιδέχεται λόγον· τὰ δὲ μὴ προσεχῆ ἀλλὰ πλέον ἀφεστῶτα πρῶτον εἴδους τινὸς τῶν ὑπὸ τὸ γένος ὄντων ἀναγκαῖον αὐτὰ ἐπιδέχεσθαι λόγον, εἰ μέλλοι γένος αὐτῶν τὸ ἀποδοθὲν εἶναι. ἂν δή τι ὡς γένος τινὸς ἀποδοθῇ, ζητητέον εἰ τοῦτο, οὗ τὸ γένος ἀπεδόθη, μήτε κατὰ τὴν πρώτην διαίρεσίν ἐστι τοῦ ἀποδεδομένου γένους μήτε τινὸς τῶν εἰδῶν αὐτοῦ μετέχει· ἂν γὰρ οὕτως ἔχῃ, ἀδύνατον αὐτοῦ γένος εἶναι τὸ ἀποδεδομένον. οἷον εἰ λέγοι τις τὴν ἡδονὴν ἐν γένει εἶναι τῇ κινήσει, ἐπεὶ μὴ κατὰ τὴν πρώτην διαίρεσιν τῆς κινήσεώς ἐστιν ἡ ἡδονή (διαιρεῖται γὰρ προσεχῶς ἡ κίνησις εἴς τε τὴν κατὰ τόπον καὶ εἰς τὴν κατὰ ποσὸν καὶ εἰς τὴν κατὰ ποιότητα καὶ εἰς τὴν κατ' οὐσίαν, ἀλλ' οὐκ εἰς ἡδονήν), δεῖ τὴν ἡδονήν, εἰ ἔστιν ὑπὸ τὸ γένος, τὴν κίνησιν, τούτων τινὸς μετέχειν τῶν εἰδῶν τῆς κινήσεως καὶ εἶναι ἢ ὑπὸ τὴν κατὰ τόπον μεταβολὴν ἢ ὑπὸ τὴν κατὰ ποσὸν ἢ ὑπὸ τὴν κατὰ ποιότητα ἢ ὑπὸ τὴν κατ' οὐσίαν· κείσθωσαν γὰρ νῦν καὶ ἡ γένεσις καὶ ἡ φθορὰ κινήσεις εἶναι. ἂν δὴ ὑπὸ μηδεμίαν τούτων ᾖ, οὐδ' ἂν ὑπὸ τὴν κίνησιν ὡς ὑπὸ γένος εἴη. κοινότερον δὲ νῦν εἴδη τῆς κινήσεως λέγοιτ' ἂν τὰ εἰρημένα· οὐ γὰρ γένος ἡ κίνησις, ἀλλὰ τῶν πολλαχῶς λεγομένων. ἀλλὰ μὴν ἡ ἡδονὴ οὔτε φορά ἐστιν οὐδὲ ἐπιδέχεται τὸν τῆς τοιαύτης κινήσεως λόγον, οὔτε αὔξησις ἢ μείωσις, οὔτε ἀλλοίωσις, οὔτε γένεσις ἢ φθορά· οὐδὲ κίνησις ἄρα. ὅτι μὲν γὰρ οὐκ ἔστι φθορὰ οὐδὲ αὔξησις ἢ μείωσις, πρόδηλον. ἀλλ' οὐδὲ γένεσις ἢ φθορά· οὐ γὰρ κατ' οὐσίαν ἐστὶ μεταβολή. ἀλλ' οὐδὲ οὕτως γένεσις, ὡς λέγεται ἡ ἀναπλήρωσις· οὐ γὰρ ἡ ἡδονὴ ἀναπλήρωσίς ἐστιν, ἀλλὰ ἐπ' ἀναπληρώσει γίνεται· οὐ ταὐτὸν γοῦν τό τε ἡδόμενον καὶ τὸ ἀναπληρούμενον· ἡ μὲν γὰρ ἀναπλήρωσις σωμάτων ἐστίν, ἡ ἡδονὴ δὲ τῆς ψυχῆς. ἔτι οὐδὲ πᾶσα ἐπὶ ἀναπληρώσει· αἱ μὲν γὰρ ἐπὶ ἀναπληρώσει προλυπηθεῖσιν ἐπιγίνονται, οὐ πᾶσα δὲ ἡδονὴ προλυπηθέντων. ἀλλ' οὐδὲ ἀλλοίωσίς ἐστιν ἡ ἡδονὴ κατὰ πάθος οὖσα μεταβολή, ὡς ἂν δόξαιεν· οὐ γάρ, εἰ πάθος, ἤδη καὶ κατὰ πάθος μεταβολή. οὐ γὰρ ταὐτόν· ἡ γοῦν λευκότης πάθος ὂν οὐκ ἔστιν ἀλλοίωσις, ἀλλ' ἡ λεύκανσις· οὐ ταὐτὸν δὲ λευκότης καὶ λεύκανσις· ὁμοίως δὲ οὐδὲ ἡ θερμότης ἀλλοίωσις, ἀλλὰ ἡ θέρμανσις· αὕτη γάρ ἐστιν ἡ μεταβολή.

in Top.304 οὕτω τοίνυν οὐδ' ἡ ἡδονὴ ἀλλοίωσις, ἐπεὶ πάθος· οὐ γὰρ τὸ πάθος ἀλλοίωσις· ἀλλὰ κατὰ πάθος τὴν ἡδονὴν εἴη τις ἂν ἀλλοίωσις, εἴπερ ἄρα, μεταβολὴ εἰς ἡδονὴν οὖσα, ἀλλ' οὐχ ἡδονὴ ἡ μεταβολή. p. 121a36 Οὐδὲ τῶν ἀτόμω ν . Εἰπὼν ὅτι μὴ εἶδος ἡ ἡδονὴ τῆς κινήσεως, προσέθηκεν ὅτι ἀλλ' οὐδὲ τῶν ἀτόμων τι τῶν ὑπὸ τὴν κίνησιν ἡ ἡδονή· ὑπὸ γὰρ τὰ εἴδη τῆς κινήσεως τὰ ἄτομα τὰ ἐν αὐτῇ. εἰπὼν δὲ οὐδὲ τῶν ἀτόμω ν , ἐκ παραλλήλου εἶπε τὸ οὐδὲ τῶν ὑπὸ τὸ εἶδος τῆς κινήσεως ὄντων · πάντα γὰρ τὰ ἐν κινήσει ἄτομα. ὁμοίως δεικνύοιτ' ἂν μηδὲ τῆς ψυχῆς ὁ ἀριθμὸς γένος ὤν· οὔτε γὰρ ὑπὸ τὴν πρώτην διαίρεσιν τοῦ ἀριθμοῦ ἡ ψυχή (πρώτη γὰρ ἀριθμοῦ διαίρεσις τὸ περιττὸν καὶ τὸ ἄρτιον, ἀλλ' οὐ ψυχὴ ἢ περιττὸν ἢ ἄρτιον), οὐδὲ τούτων τινὸς ἡ ψυχὴ μετέχει· οὔτε γὰρ τὸν τοῦ περιττοῦ οὔτε τὸν τοῦ ἀρτίου λόγον ἐπιδέχεται. ἀλλ' οὐδὲ τὸ σημεῖον ἢ τὸ νῦν ποσά, τῷ μήτε συνεχές τι αὐτῶν εἶναι μήτε διωρισμένον, εἰς ἃ πρῶτα ἡ τοῦ ποσοῦ διαίρεσις. οὕτως οὐδὲ τοῦ θεοῦ γένος ἂν εἴη τὸ ζῷον, εἰ ὁ θεὸς μήτε πεζόν ἐστι ζῷον μήτε πτηνὸν μήτε ἔνυδρον. p. 121b1 Ἔτι εἰ ἐπὶ πλέον λέγεται τοῦ γένους τὸ ἐν τῷ γένει τεθέ ν . Ὅτι τὸ γένος ἐπὶ πλέον τοῦ εἴδους λέγεται, γνώριμον· ἂν δὴ τὸ ἀποδοθὲν εἴδους τινὸς γένος ἐπ' ἔλαττον λέγηται τοῦ εἴδους, δῆλον ὡς ἀδύνατον αὐτὸ ἐκείνου, οὗ ἐπ' ἔλαττον κατηγορεῖται, γένος εἶναι. οὕτως δεικνύοις ἂν μὴ δυνάμενον τὸ ζῷον τοῦ ἐμψύχου γένος εἶναι· ἐπὶ πλέον γὰρ τὸ ἔμψυχον τοῦ ζῴου, εἴ γε τὸ ἔμψυχον καὶ κατὰ φυτῶν, ἃ οὐκ ἔστιν αἰσθητικά, ἀλλ' οὐδὲ τὸ ὂν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ δοξαστοῦ, εἴ γε τὸ δοξαστὸν καὶ κατὰ τοῦ μὴ ὄντος. δοκεῖ δὲ ὁ τόπος οὗτος ὁ αὐτὸς εἶναι τῷ πρὸ ὀλίγου εἰρημένῳ τῷ "ἔτι εἰ κατά τινος τὸ ἀποδοθὲν εἶδος ἀληθεύεται, τὸ δὲ γένος μή", καὶ μάλιστα, ἐπεὶ καὶ τῷ αὐτῷ παραδείγματι ἐπ' ἀμφοτέρων κέχρηται.

in Top.305 οὐ μὴν ἀλλ' εἴη ἄν τις αὐτῶν διαφορά. ἐπὶ μὲν γὰρ τοῦ πρώτου ῥηθέντος τόπου οὐ τῷ ἐπὶ πλέον λέγεσθαι τὸ εἶδος τοῦ γένους ἀνῃρεῖτο τὸ γένος, ἀλλὰ τῷ μὴ ἐφ' ὧν τὸ εἶδος, καὶ τὸ γένος. δύναται δὲ ἐπὶ πλειόνων μὲν λέγεσθαι τὸ ἀποδοθέν τινος ὡς γένος, μὴ μέντοι κατὰ πάντων κατηγορεῖσθαι καθ' ὧν καὶ τὸ εἶδος, ἀλλὰ κατ' ἄλλων τινῶν. τὸ γοῦν συνεχὲς ποσὸν ἐπὶ πλειόνων μὲν κατηγορεῖται τοῦ ποσοῦ τοῦ μὴ ἐξ ἐχόντων θέσιν συγκειμένου· τὸ μὲν γὰρ συνεχὲς κατὰ πέντε, γραμμῆς, ἐπιφανείας, σώματος, τόπου, χρόνου· τὸ δὲ μὴ ἐξ ἐχόντων θέσιν κατὰ τριῶν, ἀριθμοῦ γὰρ καὶ χρόνου καὶ λόγου. οὐ μήν, ὧν τὸ μὴ ἐξ ἐχόντων θέσιν κατηγορεῖται, καὶ τὸ συνεχὲς πάντων· οὔτε γὰρ τοῦ ἀριθμοῦ οὔτε τοῦ λόγου. διὸ οὐχ οἷόν τε τὸ συνεχὲς αὐτοῦ γένος εἶναι. τὸ δὲ νῦν ἀναίρεσιν ποιεῖται τοῦ γένους τῷ ἐπὶ πλέον αὐτοῦ λέγεσθαι τὸ ὡς εἶδος λαμβανόμενον, ὡς τὸ ἔμψυχον τοῦ ζῴου. διὸ καὶ οἰκειότερον ἂν εἴη τούτῳ τῷ τόπῳ μᾶλλον τὸ τοῦ ὄντος καὶ τοῦ δοξαστοῦ παράδειγμα· ἐπὶ πλέον γὰρ τὸ δοξαστόν, εἴ γε καὶ κατὰ τῶν ὄντων πάντων καὶ τῶν μὴ ὄντων. εἰ δὲ μὴ πάντα τὰ ὄντα δοξαστά, ἐκείνου ἂν εἴη τοῦ τόπου τὸ παράδειγμα οἰκεῖον. p. 121b4 Πάλιν εἰ ἐπὶ ἴσω ν . Καὶ ὁ ἑξῆς δὲ οὗτος τόπος γνώριμος. εἰ γὰρ ἐπὶ ἴσων ἀμφότερα κατηγοροῖτο, τό τε ἀποδοθὲν γένος καὶ τὸ ὡς εἶδος ληφθέν, ἀδύνατον γένος τὸ ἀποδοθὲν εἶναι· δεῖ γὰρ ἐπὶ πλέον τὸ γένος εἶναι ὡς περιληπτικόν. διὰ τοῦτο οὔτε τὸ ὂν τοῦ ἑνὸς οὔτε τὸ ἓν τοῦ ὄντος οἷόν τε γένος εἶναι· ἑκάτερον γὰρ αὐτῶν τῷ πᾶσι τοῖς οὖσι παρέπεσθαι ἐπ' ἴσων κατηγορεῖται. ὁμοίως δεικνύοιτ' ἂν ὅτι μήτε ἡ ἀρχὴ τοῦ πρώτου μήτε τὸ πρῶτον τῆς ἀρχῆς γένος, εἰ ἥ τε ἀρχὴ πρῶτον καὶ τὸ πρῶτον ἀρχ ή . οὕτως οὐδὲ τὸ ζῷον τοῦ αἰσθητικοῦ· καὶ γὰρ ταῦτα ἐπ' ἴσης. οὐ μόνον δὲ τὸ γένος τοῦ εἴδους ἐπὶ πλέον ἀλλὰ καὶ τῆς διαφορᾶς, ὥς φησιν· εὐλόγως· τέμνεται γὰρ τὰ γένη ὑπὸ τῶν διαφορῶν, καὶ ὑπὸ ἑκάστης διαφορᾶς εἶδός τι περιγράφεται.

in Top.306 διὸ καὶ εἶπε στοιχεῖον εἶναι καὶ ἀρχὴν τῶν τοιούτων τόπων τὸ ἐπὶ πλέον ὀφείλειν λέγεσθαι τὸ γένος τοῦ εἴδους καὶ τῆς διαφορᾶς. p. 121b15 Ὁρᾶν δὲ καὶ εἴ τινος τῶν ἀδιαφόρων τῷ εἴδει μή ἐστι τὸ εἰρημένον γένος ἢ μὴ δόξαι ἄ ν . Ὁ τόπος * · εἰ τὸ ἀποδοθέν τινος ὡς γένος τῶν ὁμοειδῶν αὐτῷ καὶ ἀδιαφόρων κατ' εἶδος [εἰ] μὴ εἴη γένος, οὐδ' ἂν τούτου, οὗ ἀπεδόθη ὡς γένος, εἴη γένος· πάντα γὰρ τὰ ἀδιάφορα κατ' εἶδος ἀλλήλοις ὑπὸ ταὐτὸν γένος. οἷον εἴ τις τὸ μέλαν τοῦ Αἰθίοπος γένος λέγοι, ἐπεὶ ἀδιάφοροι κατ' εἶδος οἱ Αἰθίοπες ἄνθρωποι τοῖς Γαλάταις, διότι καὶ πάντες ἄνθρωποι ἀλλήλοις, μὴ κατηγορεῖται δὲ τῶν Γαλατῶν τὸ μέλαν, οὐδ' ἂν τῶν Αἰθιόπων ὡς γένος κατηγοροῖτο. δεῖ δ' ἐν ἀτόμοις εἴδεσι ζητεῖν τὸ εἰρημένον εἰ ἔστιν· ἐπεὶ ἐπί γε τῶν ὡς γενῶν εἰδῶν οὐδὲν κωλύει τινὸς τῶν ὑπὸ τὸ εἶδος γένος τι ληφθῆναι μὴ πάντων ὂν τῶν ὁμοειδῶν αὐτῷ γένος. τὰ γὰρ πτηνὰ ζῷα ὁμοειδῆ μὲν πάντα ἀλλήλοις, καθ' ὃ πτηνά· γένος μέντοι τὸ σχιζόπτερον ἀετοῦ ἐστιν, οὐ πάντων ὂν τῶν πτηνῶν γένος. ἢ εἰ γένος ἀετοῦ ἀπεδόθη, δεῖ τῷ ἀετῷ, καθ' ὃ ἀετός, ζητεῖν τι ὁμοειδές, οὐ καθ' ὃ πτηνόν· εἰ μὲν γὰρ ἐπὶ πτηνῶν ἀπεδόθη, ἐπὶ πτηνῶν ἔδει ζητεῖν, εἰ δὲ ἀετοῦ, ἐπὶ ἀετῶν. εἴη δ' ἂν οὗτος ὁ τόπος ὑπὸ τὸν πρῶτον τῶν εἰρημένων ἐν τούτῳ τῷ βιβλίῳ, δι' οὗ ἠξίου "ἐπιβλέπειν ἐπὶ πάντα τὰ συγγενῆ" [τοῦ ζῴου] οὗ γένος ἀπεδόθη· ἂν γάρ τινι αὐτῶν μὴ ὑπάρχῃ, οὐδ' ἂν τούτου γένος εἴη· εἰ γάρ τις ἡδονὴ μὴ ἀγαθόν, οὐδ' ἄν τινος ἡδονῆς τὸ ἀγαθὸν εἴη γένος. ἢ ἐκεῖ μὲν ἁπλῶς ἀποδοθέντος τοῦ γένους ὡς πᾶσιν ὑπάρχοντος ἠξίου ἐπὶ τὰ ὁμοειδῆ βλέπειν, εἴ τινι ἐξ αὐτῶν μὴ ὑπάρχει· ἐνταῦθα δέ, εἰ καὶ ἀφορίσας τινὰ τῶν ἐκ τοῦ αὐτοῦ εἴδους καὶ χωρίσας ἐκείνων γένος λέγοι τοῦτο τὸ ἀποδεδομένον, ἀξιοῖ δείξαντας καὶ τἆλλα, καθ' ὧν οὐ κατηγορεῖται τὸ ἀποδοθὲν γένος, ὁμοειδῆ τοῖς ὧν ἀποδέδωκε τὸ γένος, οὕτως τὸ γένος ἀναιρεῖν. οὕτως γὰρ ὅτι μὴ τῶν ἀτόμων γραμμῶν ἐστι γένος τὸ ἀδιαίρετον δεικνύοιτ' ἄν, οὐχ ὡς ἀποδοθέντος μὲν

πασῶν τῶν γραμμῶν γένους τοῦ ἀδιαιρέτου, οὐκ ἐφαρμόζοντος δὲ αὐτοῦ πάσαις, ἀλλ' ὅτι ὧν ἀπέδωκε γένος αὐτό, αὗται ὁμοειδεῖς εἰσι ταῖς διαιρεταῖς· πᾶσα γὰρ γραμμὴ πάσῃ ὁμοειδής· πασῶν δὲ οὐχ οἷόν τε τὸ ἀδιαίρετον κατηγορεῖν.

in Top.307 ἀνασκευάζειν μὲν οὖν οὕτως ἔστι· κατασκευάζειν δὲ δείξαντας ἑνός τινος τῶν ὁμοειδῶν τὸ ἀποδεδομένον γένος. εἰ γὰρ ἑνός, ἀνάγκη καὶ πάντων· εἰ γὰρ τοῦ Γαλάτου ἀνθρώπου γένος, εἴη ἂν καὶ πάντων, ἐπεὶ πάντες ἄνθρωποι ἀδιάφοροι κατ' εἶδος ἀλλήλοις. p. 121b24 Σκοπεῖν δὲ καὶ εἴ τι ἄλλο γένος ἐστὶ τοῦ ἀποδοθέντος εἴδου ς . Ἐπεὶ μὴ δοκεῖ δύνασθαι τοῦ αὐτοῦ γένη δύο εἶναι, εἰ μὴ εἴη τὸ ἕτερον αὐτῶν ὑπὸ τὸ ἕτερον (διὰ τοῦτο γὰρ τοῦ ἀετοῦ καὶ τὸ ὄρνεον καὶ τὸ ζῷον γένη, ὅτι τὸ ὄρνεον ὑπὸ τὸ ζῷόν ἐστι), φησὶ δεῖν, ὅταν τι ὡς γένος τινὸς ἀποδοθῇ, ζητεῖν εἴ τι τοῦ αὐτοῦ γένος ἄλλο ἐστὶν ὁμολογούμενον, καὶ ἂν τὸ ἀποδεδομένον αὐτοῦ γένος μήτε περιέχῃ τὸ ὁμολογούμενον αὐτοῦ γένος μήτε περιέχηται ὑπ' αὐτοῦ, ἀναιρεῖν καὶ ἀποδεικνύναι ὅτι μὴ γένος τὸ ἀποδοθέν. οἷον εἰ λέγοι τις τῆς δικαιοσύνης γένος τὴν ἐπιστήμην, ἐπεὶ ὁμολογουμένως ἡ ἀρετὴ αὐτῆς ἐστι γένος καὶ οὔτε ἡ ἀρετὴ ὑπὸ τὴν ἐπιστήμην ἐστίν (οὐ γὰρ πᾶσα ἀρετὴ ἐπιστήμη) οὔτε ἡ ἐπιστήμη ὑπὸ τὴν ἀρετήν (ἡ γὰρ γεωμετρία ἐπιστήμη οὖσα οὐκ ἔστιν ἀρετή), οὐκ ἂν εἴη τῆς δικαιοσύνης ὀρθῶς γένος ἀποδοθὲν ἡ ἐπιστήμη. πρὸς τοῦτο ἔνστασιν φέρει· δοκεῖ γὰρ ἡ φρόνησις καὶ ἐπιστήμη καὶ ἀρετὴ εἶναι καὶ ὑπ' ἀμφότερα τὰ γένη, καίτοι ἐκείνων οὐκ ὄντων ὑπ' ἄλληλα. πρὸς ἣν ἔνστασιν πρῶτον μὲν λέγει ὅτι μὴ ὁμολογούμενόν ἐστι τὸ τὴν φρόνησιν ἐπιστήμην εἶναι· εἰ γάρ ἐστι περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλοτε ἄλλως ἔχοντα, οὐκ ἂν εἴη ἐπιστήμη ἡ φρόνησις. εἶτά φησιν ὅτι, εἰ καὶ συγχωρηθείη εἶναί τι ἐν δύο γένεσι μὴ οὖσιν ὑπ' ἄλληλα (καὶ γὰρ εἰ μὴ ἡ φρόνησις ἀρετὴ οὖσα συγχωρεῖται ἐπιστήμη εἶναι, ἀλλ' ἥ γε σοφία ὑπ' ἄμφω ἐστί· καὶ γὰρ καὶ ἀρετὴ καὶ ἐπιστήμη ἐστίν, ἃ οὐκ ἔστιν ὑπ' ἄλληλα. δοκεῖ δὲ καὶ ὁ ἄνθρωπος καὶ ὑπὸ τὸ ζῷον λογικὸν γένος εἶναι καὶ ὑπὸ τὸ πεζὸν ζῷον, καὶ οὐδέτερον ὑπ' οὐδέτερόν ἐστιν, εἴ γε λογικοὶ καὶ οἱ θεοί· οὐ γὰρ ὑπὸ τὸ πεζὸν οἱ θεοί. εἰ δὲ μὴ ὑπό τι τούτων οἱ θεοί, ἢ ὑπὸ τὸ πεζὸν ἢ ὑπὸ τὸ πτηνὸν ἢ ὑπὸ τὸ ἔνυδρον, οὐδ' ἂν ὑπὸ τὸ ζῷον εἶεν.

in Top.308 καὶ εἴη ἂν ἁρμόζον τὸ παράδειγμα τοῦτο τῷ πρὸ ὀλίγου εἰρημένῳ τόπῳ τῷ "καὶ πάλιν εἰ μηδενὸς τῶν εἰδῶν ἐνδέχεται μετέχειν τὸ τεθὲν ἐν τῷ γένει", ὡς καὶ ἡμεῖς παρεθέμεθα), καὶ ἐπὶ τούτων δή φησι δεῖν, εἰ καὶ μὴ ὑπ' ἄλληλά ἐστι τὰ γένη, ἐν οἷς ἐστί τι κοινὸν ἀμφοτέροις, ἀλλ' ἄμφω γε τὰ γένη ὑπό τι ἓν κοινὸν εἶναι, ὥσπερ καὶ ἡ ἀρετὴ καὶ ἡ ἐπιστήμη ἔχουσιν· οὐκ ἔστι μὲν γὰρ ὑπ' ἄλληλα, ὑπὸ κοινὸν μέντοι γένος ἐστὶν ἄμφω, τὴν γὰρ ἕξιν καὶ διάθεσιν, ὃ ποιότητός ἐστιν εἶδος. ἂν δὴ μήτε ὑπ' ἄλληλα ᾖ τὰ γένη μήτε ἀμφότερα ὑπό τι ἓν κοινόν, ἀδύνατον τοῦ προκειμένου ἀμφότερα εἶναι γένη. τούτῳ τῷ τόπῳ χρώμενος ἂν δεικνύοις ὅτι μήτε ἡ μονὰς ποσὸν μήτε οὐσία· καίτοι δοκεῖ, καθ' ὃ μέν ἐστι ποσοῦ ὄντος τοῦ ἀριθμοῦ αὐξητική, ποσὸν εἶναι, εἴ γε πᾶν τὸ αὐξόμενον ὁμογενεῖ αὔξεται, ᾗ δὲ ἓν ὂν τῷ ἀριθμῷ δεκτικόν ἐστι τῶν ἐναντίων, ταύτῃ οὐσία· ἐν γὰρ τῇ αὐτῇ τριάδι ἡ μέση μονὰς καὶ πέρας ἐστὶ τῆς πρώτης δυάδος καὶ ἀρχὴ τῆς δευτέρας. ἀλλ' ἐπεὶ μήτε ἡ οὐσία ὑπὸ τὸ ποσὸν μήτε τὸ ποσὸν ὑπὸ τὴν οὐσίαν μήτε ἀμφότερα, ἡ οὐσία καὶ τὸ ποσόν, ὑπὸ ταὐτὸν γένος, οὐκ ἂν ἐν ἀμφοτέροις εἴη τοῖς γένεσιν ἡ μονάς. οὕτως δεικνύοι τις ἂν μηδὲ τὴν ἐπιστήμην καὶ ὑπὸ τὸ ποιὸν οὖσαν καὶ τὸ πρός τι. ἢ λύοιτο ἂν τοῦτο τῷ εἰρῆσθαι ὅτι κατ' ἄλλο καὶ ἄλλο. p. 122a3 Σκοπεῖν δὲ δεῖ καὶ τὸ γένος τοῦ ἀποδοθέντος γένου ς . Ὁ τόπος σαφής· ἐπεὶ γὰρ τό τινος γένος καὶ τῶν ὑπ' ἐκεῖνο τὸ εἶδος [ἤτοι γένος] πάντων ἐν τῷ τί ἐστι κατηγορεῖται (τὸ γὰρ τοῦ ὀρνέου γένος πάντων καὶ τῶν ὑπὸ τὸ ὄρνεον εἰδῶν τε καὶ ἀτόμων, οὐ μόνον τοῦ ὀρνέου), κατηγορεῖται κατὰ τοῦ τεθέντος ἐν τῷ γένει αὐτό τε καὶ τὰ τούτου πάλιν γένη, ἀλλὰ καὶ ἐν τῷ τί ἐστι. κἂν που διαφωνῇ καί τι τῶν κατηγορουμένων τοῦ ἀποδοθέντος γένους μηκέτι καὶ κατὰ τοῦ τεθέντος ἐν τῷ γένει τούτῳ κατηγορῆται ἐν τῷ τί ἐστιν, οὐ ῥητέον γένος αὐτοῦ εἶναι τὸ ἀποδοθέν.

οὕτως δειχθήσεται τῆς αἰδοῦς οὐκ ὂν γένος ἡ ἀρετή· τῆς γὰρ ἀρετῆς γένος ἡ ἕξις οὖσα οὐ κατηγορεῖται τῆς αἰδοῦς· οὐ γὰρ ἕξις ἡ αἰδὼς ἀλλὰ πάθος.

in Top.309 ἀλλ' οὐδὲ τῆς ἐγκρατείας ἡ ἀρετή, ἐπεὶ ἡ βελτίστη ἕξις οὐ κατηγορεῖται αὐτῆς· οὐ γὰρ βελτίστη ἕξις ἡ ἐν φαύλαις ἐπιθυμίαις, κατὰ δὲ πάσης ἀρετῆς ἡ βελτίστη ἕξις ἐν τῷ τί ἐστιν· οὐ γὰρ μόνον ἕξις ἡ ἀρετὴ ἀλλὰ καὶ βελτίστη, ἐπεὶ ἕξις γε καὶ ἡ κακία. ἀλλ' οὐδὲ τῆς χιόνος τὸ λευκόν, ὅτι μηδὲ ἡ ποιότης, ὅ ἐστι γένος τοῦ λευκοῦ· οὐδὲ τὸ γλυκὺ μέλιτος, ὅτι μηδὲ ὁ χυμός. τοῦτο μὲν οὖν ὑγιὲς τὸ τὰ τοῦ ἀποδοθέντος γένους γένη πάντως ὀφείλειν ἐν τῷ τί ἐστι κατηγορεῖσθαι τοῦ ὑπὸ τὸ γένος. οὐ μὴν ἀντιστρέφει· οὐ γάρ, εἴ τι τῶν ἐπάνω ἐν τῷ τί ἐστί τινος κατηγορεῖται, ἤδη καὶ πάντα τὰ ὑπ' αὐτὸ ἐν τῷ τί ἐστι τοῦ αὐτοῦ κατηγορηθήσεται. τῷ γὰρ τὰ ἐναντία ὑπὸ ταὐτὸ εἶναι γένος τῶν ἐναντίων κατηγορηθήσεται ἓν ἐν τῷ τί ἐστι, οὐ μὴν καὶ τὰ ἐναντία ἄμφω ὧν γένος ἐκεῖνο. εἰ γὰρ καὶ τοῦ λευκοῦ τὸ μὲν χρῶμα ἐν τῷ τί ἐστι κατηγορεῖται, οὐ μὴν καὶ τὸ μέλαν· καίτοι καὶ κατὰ τοῦ μέλανος τὸ χρῶμα· γένος γὰρ οὐδὲν ἧττον κἀκείνου. ὁμοίως καὶ ἀδικίας ἡ μὲν ἕξις κατηγορεῖται, οὐκέτι δὲ καὶ ἡ ἀρετὴ οὖσα ὑπὸ τὴν ἕξιν, ὅτι ἡ κακία. p. 122a7 Πάλιν εἰ μετέχει τὸ γένος τοῦ εἴδου ς , ἢ αὐτὸ ἢ τῶν ἐπάνω τι γενῶ ν . Δείκνυσι διὰ τούτου ὅτι, εἰ εἴη τὸ γένος τὸ ἀποδοθὲν ἤ τι τῶν τοῦ ἀποδοθέντος ὡς γένους γενῶν μετέχον τοῦ ὡς εἴδους τεθέντος καὶ ἐπιδέχεται αὐτοῦ τὸν λόγον, ἀδύνατον τὸ ἀποδοθὲν αὐτοῦ γένος εἶναι τῷ μηδὲν τῶν ἐπάνω τὸν τῶν ὑπ' αὐτὰ λόγον ἀναδέχεσθαι. οὐ γὰρ οἷόν τε τὸν ἀετὸν γένος τοῦ ζῴου λέγειν, ὅτι μὴ μόνον ὁ ἀετὸς τοῦ ζῴου μετέχει ἀλλὰ καὶ τὰ γένη αὐτοῦ, τό τε ζῷον πτηνὸν καὶ τὸ ὄρνεον. φθάνει δὲ τὸν τόπον τοῦτον προειρηκέναι δι' ὧν εἶπε "πάλιν εἰ ἀνάγκη ἢ ἐνδέχεται τοῦ τεθέντος ἐν τῷ γένει μετέχειν τὸ γένος". πρόσκειται δὲ ἐν τούτῳ τὸ 'κἂν τῶν ἐπαναβεβηκότων τι τοῦ ἀποδοθέντος ὡς γένουσ'. δοκεῖ δὲ καὶ ἔξωθεν παρεμβεβλῆσθαι ὁ τόπος οὗτος· τὰ γὰρ ἐπιφερόμενα ἀκολουθά ἐστι τῷ πρὸ τούτου εἰρημένῳ τόπῳ τῷ "σκοπεῖν δὲ καὶ τὸ γένος τοῦ ἀποδοθέντος γένους". εἰπὼν γὰρ δι' ἐκείνου τὴν ἀνασκευὴν τοῦ γένους, πῶς ἂν γένοιτο λαμβανομένων τῶν τοῦ ἀποδοθέντος γένους γενῶν, ἑξῆς ἐπιφέρει δεικνὺς πῶς οἷόν τε δι' αὐτῶν τούτων πάλιν κατασκευάζειν ὅτι τὸ ἀποδοθέν ἐστι γένος.

in Top.310 p. 122a9 Ἀνασκευάζοντι μὲν οὖν καθάπερ εἴρηται χρηστέο ν . Πάνυ ἐντέχνως δείκνυσι τὴν τοῦ γένους κατασκευὴν ἔμπαλιν τῇ ἀνασκευῇ γινομένην τῇ προειρημένῃ πρὸ τοῦ τελευταίου κειμένου τόπου. ἡ μὲν γὰρ ἀνασκευὴ ἦν· εἴ τι τῶν τοῦ ἀποδοθέντος ὡς γένους ἐν τῷ τί ἐστι κατηγορουμένων μὴ κατηγοροῖτο καὶ κατὰ τοῦ ἐν γένει τεθέντος αὐτῷ, οὐκ ἂν εἴη τὸ ἀποδοθὲν γένος αὐτοῦ. ἡ δὲ κατασκευὴ ἡ νῦν λεγομένη· εἰ τὸ ἀποδοθὲν γένος τινὸς κατηγοροῖτο μὲν αὐτοῦ, ζητοῖτο δὲ εἰ ὡς γένος καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται, ζητητέον εἴ τι τῶν τοῦ κατηγορουμένου ἐν τῷ τί ἐστι κατηγορουμένων, τοῦτ' ἔστιν εἴ τι γένος ὂν αὐτοῦ κατηγορεῖται ἐν τῷ τί ἐστι κατὰ τοῦ ὑποκειμένου αὐτῷ· ἂν γὰρ οὕτως τι κατηγορούμενον αὐτοῦ εὑρεθῇ, καὶ τὸ ἀποδεδομένον αὐτοῦ ὡς γένος ἐν τῷ τί ἐστι κατηγορηθήσεται. οὗ γὰρ κατηγορούμενον ἐν τῷ τί ἐστί 〈τι〉 κατηγορεῖται κατά τινος ὑποκειμένου αὐτῷ ἐν τῷ τί ἐστιν, ἀνάγκη καὶ αὐτὸ τοῦτο ἐν τῷ τί ἐστιν ἐκείνου τοῦ ὑποκειμένου αὐτῷ κατηγορεῖσθαι. ἂν γὰρ ἕν τι ἢ τῶν ἐπάνω τε καὶ γενῶν τοῦ ἀποδοθέντος ὡς γένους ἢ τῶν ὑπ' αὐτὸ καὶ εἰδῶν αὐτοῦ κατηγορούμενον δειχθῇ τινος ἐν τῷ τί ἐστιν, ἀνάγκη καὶ τὰ ἄλλα πάντα πρὸς ἄλληλα οὕτως ἔχειν ὡς τὰ μὲν γένη εἶναι τὰ δὲ εἴδη καὶ ἐν τῷ τί ἐστι τοῦ αὐτοῦ κατηγορεῖσθαι, δῆλον ὅτι ἂν ὅλως ᾖ κατηγορούμενά τε καὶ ἀληθευόμενα κατ' αὐτοῦ· ὃ ἐδήλωσε καὶ αὐτὸς πάλιν διὰ τοῦ προσθεῖναι τὸ ὧνπερ κατηγορεῖτα ι . καὶ ὅτι τοῦτο οὕτως ἔχει, δ ι ' ἐπαγωγῆς φησι δεῖν δεικνύναι· οὐδαμοῦ γὰρ διαφωνοῦν εὑρεθήσεται. οὕτως δεικνύοιτ' ἂν τῆς ἀρετῆς γένος ἡ διάθεσις· κατηγορεῖται μὲν γὰρ αὐτῆς· ὅτι δὲ καὶ ἐν τῷ τί ἐστι, δῆλον ἐκ τοῦ τὴν ποιότητα γένος οὖσαν τῆς διαθέσεως καὶ ἐν τῷ τί ἐστιν αὐτῆς κατηγορουμένην κατηγορεῖσθαι καὶ τῆς ἀρετῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τῷ τί ἐστιν· ἡ γὰρ ἀρετὴ ποιότης. καὶ τὸ ὄρνεον τοῦ ἀετοῦ γένος, ὅτι τὸ τοῦ ὀρνέου γένος, τὸ ζῷον, ἐν τῷ τί ἐστι τοῦ ἀετοῦ κατηγορεῖται.

in Top.311 p. 122a19 Εἰ δὲ τὸ ἁπλῶς ὑπάρχειν ἀμφισβητεῖτα ι . Δείξας, εἰ ὑπάρχειν μὲν ὁμολογοῖτο τὸ ἀποδοθὲν ὡς γένος τινός, ἀμφισβητοῖτο δὲ εἰ ἐν τῷ τί ἐστιν αὐτοῦ κατηγορεῖται, πῶς οἷόν τε δεῖξαι ὅτι καὶ ἐν τῷ τί ἐστιν αὐτοῦ κατηγορεῖται, δείκνυσιν, εἰ καὶ αὐτὸ τοῦτο ἀμφισβητοῖτο τὸ ὑπάρχειν τὸ ἀποδοθὲν γένος, πῶς δυνησόμεθα αὐτὸ δεῖξαι ὑπάρχον τε καὶ ἐν τῷ τί ἐστι κατηγορούμενον. εἰ γὰρ εἴη τοῦ κατηγορεῖσθαι τεθέντος ὡς γένους ἐν τῷ τί ἐστί 〈τι〉 κατηγορούμενον, φησὶ δεῖν ζητεῖν εἰ μὴ ἄλλο τι τῶν εἰδῶν τῶν ὑπὸ τὸ γένος τὸ ἀνωτέρω ἐν τῷ τί ἐστι τοῦ προκειμένου κατηγορούμενον ὑπάρχει τε καὶ κατηγορεῖται αὐτοῦ. εἰ γὰρ μηδὲν ἄλλο τῶν ἐκείνου τοῦ γένους εἰδῶν ὑπάρχοι αὐτῷ, τὸ ἀποδοθὲν ἂν ὡς γένος ὑπάρχοι τε αὐτῷ καὶ ἐν τῷ τί ἐστιν αὐτοῦ κατηγοροῖτο, ἐπειδὴ δέδεικται ὅτι τὸ ὑπὸ τὸ γένος ὂν ἀνάγκη τινὸς τῶν εἰδῶν αὐτοῦ μετέχειν, εἰ μὴ εἴη τῶν ἐκ τῆς πρώτης διαιρέσεως τοῦ γένους. ὥστε καὶ τὸ προκείμενον, εἰ δοίημέν τινος μετέχειν τῶν εἰδῶν τοῦ ἐν τῷ τί ἐστιν αὐτοῦ κατηγορουμένου, ἐπειδή ἐστιν ὑπὸ τὸ κοινὸν γένος, οὐδενὸς δὲ ἄλλου μετέχει, τούτου ἂν μετέχοι τοῦ ἀποδοθέντος αὐτοῦ ὡς γένους, καὶ εἴη ἂν αὐτοῦ γένος τοῦτο. οἷον εἰ τῆς βαδίσεως γένος ἀπέδωκε τὴν φορὰν καὶ εἴη ζητούμενον εἰ κατηγορεῖται ὅλως ἡ φορὰ τῆς βαδίσεως, ἂν τὸ γένος λαβόντες τῆς φορᾶς (τοῦτο δέ ἐστιν ἡ κίνησις) εὕρωμεν καὶ τὴν κίνησιν ἐν τῷ τί ἐστι τῆς βαδίσεως κατηγορουμένην, καὶ ἐπὶ τούτοις λαβόντες τὰ ἄλλα εἴδη τῆς κινήσεως τὰ ἀντιδιαιρούμενα τῇ φορᾷ δείξωμεν ὅτι μηδὲν αὐτῶν ὑπάρχει τῇ βαδίσει (οὔτε γὰρ ἡ ἀλλοίωσις οὔτε ἡ αὔξησις οὔτε ἡ μείωσις οὔτε ἡ γένεσις οὔτε ἡ φθορὰ ὑπάρχει αὐτῇ), δεδειχότες ἂν εἴημεν ὅτι ἡ φορὰ ὑπάρχει τε αὐτῇ καὶ ἐν τῷ τί ἐστιν αὐτῆς κατηγορεῖται καὶ ἔστιν αὐτῆς γένος. καὶ ἔχοι ἂν ὁ λόγος οὕτως· ἡ βάδισις, ἐπεί ἐστι κίνησις, εἴη ἂν ἤτοι αὔξησις ἢ μείωσις ἢ ἀλλοίωσις ἢ γένεσις ἢ φθορὰ ἢ φορά· οὐκ ἔστι δὲ οὔτε αὔξησις οὔτε μείωσις οὔτε ἀλλοίωσις οὔτε γένεσις οὔτε φθορά· φορὰ ἄρα ἐστίν.

in Top.312 εἰ γὰρ μὴ φορά, οὐδὲ κίνησις· τὸ γὰρ ἐν γένει τινὶ ὂν ἀνάγκη τινὸς μετέχειν αὐτοῦ τῶν εἰδῶν· ἔστι δὲ κίνησις· φορὰ ἄρα. ἁπλούστερον δὲ χρὴ πάλιν ἀκούειν τῆς τε κινήσεως ὡς γένους καὶ τῶν. ὑπ’ αὐτὴν ὡς εἰδῶν. δεικνύοιτο δ’ ἂν οὕτως ἡ δικαιοσύνη ἀρετή, ἐπειδὴ ἡ ἕξις μὲν ἡ προαιρετικὴ αὐτῆς ἐν τῷ τί ἐστι κατηγορεῖται, οὖσα δὲ ἕξις προαιρετικὴ οὐκ ἔστι κακία, ἕξεως δὲ εἴδη ἀρετή τε καὶ κακία. καὶ ὁ τρία δὲ περιττὸς ἀριθμός, ἐπεὶ ἀριθμὸς ὢν οὐκ ἔστιν ἄρτιος. ἔτι ἡ ψυχὴ εἶδος, ἐπεὶ οὐσία οὖσα οὐκ ἔστιν ὕλη. p. 122a31 Πάλιν ἐ φ ’ ὧν τὸ εἶδος τὸ τεθὲν ὡς γένος κατηγορεῖτα ι . Δείξας ἀπὸ τῶν τοῦ ὡς γένους ἀποδοθέντος γενῶν πῶς ἂν ἢ ἀνασκευάζοιτο ἢ κατασκευάζοιτο τὸ γένος εἶναι τοῦ προκειμένου τὸ ἀποδοθέν, νῦν ἔμπαλιν ἀπὸ τοῦ ὡς εἴδους ἀποδοθέντος παραδίδωσι τόπους, δι’ ὧν καὶ ἀνασκευάζειν καὶ κατασκευάζειν δυνησόμεθα τὸ ἀποδοθὲν αὐτοῦ γένος. εἰ γὰρ τὸ εἶδος τὸ ὡς ἐν γένει τινὶ τεθὲν αὐτὸ εἴη τινῶν γένος, χρὴ ἐπιβλέπειν εἰ ὧν τοῦτο γένος ἐστί, τούτων καὶ τὸ ἀποδοθὲν αὐτοῦ γένος. εἰ γὰρ ἢ αὐτὸ τὸ γένος τὸ ἀποδοθὲν μὴ κατηγορεῖται [ἢ] προδήλως τῶν εἰδῶν [ἢ] ἐν τῷ τί ἐστι τῶν τοῦ ὑποκειμένου αὐτῷ ὡς εἴδους ἢ τῶν γενῶν τι τῶν τούτου, δῆλον ὅτι οὐκ ἂν εἴη τὸ ἀποδοθὲν γένος. εἰ γὰρ ἦν γένος τοῦ προκειμένου, φανερὸν ὡς καὶ αὐτὸ καὶ τὰ τούτου γένη πάντα ἂν ἐν τῷ τί ἐστι τῶν τῷ εἴδει ὑποκειμένων κατηγορεῖτο ὥσπερ καὶ τὸ ὡς εἶδος κείμενον· πάντα γὰρ τὰ γενικώτερα τῶν ἐσχάτων καὶ ὑπ’ αὐτὰ ἐν τῷ τί ἐστι κατηγορεῖται. πρὸς μὲν οὖν ἀνασκευὴν χρήσιμον εὑρεθὲν τὸ ὡς γένος ἀποδοθὲν μὴ κατηγορούμενον τῶν ὑπὸ τὸ ἀποδοθὲν εἶδος εἰδῶν ἐν τῷ τί ἐστιν ἢ αὐτὸ ἢ τῶν τούτου γενῶν τι. εἰ γὰρ τῶν ὑπὸ τὴν ἀρετὴν εἰδῶν μὴ κατηγορεῖται ἡ ἐπιστήμη, οὐκ ἂν εἴη γένος τῆς ἀρετῆς, οἷον ἢ ἀνδρείας ἢ σωφροσύνης ἤ τινος ἄλλης ἀρετῆς. πρὸς δὲ κατασκευὴν χρήσιμον εὑρεθὲν τὸ ἀποδοθὲν γένος ἐν τῷ τί ἐστι κατηγορούμενον τῶν ὑπὸ τὸ κείμενον εἶδος εἰδῶν. εἰ γὰρ καὶ τὸ ὡς εἶδος κείμενον εἴη αὐτῶν

ἐν τῷ τί ἐστι κατηγορούμενον καὶ τὸ ἀποδοθὲν ὡς γένος τοῦ εἴδους τούτου, δῆλον ὡς ἐκεῖνα ὑπὸ δύο γένη ἔσται, ἃ δεήσει ὑπ’ ἄλληλα εἶναι· ὅταν γάρ τι ᾖ ἐν πλείοσι γένεσιν, ἐκεῖνα ἐδείχθη ὑπ’ ἄλληλα ὄντα.

in Top.313 εἰ δὴ καὶ τὰ δύο γένη τῶν αὐτῶν ὄντα δεῖ ὑπ’ ἄλληλα εἶναι καὶ οὐκ ἔστιν ὑπὸ τὸ εἶδος τὸ ἀποδοθὲν αὐτοῦ γένος, λείπεται τοῦτο ἐκείνου γένος εἶναι· εἰ δὲ τοῦτο οὕτως, εἴη ἂ τὸ ἀποδεδομένον. οἷον εἰ εἴη ἀποδεδομένον τοῦ ὀρνέου τὸ πτηνὸν ζῷον γένος καὶ εἰ ἔστι ζητοῖτο, ἐπεὶ τὸ ὄρνεον γένος ἐστὶ τοῦ τε κόρακος 〈καὶ τοῦ ἀετοῦ〉 καὶ τῶν ἄλλων τῶν τούτοις ἀντιδιαιρουμένων καὶ τούτων ἐν τῷ τί ἐστι καὶ τὸ πτηνὸν ζῷον κατηγορεῖται ὥσπερ καὶ τὸ ὄρνεον, δῆλον 〈ὡσ〉 καὶ τὸ πτηνὸν ζῷον γένος ἂν εἴη τοῦ ἀετοῦ· ἔστι δὲ αὐτοῦ γένος καὶ τὸ ὄρνεον· δεῖ ἄρα τούτων, τοῦ τε ὀρνέου καὶ τοῦ ζῴου πτηνοῦ, ἐπεὶ τοῦ αὐτοῦ γένη ἐστί, τὸ ἕτερον ὑπὸ τὸ ἕτερον εἶναι. οὐκ ἔστι δὲ τὸ ζῷον πτηνὸν ὑπὸ τὸ ὄρνεον· ἐπὶ πλέον γάρ ἐστιν αὐτοῦ· λείπεται ἄρα τὸ ὄρνεον ὑπὸ τὸ ζῷον πτηνὸν ὡς ὑπὸ τὸ γένος εἶναι. ὁ μὲν οὖν ἀνασκευαστικὸς ἐπὶ τῶν προειρημένων τόπος δόξει ὁ αὐτὸς εἶναι τῷ πρώτῳ πάντων μᾶλλον εἰρημένῳ, δι’ οὗ ἠξίου ἐπιβλέπειν ἐπὶ πάντα τὰ συγγενῆ τῷ ὡς εἴδει τινὸς γένους τεθέντι, εἴ τινος αὐτῶν τὸ ἀποδοθὲν γένος μὴ κατηγορεῖται. προσκείμενος δὲ αὐτῷ ὁ κατασκευαστικὸς ἄλλον αὐτὸν ἐποίησεν. p. 122b7 Σκοπεῖν δὲ καὶ τοὺς λόγους τῶν γενῶ ν . Δείξας δὲ τὸ προκείμενον ἀπὸ τοῦ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι ἢ μὴ κατηγορεῖσθαι, ἐπεὶ τὰ γένη τῶν εἰδῶν οὐ μόνον ἐν τῷ τί ἐστι κατηγορεῖται ἀλλὰ καὶ συνωνύμως, δεῖν φησι καὶ τοὺς λόγους λαμβάνειν τοῦ τε ὡς εἴδους ἀποδοθέντος καὶ τοῦ ὡς γένους, κἂν μὲν φαίνωνται κατὰ τῶν τοῦ ἀποδοθέντος ὡς εἴδους εἰδῶν ἀμφότεροι οἱ λόγοι κατηγορούμενοι, ὅ τε τοῦ εἴδους καὶ ὁ τοῦ ὡς γένους ἀποδοθέντος, ἔτι δὲ καὶ οἱ τῶν τοῦ ἀποδοθέντος ὡς γένους γενῶν καὶ αὐτοί, περαίνεσθαι ὑπολαμβάνειν καὶ δείκνυσθαι τὸ προκείμενον γένος ὄν, εἰ δέ που ἀντιπίπτοι, ἀνασκευάζεσθαι. ἂν μὲν γὰρ ὥσπερ ὁ τοῦ ὀρνέου λόγος κατηγορεῖται τοῦ ἀετοῦ, οὕτως καὶ ὁ τοῦ ζῴου πτηνοῦ καὶ ὁ τοῦ ζῴου, ὃ ὡς γένος ἐστὶ τοῦ ζῴου πτηνοῦ, εἴη ἂν δεικνύμενον τὸ ζῷον πτηνὸν γένος ὂν τοῦ ὀρνέου.

in Top.314 εἰ δὲ ὁ τοῦ ζῴου πτηνοῦ λόγος μὴ ἐφαρμόζοι τῷ ἀετῷ ἢ ὁ τοῦ ζῴου, οὐδ’ ἂν τὸ ζῷον πτηνὸν γένος εἴη τοῦ ὀρνέου. οὕτως ἂν δεικνύοιτο ὁ ἀριθμὸς οὐκ ὢν γένος τῆς ψυχῆς, ὅτι οὐδεμιᾷ ψυχῇ λόγος ὁ τοῦ ἀριθμοῦ ἐφαρμόζει· οὐδεμία γὰρ ψυχὴ πλῆθός ἐστιν ἐκ μονάδων συγκείμενον· ὁ μέντοι τῆς ψυχῆς λόγος, ὅς τις ἂν ᾖ, ἑκάστῃ τῶν ψυχῶν ἐφαρμόζει. τῆς δέ γε ἀλλοιώσεως δεικνύοιτο ἂν γένος ἡ κίνησις, ὅτι ὁ λόγος αὐτῆς ἐφαρμόζει πᾶσι τοῖς ὑπὸ τὴν ἀλλοίωσιν· καὶ γὰρ κατὰ τοῦ λευκαίνεσθαι καὶ κατὰ τοῦ μελαίνεσθαι ὁ τῆς κινήσεως κατηγορεῖται λόγος, ὁμοίως δὲ καὶ κατὰ τῶν ἄλλων ἀλλοιώσεων. p. 122b12 Πάλιν εἰ τὴν διαφορὰν ὡς γένος ἀπέδωκε ν . Ὁ τὴν διαφορὰν τὴν εἰδοποιόν τινος ὡς γένος αὐτοῦ λαμβάνων ἁμαρτάνει· τὸ μὲν γὰρ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται, ἡ δὲ διαφορὰ ποιόν τί ἐστι τὸ ὑποκείμενον, ἀλλ’ οὐ τί ἐστι σημαίνει. οὕτως ἁμαρτάνει ὁ τοῦ θεοῦ γένος τὸ ἀθάνατον ἀποδιδούς· διαφορὰ γάρ ἐστι ζῴου διαιρετικὴ τὸ ἀθάνατο ν , εἰδοποιὸς τοῦ θεοῦ· τῶν γὰρ ζῴων τὰ μὲν θνητὰ τὰ δὲ ἀθάνατ α . δείξας δὲ ὅτι διαφορά, ὡς ἑπόμενον τούτῳ λαμβάνει τὸ ‘ἡ δὲ διαφορὰ οὐ γένοσ‘· οὐδεμία γὰρ διαφορά, ὡς εἶπε, γένος ἐστίν. ὅτι δ’ οὕτως ἔχει, ἔδειξε διὰ τοῦ τὴν διαφορὰν μὴ τί ἐστι σημαίνειν ἀλλὰ μᾶλλον ποιό ν . τὸ δὲ μᾶλλον προσέθηκεν, ὅτι μή ἐστιν ἁπλῶς ποιὸν ἡ διαφορά· ἡ γὰρ ἐν οὐσίᾳ διαφορὰ περὶ οὐσίαν μὲν τὸ ποιὸν ἀφορίζει, οὐ μὴν ποιόν ἐστιν ἀλλὰ οὐσία. λέγοι δ’ ἂν διαφορὰν ποιὸν τὴν χωρὶς τοῦ ὑποκειμένου καὶ τῆς ὕλης λαμβανομένην. διὰ ταῦτα οὐδὲ τοῦ ἀνθρώπου τὸ θνητὸν ἔσται γένος. διὰ ταῦτα οὐδὲ τὸ περιττὸν τριάδος· διαφορὰ γὰρ ἀριθμοῦ. p. 122b18 Καὶ εἰ τὴν διαφορὰν ὡς εἶδος εἰς τὸ γένος ἔθηκε ν . Ὁμοίως ἁμαρτάνει, φησί, καὶ ὁ τὴν διαφορὰν ὡς εἶδος ἐν τῷ γένει τιθεὶς οὗ ἐστι διαιρετικὴ ἡ διαφορά.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

in Top.315 οἷον ὁ λέγων τὸ περιττὸν ἀριθμὸν εἶναι· οὐ γὰρ εἶδος ἀριθμοῦ τὸ περιττὸν καθ' αὑτὸ ἀλλὰ διαφορά· εἶδος γὰρ οὐ τὸ περιττὸν καθ' αὑτό, ἀλλὰ τὸ περιττὸν μετὰ τοῦ ἀριθμοῦ συντεθέν. ἡ δὲ διαφορὰ οὐ μετέχει τοῦ γένους, τοῦτ' ἔστιν οὐκ ἐπιδέχεται τὸν τοῦ γένους λόγον· τὸ γάρ τινος ἐπιδεχόμενον λόγον ἢ εἶδός ἐστιν αὐτοῦ ἢ ἄτομον· ἡ δὲ διαφορὰ οὐδέτερον τούτων. οὕτως οὔτε τοῦ ἀθανάτου τὸ ζῷον κατηγορηθήσεται ὡς γένος οὔτε τοῦ ἀρτίου ὁ ἀριθμὸς οὔτε τῆς κατὰ μῆκος ἐπιδόσεως ἡ αὔξησις· διαφορὰ γὰρ αὐξήσεως ἡ κατὰ μῆκος ἐπίδοσις. αἴτιον δὲ τοῦ τὸ γένος μὴ κατηγορεῖσθαι τῆς διαφορᾶς ἐπὶ τῆς οὐσίας, ὅτι τὸ μὲν γένος συναμφότερόν τί ἐστιν, ἡ δὲ διαφορὰ χωρὶς τοῦ γένους λαμβανομένη οὐ συναμφότερον. εἰ οὖν μὴ μετέχει τοῦ γένους ἡ διαφορ ά , τοῦτ' ἔστιν εἰ μὴ ἐπιδέχεται τὸν λόγον αὐτοῦ, οὐδ' ἂν εἶδος αὐτοῦ εἴη. τὸ δὲ ὥστε οὐδὲ τὸ περιττὸν εἶδος ἂν εἴη ἀλλὰ διαφορ ά , ἐπειδὴ οὐ μετέχει τοῦ γένου ς , δοκεῖ μοι ἔμπαλιν εἰρῆσθαι· οὐ γὰρ διότι οὐ μετέχει, διὰ τοῦτο διαφορά, ἀλλ' ὅτι διαφορά, διὰ τοῦτο οὐδὲ μετέχει τοῦ γένους· γνωριμώτερον γὰρ τὸ διαφορὰν αὐτὸ εἶναι ἢ τὸ μὴ μετέχειν τοῦ ἀριθμοῦ· ἔτι καὶ αὐτὸς ὡς ὁμολογούμενον τὸ διαφορὰν αὐτὸ εἶναι λαβὼν προσέθηκε τὸ οὐ δοκεῖ δὲ μετέχειν ἡ διαφορὰ τοῦ γένου ς . p. 122b25 Ἔτι εἰ τὸ γένος εἰς τὸ εἶδος ἔθηκ ε . Πρόδηλος ἡ ἁμαρτία τοῦ τὸ γένος ὑποτάσσοντος τῷ εἴδει καὶ κατηγοροῦντος αὐτοῦ τὸ εἶδος ὡς γένος· τὸ γὰρ ἐπ' ἔλαττον λεγόμενον γένος ἀποδίδωσι τοῦ ἐπὶ πλέον ὄντος. οὕτως ἁμαρτάνει ὁ τῆς συνάψεως γένος τὴν συνοχὴν ἀποδιδούς· εἶδος γὰρ τῆς συνάψεως ἡ συνοχή. οὐ γὰρ πᾶν τὸ συναπτόμενον συνέχεται· συνάπτεται γὰρ καὶ τὰ ἁπτόμενα μόνον, οὐ μὴν καὶ συνέχεται· πᾶν μέντοι τὸ συνεχόμενον συνάπτεται· ὥστε ἐπὶ πλέον τὸ συνάπτεσθαι τοῦ συνέχεσθαι. ἀλλὰ καὶ ὁ τῆς μίξεως τὴν κρᾶσιν γένος λέγων τὸ γένος ὑποτίθησι τῷ εἴδει· ἐπὶ πλέον γὰρ ἡ μῖξις τῆς κράσεως. εἰ μὲν γάρ τι κέκραται, καὶ μέμικται τοῦτο, οὐ μὴν πᾶν τὸ μεμιγμένον καὶ κέκραται· ἡ γὰρ τῶν ξηρῶν μῖξις οὐκ ἔστι κρᾶσις.

in Top.316 ἀλλὰ καὶ ὁ τῆς κατὰ τόπον κινήσεως γένος λέγων τὴν φορὰν τὸ γένος ἐν τῷ εἴδει τίθησιν. ποιεῖ δὲ τοῦτο καὶ Πλάτων· ὁριζόμενος γὰρ τὴν κατὰ τόπον κίνησιν φορὰν αὐτήν φησιν εἶναι· ἀλλ' ἡ φορά ἐστι τῶν ἀψύχων τε καὶ ἀκουσίως ἀμειβομένων τόπον ἐκ τόπο υ . εἶπε δὲ τὸ ἀκουσίως ἀντὶ τοῦ 'οὐχ ἑκουσίωσ'· **** μὲν κινεῖται, οὐ μὴν καὶ ἀκουσίως. εἰ οὖν τινά ἐστιν οὐχ ἑκουσίως κατὰ τόπον μεταβάλλοντα, ἔστι δέ τινα καὶ ἑκουσίως τοῦτο ποιοῦντα, ὡς τὰ βαδίζοντα, εἴη ἂν ἐπὶ πλέον ἡ κατὰ τόπον κίνησις· οὐ πᾶσα γὰρ κατὰ τόπον κίνησις φορά. συμβαίνει μὲν οὖν τοὺς τοῦτο ποιοῦντας τὸ ἐπ' ἔλαττον λεγόμενον τοῦ ἐπὶ πλέον λεγομένου γένος λέγειν. οὐ μὴν ἀλλὰ διαφέροι ἂν οὗτος ὁ τόπος ἐκείνου, ὅτι τὸ εἶδος αὐτοῦ 〈τοῦ〉 οὗ εἶδός ἐστι γένος ἀποδιδόμενον δείκνυσιν, ὃ πλέον ἐστὶ τοῦ ἐπ' ἔλαττον λέγεσθαι. Πλάτωνος δὲ ἐμνημόνευσεν ὑπὲρ τοῦ ἐνδοξότερον ποιῆσαι τὸν τόπον καὶ τὸ χρήσιμον ἐνδείξασθαι αὐτοῦ, ὡς καὶ ἐνδόξων τινῶν κατὰ τοῦτο εὐθύνεσθαι δυναμένων, ὡσανεὶ καὶ αὐτοῦ· καὶ γὰρ αὐτὸς ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς εἰπὼν ἀνώνυμον εἶναι τὴν κατὰ τόπον κίνησιν φορὰν αὐτὴν ὀνομάζει. p. 122b37 Πάλιν εἰ τὴν διαφορὰν εἰς τὸ εἶδος ἔθηκε ν . Ὥσπερ ὁ τὸ γένος εἰς τὸ εἶδος τιθεὶς ἁμαρτάνει (τὸ γὰρ ἐπὶ πλέον ὂν ὑποτίθησι τῷ ἐπ' ἔλαττον ὄντι), οὕτως ἁμαρτάνει καὶ ὁ τῆς διαφορᾶς ἀποδιδοὺς γένος τὸ εἶδος ἢ ὅλως κατηγορῶν αὐτῆς τὸ εἶδος τὸ ὑπ' αὐτῆς εἰδοποιούμενον· κατὰ γὰρ τοῦτο καὶ εὐθύνει τὴν ἁμαρτίαν. δέδεικται μὲν γὰρ ὅτι μηδὲ ὅλως τῆς διαφορᾶς τι ὡς γένος κατηγορεῖται τούτων ὧν ἐστι διαφορά, εἴ γε πᾶν τὸ ὑποκείμενον γένει ἢ εἶδος ἢ ἄτομόν ἐστιν, ὧν οὐδέτερόν ἐστιν ἡ διαφορὰ τοῦ τεμνομένου ὑπ' αὐτῆς γένους. πολὺ δὲ ἀτοπώτερον τὸ κατηγορεῖν αὐτῆς τὸ εἶδος τὸ ὑπ' αὐτῆς εἰδοποιούμενον· ὁ γὰρ τοῦτο ποιῶν ἁμαρτάνει, καθ' ὃ τὸ ἐπὶ πλέον λεγόμενον ὑποτάσσει τῷ ἐπ' ἔλαττον λεγομένῳ· ἐπὶ πλέον γὰρ ἡ διαφορὰ τοῦ εἴδους, κἂν λαμβάνηται ἡ διαφορὰ ὡς ἡ συναμφότερος.

in Top.317 οὕτως ἁμαρτάνει ὁ τοῦ ἀθανάτου κατηγορῶν τὸν θεόν (διαφορὰ μὲν γὰρ τὸ ἀθάνατον, εἶδος δὲ ὁ θεός, καὶ ἐπὶ πλέον τὸ ἀθάνατον, εἴ γε μὴ πᾶν τὸ ἀθάνατον θεός) καὶ ὁ τοῦ λογικοῦ τὸν

ἄνθρωπον. p. 122b38 Συμβήσεται γὰρ ἐπὶ ἴσον ἢ ἐπὶ πλέον τὸ εἶδος λέγεσθα ι . Εἶπεν οὐχ ὅτι τὸ γένος ἐπ᾽ ἴσης ποτὲ λέγεται τῷ εἴδει, ἀλλ᾽ ὅτι πᾶν τὸ κατηγορούμενόν τινος ἀληθῶς ἢ ἐπ᾽ ἴσης ἐστὶν αὐτῷ ἢ ἐπὶ πλέον. εἰ οὖν καὶ τὸ εἶδος τῆς διαφορᾶς τις κατηγορεῖ, λέγοι ἂν ἢ ἐπ᾽ ἴσης ἢ ἐπὶ πλέον εἶναι τὸ εἶδος τῆς διαφορᾶς. ἔχει δὲ οὐχ οὕτως· ἡ γὰρ διαφορὰ ἢ ἐπ᾽ ἴσης ἐστὶ τῷ εἴδει οὗ κατηγορεῖται, ὅταν ἡ ἰδίως καὶ προσεχῶς εἰδοποιοῦσα τὸ εἶδος ληφθῇ, ὡς τὸ πεζὸν εἰδοποιὸς οὖσα διαφορὰ τοῦ πεζοῦ ζῴου (εἶδος γὰρ τοῦτο τοῦ ζῴου) ἐπ᾽ ἴσης ἐστὶν αὐτῷ, ἢ ἐπὶ πλέον, ὡς τοῦ ἀνθρώπου τὸ δίπουν ἢ τὸ λογικόν. εἴη δ᾽ ἂν ἐπ᾽ ἴσης τῷ ἀνθρώπῳ τὸ ἐπιστήμης δεκτικόν, ὂν διαφορὰ καὶ τοῦτο. ἔτι εἰ τῆς διαφορᾶς τὸ εἶδος κατηγορεῖται, τοῦ δὲ εἴδους τὸ γένος, καὶ τῆς διαφορᾶς ἂν τὸ γένος ἐν τῷ τί ἐστι κατηγοροῖτο· δέδεικται δὲ τοῦτο ἀδύνατον ὂν τῷ μὴ μετέχειν τοῦ γένους τὴν διαφοράν. ἔοικε δὲ νῦν τὴν διαφορὰν ὡς τὸ συναμφότερον λαμβάνειν. p. 123a1 Ἔτι εἰ τὸ γένος εἰς τὴν διαφορὰν ἔθηκε ν . Φανερῶς ἁμαρτάνει καὶ ὁ τοῦ γένους τὴν διαφορὰν κατηγορῶν· ἐπ᾽ ἔλαττόν τε γὰρ ἡ διαφορὰ τοῦ γένους, καὶ ἔτι οὐδὲ τὸ γένος τῆς διαφορᾶς τὴν ἀρχὴν ἐν τῷ τί ἐστι κατηγορεῖται καίτοι οὔσης ὑπ᾽ αὐτό· εἰ δὲ τοῦτο, πολὺ ἂν ἔτ᾽ ἔλαττον ἡ διαφορὰ τοῦ γένους. ἀντέστρεψε δὲ ἀμφοτέρους τοὺς τόπους τοὺς πρώτους ἀποδοθέντας, τόν τε ἐν ᾧ ἡ διαφορὰ τοῦ εἴδους ὡς γένος ἀπεδίδοτο (ὁ γὰρ τὴν διαφορὰν ἐν τῷ εἴδει τιθεὶς ἀντέστραπται ἐκείνῳ) καὶ τὸν ἐν ᾧ τὸ γένος τῆς διαφορᾶς ὡς εἴδους τις κατηγορεῖ· ὁ γὰρ τὸ γένος εἰς τὴν διαφορὰν τιθείς, περὶ οὗ νῦν λέγει, ἀντεστραμμένος ἐκείνῳ.

in Top.318 οὕτως ἁμαρτάνει ὁ τοῦ χρώματος κατηγορῶν τὸ συγκριτικόν· τὸ μὲν γὰρ χρῶμα γένος, τὸ δὲ συγκριτικὸν διαφορὰ χρώματος· τῶν γὰρ χρωμάτων τὰ μὲν συγκριτικά, ὡς τὰ μέλανα, τὰ δὲ διακριτικά, ὡς τὰ λευκά. ὁμοίως ἁμαρτάνει καὶ ὁ τοῦ ἀριθμοῦ τὸ περιττὸν κατηγορῶν· διαφορὰ γὰρ ἀριθμοῦ γένους ὄντος τὸ περιττόν. p. 123a3 Καὶ εἰ τὸ γένος ὡς διαφορὰν εἶπ ε . Πρόδηλος καὶ αὕτη ἁμαρτία, εἴ τις τὸ γένος τινὸς διαφορὰν αὐτοῦ λέγοι. οὕτως ἁμαρτάνοι ἂν ὁ λέγων κράσεως τὴν μῖξιν διαφοράν· ἔστι γὰρ ἡ μὲν κρᾶσις εἶδος, γένος δὲ αὐτῆς ἡ μῖξις, ὡς εἴρηται καὶ πρὸ ὀλίγου. ὁμοίως καὶ ὁ λέγων τῆς φορᾶς διαφορὰν εἶναι τὴν κατὰ τόπον μεταβολήν· τὸ γὰρ ἐπὶ πλέον τινὸς λεγόμενον καὶ ἐν τῷ τί ἐστι κατηγορούμενον ὡς διαιροῦν αὐτὸ λαμβάνουσιν. ἐπιζητήσειε δ᾽ ἄν τις τίνι διαφέρει τοῦ τὸ γένος εἰς τὸ εἶδος θεῖναι τὸ τὸ γένος ὡς διαφορὰν τοῦ εἴδους ἀποδοῦναι· ὅσον γὰρ ἐπὶ τοῖς παραδείγμασι τὸ γένος ὡς εἶδος εἴληπται τοῦ ἰδίου εἴδους. ἢ διαφέροι ἄν, εἰ εἴη προστιθέμενον τὸ τῆς διαφορᾶς ὄνομα τῷ γένει, ὡς μὴ λέγειν τὴν μῖξιν κρᾶσιν ἀλλὰ τὴν μῖξιν διαφορὰν τῆς κράσεως. τοιοῦτον δόξειεν ἂν ἁμάρτημα εἶναι καὶ τὸ ἀποδοῦναι τὸν πηλὸν γῆν ὑγρῷ φυραθεῖσαν· τὸ γὰρ φύραμα οὐ διαφορὰ τοῦ πηλοῦ ἀλλὰ γένος. ὁμοίως καὶ ὁ λέγων τοῦ ὀρνέου διαφορὰν τὸ πτηνὸν ζῷον. πάντα μέντοι φησὶ τὰ τοιαῦτα δεῖν ἐπισκοπεῖν διὰ τῶν αὐτῶ ν . καὶ τίνα ἐστὶ δι᾽ ὧν χρὴ ἐπισκοπεῖν τε αὐτὰ καὶ ἐλέγχειν, κοινῶς λέγει· τῷ τε γὰρ ἐπὶ πλέον λέγεσθαι τὸ γένος τῆς διαφορᾶς δεῖ χρῆσθαι καὶ τῷ μὴ ἐπιδέχεσθαι τὸν τοῦ γένους λόγον τὴν διαφοράν. p. 123a8 Οὕτω δὲ ἀποδοθέντος οὐδέτερον τῶν εἰρημένων δυνατὸν συμβαίνει ν . Οὕτω ς , εἴ τις τοῦ γένους τὴν διαφορὰν γένος ἀποδοίη, ὡς ὁ τὸ χρῶμα συγκριτικὸν ὄψεως λέγων· ἐ π ᾽ ἔλαττόν τε γὰρ ῥηθήσεται τὸ γένος τῆς διαφορᾶς, καὶ ἔτι ἐπιδέξεται τὸν λόγον αὐτῆς.

in Top.319 ἀλλὰ καὶ ὁ τὸ γένος ὡς διαφορὰν ἀποδιδούς, ὡς νῦν λέγεται, ἐπ᾽ ἔλαττον ποιεῖ τὸ γένος τῆς διαφορᾶς. εἰ γὰρ γένος μὲν νῦν ἡ κρᾶσις, διαφορὰ δὲ ἡ μῖξις αὐτῆς εἴληπται, ἐπεὶ ἡ κρᾶσις ἐπ᾽ ἔλαττόν ἐστι τῆς μίξεως, ἔσται τὸ γένος ἐπ᾽ ἔλαττον τῆς διαφορᾶς· ἔτι ἐπεὶ ἡ μῖξις ἐν τῷ τί ἐστι τῆς κράσεως κατηγορεῖται, μεθέξει τὸ γένος τῆς διαφορᾶς. τοιοῦτόν ἐστι τὸ εἰρημένον νῦν, οὐ τῷ τὴν διαφορὰν μὴ μετέχειν τοῦ γένους, ὃ πρότερον ἐρρήθη, ἀλλὰ τῷ τὸ γένος τῆς διαφορᾶς· τοῦτο γάρ ἐστι σημαινόμενον ὑπὸ τοῦ καὶ μὴ μετέχειν τῆς διαφορᾶ ς , ὃ ἴσον ἂν εἴη τῷ ‘καὶ μὴ ἐν τῷ τί ἐστι τὴν διαφορὰν κατηγορεῖσθαι τοῦ γένουσ‘. καὶ οἱ ἄλλοι δὲ οἱ προειρημένοι τόποι

περὶ τῶν διαφορῶν τε καὶ τῶν εἰδῶν καὶ τῶν γενῶν τῶν οὐ δεόντως ἐπαλλασσομένων τούτων τισὶ προσχρώμενοι δεικνύουσιν· ἢ γὰρ τῷ τὸ ἐπ' ἔλαττον λεγόμενον ἐπὶ πλέον λαμβάνεσθαι ἢ τῷ τὸ μὴ μετέχον τινὸς ὡς μετέχον τίθεσθαι. ὥστε ἐπικοινωνοῦσιν ἀλλήλοις κατὰ τὰ αὐτά. p. 123a11 Πάλιν εἰ μηδεμία διαφορὰ κατηγορεῖται τῶν τοῦ γένους κατὰ τοῦ ἀποδοθέντος εἴδου ς . Ἐπεὶ ἐκ τοῦ γένους διαιρουμένου κατὰ τὰς διαφορὰς ἡ τῶν εἰδῶν αὐτοῦ γένεσις, δῆλον ὡς πᾶν εἶδος γένους τινὸς ἔχει καὶ διαφορὰν τινὰ ἢ τινὰς τῶν τοῦ γένους κατηγορουμένας αὐτοῦ· διὰ τοῦτο γὰρ καὶ ὁ τῶν εἰδῶν ὁρισμὸς ἐκ γένους καὶ διαφορῶν. οἷον τοῦ ἀνθρώπου τὸ ζῷον γένος· διὰ τοῦτο καὶ τὸ λογικὸν καὶ τὸ θνητὸν ζῴου οὖσαι διαφοραὶ κατηγοροῦνται αὐτοῦ. "ὅσαι γὰρ τοῦ κατηγορουμένου διαφοραί", ὡς εἶπεν ἐν Κατηγορίαις, "τοσαῦται καὶ τοῦ ὑποκειμένου ἔσονται"· αἱ γὰρ τοῦ γένους διαφοραὶ ἐν τοῖς ὑποκειμένοις αὐτῷ πᾶσιν, ἄλλαι ἐν ἄλλοις δῆλον ὅτι, καθ' ἃς εἰδοποιεῖται ἕκαστον τῶν ὑπ' αὐτό. ὅταν οὖν τι γένος ἀποδοθῇ τινος, ζητητέον τίνες τῶν τοῦ ἀποδοθέντος γένους διαιρετικῶν διαφορῶν κατηγοροῦνται τοῦ ὡς εἴδους τεθέντος· ἂν γὰρ μηδεμία τοῦ γένους διαφορὰ κατηγορῆται αὐτοῦ, οὐδ' ἂν γένος αὐτοῦ τὸ ἀποδεδομένον εἴη. οὕτως πάλιν δειχθήσεται τῆς ψυχῆς μὴ ὢν ὁ ἀριθμὸς γένος· οὐδεμία γὰρ τῶν τοῦ ἀριθμοῦ διαφορῶν κατηγορεῖται τῆς ψυχῆς.

in Top.320 διαφοραὶ μὲν γὰρ τοῦ ἀριθμοῦ τὸ περιττὸν καὶ τὸ ἄρτιον· οὐδέτερον δὲ τούτων κατὰ ψυχῆς. δεικνύοι τις ἂν ἐνδόξως ὅτι μηδὲ ὁ κόσμος ζῷον ἢ τῶν ἄστρων τι, ὅτι μηδεμία τῶν τοῦ ζῴου διαφορῶν κατηγορεῖται αὐτῶν· πᾶν γὰρ ζῷον ἢ πτηνὸν ἢ ἔνυδρον ἢ χερσαῖον, οὐδὲν δὲ τούτων κατ' ἐκείνων. ἢ ἄλλη διαφορὰ τοῦ ἐν γενέσει ζῴου καὶ τοῦ αἰσθητικοῦ· ὁμωνύμως γὰρ τὰ θεῖα τούτοις ζῷα· ἄλλη γὰρ ἡ ἐκείνων ζωή. ἡ δεῖξις οὖν ὅτι μὴ ἐν τοῖς ζῴοις τούτοις. δεικνύοιτ' ἂν ὅτι μηδὲ ὁ χρόνος κίνησις, ἐπεὶ διαφοραὶ μὲν κινήσεως τάχος καὶ βραδυτής, οὐδετέρα δὲ κατὰ χρόνου. ἀλλ' οὐδὲ κατὰ ἡδονῆς· ὥστε οὐδὲ ἡδονὴ κίνησις. ὁμοίως οὐδὲ ἡ μονὰς ποσόν, ἐπεὶ μήτε συνεχὲς μήτε διωρισμένον. εἴη δ' ἂν ὁ τόπος καὶ κατασκευαστικός· ἂν γάρ τινες φαίνωνται τοῦ ἀποδοθέντος γένους διαφοραὶ κατηγορούμεναι τοῦ ὑποκειμένου, δεικνύοιτ' ἂν εἶδος αὐτοῦ. οὐ χρὴ δὲ ἀκούειν τοῦ κατηγορεῖσθαι τοῦ εἴδους τὴν διαφορὰν ὡς ἐν τῷ τί ἐστι λέγοντος αὐτοῦ· ἔδειξε γὰρ ὅτι οὔτε ἡ διαφορὰ ἐν τῷ τί ἐστι κατηγορεῖταί τινων τῶν ὑπὸ τὸ γένος, ὅταν καθ' αὑτὴν λαμβάνηται, οὔτε τι τῶν ὑπὸ τὸ γένος ἢ τὸ γένος αὐτῆς τῆς διαφορᾶς. p. 123a14 Ἔτι εἰ πρότερον φύσει τὸ εἶδος καὶ συναναιρεῖ τὸ γένο ς . Σαφὴς δὲ καὶ οὗτος ὁ τόπος. γνώριμον γὰρ ὅτι τὰ γένη τῶν εἰδῶν πρότερα τῇ φύσει· συναναιρεῖ μὲν γὰρ ***** αὐτὸ μὴ συναναιρούμενον δὲ οὐκ ἂν αὐτοῦ εἶδος εἴη. οὕτως οὔτε τῆς μίξεως ἡ κρᾶσις γένος, οὔτε τῆς κατὰ τόπον μεταβολῆς ἡ φορά, οὔτε τῆς συνάψεως ἡ συνέχεια, οὔτε τῆς πληγῆς ὁ ψόφος. ἀναιρουμένης μὲν γὰρ τῆς κατὰ τόπον μεταβολῆς ἀναιρεῖται καὶ ἡ φορά· τῇ δὲ φορᾷ οὐ συναναιρεῖται ἡ κατὰ τόπον μεταβολή· ἡ γὰρ βάδισις κατὰ τόπον οὖσα μεταβολὴ οὐκ ἔστι φορά, ὡς εἶπεν. ἔστι δὲ δυνάμει ὁ αὐτὸς οὗτος τόπος τῷ 'εἰ τὸ γένος τις εἰς τὸ εἶδος θείη'· διαφέρει δὲ τῷ τρόπῳ τῆς ἀνασκευῆς. ἔστι δὲ μόνον ἀνασκευαστικὸς ὁ τόπος, οὐκέτι δὲ καὶ κατασκευαστικός· οὐ γάρ, εἴ τί τινος πρότερον τῇ φύσει, ἤδη καὶ γένος αὐτοῦ· ἡ γοῦν οὐσία προτέρα τῶν ἄλλων γενῶν τῇ φύσει καὶ οὐκ ἔστι γένος αὐτῶν, καὶ ἡ μονὰς παντὸς ἀριθμοῦ πρώτη οὖσα οὐκέτι ἐστὶν αὐτοῦ γένος, καὶ ἡ θρεπτικὴ ψυχὴ τῶν ἄλλων πρώτη μέν, οὐ μὴν καὶ γένος.

in Top.321 p. 123a15 Ἔτι εἰ ἐνδέχεται ἀπολιπεῖν τὸ εἰρημένον γένος ἢ τὴν διαφορά ν . Ἐπεὶ καὶ τὸ γένος καὶ ἡ διαφορὰ ἡ οἰκεία ἑκάστου ἐν τῇ οὐσίᾳ ἐστὶν αὐτοῦ (διὰ τοῦτο γὰρ καὶ ὁ ὁρισμὸς ἐκ τούτων), τὰ δὲ ἐν τῇ οὐσίᾳ ἑκάστου ἀχώριστα, 〈δεῖν〉 φησιν, εἰ γένος τι ἀποδοθείη ἢ διαφορά, ζητεῖν εἰ ἐνδέχεται αὐτοῦ χωρισθῆναι καὶ χωρὶς αὐτοῦ εἶναι τοῦτο οὗ ἀπεδόθη τὸ γένος ἢ ἡ διαφορά. οὕτως, εἰ τῆς ψυχῆς τὸ κινεῖσθαι χωριστόν, οὐκ ἂν αὐτῆς οὔτε γένος εἴη οὔτε διαφορά, ὡς οἴονται οἱ λέγοντες αὐτὴν οὐσίαν αὐτοκίνητον· ἐνδέχεται γὰρ αὐτὴν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χωρὶς τοῦ κινεῖσθαι εἶναι, ἐπεὶ κατὰ συμβεβηκὸς κινεῖται· τοῦ γὰρ σώματος μεταβαίνοντος, ἐν ᾧ ἐστιν· ὅταν 〈δ'〉 ἠρεμῇ τὸ σῶμα, δῆλον ὅτι οὐδ' ἂν ἡ ψυχὴ κινοῖτο. πάλιν, εἰ ἔστι τις δόξα μήτε ἀληθὴς μήτε ψευδής, οὐκ ἂν εἴη διαφορὰ δόξης τὸ ἀληθὲς ἢ ψεῦδος· δοκεῖ δὲ ἡ τῶν μελλόντων δόξα τοιαύτη εἶναι τῷ μηδέτερον αὐτῶν ἀφωρισμένως ἔχειν. ἀλλ' οὐδὲ σώματός ἐστι διαφορὰ τὸ κοῦφον ἢ βαρύ, ἐπεὶ ἐνδέχεται σῶμα εἶναι καὶ μηδέτερον τούτων ἔχον. ἢ τὰ ὕστερα παραδείγματα οὐ τοῦ ἀπολείπειν ἐστὶν ἀλλὰ τοῦ μὴ ἐπὶ πάντων κατηγορεῖσθαι. p. 123a20 Σκοπεῖν δὲ καὶ τὸ ἐν τῷ γένει κείμενον εἰ μετέχει τινὸς ἐναντίου τῷ γένε ι . Ἐπεὶ ἀδύνατόν ἐστιν ἅμα τι τοὺς τοῦ ἐναντίου ἐπιδέχεσθαι λόγους, ἔστι δὲ καὶ τὸ γένος ἀχώριστον ἐκείνου οὗ ἐστι γένος, δεῖν φησιν, ὅταν ἀποδοθῇ τι ὡς γένος τινός, ἐπισκοπεῖν εἰ τὸ ὑποκείμενον ὡς εἶδος καὶ τοῦ ἐναντίου τῷ ἀποδοθέντι γένει ἐστὶν ἐπιδεκτικόν. εἰ γὰρ τοῦτο, οὐκ ἂν εἴη τὸ ἀποδοθὲν γένος αὐτοῦ· ἅμα γὰρ ἂν τὰ ἐναντία ἐπιδέχοιτο οὕτως τῷ, εἰ τὸ ἐναντίον τῷ κειμένῳ αὐτοῦ γένει ἐπιδέχεταί ποτε, καὶ τὸ γένος αὐτοῦ ἐπιδέχεσθαι, ἐπεὶ ἀχώριστον τὸ γένος τοῦ εἴδους.

in Top.322 οὕτω δειχθήσεται τὸ ἀναγκαῖον μὴ ὂν ἐν γένει τῷ δυνατῷ, ἐπεὶ τὸ ἀναγκαῖον ἐπιδεκτικόν ἐστι καὶ τοῦ ἀδυνάτου, ὃ ἐναντίον ἐστὶ τῷ δυνατῷ· τὸ γὰρ ἀναγκαῖον μὴ εἶναι ἀδύνατον εἶναι. ἀλλ' οὐδὲ ἡ γένεσις ἐν συγκρίσει, ἐπεὶ γίνεταί τις καὶ ἐκ διακρίσεως, 〈ὡσ〉 ἡ ἐκ τῶν παχυτέρων σωμάτων εἰς τὰ λεπτότερα μεταβολή. ἀλλ' οὐδὲ ὁ ἔρως ἐν τῷ φιλεῖν, ἐπεὶ καὶ μισοῦσί ποτε οἱ ἐρῶντες. p. 123a23 Ἔτι εἴ τινος κοινωνεῖ τὸ εἶδο ς , ὃ ἀδύνατον ὅλως ὑπάρχειν τοῖς ὑπὸ τὸ γένο ς . Εἰ οὗ μετέχει, φησί, τὸ εἶδος, ἀδύνατον ὑπάρχειν τοῦτο τῶν ὑπὸ τὸ ἀποδοθὲν γένος τινί, οὐδ' ἂν γένος εἴη αὐτοῦ· πάντων γὰρ περιεκτικὸν τὸ γένος τῶν ἐν τοῖς εἴδεσιν ὄντων. οὕτως οὐκ ἂν τῆς ψυχῆς γένος ὁ ἀριθμὸς εἴη, ὅτι ἡ μὲν ψυχὴ ζωῆς κοινωνεῖ, οὐδεὶς δὲ ἀριθμὸς ζωῆς ἐπιδεκτικός. ἀλλ' οὐδὲ τῆς ἀρετῆς ἡ ἐπιστήμη, εἴ γε ἡ μὲν ἀρετὴ πράξεως μετέχει (αἱ γὰρ ἀρεταὶ πρακτικαί), ἐπιστήμη δὲ οὐδεμία. ἀλλ' οὐδὲ ἡ ἐγκράτεια ἀρετὴ διὰ τὸ τὴν ἐγκράτειαν μετέχειν φαύλων ἐπιθυμιῶν, ἀρετὴν δὲ μηδεμίαν. οὐχ ἡγητέον δὲ διαβολὴν εἶναι τοῦ τόπου τὸ λαβόντα τὸ ἴδιόν τινος τῶν ὑπὸ τὸ γένος δεικνύναι τοῦτο ὅτι μηδενὶ ἄλλῳ τῶν ὑπὸ τὸ γένος ὑπάρχει· τὸ γὰρ γελαστικὸν οὐδενὶ ἄλλῳ τῶν ὑπὸ τὸ ζῷον, ἀλλ' οὐ διὰ τοῦτο ἄνθρωπος οὐκ ἔστιν ὑπὸ τὸ ζῷον. ὁ γὰρ τόπος ἀξιοῖ καθόλου ἐπιβλέπειν εἰ μὴ φύσει ἔχει τῶν ἐν τῷ ἀποδοθέντι γένει τι ὄντων κοινωνεῖν τοιούτου τινός, ὃ μὴ οἷόν τε εἶναι ἐν τοῖς ὑπὸ τὸ γένος τῷ ἀλλότριον εἶναι τοῦ γένους πᾶν τὸ τοιοῦτον· τὸ γὰρ τοῖς ὑπὸ τὸ γένος ἴσον ἐστὶ τῷ 'παντὶ τῷ γένει καὶ πᾶσι τοῖς ὑπὸ τὸ γένοσ'. p. 123a27 Σκεπτέον δὲ καὶ εἰ ὁμώνυμον τὸ εἶδος τῷ γένε ι . Κεῖται ὅτι τὰ γένη συνωνύμως τῶν εἰδῶν κατηγορεῖται καὶ ἐπιδέχεται τὰ εἴδη τὸν τῶν γενῶν λόγον. ἂν οὖν τὸ ἀποδοθέν τινος ὡς γένος ὁμώνυμον ᾖ καὶ μὴ ἔχῃ τινὰ λόγον, ὃς κατηγορηθήσεται κατὰ τοῦ ὡς ἐν εἴδει αὐτῷ τεθέντος, ἀλλὰ μόνον ὀνόματος αὐτῷ κοινωνῇ, οὐ γένος ἔσται τὸ ἀποδεδομένον.

in Top.323 στοιχείοις δὲ χρησόμεθα πρὸς τὴν γνῶσιν τοῦ ὁμώνυμα αὐτὰ εἶναι τοῖς εἰρημένοι ς , φησί, πρὸς τὴν ὁμωνυμία ν , ἤτοι λέγων τοῖς ἐν τῷ ὁρισμῷ τοῦ ὁμωνύμου λεγομένοις, ἢ μᾶλλον τοῖς ἐν τῷ πρώτῳ παραδεδομένοις τόποις πρὸς τὴν τῶν ὁμωνύμων εὕρεσίν τε καὶ γνῶσιν. τὸν γὰρ λέγοντα τῆς λευκῆς φωνῆς τὸ λευκὸν εἶναι γένος ἐλέγξει τις δείξας τὸ λευκὸν ὁμωνύμως λεγόμενον καὶ μὴ ἔχον ἕνα λόγον· ἄλλο γὰρ τὸ ἐν χρώματι τοῦ ἐν φωνῇ. λήψεται δὲ καὶ εὑρήσει αὐτὸ ὁμώνυμον ἀπό τε τοῦ ἐναντίου, ἐπεὶ καὶ τὸ ἐναντίον αὐτῷ, τὸ μέλαν, ὁμώνυμον, ἀλλὰ καὶ ἀπὸ τοῦ δεῖξαι ὅτι τοῦ μὲν λευκοῦ καὶ μέλανος τῶν ἐν χρώμασίν ἐστί τινα μεταξύ, τῶν δὲ ἐν φωνῇ οὔ. ὁμοίως δὲ ἂν δεικνύοι καὶ ἀπὸ τῶν ἄλλων τόπων, οὓς παρέδωκε πρὸς τὴν εὕρεσιν τῶν ὁμωνύμων, εἰ ὁμώνυμον τὸ εἶδος τῷ ὡς γένει ἀποδοθέντι, ὃ ἴσον ἐστὶ τῷ 'σκεπτέον εἰ ὁμωνύμως αὐτοῦ κατηγορεῖται καὶ μὴ συνωνύμωσ'. ὅτι γὰρ τὸ εἰ ὁμώνυμον τὸ εἶδος τῷ γένει εἴρηκεν ἀντὶ τοῦ 'εἰ ὁμωνύμως αὐτοῦ κατηγορεῖται', δῆλον ἐξ οὗ ἐπήνεγκεν εἰπὼν συνώνυμον γὰρ τὸ γένος καὶ τὸ εἶδο ς . οὕτως δεικνύοιτ' ἂν ὅτι τοῦ ἐν μελῳδίᾳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρώματος καλουμένου οὐκ ἔστι γένος τὸ χρῶμα· ὁμώνυμον γὰρ αὐτῷ. πῶς οὖν οὐκ, ἐρεῖ τις, τὸ μέλαν χρῶμα τοῦ μέλανος, ᾧ γράφομεν, γένος; ἢ κατ' ἄλλο αὐτοῦ γένος, οὐ καθ' ὃ ὁμώνυμον· οὐ γὰρ συνώνυμον, ἀλλὰ συνωνύμως τὸ γένος κατηγορεῖται. p. 123a30 Ἐπεὶ δὲ παντὸς γένους εἴδη πλεί ω . Κεῖται ἡμῖν γένος εἶναι "τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον". ἀνάγκη οὖν, εἴ τι γένος ἐστί, πλείω αὐτὸ εἴδη ἔχειν. εἰ οὖν τοῦ ἀποδοθέντος ὡς γένους μὴ ἐνδέχεται ἄλλο τι εἶδος εἶναι, δῆλον ὅτι μὴ γένος τὸ ἀποδοθέν. οὕτω δειχθήσεται τῆς γραμμῆς μὴ ὂν τὸ μῆκος γένος, ὡς οἱ λέγοντες αὐτὴν μῆκος ἀπλατές· οὐδὲν γὰρ ἄλλο μῆκος παρὰ τὴν γραμμήν· ἡ γὰρ ἐπιφάνεια μῆκος μὲν ἔχει, οὐκ ἔστι δὲ μῆκος ἀλλ' ἐκ μήκους καὶ πλάτους. p.

in Top.324 123a33 Σκοπεῖν δὲ καὶ εἰ τὸ κατὰ μεταφορὰν λεγόμενον ὡς γένος ἀποδέδωκε ν . Δεῖν φησιν ἐπισκοπεῖν εἰ τὸ ἀποδοθέν τινος ὡς γένος τῶν μεταφορικῶς λεγομένων ἐστὶ κατ' αὐτοῦ· εἰ γὰρ εἴη οὕτως λεγόμενον ἐπ' αὐτοῦ, οὐκ ἂν εἴη γένος. ἐπεὶ γὰρ τὸ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται, τὸ δὲ κατὰ μεταφορὰν λεγόμενον οὐχ οἷόν τέ τί ἐστι τὸ καθ' οὗ κατηγορεῖται δηλῶσαι, οὐκ ἂν εἴη γένος τι κατὰ μεταφορὰν λεγόμενον. οὔτε γὰρ **** κατὰ τῆς ὑπωρείας οἱ πόδες ἐν τῷ τί ἐστι. διὸ δεικνύοιτ' ἂν ὅτι οὔτε τῆς σωφροσύνης γένος ἡ συμφωνία (μεταφορικῶς γὰρ ἐπὶ σωφροσύνης ἡ συμφωνία· κυρίως γὰρ ἡ συμφωνία ἐν φθόγγοις) οὔτε ἀγροικίας σκληρότης, ὥς τινες ὁριζόμενοι αὐτὴν λέγουσι σκληρότητα ἤθους· ἡ γὰρ σκληρότης κυρίως ἐπὶ σωμάτων· πάθος γὰρ σώματος. ἁμαρτάνουσι δὲ οἱ τὴν σωφροσύνην συμφωνίαν λέγοντες, καὶ ὅτι μὴ ἐκ τῆς αὐτῆς διαιρέσεώς τε καὶ κατηγορίας τὸ εἶδος καὶ τὸ γένος λαμβάνουσιν· ἡ μὲν γὰρ σωφροσύνη ποιότης· ἕξις γάρ· ἡ δὲ συμφωνία πρός τι· τινῶν γάρ. p. 123b1 Ἔτι ἐὰν ᾖ ἐναντίον τινὶ τὸ εἶδο ς , σκοπεῖ ν . ἔστι δὲ πλεοναχῶς ἡ σκέψι ς . Δεῖν φησι σκοπεῖν εἰ τὸ ὡς εἶδος κείμενον ἐναντίον τινί ἐστιν· εἰ γὰρ εἴη τινὶ ἐναντίον τὸ τιθέμενον ὡς εἶδός τινος, πλείους ἔστιν ἀφορμὰς τόπων λαβεῖν. εἷς μὲν γὰρ τόπος ἀπὸ τῶν ἐναντίων ἀνασκευαστικός, εἰ μὴ εἴη τὸ ἐναντίον τῷ ἐν τῷ γένει τιθεμένῳ καὶ αὐτὸ ὑπὸ τὸ αὐτὸ γένος, μὴ ὄντος τῷ ὡς γένει τιθεμένῳ ἐναντίου τινός. ἀνάγκη γάρ, ἂν τὸ ἕτερον τῶν ἐναντίων ὑπό τι γένος ᾖ ᾧ μηδέν ἐστιν ἐναντίον, καὶ τὸ ἕτερον τῶν ἐναντίων ὑπὸ ταὐτὸ εἶναι γένος· τὰ γὰρ ἐναντία ἢ ἐν τῷ αὐτῷ γένει ἢ ἐν τοῖς ἐναντίοις γένεσιν ἢ αὐτὰ γένη. γένος μὲν οὖν οὐκ ἂν εἴη τὸ κείμενον ἐν γένει· ἀλλ' οὐδὲ ἐν ἐναντίῳ γένει, εἰ μὴ γένος εἴη τῷ ἀποδοθέντι γένει ἐναντίον· λείπεται ἄρα καὶ τὸ ἐναντίον τῷ τεθέντι ὡς εἴδει ἐν τῷ αὐτῷ εἶναι γένει. ἂν οὖν ἐκεῖνο μὴ ᾖ, οὐδ' ἂν τοῦτο εἴη· ἐν ᾧ γὰρ τὸ λευκόν, ἐν τούτῳ καὶ τὸ μέλαν· ἐν γὰρ χρώματι ἀμφότερα, ἐπεὶ τῷ χρώματι μηδέν ἐστιν ἐναντίον. ὁμοίως, ἐπεὶ τὸ περιττὸν ἐν ἀριθμῷ, ἐναντίον 〈ὂν〉 καὶ τὸ ἄρτιον ἐν ἀριθμῷ.

in Top.325 διὰ τούτου δεικνύοι τις ἂν μὴ οὖσαν τὴν φιλίαν ὑπὸ γένος τὴν ὁμοήθειαν, ὅτι ἡ ἔχθρα ἐναντίον οὖσα αὐτῇ οὔτε ὑπὸ τὴν ὁμοήθειάν ἐστιν οὔτε ὑπὸ τὴν ἐναντίαν τῇ ὁμοηθείᾳ. δεύτερος τόπος· ἂν ᾖ τι καὶ τῷ γένει τῷ λαμβανομένῳ ἐναντίον, σκοπεῖν χρὴ εἰ τὸ ἐναντίον τῷ λαμβανομένῳ ὡς εἴδει ὑπὸ τὸ ἐναντίον τῷ ὡς γένει λαμβανομένῳ ἐστί. δεῖ γὰρ τὰ ἐναντία ὑπὸ ταὐτὸν μὲν εἶναι γένος, εἰ μηδὲν τῷ γένει εἴη ἐναντίον, ὑπὸ τὰ ἐναντία δέ, ἐὰν ᾖ καὶ τῷ γένει τι ἐναντίον· οὐ γὰρ ἔτι οἷόν τε ἐναντίωσιν ἐχόντων τῶν γενῶν τὰ ἐναντία ἀλλήλοις ὑπὸ ταὐτὸν εἶναι γένος. οὕτως ἡ δικαιοσύνη ἐν ἀρετῇ ἐστιν ὡς ἐν γένει, ἐπεὶ καὶ ἡ ἀδικία οὖσα ἐναντία αὐτῇ ἐν κακίᾳ ἐστίν, ἥ ἐστιν ἐναντία τῇ ἀρετῇ. οὕτως δεικνύοις ἂν ὅτι ἡ ἀδικία οὐκ ἔστιν εὐβουλία, ὡς ᾤετο Θρασύμαχος, ὅτι τὸ ἐναντίον τῆς ἀδικίας, τοῦτο δέ ἐστιν ἡ δικαιοσύνη, οὔτε ὑπὸ τὴν εὐβουλίαν οὔτε ὑπὸ τὸ ἐναντίον τῇ εὐβουλίᾳ, τὴν κακοβουλίαν. ἀλλὰ καὶ ὅτι ἡ ἀκρασία οὐκ ἔστι κακία, δεικνύοιτ' ἄν, ὅτι τὸ ἐναντίον αὐτῇ, ἡ ἐγκράτεια, μήτε ὑπὸ τὴν κακίαν ἐστὶ μήτε ὑπὸ τὸ ἐναντίον τῇ κακίᾳ, τὴν ἀρετήν· οὐ γὰρ ἀρετὴ ἡ ἐγκράτεια διὰ τὰς μοχθηρὰς ἐπιθυμίας. ἀλλ' οὐδὲ ἡ ἀρετὴ ἐπιστήμη, ὅτι μηδὲ ἡ κακία ἄγνοια. p. 123b8 Πάλιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰ ὅλως ἐν μηδενὶ γένει τὸ τῷ εἴδει ἐναντίον ἀλ λ ’ αὐτὸ γένο ς . Ἄλλον τόπον παραδίδωσιν ἀπὸ τοῦ ἐπισκέπτεσθαι εἰ τῷ ἀποδοθέντι εἴδει ἐστί τι ἐναντίον· εἰ γὰρ τὸ τῷ ἀποδοθέντι εἴδει ἐναντίον ἐν μηδενὶ γένει ἐστίν, οὐδ’ ἂν τὸ ἐναντίον αὐτῷ τὸ εἶδός τινος γένους εἰλημμένον ἐν γένει τῷ τιθεμένῳ εἴη. ὧν γὰρ ἐναντίων τὸ ἕτερον ὑπὸ μηδέν ἐστι γένος, τούτων ἀνάγκη καὶ τὸ ἕτερον ὑπὸ μηδὲν εἶναι γένος, ἐπεὶ τὰ ἐναντία ἢ ἐν τῷ αὐτῷ γένει ἐστὶν ἢ ἐν τοῖς ἐναντίοις γένεσιν ἢ αὐτὰ γένη ἐστίν, ὡς ἐν Κατηγορίαις εἴρηται. ἐπεὶ οὖν τὸ ἀγαθὸν μή ἐστιν ἐν γένει τινί, ἀλλ’ αὐτό ἐστι γένος, οὐδ’ ἂν τὸ κακὸν ἐν γένει τινὶ εἴη. ἔθος δὲ αὐτῷ καὶ τὸ ἀγαθὸν καὶ τὸ κακὸν γένη λέγειν καίτοι ὁμωνύμως λεγόμενα, ὡς ἐν Ἠθικοῖς ἔδειξεν.

in Top.326 εἴη δ’ ἂν παραδείγματα τῶν ὡς γενῶν ἐναντίων καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν· ταῦτα γὰρ ἐναντία ὄντα [εἴ γε] οὔτε ὑπὸ ταὐτόν ἐστι γένος οὔτε ὑπὸ ἐναντία γένη· οὐδὲ γὰρ ὅλως ὑπό τι γένος ἐστί τι αὐτῶν, ἀλλ’ αὐτὰ γένη ἐστὶν ἐν τοῖς πρώτοις δέκα. ἐντεῦθεν ὁρμωμένους ἔστιν ἀντιστρέψαντας δεικνύναι ὅτι μὴ ἐναντίον ἡ στέρησις τῷ εἴδει· εἰ γὰρ τὸ μὲν εἶδος ἐν τῇ οὐσίᾳ, ἡ δὲ στέρησις ἐν οὐδενὶ γένει (τὸ γὰρ ἁπλῶς μὴ ὂν οὐχ οἷόν τε ἐν γένει τινὶ εἶναι), οὐδ’ ἂν ἐναντίον εἴη τῷ εἴδει, διότι μηδέν ἐστι τῇ οὐσίᾳ ἐναντίον, ὑφ’ ἣν τὸ εἶδος ἦν. p. 123b12 Ἔτι εἰ ἐναντίον τινὶ καὶ τὸ γένος καὶ τὸ εἶδο ς . Εἰ καὶ τῷ εἴδει ἐστί τι ἐναντίον καὶ τῷ ἀποδεδομένῳ αὐτοῦ γένει, δεῖν φησι ζητεῖν πάλιν εἰ ὁμοίως τά τε εἴδη ἀλλήλοις ἐναντία καὶ τὰ γένη. τὸ δὲ ὁμοίως ἐστίν, εἰ ἀμφότερα τῶν ἀμέσων ἐστὶν ἐναντίων ἢ ἀμφότερα τῶν ἐμμέσων· εἰ γὰρ τῶν μέν ἐστί τι μέσον τῶν δὲ μηδέν, οὐ δόξει τὰ ἀποδοθέντα εἴδη ὑπὸ τὰ ἀποδεδομένα εἶναι γένη. δοκεῖ γὰρ ἔνδοξον εἶναι τὸ ὁμοίως ἐπ’ ἀμφοῖν ἔχειν, ὡς ἔχει ἐπὶ δικαιοσύνης καὶ ἀδικίας καὶ ἀρετῆς καὶ κακίας · ἑκατέρα γὰρ ἡ ἐναντίωσις ἔμμεσος. εἰ γὰρ τῶν μὲν γενῶν ἔσται τι ἀνὰ μέσον τῶν δὲ ὑπὸ ταῦτα εἰδῶν μηκέτι, τίνων κατηγορηθήσεται τὸ τῶν γενῶν ἀνὰ μέσον; δεῖ γὰρ αὐτό, εἰ ἔστι, κατηγορεῖσθαί τινων· οὐ γὰρ δὴ ἄτομόν τί ἐστιν· ἀλλὰ μὴν τῶν ἐναντίων εἰδῶν οὐδενὸς κατηγορηθήσεται· τὰ γὰρ ἐναντία γένη κατ’ ἐκείνων. εἰ δὲ τῶν μὲν εἰδῶν ἔσται τι ἀνὰ μέσον, μηκέτι δὲ καὶ τῶν γενῶν, ὑπὸ τί ἔσται γένος τὸ τῶν ἐναντίων εἰδῶν ἀνὰ μέσον; οὐ γὰρ ὑπό τι τῶν ἐναντίων γενῶν· τὰ γὰρ ἐναντία εἴδη ὑπὸ ταῦτα. ἔνστασιν πρὸς τὸν τόπον ὡς πιθανὸν μόνον οὐκέτι δὲ καὶ ἀληθῆ ἐπιφέρει τὸ ὑγείας μὲν καὶ νόσου μηδὲν εἶναι μεταξύ, ἀγαθοῦ δὲ καὶ κακοῦ ἐναντίων ὄντων γενῶν, ὑφ’ ἃ ἥ τε ὑγεία καὶ ἡ νόσος, εἶναί τινα μεταξύ [αὐτῶν]· τὸ γὰρ οὔτε ἀγαθὸν οὔτε κακὸν μεταξὺ αὐτῶν. δεῖ δὲ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ ἀκούειν τῶν σωματικῶν ἀλλὰ μὴ τῶν ὁμωνύμως λεγομένων· καὶ γὰρ τούτων ἐστί τινα ἔμμεσα· καὶ γὰρ εὐεξία καὶ καχεξία σωματικὰ ὄντα, τὸ μὲν ἀγαθὸν τὸ δὲ κακόν, ἔμμεσά ἐστι (μέσον γὰρ αὐτῶν τὸ ὑγιαίνειν), καὶ αἶσχος καὶ κάλλος, καὶ ἰσχὺς καὶ ἀσθένεια.

in Top.327 ἢ ταῦτα οὐ γένη τῶν προκειμένων, οὐδὲ κατὰ ἀπόφασιν τῶν ἄκρων τὰ μέσα ὡς τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. p. 123b18 Ἔτι εἰ ἔστι μέν τι ἀμφοῖν ἀνὰ μέσο ν . Δεῖν φησι καὶ τοῦτό πως ἐπιζητεῖν, εἰ ἀμφοτέρων, καὶ τῶν ἐναντίων γενῶν καὶ τῶν ἐναντίων εἰδῶν, ἔστι τινὰ ἐν μέσῳ καὶ εἰ ὁμοίως ἐστὶν αὐτῶν· εἰ γὰρ μὴ ὁμοίως ἀλλὰ τῶν μὲν κατὰ ἀπόφασιν τῶν ἄκρων τῶν δὲ καταφάσει δηλουμένων, οὐκ ἂν εἴη τὰ ἕτερα ὡς ἐν γένεσι τοῖς ἑτέροις. δοκεῖ γὰρ ἔνδοξον εἶναι τὸ ὁμοίως ἐπ’ ἀμφοῖν ἔχειν τὰ μέσα, ὡς ἔχει ἐπὶ ἀρετῆς καὶ κακίας καὶ δικαιοσύνης καὶ ἀδικίας· ἀμφότεραι γὰρ αἱ ἐναντιώσεις ἀποφάσει τῶν ἄκρων τὰ μέσα ἔχουσι δηλούμενα. ἔχοι δ’ ἂν καὶ τοῦτο ἔνστασιν· δόξης γὰρ καὶ ἀδοξίας τὸ μεταξὺ καταφάσει δηλοῦται· τοιοῦτος γὰρ ὁ μέσος, ὡς προείρηται· “μέσος θέλω ἐν πόλει εἶναι”· ἀλλὰ καὶ τὸ μέσως βλέπειν μεταξύ ἐστι τοῦ ἀμβλυωπεῖν καὶ ὀξυωπεῖν καὶ καταφάσει δηλοῦται· ὁμοίως καὶ τὸ μετρίως ἀκούειν μεταξὺ ὀξυηκοΐας καὶ ἀμβλυηκοΐας· ἀγαθοῦ δὲ καὶ κακοῦ, ὑφ’ ἃ ταῦτα ὡς γένη, κατὰ ἀπόφασιν. p. 123b23 Ἔτι ὅταν μὴ ᾖ τι ἐναντίον τῷ γένε ι . Εἶπεν ὅτι, ἂν τῷ μὲν εἴδει ᾖ τι ἐναντίον τῷ δὲ γένει μηκέτι, δεῖ καὶ τὸ ἐναντίον τῷ τεθέντι εἴδει ἐν τῷ αὐτῷ εἶναι γένει. προστίθησι δὲ τούτῳ ὅτι οὐ μόνον τὰ ἐναντία ὑπὸ ταὐτὸν δεῖ γένος εἶναι, εἰ μηδὲν τῷ γένει εἴη ἐναντίον, ἀλλὰ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ἀνὰ μέσον αὐτῶν, εἰ εἴη τι αὐτῶν ἀνὰ μέσον· ἐν ᾧ γὰρ γένει τὰ ἄκρ α , τοῦτ’ ἔστι τὰ ἐναντία, ἐν τούτῳ καὶ τὸ ἀνὰ μέσον αὐτῶν, εἴ γε τὸ ἀνὰ μέσον μίξει τῶν ἐναντίων. οὕτως ὑφ’ ὃ γένος τὸ λευκὸν καὶ τὸ μέλαν, ὑπὸ τὸ αὐτὸ καὶ τὰ ἔμμεσα αὐτῶν χρώματα· πάντων γὰρ αὐτῶν γένος τὸ χρῶμα. ὁμοίως ὁ χυμὸς γένος ὢν ἐναντίων ὄντων τοῦ τε γλυκέος καὶ τοῦ πικροῦ καὶ τῶν μεταξὺ αὐτῶν πάντων ἐστὶ γένος. οὕτω δεικνύοιτ’ ἂν τοῦ κυρτοῦ μὴ ὂν γένος τὸ περιφερές· εἰ γὰρ τὸ μὲν κυρτὸν καὶ τὸ κοῖλον ἐναντία ὄντα ὑπὸ τὸ περιφερές, τὸ δὲ μεταξὺ τοῦ τε κυρτοῦ καὶ τοῦ κοίλου, ὅπερ εἴη ἂν ἢ τὸ εὐθὺ ἢ ἕλιξ, μηκέτι ὑπὸ τὸ περιφερές, οὐδ’ ἂν ἐκείνων γένος εἴη τὸ περιφερές.

in Top.328 ἔνστασιν δὲ φέρει καὶ πρὸς τὸν τόπον τοῦτον· ἐπὶ γὰρ τῶν ἠθικῶν ἀρετῶν αἱ μὲν ὑπερβολαὶ καὶ αἱ ἔνδειαι ἐναντίαι οὖσαι ἀλλήλαις ὑπὸ τὴν κακίαν εἰσίν, αἱ δὲ ἀρεταὶ μέσαι αὐτῶν οὖσαι ὑπ’ ἄλλο γένος εἰσίν· ὑπὸ γὰρ τὴν ἀρετήν. ἢ ὅτι συμβέβηκε ταύταις οὐ μόνον μέσαις εἶναι ἀλλὰ καὶ ἐναντίαις ἑκατέρων τῶν ἄκρων· ἐπὶ γοῦν τοῦ μεγάλου καὶ τοῦ μικροῦ, ὄντος τοῦ μὲν ἐν ὑπερβολῇ τοῦ δὲ ἐν ἐνδείᾳ, καὶ τὸ μεταξὺ αὐτῶν, τὸ ἴσον, ὑπὸ ταὐτὸ γένος· ἀλλὰ κἂν κατὰ χρῶμά τι ἢ κατὰ χυμὸν ἢ ἄλλο τι τῶν τοιούτων ληφθῇ ὑπερβάλλον τε καὶ ἐνδέον, καὶ τὸ μεταξὺ αὐτῶν ὑπὸ ταὐτὸ γένος. ἔτι κυρίως μέσον ὂν τὸ κατὰ μῖξιν τῶν ἄκρων τοιοῦτον ὂν καὶ ἀναγκαῖον ὑπὸ ταὐτὸ εἶναι γένος τοῖς ἄκροις. ἡ δὲ ἀρετὴ οὐχ οὕτω τῶν κακιῶν μέση. ὁμωνύμως γὰρ τὸ μέσον λέγεται· λέγεται γὰρ καὶ ἐν κύκλῳ μέσον τὸ κέντρον· ἀλλὰ καὶ ἐν ὅροις μέσος ὁ τῷ μὲν ὑποκείμενος τοῦ δὲ κατηγορούμενος ἢ ὅλως ὁ δὶς λαμβανόμενος ἐν ταῖς τῶν προτάσεων συμπλοκαῖς. ἔτι δὲ ὑπετέθη ὅταν μηδὲν ᾖ τῷ γένει ἐναντίον · τῇ δὲ κακίᾳ γένει οὔσῃ τῆς ἐνδείας καὶ τῆς ὑπερβολῆς ἐναντίον ἀρετή. p. 123b30 Σκοπεῖν δὲ καὶ εἰ τὸ μὲν γένος ἐναντίον τιν ί , τὸ δὲ εἶδος μηδεν ί . Καὶ οὗτος ὁ τόπος ἔτι ἐκ τῶν ἐναντίων. ἀξιοῖ δὲ δι’ αὐτοῦ ἐπισκοπεῖν εἰ τῷ μὲν ὡς γένει τιθεμένῳ ἐστί τι ἐναντίον, τῷ δὲ εἴδει μή· οὐ γὰρ ἂν γένος εἴη τὸ ἀποδεδομένον τοῦ μηδὲν ἔχοντος αὐτῷ ἐναντίον εἴδους. τὰ γὰρ ἐναντία γένη εἰδῶν εἰσιν ἐναντίων ἀλλήλοις, οἷον ἀρετὴ καὶ κακία ἐναντία καὶ δικαιοσύνη καὶ ἀδικία· οὐ μὴν ἔμπαλιν τῷ τὰ ἐναντία δύνασθαι ὑπὸ ταὐτὸ εἶναι γένος. οὕτως, ἐπεὶ ἁρμονίᾳ μὲν ἀναρμοστία ἐναντίον, ψυχῇ δὲ οὐδέν ἐστιν ἐναντίον, οὐκ ἔστιν ἡ ψυχὴ ἁρμονία, ὡς Πλάτων ἐπεχείρησεν ἐν τῷ Φαίδωνι. οὕτως δεικνύοι τις ἂν μὴ οὖσαν γένος τὴν ἀρχὴν τοῦ στοιχείου, εἴ γε τῇ μὲν ἀρχῇ ἐναντίον τὸ τέλος, τῷ δὲ στοιχείῳ οὐδέν ἐστιν ἐναντίον.

in Top.329 ἀλλ’ οὐδὲ τοῦ τόπου τὸ κενὸν γένος, εἴ γε τῷ μὲν κενῷ ἐναντίον τὸ πλῆρες, τόπῳ δὲ οὐδὲν ἐναντίον. ἀλλ’ οὐδὲ ὁ χρόνος κίνησις, εἴ γε κινήσει μὲν ἠρεμία ἐναντίον, χρόνῳ δὲ οὐδέν. ἀλλὰ καὶ εἰ τῷ μὲν ἀφθάρτῳ τὸ φθαρτὸν ἐναντίον, θεῷ δὲ μηδέν, οὐκ ἂν εἴη γένος τοῦ θεοῦ τὸ ἄφθαρτον. ἔνστασιν πρὸς τὸν τόπον ὄντα ἔνδοξον φέρει αὐτὸς ἐπὶ ὑγείας καὶ νόσου. ἁπλῶς μὲν γὰρ ὑγεία νόσῳ ἐναντία· τῶν δὲ ὑπὸ τὴν νόσον ἢ ὑπὸ τὴν ὑγείαν λαμβανομένων οὐδὲν οὐδενί ἐστιν ἐναντίον· ὁ γὰρ πυρετὸς νόσος ὢν καὶ ἡ περιπνευμονία καὶ ἡ ὀφθαλμία οὐδὲν ἐναντίον ἔχει. ἢ ἔστιν ἐπὶ τούτων ἐναντιότης ἀνώνυμος· ἡ γὰρ καθ’ ἕκαστον τούτων ὑγεία. p. 124a1 Ἀναιροῦντι μὲν οὖν τοσαυταχῶς ἐπισκεπτέο ν . Παραδοὺς πλείους τόπους ἀπὸ τῶν ἐναντίων (εἰσὶ γὰρ οὓς ἐξέθετο), ἔπειτα πάντας μέν φησι τούτους ἀνασκευαστικοὺς εἶναι, τρεῖς δὲ ἐξ αὐτῶν μόνους εἶναι καὶ πρὸς κατασκευὴν χρησίμους, οὓς καὶ ἐκτίθεται. ὅ τε γὰρ πρῶτος τῶν ῥηθέντων ὁ ἀξιῶν, εἰ μή ἐστί τι τῷ τεθέντι γένει ἐναντίον, τῷ δὲ εἴδει, ἄμφω τὰ ἐναντία ὑπὸ ταὐτὸν εἶναι γένος. τούτου γὰρ κειμένου, εἰ δειχθείη ὅτι τῷ λαμβανομένῳ γένει μηδέν ἐστιν ἐναντίον καὶ ἔστι τὸ τοῦ ζητουμένου εἴδους ἐναντίον ἐν γένει τούτῳ, εἴη ἂν δεδειγμένον ὅτι καὶ τοῦ ζητουμένου τὸ αὐτὸ τοῦτο γένος ἐστίν· εἰ γὰρ τὸ ἐναντίον ἐν τούτῳ, δῆλον ὅτι καὶ τοῦτο. οἷον ἐπεὶ τὰ πολλὰ τοῖς ὀλίγοις ἐναντία, καὶ ἔστι τῶν πολλῶν γένος τὸ πλῆθος, καὶ οὐδὲν τῷ πλήθει ἐναντίον, καὶ τῶν ὀλίγων ἂν τὸ πλῆθος εἴη γένος. δεύτερον πρὸς κατασκευὴν ἀπὸ τῶν ἐναντίων τῶν προειρημένων τόπον εἶναι χρήσιμον ἐκτίθεται τὸν ἀπὸ τῶν μέσων· εἰ

γὰρ τὸ ἀνὰ μέσον τινῶν ἐναντίων ἐν τῷδέ τινι γένει, καὶ τὰ ἐναντία ἐν τῷ αὐτῷ γένει ἔσται. δεῖ δὲ δῆλον ὅτι τὰ ἀνὰ μέσον κυρίως λαμβάνειν· ταῦτα δέ ἐστι τὰ κατὰ μῖξιν γινόμενα τῶν ἐναντίων. ἐν ᾧ γὰρ ἡ σομφὴ φωνὴ γένει, ἐν ἐκείνῳ καὶ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα, καὶ ἐν ᾧ τὸ φαιόν, ἐν ἐκείνῳ καὶ τὸ λευκὸν καὶ τὸ μέλαν· οὐκέτι δὲ ἐν ᾧ ἡ ἀνδρεία, ἐν τούτῳ καὶ ἡ θρασύτης καὶ ἡ δειλία, ὅτι οὐχ οὕτως αἱ ἀρεταὶ μέσαι τῶν κακιῶν ὡς κατὰ μῖξιν αὐτῶν εἶναι.

in Top.330 τρίτον ἐκτίθεται τόπον τῶν πρὸς κατασκευήν· ὅταν καὶ τῷ ὡς εἴδει λαμβανομένῳ ᾖ τι ἐναντίον καὶ τῷ ὡς γένει, χρή, φησί, σκοπεῖν εἰ τὸ ἐναντίον τοῦ ζητουμένου ἐν τῷ ἐναντίῳ γένει ἐστίν· εἰ γὰρ τὸ ἐναντίον ἐν τῷ ἐναντίῳ, καὶ τὸ ζητούμενον ἐν τῷ ἐκείνου ἐναντίῳ. ζητουμένου γὰρ εἰ γένος τῆς νόσου ἡ ἀσυμμετρία, δείξαντες ὅτι τῆς ὑγείας, ἥτις ἐστὶν ἐναντία τῇ νόσῳ, ἡ συμμετρία γένος οὖσα ἐναντία τῇ ἀσυμμετρίᾳ, εἴημεν ἂν δεδειχότες ὅτι καὶ ἡ νόσος ἐν ἀσυμμετρίᾳ. p. 124a10 Πάλιν ἐπὶ τῶν πτώσεων καὶ ἐπὶ τῶν συστοίχω ν . Ὥσπερ ἐπὶ τῶν ἀπὸ συμβεβηκότος προβλημάτων τόπους τινὰς παραδέδωκεν ἀνασκευαστικοὺς καὶ κατασκευαστικοὺς ἀπὸ τῶν πτώσεων καὶ ἀπὸ τῶν συστοίχων, οὕτω καὶ πρὸς τὰ ἀπὸ τοῦ γένους προβλήματα ἀπὸ τῶν αὐτῶν τούτων παραδίδωσί τινας τόπους· κοινοὶ γὰρ καὶ ἐπικαιρότατοι πρὸς πάντα οἱ ἀπὸ τῶν συστοίχων τόποι. ἂν γάρ τινος γένος ἀποδοθῇ, δεῖ ὁρᾶν εἰ καὶ τὰ σύστοιχα τῷ γένει τῶν συστοίχων τῷ εἴδει γένη εἶναι δύναται· καὶ ἂν μὲν ᾖ, κατασκευασθήσεται, ἂν δὲ μὴ ᾖ, ἀνασκευασθήσεται. εἰ γὰρ ὁμοίως ἀκολουθεῖ τὸ κείμενον γένος τῷ τεθέντι εἴδει καὶ ἡ πτῶσις ἡ τοῦ γένους τῇ τοῦ εἴδους πτώσει, εἴη ἂν τὸ ἀποδοθὲν γένος κατεσκευασμένον ὅτι ἐστὶ γένος. οἷον πτῶσίς ἐστι τῆς μὲν μεγαλοψυχίας τὸ μεγαλοψύχως, τῆς δὲ ἀπαθείας τὸ ἀπαθῶς· εἰ οὖν τὸ μεγαλοψύχως ἀπαθῶς, καὶ ἡ μεγαλοψυχία ἀπάθεια· τὸ δὲ πρῶτον· τὸ ἄρα δεύτερον. πάλιν ἀνασκευάζοιμεν ἂν ἀπὸ τῶν πτώσεων οὕτως· ἔστω προκείμενον δεῖξαι ὅτι μὴ γένος τῆς εὐφυΐας ἡ ταχυτής· ληψόμεθα ἀπὸ τῶν πτώσεων συνεχὲς τοιοῦτον· εἰ ἡ εὐφυΐα ταχυτής, καὶ τὸ εὐφυῶς ταχέως· οὐκ ἔστι δὲ τὸ εὐφυῶς ταχέως· καλῶς γὰρ μᾶλλόν ἐστιν, ἀλλ' οὐ ταχέως· οὐδ' ἄρα ἡ εὐφυΐα ταχυτής. πάλιν εἰ ἡ ἀγροικία ἀπαιδευσία, καὶ τὸ ἀγροίκως ἀπαιδεύτως· οὐκ ἔστι δὲ τὸ ἀγροίκως ἀπαιδεύτως, ἀλλ' ἀπείρως μᾶλλον· οὐδ' ἡ ἀγροικία ἄρα ἀπαιδευσία.

in Top.331 καὶ εἰ ἡ ἡδονὴ ἀγαθόν, καὶ τὸ ἡδέως ἀγαθῶς· οὐκ ἔστι δὲ τὸ ἡδέως ἀγαθῶς· ἔστι γὰρ ἡδέως πάσχοντα αἰσχρῶς πάσχειν καὶ κακῶς· οὐδ' ἄρα ἡ ἡδονὴ ἀγαθόν. καὶ οὕτω μὲν ἀπὸ τῶν πτώσεων. ἀπὸ δὲ τῶν συστοίχων πάλιν κατασκευάσομεν οὕτως· σύστοιχα λέγεται ἀλλήλοις τὰ οὕτω λεγόμενα, ἀνδρεία, ἀνδρεῖος, ἀνδρείως, ἀνδρεῖον· καὶ γὰρ ἡ πτῶσις, τὸ ἀνδρείως, ἐν τοῖς συστοίχοις ἐστίν· διὸ οἱ ἀπὸ τῶν συστοίχων τόποι περιέχουσι καὶ τοὺς ἀπὸ τῶν πτώσεων, καὶ αὐτὸς τοῖς παραδείγμασιν ὁμοῦ κατὰ πάντων ἐχρήσατο· ὁμοίως σύστοιχα δικαιοσύνη, δίκαιος, δικαίως, δίκαιον· ληψόμεθα οὖν, θέλοντες δεῖξαι ὅτι ἡ δικαιοσύνη ὑπὸ γένος τὴν ἀρετήν, τὰ σύστοιχα αὐτῇ· οἷον εἰ τὸ δίκαιον ἐνάρετον καὶ τὸ δικαίως ἐναρέτως καὶ ὁ δίκαιος ἐνάρετος, καὶ ἡ δικαιοσύνη ἀρετή· τὰ ἡγούμενα δέ· καὶ τὸ λῆγον ἄρα. οὕτω μὲν κατασκευάσομεν. ἀνασκευάσομεν δέ, ὅτι μὴ ὑπὸ τὸ ὠφέλιμον ἡ ἡδονή, οὕτως· εἰ ἡ ἡδονὴ ὠφέλιμον, καὶ τὸ ἡδέως ὠφελίμως καὶ τὸ ἡδὺ ὠφέλιμον· οὐκ ἔστι δὲ τὸ ἡδὺ ὠφέλιμον· οὐδ' ἄρα ἡ ἡδονὴ ὠφέλιμον. ἢ ἐφ' οὗ ἂν φανερώτερον ἀντιπίπτῃ τῶν συστοίχων, ἐκεῖνο ληψόμεθα καὶ δείξομεν δι' αὐτοῦ ὅτι μηδὲ ἡ ἡδονὴ ὠφέλιμον· ὁμοίως γὰρ ἔχειν πάντα τὰ σύστοιχα κατὰ τὴν ἀκολουθίαν δεῖ. εἰ δὲ μὴ ὠφέλιμον ἡ ἡδονή, δῆλον ὅτι οὐδ' ἂν ἐν γένει αὐτῷ εἴη. πάλιν σύστοιχα ἀλλήλοις δικαιοσύνη, δίκαιον, δίκαιος, δικαίως καὶ ἐπιστήμη, ἐπιστῆμον, ἐπιστήμων, ἐπιστημόνως· ἐὰν τῆς δικαιοσύνης ἡ ἐπιστήμη γένος ᾖ, δεῖ καὶ τὸ δίκαιον ὑπὸ τὸ ἐπιστῆμον εἶναι καὶ τὸν δίκαιον ὑπὸ τὸν ἐπιστήμονα καὶ τὸ δικαίως ὑπὸ τὸ ἐπιστημόνως. p. 124a15 Πάλιν ἐπὶ τῶν ὁμοίως ἐχόντων πρὸς ἄλληλ α . Ὅμοιος καὶ οὗτος ὁ τόπος τῷ ἀπὸ τῶν συστοίχων· εἰ γάρ τινα ὁμοίως ἔχει πρὸς ἄλληλα, ἂν τὸ ἕτερον τῶν ὁμοίως ἐχόντων τοῦ ἑτέρου γένος ᾖ, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ἕτερον ἔσται τοῦ ἑτέρου γένος. οἷον ἐπεὶ τὸ ἡδὺ ὁμοίως ἔχει πρὸς τὴν ἡδονὴν καὶ τὸ ὠφέλιμον πρὸς τὸ ἀγαθό ν , ὡς ἔστι τὸ ἡδὺ τῆς ἡδονῆς ποιητικόν, οὕτω καὶ τὸ ὠφέλιμον τοῦ ἀγαθοῦ ἂν εἴη. ἢ ἐναλλάξ, εἰ τῆς ἡδονῆς γένος τὸ ἀγαθόν, ἔσται καὶ τοῦ ἡδέος γένος τὸ ὠφέλιμον. ἔστι δὲ τὸ εἰρημένον καὶ δι’ ἀναλογίας λαβεῖν. εἰ γάρ, ὡς τὸ ἀγαθὸν πρὸς τὸ ὠφέλιμον, οὕτως ἡ ἡδονὴ πρὸς τὸ ἡδύ, καὶ ἐναλλάξ, ὡς τὸ ἡγούμενον [τὸ ἀγαθὸν] πρὸς τὸ ἡγούμενον [τὴν ἡδονήν], οὕτως τὸ ἑπόμενον [τὸ ὠφέλιμον] πρὸς τὸ ἑπόμενον [τὸ ἡδύ]· ὥστε ὡς τὸ ἀγαθὸν πρὸς τὴν ἡδονήν, οὕτως τὸ ὠφέλιμον πρὸς τὸ ἡδύ· εἰ οὖν τὸ ἀγαθὸν γένος τῆς ἡδονῆς, καὶ τὸ ὠφέλιμον γένος ἂν εἴη τοῦ ἡδέος.

in Top.332 αὐτὸς μέντοι τῇ μὲν ἀναλογίᾳ οὐκ ἐχρήσατο, παραμυθίαν δὲ τοῦ δεικνυμένου ἐκόμισεν· ὅτι γὰρ ἔσται καὶ τὸ ὠφέλιμον γένος τοῦ ἡδέος, παρεμυθήσατο εἰπὼν δῆλον γὰρ ὅτι ἀγαθοῦ ἂν εἴη ποιητικό ν , ἐπειδὴ ἡ ἡδονὴ ἀγαθό ν . εἰ γὰρ ἡ ἡδονὴ ἀγαθόν ἐστι, τὸ ποιητικὸν αὐτῆς (τοῦτο δὲ ἦν τὸ ἡδύ) ἀγαθοῦ ἄν τινος εἴη ποιητικόν· πᾶν δὲ τὸ ἀγαθοῦ ποιητικὸν ὠφέλιμον καὶ ἐν γένει τῷ ὠφελίμῳ. ἔστι δὲ καὶ κατασκευαστικὸς καὶ ἀνασκευαστικὸς ὁ τόπος. εἰ γὰρ ἡ ἡδονὴ μὴ ἐν γένει τῷ ἀγαθῷ, οὐδ’ ἂν τὸ ἡδὺ ἐν γένει τῷ ὠφελίμῳ εἴη. καὶ εἰ ὡς τὸ γυμνάζεσθαι πρὸς ὑγείαν οὕτως τὸ μανθάνειν πρὸς ἐπιστήμην, μή ἐστι δὲ τὸ γυμνάζεσθαι ὑπὸ τὸ μανθάνειν, οὐδ’ ἂν τὸ ὑγιαίνειν ὑπὸ τὸ ἐπίστασθαι εἴη. p. 124a20 Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν γενέσεων καὶ τῶν φθορῶ ν . ***** τόπους παραδίδωσιν. εἰ γὰρ ἡ γένεσίς τινος ὡς ὑπὸ γένος εἴη τὴν ἄλλου τινὸς γένεσιν, καὶ τὸ γινόμενον ὑπ’ αὐτοῦ ἔσται ὡς ὑπὸ γένος τὸ ὑπὸ τοῦ ποιητικοῦ γένους γινόμενον. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν φθορῶν. ἀπὸ μὲν οὖν τῆς γενέσεως 〈οὕτωσ〉 · εἰ τὸ οἰκοδομεῖν ἐνεργεῖν καὶ ὑπὸ τὴν ἐνέργειαν, καὶ τὸ ᾠκοδομηκέναι ἐνηργηκέναι καὶ ὑπὸ τοῦτο· καὶ εἰ τὸ μανθάνειν ἀναμιμνήσκεσθαί ἐστιν καὶ ὑπὸ γένος τὸ ἀναμιμνήσκεσθαι, καὶ τὸ μεμαθηκέναι ὑπὸ τὸ ἀναμεμνῆσθαι ἂν εἴη, ὡς ᾤετο Πλάτων λέγων τὰς μαθήσεις ἀναμνήσεις. λαμβάνει δὲ καὶ τὸ οἰκοδομεῖν καὶ τὸ μανθάνειν ὡς οὔσας γενέσεις, τὸ μὲν τοῦ οἰκοδομουμένου τὸ δὲ τοῦ μανθανομένου. ἔστι δὲ κυρίως ἡ μὲν οἰκοδόμησις τοῦ οἰκοδομουμένου, ἡ δὲ μάθησις τοῦ μανθανομένου. καὶ εἴη ἂν τοιοῦτον τὸ λεγόμενον· εἰ τοῦ οἰκοδομεῖν γένος τὸ ἐνεργεῖν, καὶ τοῦ ᾠκοδομηκέναι τὸ ἐνηργηκέναι· καὶ εἰ τῆς μαθήσεως ἡ ἀνάμνησις, καὶ τοῦ μεμαθηκέναι τὸ ἀναμεμνῆσθαι. ἔοικε δὲ τὰ παραδείγματα, οἷς κέχρηται, ἁρμόζειν καὶ τοῖς ἀπὸ τῶν συστοίχων τόποις· σύστοιχον γὰρ τὸ οἰκοδομεῖν τῷ ᾠκοδομηκέναι καὶ τὸ ἐνεργεῖν τῷ ἐνηργηκέναι.

in Top.333 εἴη δ’ ἂν τοῦ λεγομένου καὶ τὰ τοιαῦτα παραδείγματα· εἰ ἡ τῆς δικαιοσύνης γένεσις οὐκ ἔστι μάθησις, οὐδ’ ἂν ἡ δικαιοσύνη ἐπιστήμη εἴη· τὸ δὲ πρῶτον· τὸ ἄρα δεύτερον. οὕτω δ’ ἂν δεικνύοι τις ὅτι μηδὲ τῆς αἰσθήσεως ἡ ἐπιστήμη γένος· εἰ γὰρ τῆς μὲν αἰσθήσεως ἡ γένεσις φύσει, τῆς δὲ ἐπιστήμης οὐ φύσει (μαθήσει γάρ), οὐκ ἂν ἡ αἴσθησις ἐπιστήμη εἴη. δῆλον δὲ ὅτι καὶ κατασκευαστικὸς ὁ τόπος· εἰ γὰρ ἡ τῆς γεωμετρίας γένεσις μάθησις, καὶ ἡ γεωμετρία ἂν ἐπιστήμη εἴη. ὁ δὲ ἀπὸ τῆς φθορᾶς τόπος τοιοῦτος· εἰ τὸ διαλύεσθαι φθείρεσθα ι , καὶ τὸ διαλελύσθαι ἐφθάρθαι καὶ ἡ διάλυσις φθορά · ὁμοίως γὰρ ἔχει τὸ διαλύεσθαι πρὸς τὸ διαλελύσθαι καὶ τὸ φθείρεσθαι πρὸς τὸ ἐφθάρθαι· ὥστε, εἰ τὸ ἕτερον τοῦ ἑτέρου γένος, καὶ τὸ ἕτερον τοῦ ἑτέρου ἂν εἴη. p. 124a24 Καὶ ἐπὶ τῶν γεννητικῶν δὲ καὶ φθαρτικῶν ὡσαύτω ς . Ὁμοίως φησὶν ὡς ἀπὸ τῶν γενέσεών τε καὶ φθορῶν οὕτως εἶναι καὶ ἀπὸ τῶν γεννητικῶν τε καὶ φθαρτικῶν ἐπιχειρεῖν, ἀλλὰ καὶ ἀπὸ τῶν δυνάμεων καὶ τῶν χρήσεων καὶ ὅλως ἀπὸ τῶν κα θ ’ ὁποιανοῦν ὁμοιότητ α . ὅμοιαι γὰρ αἱ ἀπὸ πάντων τῶν τοιούτων ἐπιχειρήσεις, οὐ κατὰ ταὐτὸν δέ· γένεσις μὲν γὰρ ἡ τοιάδε μεταβολή, γεννητικὸν δὲ τὸ τῆς τοιᾶσδε μεταβολῆς αἴτιον. ὁ αὐτὸς λόγος καὶ ἐπὶ φθορᾶς τε καὶ φθαρτικοῦ. λέγοι δ’ ἂν ὁμοιότητα πάντα τὰ τοιαῦτα πρὸς ἄλληλα ἔχειν καὶ κατὰ ἀναλογίαν· ὡς γὰρ τὸ γίνεσθαι πρὸς τὸ γεγονέναι, οὕτω τὸ ποιεῖν πρὸς τὸ πεποιηκέναι, καὶ ὡς τὸ φθείρεσθαι πρὸς τὸ ἐφθάρθαι, οὕτως τὸ διαλύεσθαι πρὸς τὸ διαλελύσθαι, καὶ ὡς τὸ φθαρτικὸν πρὸς τὸ φθείρεσθαι, οὕτω τὸ διαλυτικὸν πρὸς τὸ διαλύεσθαι·

ὥστε, ἂν τὸ ἕτερον ὑπὸ τὸ ἕτερον ᾖ, καὶ τὸ ἕτερον ὑπὸ τὸ ἕτερον ἔσται. ἀλλὰ καὶ ἡ δύναμις πρὸς τὸ δύνασθαι ὁμοίως ἔχει, ὡς καὶ ἡ διάθεσις πρὸς τὸ διακεῖσθαι· ὥστε, εἰ ἡ δύναμις διάθεσις τῷ γένει, ἔσται καὶ τὸ δύνασθαι διακεῖσθαι. πάλιν ὡς ἡ χρῆσις πρὸς τὸ κεχρῆσθαι, καὶ ἡ ἐνέργεια πρὸς τὸ ἐνηργηκέναι· ***** πάντα δὲ ταῦτα τῷ ἐφ' ἕν τι τὴν ἀναφορὰν ἔχειν ὅμοια· καὶ γὰρ τὸ γεννητικὸν ἐπὶ τὸ γιγνόμενον καὶ ἡ γένεσις ἐπὶ τὸ γεγονὸς καὶ ἡ φθορὰ ἐπὶ τὸ ἐφθαρμένον καὶ ἡ δύναμις ἐπὶ τὸ δυνάμενον· καὶ ἡ χρῆσις δὲ καὶ ἕκαστον τῶν τοιούτων πρὸς ἕν τι τὴν σχέσιν ἔχει.

in Top.334 διὸ καὶ ἐπὶ πάντων ὁμοία τε ἡ δεῖξις καὶ δι' ἀλλήλων· κατὰ γὰρ τὴν αὐτὴν πτῶσιν πάντα ἀλλήλοις ἐξενεχθήσεται. εἰ γὰρ τὸ φθαρτικὸν διαλυτικό ν , καὶ τὸ φθείρεσθαι διαλύεσθαι καὶ ἡ φθορὰ διάλυσις· ὁμοίως, εἰ τὸ γεννητικὸν ποιητικό ν , καὶ τὸ γίνεσθαι ποιεῖσθα ι , καὶ ἡ γένεσις ποίησις · καὶ εἰ μηδέν τι τούτων, οὐδὲ τὰ ἄλλα. ἐοίκασι δὲ πάντες οὗτοι οἱ τόποι τοῖς ἀπὸ τῶν συστοίχων, ὡς προεῖπον. p. 124a32 Καὶ εἴ τινος ἡ χρῆσις ἐνέργει α . Εἰ τὸ τῷ λόγῳ χρῆσθαι ἐνεργεῖν ἐστι καὶ ὑπὸ τὴν ἐνέργειαν ὡς γένος, καὶ τὸ κεχρῆσθαι τῷ λόγῳ εἴη ἂν ὑπὸ τὸ ἐνηργηκέναι ὡς γένος. ὁμοίως, εἰ ἡ χρῆσις ἡ τῆς ἀρετῆς 〈ἐνέργεια ἢ τὸ χρῆσθαι ἀρετῇ〉 ἐνεργεῖν, καὶ τὸ κεχρῆσθαι ἀρετῇ ἐνηργηκέναι. p. 124a35 Ἐὰν δὲ στέρησις ᾖ τὸ ἀντικείμενον τῷ εἴδε ι , διχῶς ἔστιν ἀνελεῖ ν . Παραδοὺς πρότερον τόπους ἀπὸ τῶν ἐναντίων (τῷ γὰρ ἐναντίον τι εἶναι τῷ εἴδει ἢ τῷ γένει ἀνασκευὴ καὶ κατασκευὴ ἐγίνετο), νῦν καὶ ἀπὸ τῶν ἄλλων ἀντικειμένων παραδίδωσι, καὶ πρῶτόν γε ἀπὸ τῶν κατὰ ἕξιν καὶ στέρησιν. καὶ δύο φησὶν εἶναι τόπους ἀπὸ τῶν κατὰ ἕξιν καὶ στέρησιν ἀντικειμένων ἀνασκευαστικούς, ὧν πρῶτον παραδίδωσι τὸν ἀπὸ τῶν 〈τῷ〉 ἐν γένει τινὶ ὡς εἴδει· εἰ τὸ ἀντικείμενον στέρησις εἴη καὶ ἡ στέρησις ὑπὸ ταὐτὸν γένος, ὑφ' ὃ ἐτίθετο καὶ ἡ ἕξις αὐτῆς ὡς προσεχὲς γένος, οὐκ ἂν εἴη γένος τῆς ἕξεως τὸ ἀποδοθέν· ἡ γὰρ στέρησις ἢ καθόλου ἐν οὐδενὶ γένει τῷ αὐτῷ ὡς καὶ ἡ ἕξις ἢ οὐ πάντως γε καὶ προσεχεῖ. εἰ γὰρ ἡ ὄψις ἐστὶν ἐν ἐσχάτῳ καὶ προσεχεῖ γένει τῇ αἰσθήσει, ἀδύνατον τὴν τυφλότητα στέρησιν οὖσαν αὐτῆς ἐν αἰσθήσει εἶναι· καὶ εἰ ἡ τυφλότης ἐν προσεχεῖ γένει τῇ ἀναισθησίᾳ, ἀδύνατον τὴν ὄψιν ἐν ἀναισθησίᾳ εἶναι.

in Top.335 οὕτω δείξομεν ὅτι τῆς ἀγνοίας οὐκ ἔστι γένος ἡ ἕξις· τῆς γὰρ γνώσεως ἡ ἕξις γένος, ἧς ἡ ἄγνοια στέρησις. ἐν μέντοι μὴ προσεχεῖ γένει τῷ αὐτῷ δύναται καὶ ἡ ἕξις καὶ ἡ στέρησις εἶναι. οὕτω δεικνύοιτ' ἂν μὴ οὖσα ἡ κακία στέρησις τῆς ἀρετῆς, ἐπεὶ ἀμφοτέρων αὐτῶν προσεχὴς ἡ ἕξις. p. 124a39 Δεύτερον δ' , εἰ καὶ τῷ γένει καὶ τῷ εἴδει ἀντίκειται στέρησι ς . Ὁ δεύτερος δὲ τόπος, ὃν ἀπὸ τῶν στερήσεων ἀνασκευαστικὸν παραδίδωσι, τοιοῦτος ἂν εἴη· εἰ καὶ τῷ τιθεμένῳ γένει στέρησίς τις ἀντικειμένη εἴη καὶ τῷ εἴδει, μὴ εἴη δὲ ἡ τῷ εἴδει στέρησις ἀντικειμένη ὑπὸ τὴν [ἐν] τῷ γένει στέρησιν ἀντικειμένην, οὐδ' ἂν τὸ προκείμενον αὐτοῦ γένος εἴη· δοκεῖ γάρ, εἰ τὸ ἀντικείμενον ἐν τῷ ἀντικειμένῳ, καὶ τὸ ἀντικείμενον ἐν τῷ ἀντικειμένῳ εἶναι, ὡς καὶ ἐπὶ τῶν ἐναντίων. οὕτως ἡ ὄψις ἐν αἰσθήσει, ἐπεὶ καὶ ἡ τυφλότης ἐν ἀναισθησίᾳ· οὐκέτι δὲ ἡ ὄψις ἐν ἐπιστήμῃ, ἐπεὶ μηδὲ ἡ τυφλότης ἐν ἀγνοίᾳ, ἥτις ἐστὶ τῆς ἐπιστήμης στέρησις. ἀνασκευάζειν μὲν οὖν ἀπὸ τῶν στερήσεων ἔστι διχῶς, κατασκευάζειν δὲ μοναχῶς · εἰ γὰρ τὸ ἀντικείμενον ἔσται ἐν τῷ ἀντικειμέν ῳ , καὶ τὸ ἀντικείμενον ἔσται ἐν τῷ ἀντικειμένῳ· εἰ ἡ ἀκοὴ ἐν αἰσθήσει, καὶ ἡ κωφότης ἐν ἀναισθησίᾳ. p. 124b7 Πάλιν ἐπὶ τῶν ἀποφάσεων σκοπεῖν ἀνάπαλι ν , καθάπερ ἐπὶ τοῦ συμβεβηκότος ἐλέγετ ο . Μετελήλυθεν ἐπὶ τὰ κατ' ἀντίφασιν ἀντικείμενα, καὶ δείκνυσι πῶς καὶ ἀπὸ τῆς ἀντιθέσεως τῆς κατὰ ἀντίφασιν κατασκευάζειν τὸ γένος δυνησόμεθα. ἀνάπαλιν δέ, φησί, δεῖ λαμβάνειν ἐπὶ τῶν τόπων τῶν κατ' ἀντίφασιν ἀντικειμένων, ὡς ἤδη εἴρηται, ὅτε περὶ τοῦ συμβεβηκότος ἐλέγετο. παραδιδοὺς γὰρ τόπον πρὸς τὸ συμβεβηκὸς ἀπὸ τῆς ἀντιφάσεως ἐν τῷ δευτέρῳ κατασκευαστικὸν οὕτως εἶπεν· “ἐπεὶ δέ εἰσιν αἱ ἀντιθέσεις τέσσαρες, σκοπεῖν ἐκ μὲν τῶν ἀντιφάσεων ἀνάπαλιν ἐκ τῆς ἀκολουθήσεως καὶ ἀναιροῦντα καὶ κατασκευάζοντα”.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

in Top.336 τούτου οὖν ἡμᾶς ὑπομιμνήσκει. πῶς δὲ ἀνάπαλι ν , αὐτὸς ἔδειξε διὰ τοῦ παραδείγματος. εἰ γὰρ εἴη κείμενον τὸ ἡδὺ ὅπερ ἀγαθό ν , τοῦτ' ἔστιν ἐν γένει τῷ ἀγαθῷ, δεῖ ἀνάπαλιν ἀπὸ τῆς ἀποφάσεως τοῦ ἀγαθοῦ, ὃ ὡς γένος ἀπεδόθη, ἀρχόμενον τὴν τοῦ ἡδέος ἀπόφασιν ἐπιφέρειν αὐτῷ· εἰ γὰρ τὸ ἡδὺ ὅπερ ἀγαθόν, τὸ μὴ ἀγαθὸν οὐχ ἡδὺ δεῖ εἶναι. οὗ τὴν αἰτίαν ἀπέδωκεν εἰπὼν ἀδύνατον γά ρ , εἴπερ τὸ ἀγαθὸν γένος τοῦ ἡδέο ς , τὶ μὴ ἀγαθὸν ἡδὺ εἶναι · εἰ γὰρ εἴη τι μὴ ἀγαθὸν ἡδύ, οὐκέτ' ἂν πᾶν τὸ ἡδὺ ὑπὸ τὸ ἀγαθὸν εἴη· οὕτω δ' ἂν οὐδὲ γένος αὐτοῦ ἔτι τὸ ἀγαθὸν εἴη. ἔστι δ' οὐκ ἀληθὲς τὸ μὴ ἀγαθὸν μὴ ἡδὺ εἶναι· ἔστι γάρ τι μὴ ἀγαθὸν ἡδύ· οὐδ' ἂν τοῦ ἡδέος γένος τὸ ἀγαθὸν εἴη. οὕτω δείξεις ὅτι, εἰ τοῦ ἀγαθοῦ γένος τὸ ἐπαινετόν, τὸ μὴ ἐπαινετὸν οὐκ ἀγαθόν· ἔστι δέ τινα οὐκ ἐπαινετὰ μὲν ἀγαθὰ δέ, ὡς ὑγεία, ἰσχύς, πλοῦτος. ἀνασκευάζοντες μὲν οὖν ἀρξόμεθα ἀπὸ τούτου οὗ βουλόμεθα· εἰ γὰρ ἡ ἡδονὴ ὅπερ ἀγαθόν, τὸ μὴ ἀγαθὸν οὐχ ἡδύ· οὐ τὸ δεύτερον δέ· οὐ γὰρ ἀληθὲς τὸ μὴ ἀγαθὸν μὴ εἶναι ἡδύ· οὐδὲ τὸ πρῶτον ἄρα· τοῦτο δὲ ἦν [οὐδὲ] τὸ τῆς ἡδονῆς τὸ ἀγαθὸν εἶναι γένος. κατασκευάζοντες δὲ ἀπὸ τοῦ ἀντεστραμμένου τῷ δεικνυμένῳ. εἰ γὰρ ἡ μὴ ἀρετὴ οὐκ ἀνδρεία, ἡ ἀνδρεία ἀρετή· τὸ δὲ πρῶτον· τὸ ἄρα δεύτερον. διὸ ἡ μὲν ἀνασκευὴ κατὰ τὸν δεύτερον ἀναπόδεικτον ἔσται, ἡ δὲ κατασκευὴ κατὰ τὸν πρῶτον. ἔνδοξον μὲν οὖν τὸ τῆς κατασκευῆς, οὐ μὴν καὶ ἀναγκαῖον· οὐ γάρ, εἰ ἀληθὲς ὅτι τὸ μὴ λευκὸν οὐ κύκνος, ἤδη διὰ τοῦτο τοῦ κύκνου τὸ λευκὸν γένος. διὸ ἐπὶ τοῦ συμβεβηκότος ἀληθέστερος ὁ τόπος ἢ ἐπὶ τοῦ γένους. p. 124b15 Ἐὰν δὲ ᾖ πρός τι τὸ εἶδο ς . Ἐπὶ τὰ κατὰ τὸ πρός τι ἀντικείμενα τῶν ἀντικειμένων μετελήλυθε, καὶ παραδίδωσιν ἀπὸ τούτου τόπους πλείονας. πρῶτον μὲν τοῦτον· ἂν τὸ ὡς εἶδος τιθέμενον ἐν γένει τινὶ πρός τι ᾖ, δεῖ καὶ τὸ γένος πρός τι εἶναι, ὥστε, ἂν τὸ μὲν ἀποδιδόμενον γένος μὴ ᾖ πρός τι τὸ δὲ εἶδος πρός τι, οὐκ ἔσται τὸ τιθέμενον αὐτοῦ γένος εἶναι γένος· τῶν γὰρ πρός τι δοκεῖ καὶ τὰ γένη πρός τι εἶναι. τὸ γοῦν διπλάσιον πρός τι ὂν ὑπὸ τὸ πολλαπλάσιόν ἐστι καὶ αὐτὸ πρός τι ὄν, καὶ ἡ ἐπιστήμη πρός τι οὖσα ὑπὸ τὴν ὑπόληψίν ἐστι καὶ αὐτὴν ὑπὸ τὸ πρός τι οὖσαν· τοῦ μέντοι ἴσου τὸ ποσὸν οὐ γένος, ὅτι τὸ μὲν ἴσον πρός τι, τὸ δὲ ποσὸν οὐ πρός τι.

in Top.337 λέγει δὲ ὅτι, εἰ μὲν τὸ εἶδος πρός τι, καὶ τὸ γένος δεῖ πρός τι εἶναι, εἰ δὲ τὸ γένος πρός τ ι , οὐκ ἀνάγκη καὶ τὸ εἶδος πρός τι εἶναι · ἡ γὰρ ἐπιστήμη πρός τι οὖσα γένος ἐστὶ γραμματικῆς, γεωμετρίας, μουσικῆς, ὧν οὐδεμία πρός τι. ἔστι δὲ ὁ τόπος πρὸς ἀνασκευὴν μόνον χρήσιμος· οὐ γάρ, εἰ ἀμφότερα τὰ λαμβανόμενα πρός τι, τὸ ἕτερον τοῦ ἑτέρου γένος 〈δεῖ〉 εἶναι, ὡς καὶ 〈ἐπ'〉 ἐπιστήμης καὶ διπλασίου. ἔνστασιν δὲ ἐκόμισε καὶ πρὸς τὸν ἀξιοῦντα τόπον, εἰ τὸ εἶδος πρός τι, καὶ τὸ γένος εἶναι τῶν πρός τι ὡς οὐχ ὑγιῆ· τὴν γὰρ ἀρετὴν πρός τι οὖσαν ὑπὸ τὸ καλὸν καὶ τὸ ἀγαθὸν ὡς γένη εἶναι, ὧν οὐδέτερον ὑπὸ τὸ πρός τι. καὶ ἡ ἀρετὴ οὖν μᾶλλον ὑπὸ τὸ ποιὸν ἢ ὑπὸ τὸ πρός τι. λέγοι δ' ἄν τις μηδὲ γένη εἶναι τῆς ἀρετῆς τὰ εἰρημένα· οὔτε γὰρ τὸ ἀγαθὸν γένος, εἴ γε ὁμώνυμον, οὔτε τὸ καλὸν τῆς ἀρετῆς γένος· πρώτη γὰρ ἡ ἀρετὴ τῶν καθ' αὑτὴν ἐνεργειῶν, τούτων δὲ τὸ καλὸν κατηγορεῖσθαι δοκεῖ μόνων. p. 124b23 Πάλιν εἰ μὴ πρὸς ταὐτὸ λέγεται τὸ εἶδο ς . Δεύτερον τόπον ἀπὸ τοῦ πρός τι ἀνασκευαστικὸν παραδίδωσιν ἡμῖν τοιοῦτον· πρὸς ὃ τὸ εἶδος λέγεται καθ' αὑτό, πρὸς τοῦτο δεῖ καὶ κατὰ τὸ γένος αὐτὸ λέγεσθαι. οἷον ἐπεὶ τὸ διπλάσιον πρὸς τὸ ἥμισυ κα θ ' αὑτό (ἡμίσεος γάρ), καὶ κατὰ τὸ γένος πρὸς τὸ αὐτὸ λέγεται · τὸ γὰρ διπλάσιον ἡμίσεος λέγεται πολλαπλάσιον, ἐπεὶ τὸ διπλάσιον πολλαπλάσιον. τοῦτο γὰρ τὸ λεγόμενόν ἐστιν, 〈οὐχ〉 ὡς ἂν ἐκ τῆς λέξεως δόξαι, τὸ 'ὡς τὸ διπλάσιον ἡμίσεος, οὕτω καὶ τὸ πολλαπλάσιον ἡμίσεοσ ' . ἂν δή τι λεγόμενον πρός τι μὴ πρὸς τὸ αὐτὸ τοῦτο καὶ κατὰ τὸ ἀποδεδομένον αὐτοῦ γένος δύνηται λέγεσθαι, οὐκ ἂν εἴη γένος αὐτοῦ τὸ ἀποδεδομένον. οὕτω δειχθήσεται τῆς ὁράσεως μὴ ὂν γένος ἡ δύναμις, ἐπεὶ ἡ ὅρασις καθ' αὑτὴν μὲν ὁρατοῦ λέγεται, οὐκέτι δὲ κατὰ τὴν δύναμιν· οὐ γὰρ λέγεται ἡ ὅρασις δύναμις ὁρατοῦ.

in Top.338 οὕτω τῆς ὁράσεως δειχθήσεται μηδὲ ἡ ἕξις γένος, ἐπεὶ ἡ μὲν ὅρασις ὁρατοῦ ὅρασις, οὐκέτι δὲ ἡ ὅρασις ἕξις ὁρατοῦ λέγεται. Προστίθησι δὲ τῷ προειρημένῳ καὶ τὸ δεῖν μὴ μόνον κατὰ τὸ γένος

πρὸς τὸ αὐτὸ λέγεσθαι ἀλλὰ καὶ κατὰ πάντα τὰ τοῦ γένους γένη · τὸ γοῦν διπλάσιον οὐ μόνον διπλάσιον ἡμίσεος λέγεται οὐδὲ μόνον πολλαπλάσιον ἡμίσεος, ἀλλὰ καὶ ὑπερέχον, ὃ γένος ἐστὶ τοῦ πολλαπλασίου, καὶ μεῖζον, ὃ ἔτι γενικώτερον. οὐκ αὔταρκες οὖν πρὸς τὸ δειχθῆναι τῆς ὁράσεως γένος τὴν ἐπιστήμην τὸ λέγεσθαι τὴν ὅρασιν ἐπιστήμην ὁρατοῦ· εἰ γὰρ διάθεσις οὐ λέγεται, ὃ γένος ἐστὶ τῆς ἐπιστήμης, οὐκ ἂν αὐτῆς ἡ ἐπιστήμη γένος εἴη. ἔνστασιν φέρει πρὸς τὸν τόπον ὡς οὐκ ἀληθῆ καθόλου ὅτι ἡ ἐπιστήμη καθ' αὑτὴν μὲν ἐπιστητοῦ λέγεται, οὐκέτι μέντοι κατὰ τὸ γένος τοῦ αὐτοῦ λέγεται· ἔστι μὲν γὰρ αὐτῆς γένος ἡ ἕξις καὶ ταύτης διάθεσις, οὐ λέγεται μέντοι ἡ ἐπιστήμη οὔτε ἕξις ἐπιστητοῦ οὔτε διάθεσις, ἀλλὰ ψυχῆς ἕξις καὶ ψυχῆς διάθεσις ἡ ἐπιστήμη. ἢ διττὸν ἡ ἕξις καὶ ἡ διάθεσις· ἕξις γὰρ καὶ διάθεσις λέγεται καὶ τοῦ ἔχοντος αὐτὰ ὡς ψυχῆς καὶ τῶν [ὑπ' αὐτὰ] ἐχομένων ὑπ' αὐτῶν. p. 124b35 Πάλιν εἰ ὡσαύτως λέγεται τὸ γένος καὶ τὸ εἶδος κατὰ τὰς πτώσει ς . Καὶ οὗτος ὁ τόπος ἀπὸ τοῦ πρός τι. ἐπεὶ γὰρ δοκεῖ τὸ γένος καὶ τὸ εἶδος τῶν πρός τι ὁμοίως κατὰ τὰς πτώσεις λέγεσθαι (ἄν τε γὰρ τὸ εἶδος τινός, καὶ τὸ γένος τινός· οἷον τὸ διπλάσιον τινός, πολλοστημορίου γάρ, καὶ τὸ ὑπερέχον ὁμοίως τινός, ὑπερεχομένου γάρ, καὶ τὸ μεῖζον, ἐλάττονος γάρ· ὁμοίως ἡ ἐπιστήμη τινὸς καὶ ἡ ἕξις καὶ ἡ διάθεσις καὶ ἡ ὑπόληψις τινός· καὶ πάλιν εἰ τινί, καὶ τἆλλα ὁμοίως· ὡς γὰρ τὸ ἐπιστητὸν τινί, τῇ γὰρ ἐπιστήμῃ, οὕτω καὶ τὸ ἑκτὸν τῇ ἕξει καὶ τὸ ὑποληπτὸν τῇ ὑπολήψει), ἂν δὴ μὴ ὁμοίως κατὰ τὴν πτῶσιν λέγηται τό τε ὡς εἶδος ἀποδοθὲν καὶ τὸ ὡς γένος, οὐκ ἔσται τὸ ἀποδεδομένον γένος. διό, ἂν τεθῇ τοῦ φίλου γένος ἡ βούλησις, προσχρώμενοι τῷ προειρημένῳ δείξομεν ὅτι μή ἐστι τοῦ φίλου ἡ βούλησις γένος· οὐ γὰρ κατὰ τὰς αὐτὰς πτώσεις λέγεται πρὸς ἕτερον ἥ τε βούλησις καὶ ὁ φίλος· ἡ μὲν γὰρ βούλησις πρὸς γενικὴν λέγεται (τινὸς γὰρ ἡ βούλησις, τοῦ γὰρ βουλητοῦ), ὁ δὲ φίλος πρὸς δοτικὴν λέγεται.

in Top.339 ὁμοίως δειχθήσεται μηδὲ τῆς αὐξήσεως γένος οὖσα ἡ πρόσθεσις, ἐπεὶ ἡ μὲν αὔξησις τινός, τοῦ γὰρ αὐξανομένου, ἡ δὲ πρόσθεσις οὐ τινὸς ἀλλὰ τινί, τῷ γὰρ προστιθεμένῳ. ἐνίσταται πρὸς τὸν τόπον ὡς οὐχ ὑγιῆ· οὐ γὰρ ἐπὶ πάντων τῶν πρός τι πρὸς ὁμοίας πτώσεις τό τε γένος καὶ τὸ εἶδος ἀποδίδοται· τὸ μὲν γὰρ ἐναντίον τινί, ἐναντίῳ γάρ, καὶ τὸ διάφορον ὁμοίως, διαφέροντι γάρ, τὸ δὲ ἕτερον, γένος ὂν ἀμφοῖν, τινὸς ἀλλ' οὐ τινί· τὸ γὰρ ἕτερον ἑτέρου ἕτερον. p. 125a5 Πάλιν εἰ ὁμοίως τὰ πρός τι κατὰ τὰς πτώσεις λεγόμενα μὴ ὁμοίως ἀντιστρέφε ι . Καὶ οὗτος ὁ τόπος ἐκ τῶν πρός τι. ἐπεὶ γὰρ πάντα δοκεῖ τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεσθαι, ἂν μὴ πρὸς ὁμοίας πτώσεις πάλιν τὰ ἀντιστρέφοντα ἀντιστρέφῃ, οὐ γένος ἔσται τὸ ὡς γένος ἀποδεδομένον· κἂν γὰρ αὐτὸ καὶ τὸ ὡς εἶδος τεθὲν αὐτοῦ πρὸς ὁμοίας πτώσεις πρὸς ἄλληλα λέγηται, οὐδέπω γένος τὸ ἀποδοθέν, ἂν μὴ καὶ 〈τὰ〉 ἀντιστρέφοντα τῷ τε ὡς γένει ἀποδοθέντι καὶ τῷ ὡς εἴδει πρὸς ὁμοίας πάλιν πτώσεις λέγηται. πολλάκις μὲν οὖν ἀμφότερα ὁμοίως πρὸς τὰς πτώσεις ἀποδίδοται· τό τε γὰρ διπλάσιον τινὸς καὶ τὸ πολλαπλάσιον, ἀλλὰ [καὶ τὸ ὑπερέχον] καὶ τὸ μεῖζον· καὶ τὰ ἀντιστρέφοντα δὲ αὐτοῖς πρὸς τὰς αὐτάς· τό τε γὰρ ἔλαττον τινὸς ἔλαττον, [καὶ τὸ ὑπερεχόμενον. τινὸς ὑπερέχεται,] καὶ τὸ πολλοστημόριον κατὰ ταὐτὰ τινός· ὁμοίως καὶ τὸ ἥμισυ. ἐπὶ δὲ ἐνίων πρὸς ἄλλην μὲν πτῶσιν τὸ γένος καὶ τὸ εἶδος, πρὸς ἄλλην δὲ τὰ ἀντιστρέφοντα αὐτοῖς, πλὴν πρὸς τὴν αὐτὴν ἀλλήλοις, ὡς 〈ἐπ'〉 ἐπιστήμης καὶ ὑπολήψεως· ἥ τε γὰρ ἐπιστήμη τινός, ἐπιστητοῦ γάρ, καὶ τὸ γένος αὐτῆς, ἡ ὑπόληψις, καὶ αὕτη τινός, εἴ γε ὑποληπτοῦ· τὰ δὲ ἀντιστρέφοντα αὐτοῖς πρὸς ἄλλας πτώσεις ἀντιστρέφει καὶ οὐ καθ' ἃς ταῦτα, οὐ μὴν ἀλλὰ ἀλλήλοις τὰς αὐτάς· τό τε γὰρ ἐπιστητόν, ὃ πρὸς τὴν ἐπιστήμην ἀντιστρέφει, πρὸς τὴν δοτικὴν πτῶσιν ἀντιστρέφει (ἐπιστήμῃ γὰρ ἐπιστητόν), καὶ τὸ ὑποληπτὸν πρὸς τὴν ὑπόληψιν ἀντιστρέφον ὁμοίως καὶ αὐτὸ οὐ τινός ἐστιν ὑποληπτὸν ἀλλὰ τινί, τῇ ὑπολήψει. ὅταν οὖν μὴ ὁμοίως ἔχῃ τὰ ἀντιστρέφοντα, ἀναιρεθήσεται τὸ τεθὲν ὡς γένος. ἂν γάρ τις θῇ τοῦ μείζονος γένος τὸ ὑπερέχον, ἐπεὶ τὰ ἀντιστρέφοντα αὐτοῖς οὐ πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμοίας λέγεται πτώσεις (τὸ μὲν γὰρ ἔλαττον τινός, μείζονος γάρ, τὸ δὲ ὑπερεχόμενον τινί, ὑπερέχοντι γάρ), ἀναιροῖτ᾽ ἂν τὸ εἶναι τὸ ὑπερέχον γένος τοῦ μείζονος.

in Top.340 ὁ μέντοι Στράτων προστίθησί τινα τῷ τόπῳ τούτῳ καὶ ἄλλον· εἰ αὐτὰ μὲν πρὸς ὁμοίας πτώσεις λέγοιτο, τό τε ἀποδοθὲν γένος καὶ τὸ εἶδος, τῶν δὲ πρὸς ἃ ταῦτα λέγεται τὸ μὲν ἀντιστρέφοι τὸ δὲ μή, οὔ φησι τὸ τεθὲν ἔσεσθαι γένος. καὶ παραδείγματι χρῆται τοῦ τόπου τῇ τε ἐλλείψει καὶ τῇ ἐνδείᾳ· εἰ γάρ τις γένος τῆς ἐλλείψεως τὴν ἔνδειαν λέγει, ἐπεὶ ἑκάτερον μὲν αὐτῶν πρὸς τὴν αὐτὴν ἀποδίδοται πτῶσιν (ἥ τε γὰρ ἔλλειψις τινός, τῆς ὑπεροχῆς γάρ, καὶ ἡ ἔνδεια ὁμοίως τινός, τοῦ γὰρ ἱκανοῦ), οὐκέτι δὲ ἀμφότερα, πρὸς ἃ ἑκάτερον αὐτῶν λέγεται, ἀντιστρέφει (ἡ μὲν γὰρ ὑπεροχὴ καὶ αὐτὴ τινός, ἐλλείψεως γάρ· τὸ δὲ ἱκανὸν οὐκέτι ἀντιστρέφει· οὐ γὰρ λέγεται τὸ ἱκανὸν ἐνδείας ἱκανόν), ὥστε οὐκ ἂν εἴη ἡ ἔνδεια τῆς ἐλλείψεως γένος. ἀλλ᾽ οὗτος μὲν καινοτομῆσαι βουληθεὶς ὀλίγον ἀναιρεῖ μεῖζόν τι· τὸ γὰρ πάντα 〈τὰ〉 πρός τι πρὸς ἀντιστρέφοντα λέγεσθαι κινεῖ. αἴτιον δὲ αὐτῷ τῆς πλάνης τὸ μὴ δεόντως λαβεῖν τὴν ἔνδειαν πρὸς τὸ ἱκανὸν λέγεσθαι· καὶ γὰρ ἡ ἔνδεια ἐνδέοντός ἐστιν ἔνδεια καὶ πρὸς τοῦτο λέγεται πρός τι. p. 125a14 Πάλιν εἰ μὴ πρὸς ἴσα τὸ γένος καὶ τὸ εἶδος λέγετα ι . Ἐπεὶ τῶν πρός τι τὰ μὲν πρὸς ἓν λέγεται τὰ δὲ πρὸς πλείω, πρὸς ἓν μὲν τὸ διπλάσιον, πρὸς γὰρ ἥμισυ μόνον, καὶ τὸ πολλαπλάσιον (καὶ γὰρ τοῦτο πρὸς ἕν, πρὸς γὰρ τὸ πολλοστημόριον), πρὸς πλείω δὲ τὸ ὑπερέχον (καὶ γὰρ τινὸς τὸ ὑπερέχον ὑπερέχει καὶ τινί), ἂν οὖν μὴ πρὸς ἴσα τὸ γένος καὶ τὸ εἶδος λέγηται, ἀλλὰ τὸ μὲν πρὸς πλείω τὸ δὲ πρὸς ἕν, οὐκ ἔσται γένος τὸ ἀποδοθέν. δοκεῖ γὰρ πρὸς ἴσα τὸ γένος καὶ τὸ εἶδος λέγεσθαι, ὡς ἐπὶ δωρεᾶς καὶ δόσεως· ἑκάτερον γὰρ αὐτῶν καὶ τινὶ καὶ τινός· διὸ οὐκ 〈ἂν〉 ἀναιροῖτο τὸ τὴν δόσιν γένος τῆς δωρεᾶς εἶναι· καὶ γὰρ λέγεται ἡ δωρεὰ δόσις ἀναπόδοτο ς . ἐὰν μὲν οὖν μὴ πρὸς ἴσα λέγωνται, ἀνασκευάσομεν τὸ ἀποδοθὲν γένος τῷ τόπῳ τούτῳ προσχρώμενοι. οἷον ἂν τεθῇ τῆς ὀργῆς γένος ἡ ὄρεξις, ἐπεὶ ἡ μὲν ὄρεξις πρὸς ἓν λέγεται (τινὸς γάρ), ἡ δὲ ὀργὴ καὶ τινὸς καὶ τινί, οὐκ ἂν εἴη γένος τῆς ὀργῆς ἡ ὄρεξις.

in Top.341 ὁμοίως δείξομεν ὅτι τοῦ ἐπαίνου μή ἐστιν ὁ λόγος· ὁ μὲν γὰρ λόγος τινὸς μόνον, ὁ δὲ ἔπαινος τινός τε καὶ ἐπὶ τινί. μήποτε δέ, ὡς καὶ αὐτὸς λέγει, ὁ τόπος οὐκ ἔστιν ἀληθὴς ἀλλὰ πιθανὸς μόνον. ἔστι γὰρ ὁμολογουμένως ὄντα γένη τινῶν, ἃ οὐ πρὸς ἴσα αὐτοῖς λέγεται, ὥσπερ ἔχει ἡ ὑπεροχὴ καὶ τὸ πολλαπλάσιόν τε καὶ τὸ διπλάσιον· ταῦτα μὲν γὰρ πρὸς ἕν, ἡ δὲ ὑπεροχὴ γένος αὐτῶν οὖσα πρὸς δύο λέγεται· καὶ γὰρ τινὸς καὶ τινί. καὶ ἡ μὲν μίμησις τινὸς μόνον, γένος οὖσα τοῦ ζήλου, ὁ δὲ ζῆλος τινός τε καὶ ἐπὶ τινί. ἀλλὰ καὶ ὁ λόγος γένος ὢν τοῦ ἐπαίνου οὐ λέγεται πρὸς ἴσα, ὡς ἐρρήθη. p. 125a25 Ὁρᾶν δὲ καὶ εἰ τοῦ ἀντικειμένου τὸ ἀντικείμενον γένο ς . Ἔτι καὶ οὗτος ἀπὸ τῶν πρός τι. ἂν γὰρ τεθῇ τι γένος τινός, ἄμφω δὲ ᾖ πρός τι, ἀξιοῖ ἐπισκοπεῖν εἰ τοῦ ἀντικειμένου τῷ εἴδει (ἔστι δὲ ἀντικείμενον αὐτῷ πρὸς ὃ λέγεται) τὸ ἀντικείμενον τῷ γένει γένος ἐστίν. εἰ γὰρ μὴ τοῦτο, οὐδ᾽ ἂν τὸ ἀντικείμενον τοῦ ἀντικειμένου γένος εἴη· δοκεῖ γὰρ ἀεὶ τὸ ἀντικείμενον τῷ εἴδει ἐν τῷ ἀντικειμένῳ τῷ γένει εἶναι, ὅταν ᾖ τι αὐτῷ ἀντικείμενον· τὰ δὲ πρός τι ἔχει [τὰ] ἀντικείμενα ταῦτα πρὸς ἃ λέγεται. οἷον τοῦ διπλασίου γένος τὸ πολλαπλάσιο ν , ἐπεὶ καὶ τοῦ ἡμίσεος τὸ πολλοστημόριο ν , καὶ τῆς ἐπιστήμης ἡ ὑπόληψις, ἐπεὶ καὶ τοῦ ἐπιστητοῦ τὸ ὑποληπτόν. ἂν δὴ τεθῇ γένος ἐπιστήμης ἡ αἴσθησις, ἀναιρεῖν δυνησόμεθα προσχρώμενοι τῷ μηδὲ τοῦ ἀντικειμένου τῇ ἐπιστήμῃ, τοῦ ἐπιστητοῦ, γένος εἶναι τὸ ἀντικείμενον τῇ αἰσθήσει, τὸ αἰσθητόν· οὐ γὰρ γένος τοῦ ἐπιστητοῦ τὸ αἰσθητόν, ἐπεὶ πολλὰ νοητὰ ὄντα ἐπιστητά ἐστιν. δύναται δέ τις τῷ τόπῳ καὶ πρὸς κατασκευὴν χρήσασθαι· ἂν γὰρ δειχθῇ τὸ ἀντικείμενον τῷ ὡς γένει τεθέντι γένος ὂν τοῦ ἀντικειμένου τῷ εἴδει, καὶ τὸ ὑποτεθὲν ἔσται γένος. p. 125a33 Ἐπεὶ δὲ τῶν πρός τι λεγομένων τὰ μὲν ἐξ ἀνάγκης ἐν ἐκείνοις ἢ περὶ ἐκεῖνά ἐστι ν . Καὶ ἄλλον τινὰ τόπον παραδίδωσιν ἀπὸ τῶν πρός τι. ἔστι δὲ ὃ λέγει τοιοῦτον· τῶν πρός τι τὰ μὲν ἐξ ἀνάγκης ἐν ἐκείνοις ἐστὶν ἢ περὶ ἐκεῖνα πρὸς ἃ λέγεται, ὡς ἡ σύνθεσις λεγομένη πρὸς τὸ συγκείμενον ἐξ ἀνάγκης ἐστὶν ἐν τῷ συγκειμένῳ πρὸς ὃ

λέγεται· ὁμοίως καὶ ἡ συμμετρία · ἐν γὰρ τῷ συμμέτρῳ πρὸς ὃ λέγεται· ἀλλὰ καὶ ἡ μονὴ μένοντος οὖσα ἐξ ἀνάγκης ἐστὶν ἐν τῷ μένοντι.

in Top.342 ἐπιζητήσαι δ’ ἄν τις περὶ τῆς ἕξεως, ὃ καὶ αὐτὸ παρέθετο, εἰ ἐξ ἀνάγκης ἐστὶν ἐν τούτῳ πρὸς ὃ λέγεται· λέγεται μὲν γὰρ ἡ ἕξις ἑκτοῦ, οὐκ ἔστι δὲ ἐν τῷ ἑκτῷ, ἀλλὰ ἢ ἐν ψυχῇ ἢ ἐν τῷ οὗ ἐστιν, εἰ μή τις λέγοι τὴν ἕξιν πρὸς τὸ ἔχον αὐτήν, οὐ πρὸς τὸ ἐχόμενον λέγεσθαι, ὃ καὶ πρὸ ὀλίγου αὐτὸς εἶπε. τὰ δὲ οὐκ ἀνάγκη μὲν ἐν ἐκείνοις εἶναι ἢ περὶ ἐκεῖνα πρὸς ἃ λέγετα ι , ἐνδέχεται μέντοι αὐτὰ εἶναι ἐν αὐτοῖς. τούτων ἐστὶν ἡ ἐπιστήμη· λέγεται μὲν γὰρ πρὸς τὸ ἐπιστητόν, οὐ μήν ἐστιν ἐν τῷ ἐπιστητῷ 〈ἐξ ἀνάγκησ〉 , ἀλλ’ ἐξ ἀνάγκης μέν ἐστιν ἐν ψυχῇ, ἐνδέχεται δὲ αὐτὴν καὶ ἐν τῷ ἐπιστητῷ εἶναι, πρὸς ὃ λέγεται. τῇ γὰρ ψυχῇ ἔνεστιν ἐπιστήμη, 〈ἥ〉 γε κἂν αὐτῆς ἐπιστήμην ἔχοι· οὕτω γὰρ ἔσται ἡ ἐπιστήμη ἐν τῷ ἐπιστητῷ, αὕτη ἡ τῆς ψυχῆς, οὐ πᾶσα· οὐ γὰρ πᾶσα ἐπιστήμη ἐν τῷ ἐπιστητῷ. οὐδὲ γὰρ πᾶσα ἐπιστήμη ψυχὴν τὸ ἐπιστητὸν ἔχει· τὸ γὰρ τὰς τοῦ τριγώνου δύο γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι ἐπιστητὸν μέν, οὐ μὴν διὰ τοῦτο ψυχή ἐστιν. διὸ ἡ τούτου ἐπιστήμη οὐκ ἐν τῷ ἐπιστητῷ. ὅταν γὰρ αὐτὴ αὑτὴν μὴ ἐπίστηται, ἄλλο δέ τι ᾖ, τότε οὐκ ἔσται ἡ ἐπιστήμη ἐν τῷ ἐπιστητῷ· ἡ γὰρ ἐπιστήμη τῶν μουσικῶν λέγεται μὲν πρὸς τὰ ἐπιστητὰ ὧν ἐστιν, οὐ μὴν ἐν τούτοις ἐστίν, εἴ γε πᾶσα ἐπιστήμη ἐν ψυχῇ. ἴσως δὲ βέλτιον ἀντὶ τοῦ δυνατὸν γὰρ καὶ ἐν ἄλλῳ ὑπάρχειν τὴν αὐτὴν ταύτην γεγράφθαι ‘δυνατὸν γὰρ καὶ ἄλλου εἶναι τὴν αὐτὴν ταύτην‘, τοῦτ’ ἔστι τὴν ἐπιστήμην· οὐ γὰρ μόνη ἡ ψυχὴ ἐπιστητόν. δύναται καὶ αὐτὸ τὸ δυνατὸν γὰρ καὶ ἐν ἄλλῳ ὑπάρχειν τὴν αὐτὴν ταύτην εἰρῆσθαι ὡς ἴσον τῷ ‘δυνατὸν γὰρ καὶ ἄλλῳ ὑπάρχειν‘, τοῦτ’ ἔστι καὶ ἄλλου τινὸς εἶναι τὴν ἐπιστήμην καὶ ἄλλῳ τινὶ ὑπάρχειν τῶν ἐπιστητῶν καὶ μὴ ψυχῇ μόνῃ. τὰ δὲ ἁπλῶς ἀδύνατα ἐν ἐκείνοις εἶναι πρὸς ἃ λέγεται, ὡς ἔχει τὸ ἐναντίον· ἀδύνατον γὰρ αὐτὸ ἐν ἐκείνῳ εἶναι· εἴη γὰρ ἂν ἅμα τὰ ἐναντία.

in Top.343 ἀλλ’ οὐδὲ τὸ διπλάσιον ἐν τῷ ἡμίσει· ὁμοίως οὐδὲ τὸ ὑπερέχον. οὔσης τοίνυν ἐν τοῖς πρός τι τοιαύτης διαφορᾶς εἴη ἂν τῶν μὲν ἐξ ἀνάγκης ἐν ἐκείνοις ὄντων πρὸς ἃ λέγεται καὶ τὰ γένη τοιαῦτα, τῶν δὲ μὴ ἐξ ἀνάγκης μὲν ἐνδεχομένων δὲ ἐν ἐκείνοις καὶ τὰ γένη ὁμοίως ἐν ἐκείνοις, καὶ τῶν ἀδυνάτων εἶναι ἐν τοῖς πρὸς ἃ λέγεται καὶ τὰ γένη ὡσαύτως. οἷον συμμετρίας ἰσότης· ἀμφότερα γὰρ ἐν τούτοις ἐστὶ πρὸς ἃ λέγεται· καὶ ἕξεως διάθεσις· καὶ γὰρ ταῦτα, ἐν οἷς ἐστι, πρὸς ταῦτα καὶ λέγεται. πάλιν ἐπιστήμης ὑπόληψις· οὐδέτερον γὰρ αὐτῶν ἐξ ἀνάγκης ἐν τούτῳ πρὸς ὃ λέγεται, ἐνδέχεται μέντοι ποτὲ ἑκάτερον αὐτῶν· ὁμοίως καὶ αἰσθήσεως ἀντίληψις. τὸ δέ γε διπλάσιον ὑπὸ τὸ πολλαπλάσιον καὶ ὑπὸ τὸ ὑπερέχον, καὶ τὸ ἐναντίον ὑπὸ τὸ ἕτερον, διότι ἐν τούτοις οὐδὲν οἷόν τε εἶναι ἐν τούτῳ πρὸς ὃ λέγεται. ἂν οὖν τι ᾖ γένος τινὸς ἀποδεδομένον, αὐτὸ μὲν ἐξ ἀνάγκης ὂν ἐν τῷ πρὸς ὃ λέγεται, πρὸς ὃ δὲ ἀπεδόθη μὴ οὕτως ἔχῃ, ἢ ἔμπαλιν, ἀνασκευάζοιτο ἂν καὶ δεικνύοιτο τὸ ἀποδοθὲν γένος οὐκ ὂν γένος· δεῖ γὰρ τὸ τοιοῦτον εἶδος εἰς τὸ τοιοῦτον καὶ ὅμοιον γένος τίθεσθαι. διὰ τοῦτο, ἐάν τις θῇ τῆς μνήμης γένος τὴν μονὴν λέγων εἶναι τὴν μνήμην μονὴν ἐπιστήμης, οὐχ ὑγιῶς ἀποδώσει τῷ τὴν μὲν μονὴν πρός τι οὖσαν ἐξ ἀνάγκης ἐν ἐκείνῳ εἶναι οὗ ἐστι μονή· ἐν γὰρ τῷ μένοντι ἡ μονή· ἡ δὲ μνήμη οὐκ ἐν ἐκείνῳ οὗ ἐστι μνήμη· πᾶσα γὰρ μνήμη ἐν ψυχ ῇ , οὐ πᾶσα δὲ μνήμη ψυχῆς. εἰ οὖν ἡ μνήμη μονὴ ἐπιστήμη ς , ἔσται ἐν τῇ ἐπιστήμῃ· ἐπεὶ γὰρ πᾶσα μονὴ ἐν ἐκείνῳ οὗ ἐστι μονή, καὶ ἡ τῆς ἐπιστήμης μονὴ εἴη ἂν ἐν τῇ ἐπιστήμῃ · τοῦτο δὲ ἄτοπον· οὐ γὰρ ἐν ἐπιστήμῃ ἡ μνήμη ἀλλ’ ἐν ψυχῇ. ἔδειξε δὲ πῶς ἀνάγκη, ἐν ᾧ τὸ γένος ἐστίν, εἶναι καὶ τὸ εἶδος· ἡ γὰρ προστιθεμένη διαφορὰ τῷ γένει οὐ μετατίθησιν αὐτό, ἀλλὰ ἐν τίνι τοῦ κοινῶς λεγομένου ἐστὶ μηνύει· ἔστι δὲ τὸ εἶδος καὶ τὸ γένος μετὰ τῆς διαφορᾶς. οὕτω δ’ ἂν δεικνύοι τις ὅτι μηδὲ σωτηρία αἰσθήσεως ἡ μνήμη. ἡ μὲν γὰρ σωτηρία τῆς αἰσθήσεως ἐν αἰσθήσει· πᾶσα γὰρ σωτηρία ἐν ἐκείνῳ οὗ ἐστι σωτηρία· ἡ δὲ μνήμη οὐκ ἐν αἰσθήσει ἀλλ’ ἐν ψυχῇ· οὐ γὰρ αἴσθησις τὸ μνημονεῦον. ἀλλὰ καὶ ὅτι μή ἐστι τὸ πάθος ἐν γένει τῇ ὁρμῇ, ὡς οἱ ὁριζόμενοι αὐτὸ λέγουσιν ὁρμὴν ἄλογον, διὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτου ἂν δεικνύοιτο τοῦ τόπου. εἰ γὰρ πᾶσα ὁρμὴ διωκτοῦ ἐστι καὶ πρὸς τοῦτο λέγεται, οὐκ ἔστι δὲ ἡ ὁρμὴ ἐν τῷ διωκτῷ ἀλλ' ἐν ψυχῇ, οὐκ ἂν εἴη ἐν τῷ πρὸς ὃ λέγεται· τὸ δὲ πάθος πεπονθότος ὂν πάθος ἐξ ἀνάγκης ἐστὶν ἐν τῷ πεπονθότι πρὸς ὃ λέγεται. διὸ καὶ εὐλογώτερον κίνησιν αὐτὸ λέγειν· ὡς γὰρ τὸ πάθος ἐν τῷ πρὸς ὃ λέγεται, οὕτω καὶ ἡ κίνησις· ἐν γὰρ τῷ κινουμένῳ ἡ κίνησις, πρὸς ὃ καὶ λέγεται.

in Top.344 λέγουσι δὲ κίνησιν τὸ τοῦ πάθους γένος ὁριζόμενοι τὸ πάθος κίνησιν κατὰ ψυχὴν ὑπὸ τοῦ ἡδέος ἢ λυπηροῦ. εἰ οὖν εἴη ἡ ὁρμὴ τοῦ ὁρμῶντος ὁρμή, εἴη ἂν καὶ αὐτὴ ἐν ἐκείνῳ πρὸς ὃ λέγεται. Λέγει δὲ τὸν εἰρημένον τόπον κοινὸν εἶναι καὶ πρὸς τὸ συμβεβηκό ς . κἂν γὰρ μὴ γένος μὲν συμβεβηκὸς δὲ τῆς μνήμης ἡ μονὴ ἀποδοθῇ, τὸ ἄτοπον ἀκολουθήσει· ὅτε γὰρ συμβέβηκεν ἡ μνήμη τῇ ἐπιστήμῃ, τότε ἐξ ἀνάγκης ἡ μνήμη ἐν τῇ ἐπιστήμῃ ἔσται, ὅπερ ἄτοπον λέγειν· πᾶσα γὰρ μνήμη καὶ ἀεὶ ἐν ψυχῇ. p. 125b15 Πάλιν εἰ τὴν ἕξιν εἰς τὴν ἐνέργειαν ἔθηκεν ἢ τὴν ἐνέργειαν εἰς τὴν ἕξι ν . Ὁ παραδιδόμενος τόπος τοιοῦτός ἐστιν· δοκεῖ τῶν μὲν ἕξεων ἕξις εἶναι γένος, τῶν δὲ ἐνεργειῶν ἐνέργεια· ἂν οὖν ἐναλλάττῃ τις καὶ ἢ τῆς ἕξεως ἐνέργειαν ἀποδῷ γένος ἢ τῆς ἐνεργείας ἕξιν, οὐχ ὑγιῶς ἀποδίδωσιν· διὸ ἀνασκευασθήσεται τὸ ἀποδοθὲν γένος. οὕτως ἁμαρτάνει ὁ τῆς αἰσθήσεως λέγων γένος τὴν κίνησιν· ἕξεως γὰρ ἐνέργειαν γένος ἀποδέδωκεν· ἔστι γὰρ ἡ μὲν αἴσθησις ἕξι ς , ἡ δὲ κίνησις ἐνέργει α . ἡ γὰρ κατὰ τὴν ἐνέργειαν αἴσθησις κίνησις, οὐχ ἁπλῶς. πάλιν ὁ λέγων τὴν μνήμην ἕξιν καθεκτικὴν τὴν ἐνέργειαν ἐν ἕξει γένει τίθησιν· ἡ γὰρ μνήμη ἐνέργεια, οὐχ ἕξις· ἡ γὰρ κατὰ τὸ μνημονεύειν ἐνέργεια γινομένη μνήμη κυρίως. οὕτω λέγουσιν οἱ ὁριζόμενοι αὐτὴν ἕξιν καθεκτικὴν ὑπολήψεω ς . Λέγει δὲ ἁμαρτάνειν καὶ τοὺς τὰς ἕξεις ἐν γένεσι τιθέντας ταῖς δυνάμεσι ταῖς παρακολουθούσαις αὐταῖς. εἰσὶ γάρ τινες δυνάμεις ἕξεσί τισι δοκοῦσαι παρακολουθεῖν, αἷς χρήσαιντ' ἄν, εἰ ἐν τούτῳ γένοιντο πρὸς ὅ εἰσιν αἱ δυνάμεις χρήσιμοι· οὐ μὴν καὶ ἐν τῇ οὐσίᾳ εἰσὶν αὐτῶν· διὸ εἶεν ἂν ἐν αὐταῖς καθ' ὑπόθεσιν. οἷον τῇ πραότητι ἕξει οὔσῃ παρακολουθεῖ ἐξ ὑποθέσεως τὸ δύνασθαι κρατεῖν ὀργῆς ἀμέτρου τε καὶ μὴ προσηκούσης, εἴ ποτε ἐμπέσοι· ἔστι μὲν γὰρ ἡ πραότης ἀοργησία τῆς τοιαύτης ὀργῆς, ἔχειν μέντοι δύναμιν τοιαύτην λέγοιτ' ἂν ὥστε, κἂν ὀργισθῇ, κρατῆσαι τοῦ πάθους.

in Top.345 ἐξ ὑποθέσεως οὖν ἡ δύναμις αὕτη τῇ πραότητι ἕπεται· εἰ γὰρ ὀργισθείη, κρατήσει. ἂν δή τις τῆς πραότητος γένος ἀποδῷ ἐγκράτειαν καὶ ὁρίσηται αὐτὴν ἐγκράτειαν ὀργῆ ς , οὐκ ὀρθῶς ἀποδίδωσιν· οὐ γὰρ τὸ ἐξ ὑποθέσεώς τινι ἀκολουθοῦν καὶ οὕτως, ὡς ἐθήκαμεν, εἴη ἂν καὶ γένος. τὸ μὲν γὰρ γένος ἀχώριστον· ἐπὶ δὲ τῆς πραότητος οὐκ ἀεὶ ἡ ἐγκράτεια τῆς ὀργῆς, ἀλλ' ἐὰν ὀργισθῇ, τότε, ὅτε μηδὲ κυρίως πρᾶός τις. ὁμοίως ἁμαρτάνει καὶ ὁ λέγων τὴν ἀνδρείαν ἐγκράτειαν φόβων ἢ τὴν δικαιοσύνην ἐγκράτειαν κερδῶ ν . ἀνδρεῖος μὲν γὰρ κυρίως ὁ ἄφοβος, ὥσπερ καὶ πρᾶος ὁ ἀόργητος, οὓς ἀπαθεῖς εἶπε κατὰ τὰ τοιαῦτα πάθη· ὁ δὲ ἐγκρατὴς οὐ κατὰ ἀπάθειαν λέγεται ἀλλὰ κατὰ τὸ πάσχειν μὲν μὴ ἄγεσθαι δὲ ὑπὸ τῶν παθῶν. καὶ ἡ δικαιοσύνη δὲ ἐν ἀποχῇ μᾶλλον κερδῶν ἢ ἐν ἐγκρατείᾳ. εἰ οὖν τὸ μὲν γένος ἐν τῷ τί ἐστι, τὰ δὲ ἐξ ὑποθέσεως τίθεται αὐτοῖς ἕπεσθαι, οὐκ ἂν εἶεν αὐτῶν γένη. p. 125b28 Ἐνίοτε δὲ καὶ τὸ παρακολουθοῦν ὁπωσοῦν ὡς γένος τιθέασι ν . Ἐπεὶ τὰ γένη τοῖς εἴδεσι παρακολουθεῖ, εἰ ἤδη τινὲς τὰ ὁπωσοῦν τισι παρακολουθοῦντα γένη αὐτῶν ἀποδιδόασιν, ἁμαρτάνουσιν· οὐ γὰρ τὸ ὁπωσοῦν παρακολουθοῦν τινι γένος. τῇ γοῦν ὀργῇ παρακολουθεῖ μὲν ἡ λύπη, οὐ μὴν ὡς γένος, ὡς οἴονταί τινες· οὐ γὰρ ἡ ὀργὴ λύπη, οὐδὲ διὰ τοῦτο ἔστιν ἡ λύπη ἡ μετὰ τῆς ὀργῆς οὖσα, διότι 〈ἡ〉 ὀργὴ ἔστιν, ἀλλὰ ἐπὶ τῇ λύπῃ 〈ἡ〉 ὀργή· προτέρα γὰρ ἡ λύπη γίνεται τῆς ὀργῆς· λυπηθεὶς γάρ τις ὡς ἠδικημένος ὀργίζεται. οὐ τοιοῦτον δὲ τὸ γένος ὡς προϋπάρχειν χρόνῳ τοῦ εἴδους· οὐ γὰρ πρῶτον ζῷον γίνεται, εἶτα ἐκ τούτου ἄνθρωπος, ἀλλ' ὁ ἄνθρωπος ἅμα καὶ ζῷόν ἐστι, καὶ τὸ ζῷον τὸ ἐν τῷ ἀνθρώπῳ ἔστι, διότι ἄνθρωπος ἔστι.

in Top.346

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δὲ ὥστε ἁπλῶς ἡ ὀργὴ οὐκ ἔστι λύπη εἶπεν ὡς ἴσον τῷ ‘ὥστε οὐκ ἔστιν ἐν τῇ οὐσίᾳ τῆς ὀργῆς ἡ λύπη‘· τὸ γὰρ ποιητικόν τινος καὶ προϋπάρχον κατὰ χρόνον [ἐν τῷ αὐτῷ] οὐ γένος. καὶ οἱ τῆς πίστεως δὲ τὴν ὑπόληψιν γένος ἀποδιδόντες ὁμοίως ἁμαρτάνουσιν. ἀκολουθεῖ μὲν γὰρ τῇ πίστει ἡ ὑπόληψις· ἡ γὰρ πίστις ὑπόληψις· ἀδύνατον γὰρ χωρὶς ὑπολήψεως πίστιν γίνεσθαι. οὐ μὴν γένος οἷόν τε τῆς πίστεως τὴν ὑπόληψιν εἶναι· ὃ ἔδειξε πάνυ ἐντρεχῶς διὰ τοῦ ἐνδέχεσθαι τὴν αὐτὴν ὑπόληψιν ἔχοντα ποτὲ μὲν πιστεύειν ποτὲ δὲ οὔ. ὃ ἀδύνατον ἐπὶ τοῦ γένους· ἀδύνατον γὰρ τὸ αὐτὸ ζῷον ποτὲ μὲν ἄνθρωπον εἶναι ποτὲ δὲ μ ή , καὶ τὸ αὐτὸ χρῶμα ποτὲ μὲν λευκὸν εἶναι ποτὲ δὲ μή· μεταβάλλων γὰρ ὁ ἄνθρωπος οὐδὲ ζῷον ἔτι. ὥστε οὐδὲ ἡ ὑπόληψις ἡ αὐτὴ μένοι ἂν οὐ μετὰ πίστεως οὖσα τῇ ἐν πίστει· συναναιρεῖται γὰρ τὸ γένος ἑκάστῳ ἐν ᾧ ἐστιν ἀναιρουμένῳ. ἡ δὲ ὑπόληψις καὶ πρότερον ἦν χωρὶς πίστεως, καὶ πάλιν μεταβαλοῦσα ἐκ τοῦ πίστις εἶναι καὶ μηκέτι πίστις οὖσα ἔτι ὑπόληψις μένει· οὐ γὰρ κεκώλυταί τις τὴν αὐτὴν περί τινος ὑπόληψιν ἔχων ποτὲ μὲν πιστεύειν αὐτῇ ποτὲ δὲ μή, οἷον ὑπόληψιν ἔχων περὶ τῆς ψυχῆς ὅτι ἀθάνατος οὐ κεκώλυται πρότερον πιστεύων αὐτῇ ὕστερον διά τινας λόγους μηκέτι πιστεύειν. τὸ αὐτὸ δέ ἐστι τὸ νῦν ἐπὶ τῆς πίστεως καὶ τῆς ὑπολήψεως εἰρημένον τῷ ἐπὶ τῆς ὀργῆς τε καὶ λύπης εἰρημένῳ· καὶ γὰρ ἐπ’ ἐκείνων ἐνδέχεται τὸ τὴν αὐτὴν λύπην καὶ χωρὶς ὀργῆς εἶναι καὶ μετ’ ὀργῆς. ἂν δέ τις μὴ συγχωρῇ τὸ ἐνδέχεσθαι τὴν αὐτὴν ὑπόληψιν ἔχοντα ποτὲ μὲν πιστεύειν ποτὲ δὲ μὴ τῷ ἡγεῖσθαι πάντως τὸν ὑπολαμβάνοντα καὶ πιστεύειν, ὁμολογήσει διὰ τούτου ὅτι μὴ γένος ἡ ὑπόληψις τῆς πίστεως· γίνεται γὰρ ἐπ’ ἴσης ἥ τε πίστις καὶ ἡ ὑπόληψις, εἴ γε ἡ μὲν πίστις ὑπόληψις, πᾶς δὲ ὁ ὑπολαμβάνων πιστεύει· οὐκ ἐπ’ ἴσης δὲ τὸ γένος τῷ εἴδει. p. 126a3 Ὁρᾶν δὲ καὶ εἰ ἔν τινι τῷ αὐτῷ ἄμφω πέφυκε γίνεσθα ι . Δεῖν φησι γένους τινὸς ἀποδοθέντος καὶ τοῦτο ὁρᾶν, εἰ ἐν τῷ αὐτῷ πέφυκε γίνεσθαι τό τε ὡς εἶδος τεθὲν καὶ τὸ ἀποδοθὲν ὡς γένος αὐτοῦ· ἐν ᾧ γὰρ τὸ εἶδο ς , καὶ τὸ γένο ς .

in Top.347 ἐν ᾧ γὰρ τὸ λευκό ν , ἐν τούτῳ καὶ τὸ χρῶμα · ἄμφω γὰρ ἐν σώματι· καὶ ἐν ᾧ γραμματικ ή , καὶ ἐπιστήμη · ἄμφω γὰρ ἐν ψυχῇ. ἂν οὖν τὸ ἀποδοθέν τινος γένος μὴ ἐν τῷ αὐτῷ γένηται ἐν ᾧ τὸ εἶδος ἀλλὰ ἐν ἄλλῳ, ἀνασκευασθήσεται κατὰ τὸν τόπον τοῦτον καὶ δειχθήσεται ὅτι μή ἐστι γένος. οἷον ἂν τῆς αἰσχύνης θῇ τις γένος τὸν φόβον ἢ τῆς ὀργῆς τὴν λύπην, οὐ καλῶς θήσεται, εἴ γέ ἐστιν ἡ μὲν αἰσχύνη ἐν τῷ λογιστικ ῷ , ὁ δὲ φόβος ἐν τῷ θυμοειδε ῖ , καὶ ἡ μὲν λύπη ἐν τῷ ἐπιθυμητικῷ (καὶ γὰρ ἡ ἡδονή, ἧς ἡ ἐπιθυμία, ἐν τούτῳ), ἡ δὲ ὀργὴ ἐν τῷ θυμοειδε ῖ . ὁμοίως δειχθήσεται μηδὲ τῆς φιλίας ἡ βούλησις γένος, εἴ γε ἡ μὲν βούλησις ἐν τῷ λογιστικ ῷ , ἡ δὲ φιλία ἐν τῷ ἐπιθυμητικ ῷ . πῶς δὲ εἶπε τὴν αἰσχύνην ἐν τῷ λογιστικῷ, ἄξιον ζητεῖν, εἴ γε πάθος, τὰ δὲ πάθη ἐν τῷ παθητικῷ γίνεται. ἤτοι οὖν ἁπλούστερον καὶ κοινότερον κέχρηται τῷ παραδείγματι, ἢ διὰ τὴν αἰδῶ· δοκεῖ γὰρ ἡ αἰδὼς μετὰ λόγου τινὸς εἶναι. κἂν ᾖ δὲ ἡ μὲν αἰσχύνη ἐν τῷ ἐπιθυμητικῷ ὁ δὲ φόβος ἐν τῷ θυμικῷ, καὶ οὕτως οὐ γένος. ὅτι δὲ ἡ λύπη ἐν τῷ ἐπιθυμητικῷ, ἔδειξε διὰ τοῦ ἐναντίου εἰπὼν ἐν τούτῳ γὰρ καὶ ἡ ἡδον ή . καὶ ἡ φιλία δὲ ὥσπερ φίλησις ἂν εἴη λεγομένη ὑπ’ αὐτοῦ. οὕτως οὐδὲ ἡ ἀνδρεία ἐπιστήμη· ἡ μὲν γὰρ ἐν τῷ ἀλόγῳ, ἡ δὲ ἐπιστήμη ἐν τῷ λογιστικῷ. Λέγει δὲ χρήσιμον τὸν τόπον τοῦτον εἶναι καὶ πρὸς τὸ συμβεβηκός · δοκεῖ γὰρ καὶ τὸ συμβεβηκὸς καὶ τὸ ᾧ συμβέβηκεν ἐν τῷ αὐτῷ εἶναι. τοῦτο δὲ ἐπὶ τούτων ἂν λέγοιτο ἐν οἷς καὶ τὰ ὑποκείμενα ἐν ἄλλοις πέφυκε γίνεσθαι. οὐ γὰρ δὴ τὸ σῶμα καὶ τὸ χρῶμα ἐν τῷ αὐτῷ **** · ἐν ᾧ δὲ ἡ ὀργή, ἐν τούτῳ καὶ ἡ ζέσις, ὃ συμβέβηκε τῇ ὀργῇ· ἀλλὰ καὶ ἐν ᾧ ἡ ἐπιφάνεια, ἐν τούτῳ καὶ τὸ χρῶμα, ὃ συμβέβηκε τῇ ἐπιφανείᾳ· καὶ ἐν ᾧ τὸ χρῶμα, ἐν τούτῳ καὶ τὸ ὁρᾶν, ὃ συμβέβηκε τῷ χρώματι. ὥστε οὐκ ἐπὶ τῶν ψυχικῶν μόνον ἕξεών τε καὶ παθῶν τὸ εἰρημένον λέγοιτ’ ἄν, ἀλλὰ καὶ ἐπὶ τούτων καθόλου ἃ καὶ αὐτὰ ἐν ἄλλοις πέφυκε γίνεσθαι. ὥστε, εἴ τι εἴη συμβεβηκός τινι ἀποδιδόμενον, ὃ οὐκ ἐν τῷ αὐτῷ, οὐκ ἂν εἴη συμβεβηκός. πῶς οὖν τοῖς αἰδουμένοις τὸ ἐρυθριᾶν συμβέβηκεν; οὐ γὰρ ἐν τῷ αὐτῷ· τὸ γὰρ ἐρυθριᾶν ἐν ἐπιφανείᾳ· ἢ τοῖς φοβουμένοις τὸ ὠχριᾶν; p.

in Top.348 126a17 Πάλιν εἰ κατά τι τὸ εἶδος τοῦ εἰρημένου γένους μετέχε ι . Οὐχ ὁμοίως, εἴ τι τοῦ γένους μετέχει καὶ τοῦ συμβεβηκότος· τοῦ μὲν γὰρ συμβεβηκότος οἷόν τέ τι καὶ κατά τι μετέχειν, ὡς τοῦ λευκοῦ τὸ σῶμα, ὁμοίως καὶ τὸν ἄνθρωπον· τοῦ δὲ γένους ἀδύνατον· ὁ γὰρ ἄνθρωπος οὐ κατά τι τῶν αὑτοῦ τοῦ ζῴου μετέχει· οὐ γάρ ἐστι κατά τι ζῷον ὁ ἄνθρωπο ς , οὐδὲ ἡ γραμματικὴ κατά τι ἐπιστήμη. ἐὰν οὖν γένος τινὸς ἀποδοθῇ τι, οὗ κατά τι μετέχει τὸ ἀποδοθὲν ἐν γένει αὐτῷ, ἀναιρήσομεν αὐτό. οὕτως, ἂν τοῦ ζῴου γένος τὸ αἰσθητόν τις ἀποδῷ, ἐπεὶ τὸ ζῷον κατά τι τῶν αὑτοῦ αἰσθητόν, οὐκ αὐτοῦ γένος ἂν εἴη· ὁμοίως κἂν τὸ ὁρατόν· κατὰ γὰρ τὸ σῶμα καὶ κατὰ τὴν ἐπιφάνειαν αἰσθητόν τε καὶ ὁρατόν · οὐ γὰρ καὶ κατὰ τὴν ψυχή ν . Ἁμαρτάνουσι δέ τινες καὶ οἱ τοῦ ὅλου τὸ μέρος γένος ἀποδιδόντες· τὸ μὲν γὰρ μέρος τοῦ ὅλου οὐ κατηγορεῖται, τὸ δὲ γένος δῆλον ὅτι κατηγορεῖται. οὕτως ποιοῦσιν οἱ τὸ ζῷον ὁριζόμενοι σῶμα ἔμψυχον · ὡς γὰρ ἐν γένει τῷ σώματι τιθέασι τὸ ζῷον, ὃ μέρος ἐστὶν αὐτοῦ. τοιοῦτον καὶ τὸ λέγειν τὸν πηλὸν εἶναι γῆν ὑγρῷ πεφυρμένην. p. 126a30 Ὁρᾶν δὲ καὶ εἴ τι τῶν ψεκτῶν ἢ φευκτῶν εἰς δύναμιν ἢ τὸ δυνατὸν ἔθηκε ν . Ἐπειδὴ δοκεῖ πᾶσα δύναμις ἡ κατὰ τὸ πεφυκέναι λεγομένη ἀγαθὸν εἶναι, τόπον τινὰ καὶ ἀπὸ τούτου πρὸς τὴν τῶν γενῶν ἀνασκευὴν χρήσιμον παραδίδωσιν. εἰ γάρ τις τῶν ψεκτῶν τινος καὶ φευκτῶν γένος δύναμιν ἀποδοίη, ἀνασκευάσομεν αὐτό· οὐ γὰρ οἷόν τε κακοῦ γένος ἀγαθὸν εἶναι· οἷον ἄν τις τὸν κλέπτην ἢ σοφιστὴν ἢ διάβολον ὁριζόμενος λέγῃ τὸν μὲν διάβολον τὸν δυνάμενον διαβάλλειν καὶ ἐχθροὺς ποιεῖν τοὺς φίλους, τὸν δὲ κλέπτην τὸν δυνάμενον λάθρᾳ τὰ ἀλλότρια ὑφαιρεῖσθαι, τὸν δὲ σοφιστὴν τὸν δυνάμενον ἀπὸ φαινομένης σοφίας χρηματίζεσθαι. οὐδεὶς γὰρ τούτων τοιοῦτός ἐστι τῷ δύνασθαι ἀλλὰ τῷ προαιρεῖσθαι τοιαῦτα· πᾶς γὰρ φαῦλος κατὰ τὴν προαίρεσιν τοιοῦτος· δύναμιν μὲν γὰρ καὶ οἱ ἀγαθοὶ ἔχουσι τοῦ τὰ φαῦλα δρᾶ ν , ἀλλ’ οὐ δρῶσιν αὐτὰ τῷ μὴ προαιρεῖσθαι. κοινότερον δὲ εἶπε καὶ τοὺς θεοὺς τὰ κακὰ δύνασθαι.

in Top.349 [ ὥστε οὐδενὸς ψεκτοῦ εἴη ἂν γένος ἡ δύναμι ς. ] Ἔτι πᾶσα μὲν δύναμις ἀγαθόν· καὶ γὰρ ἡ τῶν κακῶν δύναμις ἀγαθόν, οὐ μόνον καθ’ ὃ ἡ αὐτὴ καὶ τῶν ἀγαθῶν ἐστι (τῶν γὰρ ἀντικειμένων ἡ αὐτὴ δύναμις), ἀλλὰ καὶ ὅτι ἀγαθός ἐστιν ὁ δυνάμενος τὰ κακὰ μὴ προαιρούμενος δέ· τὸ γὰρ μὴ δύνασθαι τὰ κακὰ καὶ τῶν ἀψύχων. ἀλλὰ μὴν οὐδὲν ἀγαθὸν κακοῦ γένος. ἂν γὰρ αὐτὸ κατὰ τοῦ κακοῦ κατηγορῆται, καὶ ἔστιν ἐν αὐτῷ· οὐχ οἷόν τε 〈δὲ〉 τοῦτο ἀγαθὸν εἶναι· ὥστε οὐδὲ τὸ ὅλον· καὶ γὰρ εἰ τὸ μὲν εἶδος ψεκτόν, καὶ τὸ γένος ψεκτὸν ἔσται, καὶ ἀγαθόν, εἰ ἐκεῖνο ἀγαθόν. εἰπὼν δὲ οἷον τὸν σοφιστὴν ἢ διάβολον ἢ κλέπτην μόνον τοῦ κλέπτου παράδειγμα ἐπήνεγκε, συνάψας τοῖς προειρημένοις τὸ τὸν δυνάμενον λάθρᾳ τὰ ἀλλότρια κλέπτειν · διὸ καὶ ἀσαφεστέρα ἡ λέξις εἶναι δοκεῖ. ἔνεστι δὲ ἀπὸ τοῦ κλέπτου καὶ ἐπὶ τοὺς ἄλλους κατ’ οἰκειότητα τὴν δύναμιν μεταφέρειν. p. 126b4 Καὶ εἴ τι τῶν δ ι ’ αὑτὸ τιμίων ἢ αἱρετῶν εἰς δύναμιν ἢ τὸ δυνατὸν ἢ τὸ ποιητικὸν ἔθηκε ν . Οὐ μόνον τὰ ψεκτὰ οὐ δεῖ ἐν γένει τῇ δυνάμει τιθέναι, ἀλλ’ οὐδὲ τὰ δι’ αὑτὰ [ἂν] αἱρετά τε καὶ τίμια· ἡ γὰρ δύναμις ὀργανικὸν ἀγαθόν, πᾶν δὲ τὸ τοιοῦτον δι’ ἄλλο αἱρετόν. πᾶν γὰρ τὸ ὀργανικὸν ἢ τὸ ποιητικὸν ἀγαθὸν δι’ ἄλλο αἱρετόν· διὰ γὰρ τὸ γινόμενον ὑπ’ αὐτοῦ. διὸ τῶν δι’ αὑτὰ αἱρετῶν τε καὶ τιμίων οὐκ ἂν εἴη γένος τὸ τοιοῦτον· πᾶσα γὰρ δύναμις καὶ πᾶν τὸ δυνατὸν ἢ τὸ ποιητικὸν δ ι ’ ἄλλο αἱρετό ν . διὰ τούτου ἔδειξεν ὅτι τῶν δι’ αὑτὰ αἱρετῶν μή ἐστι δύναμις γένος, διότι πᾶσα δύναμις δι’ ἄλλο αἱρετή. οὐ πάντως μὲν γὰρ τῶν δι’ αὑτὰ αἱρετῶν καὶ τὰ γένη δι’ αὑτὰ αἱρετά· τῆς γοῦν ἀρετῆς δι’ αὑτὴν αἱρετῆς οὔσης ἡ ἕξις γένος οὖσα οὐκ ἔστιν ἁπλῶς δι’ αὑτὴν αἱρετή, εἴ γε καὶ ἡ κακία ἕξις· ἀλλ’ ἔστι καὶ δι’ αὑτὴν αἱρετή· ὅσον γὰρ ἐν τῇ ἀρετῇ τῆς ἕξεώς ἐστι, τοιοῦτόν ἐστιν. ἐν δὲ τῇ δυνάμει οὐδέν ἐστι δι’ αὑτὸ αἱρετόν, εἴ γε πᾶσα δύναμις δι’ ἄλλο αἱρετή.

in Top.350 ὁ συλλογισμὸς τοιοῦτος· πᾶσα δύναμις δι’ ἄλλο αἱρετή, οὐδὲν τῶν δ ι ’ αὑτὸ αἱρετῶν δι’ ἄλλο αἱρετόν, οὐκ ἄρα τῶν δι’ αὑτὸ αἱρετῶν ἡ δύναμις. σαφῶς δὲ ἐδήλωσε πῶς ἐστιν ἀγαθὰ τὰ ὡς δυνάμεις· ὡς γὰρ ὄργανα καὶ δι’ ἄλλα. ἂν δή τις λέγῃ τὴν φρόνησιν δύναμιν ποιητικὴν τοῦ

ὠφελίμου, οὗτος τὸ δι' αὑτὸ αἱρετὸν ἐν γένει τῷ δι' ἄλλο αἱρετῷ θήσεται. p. 126b7 Ἢ εἴ τι τῶν ἐν δυσὶ γένεσιν ἢ πλείοσιν εἰς θάτερον ἔθηκε ν . Εἴ τινα ἐν δύο γένεσιν ὄντα ἅμα θείη τις ἐν τῷ ἑτέρῳ μόνῳ, οὐδὲ οὕτως ἂν καλῶς εἴη τὸ γένος ἀποδιδούς. ἔστι δέ τινα τὰ ἐν δύο γένεσιν ἅμα, ὡς ὁ φέναξ καὶ ὁ διάβολος· ἑκάτερος γὰρ τούτων καὶ [ἐν] τῷ προαιρεῖσθαι τὰ τοιαῦτα καὶ [ἐν] τῷ δύνασθαι τοιοῦτος· οὔτε γὰρ ὁ μόνον προαίρεσιν ἀπατῶντος ἢ διαβάλλοντος ἔχων φέναξ καὶ διάβολος οὔθ' ὁ μόνον δύναμιν ἔχων ἑκατέρου τούτων. ἂν δή τις ἢ ἐν δυνάμει τῶνδέ τινων ἢ ἐν προαιρέσει τιθῇ τούτων ἑκάτερον, οὐκ ἀποδώσει οὐδετέρου τὸ γένος· οὔτε γὰρ ὁ ἐν προαιρέσει μόνῃ τούτων ὢν ἤδη τοιοῦτος, οὔτε εἰ ἐν δυνάμει τις μόνῃ τούτων τιθείη τοὺς τοιούτους, ὑγιὲς διὰ τὸν προειρημένον τόπον. ταὐτὸν καὶ ἐπὶ τοῦ κλέπτου καὶ ἐπὶ τῶν προειρημένων λέγοιτ' ἄν. ζητῆσαι δ' ἄν τις εἰ οἷόν τε ἐν δύο τισὶ γένεσιν εἶναι μὴ ὑπαλλήλοις οὖσιν ἢ μὴ ὑπὸ ταὐτόν τε καὶ ἓν γένος ἀμφοτέρων ὄντων τῶν γενῶν. οὐ δοκεῖ δὲ οὔτε ὑπάλληλα εἶναι ἥ τε προαίρεσις καὶ ἡ δύναμις οὔτε ὑφ' ἕν τι, εἰ μή τις ἄμφω ὑπὸ τὴν ποιότητα εἶναι λέγοι. ἢ κοινόν τι γένος ἐξ ἀμφοτέρων συγκείμενον ἀνώνυμον· πολλὰ δὲ γένη ἑνὶ ὀνόματι ἀνώνυμα. p. 126b13 Ἔτι ἐνίοτε ἀνάπαλιν τὸ μὲν γένος ὡς διαφορὰν ἀποδιδόασι ν . Ὅτι μὲν οὐ δεῖ τὸ εἶδος ἐν γένει τῇ διαφορᾷ τιθέναι, φθάνει διὰ τῶν πρώτων δεδεῖχθαι· τὸ μὲν γὰρ γένος ἐν τῷ τί ἐστιν, "οὐδεμία δὲ διαφορὰ σημαίνει τί ἐστιν", ὡς εἶπεν, "ἀλλὰ μᾶλλον ποιόν τι".

in Top.351 νῦν δὲ οὐχ ἁπλῶς λέγει περὶ τῶν ὡς ἐν γένει τῇ διαφορᾷ τιθέντων ἀλλὰ καὶ τὸ γένος ὡς διαφορὰν τοῦ προκειμένου λαμβανόντων· ἐὰν γὰρ ὁριζόμενός τις τὸ μὲν γένος ὡς διαφορὰν αὐτοῦ ἀποδιδῷ τὴν δὲ διαφορὰν ὡς γένο ς , δῆλον ὡς ἁμαρτάνει, καὶ δῆλον ὅτι ἀναιρήσομεν τὸ τοιοῦτον ὡς οὐκ ὂν γένος χρώμενοι τῷ τόπῳ τούτῳ. ποιοῦσι δὲ τοῦτο οἱ τὴν ἔκπληξιν ὁριζόμενοι ὑπερβολὴν θαυμασιότητο ς . ὁ γὰρ οὕτως ὁριζόμενος γένος μὲν τὴν ὑπερβολὴν λαμβάνει τῆς ἐκπλήξεως, οὐκ ὀρθῶς· οὐ γάρ ἐστι γένος τῆς ἐκπλήξεως ἡ ὑπερβολὴ ἀλλ' ἡ θαυμασιότης, ἡ δὲ ὑπερβολὴ διαφορά· τῶν γὰρ θαυμαζόντων οἱ μὲν καθ' ὑπερβολὴν θαυμάζουσιν, ὡς οἱ ἐκπεπληγμένοι, οἱ δὲ μετρίως· τὸ δὲ θαυμάζειν καθ' ὑπερβολήν ἐστι τὸ ἐκπλήττεσθαι. οὐ γένος οὖν τὸ ἀποδοθέν. ὅμοιον ἁμάρτημα καὶ τὸ τὴν πίστιν ἀποδοῦναι σφοδρότητα ὑπολήψεως · καὶ γὰρ ἐνταῦθα ὁ οὕτως ὁριζόμενος γένος μὲν λαμβάνει τὴν σφοδρότητα διαφορὰν δὲ τὴν ὑπόληψιν· ἔχει δὲ ἔμπαλιν· τῆς γὰρ ὑπολήψεως γένους οὔσης ἡ σφοδρότης ἐστὶ διαφορά· τῶν γὰρ ὑπολήψεων αἱ μέν εἰσι σφοδραὶ αἱ δὲ μέτριοι· αὗται γὰρ ὑπολήψεως διαφοραί· καὶ ἔστιν ἡ πίστις ὑπόληψις σφοδρ ά . ὅτι δὲ μὴ γένη μήτε ἡ ὑπερβολὴ μήτε ἡ σφοδρότης τῶν εἰρημένων, δείκνυσι καὶ οὕτως· ἐπεὶ ἡ ὑπερβολὴ καὶ ἡ σφοδρότης ἐν ἐκείνοις εἰσὶν ὧν εἰσι (πᾶσα γὰρ σφοδρότης ἐν ἐκείνῳ οὗ ἐστι σφοδρότη ς , οἷον ἡ τοῦ πνεύματος ἐν τῷ πνεύματι καὶ ἡ τοῦ βέλους ἐν τῷ βέλει· ὁμοίως καὶ ἡ ὑπερβολή· ἡ γὰρ τοῦ λευκοῦ ὑπερβολὴ ἐν τῷ λευκῷ καὶ ἡ τοῦ γλυκέος ἐν τῷ γλυκεῖ· ἡ γάρ τινος σφοδρότης ἐν ἐκείνῳ ἐστὶν οὗ ἐστι σφοδρότης, καὶ ἥ τινος ὑπερβολὴ ὁμοίως ἐν ἐκείνῳ οὗ ἐστιν ὑπερβολή· ἐν γὰρ τῷ ὑπερβάλλοντι ἡ ὑπερβολή· ὁμοίως δὲ καὶ ἡ σφοδρότης ἐν ἐκείνῳ· ὥστε ἡ ὑπερβολὴ τῆς θαυμασιότητος ἐν τῇ θαυμοσιότητι ἔσται· ὁμοίως καὶ ἡ σφοδρότης τῆς ὑπολήψεως ἐν τῇ ὑπολήψει ἔσται), ἐπεὶ οὖν ἐστιν ἡ μὲν ἔκπληξις ὑπερβολή (γένος γὰρ αὐτῆς τοῦτο) ἡ δὲ πίστις σφοδρότης, ἔσται καὶ ἡ μὲν ἔκπληξις ἐν τῇ θαυμασιότητι, ἡ δὲ πίστις ἐν τῇ ὑπολήψει. εἰ δὲ τοῦτο, ἐν ᾧ δέ ἐστιν 〈ἡ〉 θαυμασιότης, τοῦτο θαυμάζει, καὶ ἐν ᾧ ἡ πίστις, τοῦτο πιστεύει, ἐκπλαγήσεται ἡ θαυμασιότης καὶ πιστεύσει ἡ πίστις ἄψυχα ὄντα· ποιότητες γὰρ [καὶ] ταῦτα τῆς ψυχῆς.

in Top.352 τοῦτο δὲ ἀδύνατον· οὔτ' ἄρα ἡ ὑπερβολὴ γένος τῆς ἐκπλήξεως οὔτε ἡ σφοδρότης τῆς πίστεως. Ἔτ ι , φησί, τῷ οὕτως ἀποδιδόντι συμβήσεται σφοδρότητα σφοδρὰν λέγειν καὶ ὑπερβολὴν ὑπερβάλλουσα ν , τοῦτ' ἔστι σφοδρότητα σφοδρότητος καὶ ὑπερβολὴν ὑπερβολῆς. ὃ δείκνυσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτως· ἐπεὶ ἔστι τις πίστις σφοδρά (διαφορὰ γὰρ πίστεως, καὶ εἰσὶν αὐτῶν αἱ μὲν σφοδραὶ αἱ δὲ οὐ σφοδραί), ἔστι δὲ καὶ καθόλου ἡ πίστις σφοδρότη ς , εἰ γένος αὐτῆς ἡ σφοδρότης, ἔσται [ἡ σφοδρότης] τις σφοδρὰ σφοδρότης. ὁμοίως καὶ ἐπεὶ ἔκπληξίς τίς ἐστιν ὑπερβάλλουσα (εἰσὶ γὰρ τοιαῦταί τινες ἐκπλήξεις), καθόλου δὲ ἡ ἔκπληξις ***** , ἔσται ὑπερβολὴ ὑπερβάλλουσα. οὐ δοκεῖ δὲ οὐδέτερον τούτων οἷόν τε εἶναι, ὥσπερ οὐδὲ ἡ ἐπιστήμη αὐτὴ ἐπιστῆμον οὐδὲ ἡ κίνησις κινούμενον · οὔτε γὰρ κινήσεως κίνησις, ἀλλὰ κινουμένου, οὔτε ἡ ἐπιστήμη ἐπιστητόν ἐστιν οὐδὲ ἐπιστάμενον, ἀλλὰ τοῦ ἐπιστήμονος ἐπιστήμη, οὔτε ἡ ὑπερβολὴ ὑπερβολῆς, ἀλλὰ τοῦ ὑπερβάλλοντος· ὁμοίως οὐδὲ ἡ σφοδρότης σφοδρότητος. πάντα γὰρ τὰ τοιαῦτα ἄλλων ἐστὶ καὶ ἐν ἄλλοις, καὶ οὐδέν ἐστιν αὐτῶν αὐτὸ ἐφ' ἑαυτοῦ· οὐδὲν δὲ δοκεῖ τῶν ἔν τισιν ὄντων [ὃ] ἐκεῖνα αὐτὸ ἑαυτῷ ἐπιφέρειν. οἷον ἡ ἐπιστήμη τῷ μὲν ἔχοντι αὐτὴν ἐπιφέρει τὸ εἶναι ἐπιστήμονα, αὐτὴ δὲ ἑαυτῇ οὔ· οὐ γάρ ἐστιν ἐπιστήμων ἡ ἐπιστήμη· ὁμοίως δὲ καὶ ἡ κίνησις παρέχει τὸ ἔχον αὐτὴν κινούμενον, αὐτὴ δὲ οὐ κινεῖται. οὕτω καὶ ἡ ὑπερβολὴ τῷ μὲν ἔχοντι αὐτὴν ἐπιφέρει τὸ εἶναι ὑπερβάλλοντι, αὐτὴ δὲ οὐκ ἔστιν οὔτε ὑπερβάλλουσα οὔτε ὑπερβάλλον· ὁ αὐτὸς καὶ ἐπὶ σφοδρότητος λόγος. καὶ γὰρ ἂν ἑαυτοῖς ἐπιφέρῃ ταῦτα ἃ ἐπιφέρει τούτοις ἐν οἷς ἐστιν, εἰς ἄπειρον προελεύσεται, ὡς ἐν Φυσικῇ ἀκροάσει δέδεικται. εἰ γὰρ τῆς σφοδρότητος σφοδρότης ἐστί, κἀκείνης πάλιν τῆς σφοδρότητος ἔσται σφοδρότης, καὶ τοῦτ' εἰς ἄπειρον· ὁμοίως καὶ εἰ τῆς ὑπερβολῆς ὑπερβολή, ἔσται καὶ τῆς ὑπερβολῆς 〈ἐκείνης πάλιν ἄλλη〉 ὑπερβολή, καὶ τοῦτο εἰς ἄπειρον.

in Top.353 p. 126b34 Ἐνίοτε δὲ διαμαρτάνουσι καὶ τὸ πάθος εἰς γένος τὸ πεπονθὸς τιθέντε ς . Ἁμαρτάνειν φησί τινας καὶ ἐν τῷ τὸ πάθος τινὸς ὡς εἶδος αὐτοῦ λαμβάνειν καὶ κατηγορεῖν αὐτοῦ ὡς γένος τὸ πεπονθὸς αὐτό, ὡς εἰ τοῦ χρώματος γένος τὸ σῶμα λέγοι τις· πάθος γὰρ σώματος τὸ χρῶμα· διὸ οὐδενὸς αὐτοῦ τὸ σῶμα. διὰ τοῦτο οὐδὲ τῆς ἐπιστήμης καὶ τῆς ὑπολήψεως ἢ τῆς ἐπιθυμίας ἢ τῆς λύπης ἢ τῆς ὀργῆς γένος ἡ ψυχή. τοῦτο δὲ ποιεῖν φησι τοὺς τὴν ἀθανασίαν ὁριζομένους ζωὴν ἀίδιον · τῆς γὰρ ἀθανασίας γένος ἀποδιδόασι τὴν ζωήν· ἔστι δὲ πάθος ἢ σύμπτωμά τι ἡ ἀθανασία τῆς ζωῆς. ὅτι δὲ πάθος τι καὶ σύμπτωμα ζωῆς ἡ ἀθανασία, ἔδειξεν ἐπὶ ὑποθέσει τῇ ἐκ θνητοῦ ἀθάνατον γίνεσθα ι . οὐ γὰρ μεταλήψει ἄλλης ζωῆς ἀθάνατον ἔσται τὸ τέως θνητὸν ἀλλ' ὡς συμπτώματί τινι καὶ πάθει· ἡ γὰρ αὐτὴ ζωὴ παθοῦσα ἀθανασία ἔσται. εἰ δὲ παθοῦσα ἡ ζωὴ ἀθανασία γίνεται, εἴη ἂν πάθος τῆς ζωῆς ἡ ἀθανασία. εἰ οὖν τοῦ πάθους τοῦ ἰδίου τὸ πεπονθὸς οὐκ ἔστι γένος (σύμπτωμα γάρ τι καὶ συμβεβηκὸς τὸ πάθος τοῦ πεπονθότος ἀλλ' οὐκ εἶδος), οὐδὲ ἂν τῆς ἀθανασίας γένος εἴη ἡ ζωή· οὐδὲ γὰρ γλυκύτητος τὸ σῶμα γένος οὐδὲ ἡδονῆς ἢ λύπης ἡ ψυχή. ἀλλὰ καὶ εἰ μὴ συγχωροίη τις πάθος ζωῆς εἶναι τὴν ἀθανασίαν, ὁ μὲν εἰρημένος τόπος ὑγιής, τὸ παράδειγμα δ' ἂν τὴν αἰτίαν ἔχοι. καὶ εἰ μὴ πάθος δὲ ἡ ἀθανασία τῆς ζωῆς, διαφορὰ ἂν αὐτῆς εἴη· εἴδη μὲν γὰρ ζῴου λογικοῦ ἄνθρωπος καὶ θεός, διαφορὰ δὲ αὐτοῖς κατὰ τὸ θνητὸν καὶ ἀθάνατον. ἀλλ' εἰ ἀθανασία διαφορὰ ζωῆς, οὐδ' οὕτως αὐτῆς γένος ἡ ζωή· προείρηται γὰρ ἁμαρτάνειν καὶ τοὺς τὴν διαφορὰν ἐν εἴδει τιθέντας. σημεῖον δὲ ποιεῖται τοῦ πάθος ἀλλὰ μὴ εἶδος εἶναι τὸ τεθὲν ἐν τῷ γένει τὸ μένον τὸ αὐτὸ κατὰ τὸ ὑποκείμενον καὶ τὸν ἀριθμὸν τὸ ἀποδοθὲν γένος πάθος τι προσλαβὸν ἢ κατὰ πάθος μεταβάλλον γίνεσθαι τοιοῦτον, ὃ οὐχ οἷόν τε ἐπὶ τῶν γενῶν γίνεσθαι· οὐ γάρ, ἂν ὑπόθηταί τις τὸν ἄνθρωπον εἰς ἵππον μεταβάλλειν, τὸ αὐτὸ 〈τὸ〉 ζῷον τὸ ἐν τῷ ἀνθρώπῳ μεῖναν κατ' ἀριθμὸν ἵππος ἂν γένοιτο κατά τι πάθος μεταβάλλον.

in Top.354 p. 127a3 Πάλιν εἰ τὸ πάθος ἐκεῖν ο , οὗ ἔστι πάθο ς , πάσχον φασὶν εἶνα ι . Τὸ λεγόμενόν ἐστιν· ἁμαρτάνειν φησὶν ὁμοίως τοῖς εἰρημένοις καὶ τοὺς τὸ πάθος λέγοντας εἶναι ἐκεῖν ο , οὗ ἔστι πάθο ς , πάσχον · οἱ γὰρ τοῦτο ποιοῦντες πάλιν γένος τὸ πεπονθὸς τοῦ πάθους λέγουσι. καὶ δόξαι ἂν μὴ εἶναι οὗτος ὁ τόπος ἄλλος τοῦ πρὸ αὐτοῦ, τῷ τρόπῳ μόνῳ τῆς λήψεως τοῦ πρὸ αὐτοῦ διαφέρων. ἐπὶ μὲν γὰρ τοῦ προειρημένου ἁπλῶς ἦν γένος τὸ πεπονθὸς τοῦ πάθους,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνταῦθα δὲ πρόσκειται καὶ ὁ τρόπος τῆς λήψεως· οἱ γὰρ τὸ πάθος, οὗ ἐστι πάθος, ἐκεῖνο πεπονθὸς λέγοντες εἶναι καὶ οὕτως ὁριζόμενοι τοῦ πάθους τὸ πεπονθὸς λέγουσιν εἶναι γένος. εἰ γὰρ τὸ πνεῦμα πάθος ἐστὶ τοῦ ἀέρος, ὡς δοκεῖ γε αὐτῷ καὶ προελθὼν ἐρεῖ (λέγει δὲ τὸ πνεῦμα τὸν ἄνεμον), 〈ὁ〉 ὁριζόμενος 〈ἀέρα κινούμενον〉 τὸ πνεῦμα, οὗ ἐστι πάθος (ἔστι δὲ ἀέρος), τοῦτό φησι πάσχον εἶναι· τὸ γὰρ κινεῖσθαι πάσχειν· οὕτω δὲ τοῦ πάθους γίνεται γένος ἀποδιδοὺς τὸ πεπονθός. ὅτι δὲ πάθος τὸ πνεῦμα τοῦ ἀέρος, δείκνυσι διὰ τοῦ διαμένειν τὸν αὐτὸν κατ' ἀριθμὸν ἀέρα καὶ σώζεσθαι, ὅταν τε κινῆται καὶ ὅταν μ ή , ὥσπερ καὶ πρὸ ὀλίγου δεικνὺς ὅτι καὶ ἡ ἀθανασία τῆς ζωῆς πάθος ἐστὶν εἶπεν. ἢ οὐχ οἱ αὐτοὶ τόποι, οὐδὲ κατὰ τὴν λέξιν αὐτοῖς ἡ διαφορὰ μόνην, ὡς δοκεῖ, ἀλλ' ἔστιν ὁ μὲν πρῶτος ὡς διαμαρτανόντων τῶν οὕτως ὁριζομένων καὶ δι' ἄγνοιαν τὸ πάθος ἐν τῷ πεπονθότι τιθέντων· διὸ καὶ αὐτὸς οὕτως εἶπεν "ἐνίοτε δὲ διαμαρτάνουσι καὶ ὅσοι τὸ πάθος εἰς γένος τὸ πεπονθὸς τιθέασι"· διὸ καὶ ἠρκέσθη ἐπ' ἐκείνου τοῦ τόπου τῷ δεῖξαι ὅτι ἡ ἀθανασία πάθος τῆς ζωῆς, δείξας ὃ ἠγνόησαν.

in Top.355 ἐν δὲ τῷ δευτέρῳ ἔλαβεν ὡς εἰδότας ὅτι τὸ πάθος ἐν γένει τῷ πεπονθότι τίθενται τοὺς λέγοντας τὸ πνεῦμα ἀέρα κινούμενον · διὸ καὶ ἤλεγξε τούτους οὐ τῷ δεῖξαι τὸ πνεῦμα πάθος ὂν τοῦ ἀέρος, ἀλλὰ τῷ δεῖξαι μὴ οἷόν τε ὂν τὸ πεπονθὸς γένος εἶναι τοῦ ἰδίου πάθους τῷ τὸ αὐτὸ κατ' ἀριθμὸν διαμένειν τὸ ὑποκείμενον τῷ πάθει καὶ μηκέτι ὄντος τοῦ πάθους· ὁ γὰρ ἀὴρ ὁ αὐτὸς κατ' ἀριθμὸν μένει καίτοι τοῦ ἐν αὐτῷ πνεύματος γενομένου φθαρέντος· οὐ γὰρ συμφθείρεται τὸ πεπονθὸς τῷ πάθει. εἰπὼν δὲ ὥστε οὐκ ἔστιν ὅλως ἀὴρ τὸ πνεῦμ α , ὡς αἰτίαν ἀποδιδοὺς ἐπήνεγκεν ἦν γὰρ ἂν καὶ μὴ κινουμένου τοῦ ἀέρος πνεῦμ α , εἴπερ ὁ αὐτὸς ἀὴρ διαμένει ὅσπερ ἦν πνεῦμ α . θείη δ' ἂν τὸ τοιοῦτον, ἐπεὶ τὰ γένη οὔτε καθ' αὑτά ἐστιν ὑφεστῶτά που οὔτε ἐστὶ ψιλὰ χωρὶς ὑπάρξεως νοήματα, ὡς ἱπποκένταυρος, ἀλλ' ἔστιν ἡ ὑπόστασις αὐτῶν ἐν τούτοις ὧν κατηγορεῖται, καὶ ἀναιρουμένοις τοῖς ἐν οἷς ἐστι καὶ φθειρομένοις ἀνάγκη συμφθείρεσθαι καὶ τὸ ἐν ἐκείνοις ὂν τοῦ γένους. ἡ γὰρ οὐσία ἔμψυχος αἰσθητικὴ ἡ ἐν Ἀλεξάνδρῳ φθείρεται φθειρομένου Ἀλεξάνδρου σήμερον· εἰ δὲ τοῦτο, ἐὰν πάντα τὰ ὑπὸ τὸ γένος φθαρῇ, οὐδὲ τὸ γένος τί ἐστιν. ἁπλῶς μὲν οὖν συμφθείρεται τοῦτο, ᾧ συμβέβηκεν εἶναι γένει, πάντων τῶν ὑπ' αὐτὸ φθαρέντων· ὡς δὲ γένος φθείρεται, εἰ ἕν τι μόνον ἢ κατ' ἀριθμὸν ἢ κατὰ εἶδος τῶν ὑπ' αὐτὸ σώζοιτο. τὸ γὰρ ζῷον γένος ἐστίν, οὐχ ὅτι ἐστὶν οὐσία ἔμψυχος αἰσθητική, ἀλλ' ὅτι ἡ τοιαύτη φύσις ἐν πλείοσίν ἐστι κατ' εἶδος ἀλλήλων διαφέρουσιν· ὧν ἀναιρουμένων ἑνὸς δὲ μόνου σωζομένου οὐκέτ' ἂν εἴη γένος ἡ οὐσία ἔμψυχος αἰσθητική, τοῦτ' ἔστι τὸ ζῷον. τούτου οὖν τοίνυν οὕτως ἔχοντος, ἔστ' ἂν τὸ ἀποδεδομένον γένος μὴ κατ' οὐσίαν μόνον σώζηται ἀλλὰ καὶ κατὰ τὸ τοσούτων κατηγορεῖσθαι, τοῦτ' ἔστιν ἐν τοσούτοις εἶναι, δεῖ κἀκεῖνα σώζεσθαι πάντα ἐν οἷς ἐστι. κἂν γὰρ σώζηται ἡ οὐσία ἔμψυχος αἰσθητικὴ ἡ ἐν τῷ λογικῷ, δεῖ καὶ τὸ λογικὸν ζῷον εἶναι· ἀναιρεθέντος γὰρ τοῦ λογικοῦ ζῴου ἀνάγκη καὶ τὸ ἐν τούτῳ ζῷον ἐφθάρθαι· ὁμοίως κἂν τὸ ἐν Ἀλεξάνδρῳ σώζηται, δεῖ καὶ Ἀλέξανδρον εἶναι.

in Top.356 τούτου τοίνυν οὕτως ἔχοντος, ἂν τὸ ἀποδεδομένον γένος τινὸς φθαρέντος τούτου, οὗ ἀπεδόθη γένος εἶναι, ἴσον μένῃ κατ' ἀριθμὸν καὶ μηδὲν αὐτοῦ συναναιρῆται φθειρομένῳ τῷ εἴδει, οὐκ ἂν εἴη γένος οὗ ἀπεδόθη, ἀλλ', ὡς λέγει, σύμπτωμά τι καὶ πάθος. εἰ οὖν ὁ ἀὴρ ἴσος μένει οὐ κατ' οὐσίαν μόνον ἀλλὰ καὶ κατ' ἀριθμὸν καὶ κατὰ μέγεθος καὶ μηκέτι κινούμενος. τοῦτ' ἔστι μὴ ὄντος τοῦ πνεύματος, οὐκ ἂν εἴη γένος τοῦ πνεύματος· φθειρομένῳ γὰρ ἂν τῷ πνεύματι συνεφθείρετο καὶ ὁ ἐν αὐτῷ ἀήρ, ὥσπερ καὶ τῷ ἀνθρώπῳ τὸ ἐν αὐτῷ ζῷον. εἰ δὲ φθειρομένῳ τῷ ἐν ᾧ τὸ γένος συμφθείρεται καὶ τὸ ἐν αὐτῷ τοῦ γένους ὄν, δῆλον ὅτι καὶ μένοντος τοῦ ἐν αὐτῷ γένους μένοι ἂν καὶ αὐτό· καὶ τοῦ ἀέρος δὴ τοῦ αὐτοῦ κατ' ἀριθμὸν μένοντος τοῦ ὄντος ἐν τῷ πνεύματι μένοι ἂν καὶ τὸ πνεῦμα. οὕτω δὲ καὶ μὴ κινουμένου τοῦ ἀέρος τὸ πνεῦμα σώζοιτ' ἄν. οὐκέτι μέντοι καὶ ἡ ἐν τῷ πνεύματι κίνησις σώζεται φθαρέντος τοῦ πνεύματος· διὸ

εὐλογώτερον τὸ πνεῦμα ἐν γένει τῇ κινήσει τιθέναι ἢ ἐν τῷ ἀέρι. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ κύματός τε καὶ ὕδατος· καὶ γὰρ ἐπ' ἐκείνων τὸ ἐν τῷ κύματι ὂν ὕδωρ σώζεται φθαρέντος τοῦ κύματος· ὥστε οὐ τοῦ κύματος τὸ ὕδωρ γένος. διὰ τοῦτο οὐδὲ τῆς φωνῆς ὁ ἀὴρ κατὰ τὸ ὑποκείμενον, ὅτι μένει καὶ φθαρείσης τῆς φωνῆς. Εἰπὼν δὲ καὶ δείξας διὰ βραχέων τοῦτο (οὐ γὰρ ἦν κατὰ καιρὸν ἡ περὶ τούτων ἀκριβολογία) προστίθησι καὶ ἄλλην τινὰ ἐπιχείρησιν συντείνουσαν εἰς τὸ αὐτό. εἰ γὰρ καὶ ἐπὶ τοῦ πνεύματος δεῖ συγχωρεῖν ὅτι ἐστὶν ἀὴρ κινούμενος καὶ οὐ μᾶλλον κίνησις ἀέρος, ἐπεὶ ἐν τῇ συνηθείᾳ καθομολογεῖται τὸ πνεῦμα ἀέρα εἶναι καὶ δοκεῖ κατὰ τοῦ πνεύματος ὁ ἀὴρ κατηγορούμενος ἀληθεύεσθαι (γένος μὲν γὰρ οὐκ ἂν εἴη ὁ ἀὴρ τοῦ πνεύματος διὰ τὰ εἰρημένα, οὐδὲν μέντοι κωλύσει κατηγορεῖν αὐτοῦ τὸν ἀέρα), ἀλλ' οὐκ ἐπὶ πάντων τῶν οὕτως ἀποδεδομένων γενῶν τὸ τοιοῦτον συγχωρητέον τοῖς τὸ πάθος ἐν γένει τῷ πεπονθότι τιθεῖσιν, ἀλλ' ἐπὶ τούτων μόνων ἐφ' ὅσων δύναται τὸ ἀποδοθὲν γένος ἁπλῶς καὶ καθ' αὑτὸ λαμβανόμενον ἀληθεύεσθαι καὶ κατὰ τοῦ ἀποδοθέντος εἴδους χωρὶς τοῦ ὑποκειμένου πάθους αὐτῷ.

in Top.357 ἀεὶ γὰρ τὸ γένος κατὰ τοῦ εἴδους ἀληθεύεται ἅτε ἐν τῷ τί ἐστι κατηγορούμενον αὐτοῦ· ἂν δή τι μετὰ μὲν τῶν διαφορῶν λεγόμενον ὡς ὁρισμὸς ἀληθεύηται κατὰ τοῦ ἀποδοθέντος εἴδους, αὐτὸ δὲ τὸ ὡς γένος ἀποδοθὲν χωρὶς τῶν διαφορῶν λαμβανόμενον μηκέτι ἀληθεύηται κατ' αὐτοῦ, οὐκ ἂν οὐδὲ γένος αὐτοῦ εἴη. οὕτω δειχθήσεται ὅτι μηδὲ τῆς χιόνος γένος ἐστὶ τὸ ὕδωρ, ὡς οἱ λέγοντες τὴν χιόνα ὕδωρ εἶναι πεπηγὸς οἴονται, μηδὲ τοῦ πηλοῦ ἡ γῆ, ὡς οἱ φάσκοντες τὸν πηλὸν εἶναι γῆν ὑγρῷ φυραθεῖσαν· οὔτε γὰρ κατὰ τῆς χιόνος ἁπλῶς ἀληθῶς τὸ ὕδωρ κατηγορεῖται (οὐ γάρ ἐστιν ἡ χιὼν ὕδωρ) οὔτε τοῦ πηλοῦ ἡ γῆ· οὐδὲ γὰρ ὁ πηλὸς γῆ ὥσπερ ὁ ἵππος ζῷον. ἀναιροῖτο δ' ἂν καὶ τὸ ὑπὸ Ἐμπεδοκλέους περὶ τοῦ οἴνου λεγόμενον, ὅτι σαπὲν ἐν ξύλῳ ὕδωρ · οὐ γάρ ἐστιν ὁ οἶνος ὕδωρ, ἐν ᾧ ὡς γένει ἔθηκεν αὐτὸν ὁ οὕτως ἀποδούς. p. 127a20 Ἔτι εἰ ὅλως τὸ ἀποδοθὲν μηδενός ἐστι γένο ς , δῆλον ὡς οὐδὲ τοῦ λεχθέντο ς . Ἐπεὶ τό τινος γένος καὶ γένος ἐστίν, εἴ τι ἀποδοθέν τινος ὡς γένος μηδὲ ὅλως εἴη γένος, οὐδ' ἂν τούτου οὗ ἀπεδόθη γένος εἴη· τοιαῦτα δέ ἐστι τὰ ἄτομα εἴδη. πῶς δὲ οἷόν τε γνωρίζειν ὅτι μὴ οἷόν τε γένος τι εἶναι, αὐτὸς διδάσκει. εἰ γὰρ πάντα τὰ μετέχοντα τοῦ ὡς γένους ἀποδοθέντος καὶ τὸν ὁρισμὸν αὐτοῦ ἐπιδεχόμενα μηδὲν ἀλλήλων διαφέρει κατ' εἶδος, οὐχ οἷόν τε γένος τοῦτο εἶναι. οἷον τὰ τοῦ ζῴου μετέχοντα καὶ τὸν ὁρισμὸν ἐπιδεχόμενα αὐτοῦ εἴδει ἀλλήλων διαφέρει· διὸ τὸ ζῷον γένος· ὁμοίως τὰ τοῦ ὀρνέου, ἀλλὰ καὶ τὰ τοῦ χρώματος, καὶ ὅλως ἐπὶ πάντων τῶν γενῶν. τὰ δὲ τοῦ ἀνθρώπου μετέχοντα οὐδὲν κατὰ τὸ εἶδος ἀλλήλων διαφέρει, οὐδὲ τὰ τοῦ ὀρνέου, οὐδὲ τὰ τοῦ ἵππου, οὐδὲ τὰ τοῦ λευκοῦ· διὸ ταῦτα ἀδύνατον εἶναι γένη. ἂν δή τις γένος τινὸς τοιοῦτον ἀποδῷ, δῆλον ὡς ἀνασκευάσομεν αὐτὸ τῷ τόπῳ τούτῳ χρώμενοι. οὐ γάρ ἐστι λευκοῦ διαφορά, ὥς τινες λέγουσι, τὸ ἔμψυχον καὶ τὸ ἄψυχον, ἀλλὰ τῶν λελευκωμένων μόνων, χιόνος, ἂν οὕτω τύχῃ, καὶ κύκνου.

in Top.358 ταῖς γὰρ προειρημέναις διαφοραῖς καὶ τὸ μέλαν διαφέρειν δύναται, ὡς πίσσα καὶ κόραξ· ἀδύνατον δὲ τῶν ἐναντίων τὰς αὐτὰς εἶναι διαφοράς. οὐδ' εἴ τις τὸν ἄνθρωπον γένος λέγοι σπουδαίου καὶ φαύλου ἢ σιμοῦ καὶ γρυποῦ ἢ ἀνδρὸς καὶ γυναικός· πάντα γὰρ ταῦτα ἀδιάφορα κατ' εἶδος· τῶν γὰρ εἰρημένων οὐδὲν ἀνθρώπου καθ' ὃ ἄνθρωπός ἐστι διαφορὰν δηλοῖ ἀλλὰ συμβεβηκότα τινὰ καὶ συμπτώματα καὶ πάθη. δεῖ δὲ τοῦ λευκοῦ τοῦ μὴ ὁμωνύμως λεγομένου ἀλλὰ τοῦ ἐν χρώματι ἀκούειν. p. 127a26 Πάλιν εἰ τὸ πᾶσιν ἀκολουθοῦν ἢ γένος ἢ διαφορὰν εἶπε ν . Εἴ τις τὸ πᾶσιν ἀκολουθοῦν γένος τινὸς ἀποδοίη τῷ ἀκολουθεῖν αὐτῷ, οὐχ ὑγιῶς ἀποδίδωσιν· οὐ γάρ, εἰ τὸ γένος ἀκολουθεῖ τοῖς ὧν ἐστι γένος, τῷ μὲν ἀνθρώπῳ τὸ ζῷον τῷ δὲ λευκῷ τὸ χρῶμα καὶ τῇ γραμμῇ τὸ ποσόν, ἤδη καὶ τὸ ἀκολουθοῦν τισι γένος ἐστὶν αὐτῶν πάντως. ἂν δή τις τὸ πᾶσιν ἀκολουθοῦν γένος τινὸς ἢ διαφορὰν λέγῃ, οὐκ ὀρθῶς. ἐπεὶ γὰρ πλείω τὰ πᾶσιν ἀκολουθοῦντα, τὸ ἀποδοθὲν αὐτῶν ὡς γένος καὶ τῶν ἄλλων ἂν εἴη γένος τῶν

πᾶσιν ἑπομένων τῷ καὶ τούτοις ἕπεσθαι καὶ κατηγορεῖσθαι αὐτῶν ὁμοίως. οἷον ὁ τὸ ὂν γένος τῶν ὄντων τινὸς εἰπὼν τῷ ἕπεσθαι αὐτῷ λέγοι ἂν αὐτὸ γένος καὶ τοῦ ἑνός· καὶ γὰρ καὶ τοῦτο ὄν, καὶ κατηγορεῖται αὐτοῦ τὸ ὄν· ἀλλ' ἔστι καὶ αὐτὸ πάλιν τῶν πᾶσι παρακολουθούντων τοῖς οὖσι· κατ' ἴσων ἄρα ἔσται τὸ γένος καὶ τὸ εἶδος. τῷ δὲ κα τ ' οὐδενὸς γὰρ τὸ γένος ἀλ λ ' ἢ κατὰ τῶν εἰδῶν κατηγορεῖται προσθετέον τὸ 'συνωνύμως'. ἢ τὸ κα τ ' οὐδενὸς γὰρ τὸ γένος ἀλ λ ' ἢ κατὰ τῶν εἰδῶν κατηγορεῖται εἴρηκεν ὡς ἀκολουθοῦν τοῖς λέγουσι τό τισιν ἑπόμενον γένος αὐτῶν εἶναι τὸ ὧν κατηγορεῖται τὸ κείμενον γένος εἶναι, καὶ ὡς εἰδῶν αὐτῶν κατηγορεῖσθαι ἤδη. οὕτως καὶ τὸ ὂν τοῦ ἑνὸς εἴη ἂν ὡς εἴδους [αὐτοῦ] κατηγορούμενον. αὐτὸ δὲ κατηγορηθήσεται, ἂν ᾖ τις εἷς αὐτοῦ λόγος. προσθετέον δὲ ὅτι καὶ τὸ ἓν ἔσται τοῦ ὄντος γένος, ἂν πάλιν τοῦτο τῷ πᾶσιν ἕπεσθαι γένος τις πάντων ἀποδῷ· κατηγορούμενον γὰρ καὶ τούτου εἴη ἂν καὶ τούτου γένος· ὥστε τὸ αὐτὸ αὐτοῦ καὶ εἶδος καὶ γένος.

in Top.359 Εἰ δὲ τὸ πᾶσιν ἑπόμενον διαφοράν τις ἀπέδωκέ τινος γένους, οἷον τὸ ἓν ἢ τὸ ὂν εἰ διαφοράν τινος θείη τις, συμβήσεται τούτῳ πάλιν ἢ ἐπ' ἴσης τὸ γένος καὶ τὴν διαφορὰν λέγειν ἢ ἐπὶ πλέον τὴν διαφορὰν λέγειν· ἐπ' ἴσης μέν, εἰ καὶ τὸ γένος, οὗ τὴν τοιαύτην διαφορὰν ἀποδέδωκεν, εἴη τῶν πᾶσιν ἑπομένων· οἷον εἰ τὸ μὲν ὂν γένος τὸ δὲ ἓν διαφοράν τις λέγοι τοῦ ὄντος ὡς διαιρουμένου τοῦ ὄντος τῷ ἑνὶ καὶ τῷ πλήθει (καὶ γὰρ τὸ πλῆθος ὄν τι), ἐπ' ἴσης τὴν διαφορὰν ποιήσει· πάλιν εἰ τὸ γένος μὴ τῶν πᾶσιν ἑπομένων εἴη, ἔσται [γὰρ] αὐτοῦ ἐπὶ πλέον ἡ διαφορὰ οὖσά γε τῶν πᾶσι τοῖς οὖσιν ἑπομένων. οὕτω δειχθήσεται μηδὲ τὸ τὶ γένος ὂν τῶν πάντων· ἔσται γὰρ καὶ τοῦ ἑνὸς γένος ἢ ἐπ' ἴσης ὄντος αὐτῷ ἢ καὶ ἐπὶ πλέον, εἴ γε τὸ μὲν ἓν καὶ κατὰ τοῦ ἐννοήματος, τὸ δὲ τὶ κατὰ μόνων σωμάτων καὶ ἀσωμάτων, τὸ δὲ ἐννόημα μηδέτερον τούτων κατὰ τοὺς ταῦτα λέγοντας. οὕτως ἁμαρτάνοι ἂν ὁ τοῦ ὄντος διαφορὰν τὸ δοξαστὸν ἀποδούς· ἐπὶ πλέον γὰρ τοῦ ὄντος τὸ δοξαστόν, εἴ γε δοξαστὸν καὶ τὸ μὴ ὄν. p. 127b1 Ἔτι εἰ ἐν ὑποκειμένῳ τῷ εἴδει τὸ ἀποδοθὲν γένος λέγετα ι . Ὅτι τὰ γένη καθ' ὑποκειμένων λέγεται τῶν εἰδῶν, ἀλλ' οὐκ ἐν ὑποκειμένοις αὐτοῖς ἐστι, δῆλον. ἂν δή τις γένος τινὸς ἀποδῷ τὸ ἐν ὑποκειμένῳ ὂν αὐτῷ, δῆλον ὡς ἀνασκευάσομεν αὐτὸ προσχρώμενοι τῷ προειρημένῳ· δείξομεν δὲ διὰ τοῦ ἐν ὑποκειμένῳ εἶναι, ἀναιροῦντες τὸ γένος ἐκ τοῦ ἐφαρμόζειν αὐτῷ τὸν τοῦ ἐν ὑποκειμένῳ λόγον. οὕτω δειχθήσεται τὸ λευκὸν γένος μὴ ὂν τῆς χιόνος (ἐν ὑποκειμένῳ γὰρ αὐτῇ) μηδὲ τὸ μέλαν τῆς πίττης μηδὲ ἡ ἐπιστήμη ἢ ἀρετὴ τῆς ψυχῆς. p.

in Top.360 127b5 Σκοπεῖν δὲ καὶ εἰ μὴ συνώνυμον τὸ γένος τῷ εἴδε ι . Καθολικώτερον τοῦτο τοῦ προειρημένου· οὐ γὰρ μόνον οὐ συνώνυμον τὸ γένος τῷ εἴδει, ἂν ᾖ τὸ ἀποδοθὲν γένος ἐν ὑποκειμένῳ τῷ οὗ γένος ἀπεδόθη, ἀλλὰ καὶ ἀνάπαλιν, εἴ τις τὸ ὑποκείμενον ὡς γένος τοῦ ἐν ὑποκειμένῳ λέγοι· οὐδὲ γὰρ οὕτως συνώνυμον ἔσται τὸ γένος τῷ εἴδει. οὐκ εἰ παρακολουθεῖ δὲ τοῖς ἐν ὑποκειμένοις οὖσι τὸ μὴ συνωνύμως εἶναι τοῖς ἐν οἷς ἐστι, διὰ τοῦτο ἡγητέον τὸν αὐτὸν τόπον εἶναι τῷ ἀπὸ τῶν ἐν ὑποκειμένῳ τὸν ἀπὸ τῶν συνωνύμων· ἄλλος γὰρ λόγος τοῦ ἐν ὑποκειμένῳ καὶ ἄλλος τοῦ συνωνύμου. κατὰ μὲν οὖν τὸν ἐν ὑποκειμένῳ ἀναιροῖτ' ἂν τὸ τὴν ποιότητα εἶναι πνεῦμά πως ἔχον ἢ ὕλην πως ἔχουσαν· οὐ γὰρ δύναται τὸ πνεῦμα ἢ ἡ ὕλη γένος εἶναι τῆς ποιότητος· ἐν ὑποκειμένοις γὰρ αὐτοῖς ἡ ποιότης. ἀλλὰ καὶ ὁ τὴν πυγμὴν λέγων εἶναι χεῖρά πως ἔχουσαν ἁμαρτάνει· οὐ γὰρ ἡ πυγμὴ χείρ, ἀλλ' ἐν ὑποκειμένῳ τῇ χειρὶ ἡ πυγμή. εἴρηται δὲ δυνάμει τοῦτο ἐν τῷ "καὶ ὁ τὸ πάθος ἐν τῷ πεπονθότι ὡς γένος τιθείς". κατὰ δὲ τὸ μὴ συνωνύμως δεικνύοιτ' ἂν τὸ ἓν μὴ ὂν γένος τῶν ὄντων· ὁμωνύμως γὰρ τὸ ἓν καὶ τὸ ὂν κατηγορεῖται· οὐ γάρ, εἰ ὁμοίως ἓν καὶ ὂν ἡ οὐσία καὶ τὸ πρός τι ἤ τι τῶν ἄλλων γενῶν, ἤδη καὶ ἐν ὑποκειμένοις αὐτοῖς ἐστιν. ὁμοίως οὐδὲ ἄλλο τι τῶν ὁμωνύμως λεγομένων κατηγορεῖταί τινος συνωνύμως τῶν ὑπ' αὐτό. p. 127b8 Ἔτι ὅταν ὄντος καὶ τῷ εἴδει καὶ τῷ γένει ἐναντίου τὸ βέλτιον τῶν ἐναντίων εἰς τὸ χεῖρον γένος θ ῇ . Ὁ τόπος τοιοῦτος· ἂν ᾖ καὶ τῷ εἴδει τῷ τιθεμένῳ καὶ τῷ γένει τῷ ἀποδιδομένῳ αὐτοῦ ἐναντία τινά, ἐπεὶ τῶν ἐναντίων τὸ μὲν βέλτιον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δὲ χεῖρον, δεῖ σκοπεῖν εἰ τὸ βέλτιον τῶν ἐναντίων ἐν γένει τῷ χείρονι τῶν ἐναντίων κεῖται· δεήσει γὰρ καὶ τὸ καταλειπόμενον τὸ χεῖρον ἐν γένει τῷ βελτίονι εἶναι, ἐπειδὴ κεῖται ὅτι τὸ ἐναντίον ἐν τῷ ἐναντίῳ. ἔσται οὖν τὸ μὲν βέλτιον γένος τοῦ χείρονος, τὸ δὲ χεῖρον τοῦ βελτίονος.

in Top.361 δοκεῖ δὲ τὰ ὑπὸ τὰ βελτίω γένη εἴδη βελτίω εἶναι τῶν ὑπὸ τὰ χείρω· τὰ γὰρ ὑπὸ τὴν ἀρετὴν βελτίω τῶν ὑπὸ τὴν κακίαν. ἂν δὴ τὴν ἀδικίαν τις ἀρετὴν λέγῃ, οὗτος ἐρεῖ τὴν δικαιοσύνην κακίαν, ὡς Θρασύμαχος ὁ παρὰ τῷ Πλάτωνι τὴν ἀδικίαν εὐβουλίαν θέμενος τὴν δικαιοσύνην κακοβουλίαν ἠναγκάσθη λέγειν. καὶ εἰ ἡ ἀργία αἱρετόν, τὸ ἐργάζεσθαι φευκτόν, καὶ εἰ ἡ ἡδονὴ κακόν, ἡ λύπη ἀγαθόν. p. 127b13 Καὶ εἰ τοῦ αὐτοῦ εἴδους ὁμοίως πρὸς ἄμφω ἔχοντος εἰς τὸ χεῖρον καὶ μὴ εἰς τὸ βέλτιον γένος ἔθηκε ν . Ἔτι εἰ ὁμοίως ἔχοι τὸ αὐτὸ εἶδος πρὸς δύο τινά, ὧν τὸ μὲν χεῖρόν ἐστι τὸ δὲ βέλτιον, δύναιτο δ' [ἂν] ἐν ἑκατέρῳ αὐτῶν ὡς ἐν γένει τίθεσθαι, εὐλογώτερον αὐτὸ μᾶλλον ἐν τῷ βελτίονι ἢ ἐν τῷ χείρονι τιθέναι. οἷον οὐκ ἐπεὶ ἡ ἰατρικὴ δύναται καὶ ὑγείαν καὶ νόσον ποιεῖν, λέγομεν αὐτὴν νόσου ποιητικήν, εἰ οὐδὲν μᾶλλον νόσου ἢ ὑγείας, ἀλλὰ μᾶλλον ὑγείας. ἐν γὰρ τῷ βελτίστῳ ὧν δύναται ἑκάστῳ τὸ εἶναι· διὰ τοῦτο γὰρ αἱ δυνάμεις ἀγαθά. εἰ δὴ ἡ ψυχὴ ὁμοίως ἔχει καὶ πρὸς κίνησιν καὶ πρὸς στάσιν (ἀμφοτέρων γὰρ αὕτη τῷ ζῴῳ αἰτία· ὡς γὰρ κινεῖται τὰ ζῷα κατὰ ψυχήν, οὕτως καὶ ἵσταται) καὶ ἔστιν ἡ στάσις βελτίων τῆς κινήσεως (ἡ γὰρ κίνησις, ἐν οἷς καὶ ἡ στάσις, διὰ τὴν στάσιν, καὶ τέλος ἐστὶ τῆς κινήσεως τὸ στῆναι· αἱ οὖν κατὰ φύσιν τοῖς σώμασι τέλος ἔχουσι τὴν ἐν τοῖς οἰκείοις μονήν· ἀλλὰ καὶ τῶν οὐσιῶν αἱ ἀκίνητοι βελτίους· ἀλλὰ καὶ τῷ μανθάνοντι τέλος τὸ μανθάνειν τε καὶ ἐν τούτῳ στῆναι), εἰ δὴ τοῦτο, οὐ καλῶς οἱ ἐν γένει τὴν ψυχὴν τῇ κινήσει θέμενοι. τὸ δὲ ὅπερ κίνησιν ἢ κινούμενον εἶπε διὰ μὲν τοῦ ὅπερ κίνησιν δηλώσας τὸ γένος αὐτῆς τὴν κίνησιν λέγεσθαι, ὡς οἱ λέγοντες αὐτὴν κίνησιν αὐτοκίνητον. p.

in Top.362 127b18 Ἔτι ἐκ τοῦ μᾶλλον καὶ ἧττο ν . Ὥσπερ ὅτε περὶ τοῦ συμβεβηκότος ἐποιεῖτο τὸν λόγον, ἁπλῶς τε καὶ πάλιν συγκριτικῶς πρὸς ἄμφω τόπους τινὰς ἀπό τε τοῦ μᾶλλον καὶ τοῦ ἧττον καὶ ἀπὸ τοῦ ὁμοίως κατασκευαστικούς τε καὶ ἀνασκευαστικοὺς παραδέδωκεν, οὕτω καὶ ἐπὶ τοῦ γένους δείκνυσιν ἀπὸ τοῦ μᾶλλον καὶ τοῦ ἧττον τόπους τινὰς κατασκευαστικοὺς καὶ ἀνασκευαστικούς, δύο μὲν ἀνασκευαστικούς, ἕνα δὲ κατασκευαστικόν. κοινοὶ γὰρ ὥσπερ οἱ ἀπὸ τῶν πτώσεων καὶ συστοίχων καὶ γενέσεων καὶ φθορῶν καὶ ἀντικειμένων, οὕτω δὲ καὶ οὗτοι οὓς παραδίδωσιν. εἷς μὲν οὖν ἀνασκευαστικὸς ἀπὸ τοῦ μᾶλλον καὶ τοῦ ἧττον τοιοῦτος· εἰ τὸ μὲν ἀποδοθὲν γένος ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τὸ δὲ εἶδος μήτε αὐτὸ μήτε τὸ κατ' αὐτὸ λεγόμενον, οὐ γένος τὸ ἀποδοθέν. δοκεῖ γὰρ ὧν τὸ γένος τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται, ταῦτα καὶ αὐτὰ ἐπιδέχεσθαι καὶ τὰ κατ' αὐτὰ λεγόμενα, τοῦτ' ἔστι τὰ παρώνυμα αὐτοῖς· εἰ γὰρ ἡ ἀρετὴ μᾶλλον καὶ ἧττον, καὶ ἡ δικαιοσύνη καὶ ὁ δίκαιος ὁ κατ' αὐτὴν λεγόμενος. καὶ ἔμπαλιν [εὔλογον, ὥστε], εἰ τὸ μὲν ὡς εἶδος ἀποδοθὲν ἐπιδέχοιτο, τὸ δὲ ὡς γένος ἀποδοθὲν μὴ ἐπιδέχοιτο, οὐκ ἔσται γένος τὸ ἀποδοθέν. οὕτω δεικνύοιτ' ἂν τῆς ἀπορίας μὴ ὂν γένος ἡ ἰσότης, ὡς οἱ ὁριζόμενοι αὐτὴν λέγουσιν ἰσότητα ἐναντίων λογισμῶν· ἡ μὲν γὰρ ἀπορία τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται αὐτή τε καὶ οἱ λεγόμενοι κατ' αὐτήν (οὗτοι δέ εἰσιν οἱ ἀποροῦντες), ἡ δὲ ἰσότης οὔτε αὐτὴ οὔτε τὰ ἴσα· οὐ γάρ ἐστι μᾶλλον καὶ ἧττον ἴσα τινά. πάλιν ἡ χιὼν μὲν οὐ δέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, ἡ λευκότης δὲ δέχεται· ὥστε οὐ γένος τῆς χιόνος τὸ λευκόν. ἀλλὰ καὶ ἁρμονία μὲν μᾶλλον καὶ ἧττον, ψυχὴ δὲ οὔ· ὥστε οὐ γένος ψυχῆς ἁρμονία. p. 127b26 Πάλιν εἰ τὸ μᾶλλον δοκοῦν ἢ ὁμοίως μή ἐστι γένο ς . Δεύτερος οὗτος τόπος ἀνασκευαστικὸς ἀπὸ τοῦ μᾶλλον· ὁ αὐτὸς δὲ καὶ ἀπὸ τοῦ ὁμοίως· δύο τινῶν γενῶν εἶναι δοκούντων 〈τινὸσ〉 εἰ τὸ μᾶλλον δοκοῦν αὐτοῦ γένος εἶναι μή ἐστιν, οὐδ' ἂν τὸ ἔλαττον δοκοῦν εἶναι εἴη· οὐδ' ἂν τὸ ὁμοίως.

in Top.363

χρήσιμον δέ φησιν εἶναι τὸν τόπον ἐφ’ ὧν πλείω τοῦ αὐτοῦ ἐν τῷ τί ἐστι κατηγορεῖται, οὐκ ἔχομεν δὲ ὡμολογημένον ποῖόν ἐστιν αὐτῶν γένο ς . οἷον τῆς ὀργῆς καὶ λύπη κατηγορεῖται ἐν τῷ τί ἐστι καὶ ὑπόληψις· λέγεται γὰρ ἡ ὀργὴ ποτὲ μὲν λύπη ποτὲ δὲ ὑπόληψις. ἐπεὶ τοίνυν ἀμφότερα μὲν τῆς ὀργῆς κατηγορεῖται, ἄδηλον δὲ πότερον αὐτῶν ἐστι γένος, ληπτέον τὸ δοκοῦν μᾶλλον αὐτῆς εἶναι γένος, καὶ δεικτέον ὅτι μή ἐστι τοῦτο· εἰ γὰρ μὴ τοῦτο, οὐδὲ τὸ λοιπὸν τὸ ἧττον γένος. εἰ γὰρ μᾶλλον ἡ λύπη δοκοῦσα αὐτῆς εἶναι γένος μή ἐστιν, ὡς ἐδείχθη πρὸ ὀλίγου, οὐδ’ ἂν ἡ ὑπόληψις αὐτῆς εἴη γένος. ἀλλὰ καὶ ὁμοίως ἂν ἀμφότερα δοκῇ αὐτῆς εἶναι γένη, ἂν τὸ ἕτερον δειχθῇ μὴ ὄν, οὐδ’ ἂν τὸ ἕτερον εἴη τὸ ὁμοίως τούτῳ δοκοῦν. ἀπὸ μὲν οὖν τοῦ μᾶλλον οὕτως, ὡς εἴρηται, δείξομεν τὸν χρόνον μὴ ὄντα ἐν γένει τῷ ἀριθμῷ· εἰ γὰρ μᾶλλον ὁ χρόνος κίνησις ἢ ἀριθμός (ἔνδοξον γὰρ συνεχοῦς συνεχὲς γένος εἶναι μᾶλλον), μή ἐστι δὲ κίνησις ὁ χρόνος, ὅτι πᾶσα μὲν κίνησις τινός τε καὶ πρός τι, ὁ δὲ χρόνος οὐ πρός τι. πάλιν ὅτι μὴ γένος τῆς ἐπιθυμίας ἡ λύπη, ἀναιρήσομεν· εἰ γὰρ μᾶλλον ἡ ἐπιθυμία ἔνδεια ἢ [ἡ] λύπη, μή ἐστι δὲ ἐν γένει τῇ ἐνδείᾳ, οὐδ’ ἂν λύπη εἴη. ὅτι δὲ μὴ ἡ ἔνδεια γένος αὐτῆς, δῆλον ἐκ τοῦ τὸ μὲν γένος μηδενὸς αἴτιον εἶναι τῶν εἰδῶν τὴν δὲ ἔνδειαν αἰτίαν εἶναι τῆς ἐπιθυμίας. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ παραδείγματος ἡ δεῖξις οὕτως ἂν προΐοι· εἰ ὁμοίως τῆς ὀργῆς καὶ ἡ λύπη καὶ ἡ ὑπόληψις ὀλιγωρίας γένος, οὐκ ἔστι δὲ αὐτῆς γένος ἡ ὑπόληψις, οὐδ’ ἂν ἡ λύπη εἴη. ὡσαύτως καὶ τῆς πραότητος εἰ 〈μᾶλλον〉 ἡ ἡμερότης ἢ ἡ ἐγκράτεια γένος δοκεῖ, μή ἐστι δὲ ἡ ἡμερότης, οὐδ’ ἂν ἡ ἐγκράτεια. p. 127b34 Ἡ αὐτὴ δὲ σκέψις καὶ ἐπὶ τοῦ εἴδου ς . Ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ εἴδου ς . εἰ γὰρ τὸ μᾶλλον δοκοῦν εἶδος εἶναι τοῦ ἀποδεδομένου γένους τινὸς μή ἐστιν εἶδος αὐτοῦ, οὐδὲ τοῦτο ἂν εἴη τὸ ἧττον ὂν ἐκείνου εἶδος τοῦ προκειμένου γένους· οἷον εἰ μᾶλλον εἶδος τῆς ἀρετῆς ἡ ἐγκράτεια ἢ ἡ πραότης, μή ἐστι δὲ ἡ ἐγκράτεια, οὐδ’ ἂν ἡ πραότης.

in Top.364 ἀπὸ δὲ τοῦ ὁμοίου 〈οὕτωσ〉 · εἰ ὁμοίως ἡ ἐγκράτεια καὶ ἡ καρτερία τῆς ἀρετῆς εἴδη, μή ἐστι δὲ τὸ ἕτερον, οὐδὲ τὸ ἕτερον. πρὸς μὲν οὖν ἀναίρεσίν τε καὶ ἀνασκευὴν χρηστέον τοῖς προειρημένοις δύο τόποις. πρὸς δὲ κατασκευὴν τὸ μὲν ἀμφότερα τὸ μᾶλλον ἐπιδέχεσθαι, τό τε ὡς γένος ἀποδοθὲν καὶ τὸ ὡς εἶδος, οὐ χρήσιμον· οὐ γὰρ πάντως τὸ ἕτερον τοῦ ἑτέρου γένος ἔσται, εἰ οὕτως ἔχει. ὥστε μόνον πρὸς ἀνασκευὴν ὁ πρῶτος ῥηθεὶς τῶν ἀπὸ τοῦ μᾶλλον τόπων χρήσιμος· οὐ γάρ, ἐπεὶ τὸ λευκὸν καὶ τὸ καλὸν τὸ μᾶλλον ἐπιδέχεται, ἤδη διὰ τοῦτο γένος τοῦ λευκοῦ τὸ καλόν. ὁ δὲ δεύτερος τόπος τῶν πρὸς ἀνασκευὴν ῥηθέντων, ἐν ᾧ σύγκρισις ἦν ἡ τῶν εἰδῶν καὶ ἡ τῶν γενῶν πρὸς ἄλληλα, χρήσιμος καὶ πρὸς κατασκευήν· εἰ γὰρ τὸ ἧττον δοκοῦν γένος εἶναί τινος δειχθείη γένος ὄν, καὶ τὸ μᾶλλον ἂν εἴη, καὶ εἰ τὸ ὁμοίως, καὶ τὸ ὁμοίως. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ εἴδους. εἰ γὰρ τῆς ἐγκρατείας μᾶλλον γένος ἡ δύναμις ἢ ἡ ἀρετή (δοκεῖ γὰρ ὁ ἐγκρατὴς κατὰ δύναμίν τινα ἀντέχειν πρὸς τὰς ἐπιθυμίας), ἧττον ἔσται ἡ ἀρετὴ γένος αὐτῆς· ἂν δὴ 〈ᾖ〉 ἡ ἀρετὴ γένος αὐτῆς, εἴη ἂν καὶ ἡ δύναμις· ἀρετὴ δὲ δοκεῖ εἶναι, διότι ἐστὶν ἕξις ἐπαινετή. πάλιν ἐπὶ τοῦ εἴδους, εἰ ἧττον δοκοῦσα ἐν γένει εἶναι τῇ ἀρετῇ ἡ ἐγκράτεια τῆς καρτερίας εἶδος αὐτῆς ἐστιν, εἴη ἂν καὶ ἡ καρτερία. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ὁμοίως, ἄν τε ἐπὶ τῶν γενῶν ἄν τε ἐπὶ τῶν εἰδῶν τὸ ὅμοιον λαμβάνηται. p. 128a13 Ἔτι πρὸς τὸ κατασκευάζειν σκεπτέο ν . Εἰπὼν τόπον πρὸς κατασκευὴν γένους τὸν ἀπὸ τοῦ ἧττον καὶ ὁμοίως, ἔτι φησὶ πρὸς κατασκευὴν τοῦ τὸ ἀποδοθὲν γένος εἶναι χρήσιμον, εἰ τὸ ἀποδεδομένον ὡς γένος πλειόνων καὶ διαφερόντων εἴδει εἴη ἀποδεδομένον, ζητεῖν εἰ ἐν τῷ τί ἐστιν αὐτῶν κατηγορεῖται· εἰ γὰρ πλειόνων ὄντων αὐτῶν καὶ κατ’ εἶδος διαφερόντων ἐν τῷ τί ἐστιν εἴη κατηγορούμενον, γένος ἐστίν. ὁ δὲ αὐτὸς τόπος χρήσιμος ἂν εἴη καὶ πρὸς ἀνασκευήν· εἰ γὰρ μὴ ἐν τῷ τί ἐστιν εἴη κατηγορούμενον, οὐ γένος. εἰ δὲ ἑνὸς εἴδους εἴη ἀποδεδομένον καὶ κατηγοροῖτο αὐτοῦ ἐν τῷ τί ἐστι, δεῖ ζητεῖν εἰ καὶ ἄλλων διαφερόντων κατὰ τὸ εἶδος ὁμοίως κατηγορεῖται.

in Top.365

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἷον εἰ τὸ ζῷον ἀποδοθείη ἀνθρώπου γένος, σκεπτέον εἰ καὶ ἵππου καὶ ἄλλου τινὸς ὁμοίως κατηγορεῖται· εἴη γὰρ ἂν γένος. Λέγων δὲ περὶ τῆς διαφορᾶς εἶπεν ἐπεὶ δὲ δοκεῖ τισι καὶ ἡ διαφορὰ ἐν τῷ τί ἐστι τῶν εἰδῶν κατηγορεῖσθα ι , ἐπειδὴ ἡ μὲν ὡς συναμφότερος λαμβανομένη οὕτω κατηγορεῖται, οὐκέτι δὲ καὶ ἡ χωρὶς τῆς ὕλης τῆς συναμφοτέρου διαφορά· ἧς καὶ ἐν Κατηγορίαις ἐμνημόνευσεν ἐν οἷς εἶπεν τὸν τῶν διαφορῶν λόγον ἀναδέχεσθαι καὶ τὰ ἄτομα καὶ τὰ εἴδη. ἃς ἰδίως διαφορὰς οὐκ εἶπεν εἶναι οὐσίας ἐκεῖ, ὅτι μήτε γένη μήτε εἴδη μήτε ἄτομα· αἱ γὰρ τῶν εἰδῶν κατηγορούμεναι ὡς γένη ἂν κατηγοροῖντο. ὅτι δὲ μὴ γένη αἱ διαφοραί, νῦν δείκνυσιν. οὐδὲ εἴδη δὲ [εἴδη δὲ] αἱ ἰδίᾳ καὶ χωρὶς τῶν γενῶν λαμβανόμεναι διαφοραί, εἰ καὶ αἱ συναμφότεραι· αὗται δὲ [ἐν ἐκείνῳ τῷ βιβλίῳ] οὐσίαι καὶ τὰ ἄτομα τὰ ὑπ’ αὐτάς. τῆς δ’ οὕτως λαμβανομένης διαφορᾶς καὶ τὰ γένη τὰ διαιρούμενα ὑπ’ αὐτῆς συνωνύμως κατηγορεῖται, εἴ γε, ὡς εἴρηκε νῦν, τὸ πεζὸν σημαίνει ζῷον ποιόν· καίτοι οὐ δοκεῖ αὐτῷ τὸ γένος τῆς οἰκείας διαφορᾶς οὕτω κατηγορεῖσθαι. τῆς μέντοι χωρὶς τῆς ὕλης ἐν τῇ οὐσίᾳ διαφορᾶς λαμβανομένης οὔτε τὸ διαιρούμενον ὑπ’ αὐτῆς γένος συνωνύμως κατηγορεῖται, ὅτι μηδὲ ἄλλο τι ὅλον ἀνομοιομερὲς τῶν μερῶν ἑκάστου οὕτω κατηγορεῖται, μέρος δὲ ἡ τοιαύτη διαφορὰ τοῦ διαιρουμένου ὑπ’ αὐτῆς, οὔτε αὐτὴ ἢ τοῦ εἴδους ἢ τοῦ ἀτόμου, ὅτι μηδὲ τὸ μέρος τοῦ ὅλου. ἐπεὶ δὴ δοκεῖ τισι καὶ ἡ διαφορὰ ἐν τῷ τί ἐστι τῶν εἰδῶν κατηγορεῖσθα ι , εἶπε μὲν ἐν τῷ πρώτῳ ὅτι καὶ τὴν διαφορὰν καὶ τὰ ἀπὸ διαφορᾶς προβλήματα ὁμοῦ δεῖ τῷ γένει τάσσειν, ὡς τῶν αὐτῶν τόπων καὶ πρὸς τὰ ἀπὸ τῶν διαφορῶν προβλήματα χρησίμων ὄντων. ὅτι δὲ μὴ πάντῃ ταὐτὸν ἡ διαφορὰ τῷ γένει, εἰ καὶ ὅτι μάλιστα καὶ αὐτὴ ἐν τῷ τί ἐστι δοκεῖ τοῦ εἴδους κατηγορεῖσθαι καὶ κατὰ πλειόνων τε καὶ διαφόρων τῷ εἴδει ἡ διαφορά, τίσι [τε] τὴν διαφορὰν δυνησόμεθα χωρίζειν τοῦ γένους, στοιχεῖά τινα καὶ θεωρήματα ἡμῖν παραδίδωσιν· ἃ τῷ φθάνειν εἰρῆσθαι ἤδη εἶπεν [ἐν] τοῖς εἰρημένοι ς .

in Top.366 ἔστι δὲ πρῶτον μὲν ὅτι τὸ γένος ἐπὶ πλέον λέγεται τῆς διαφορᾶς · μέρος γάρ τι τοῦ γένους ἡ διαφορὰ ἀποτέμνεται. δεύτερον ὅτι, εἰ καὶ ἡ διαφορὰ τοῦ εἴδους ἐν τῷ τί ἐστι δοκεῖ κατηγορεῖσθαι (αἰεὶ γὰρ ὁ ὁρισμὸς ἐν τῷ τί ἐστι καὶ αἱ διαφοραὶ ἐν τῷ ὁρισμῷ), ἀλλὰ μᾶλλόν γε τὸ γένος ἁρμόττει ἐρωτηθέντας περὶ τοῦ εἴδους τί ἐστιν ἀποδιδόναι ἢ τὴν διαφοράν· μᾶλλον γὰρ ὁ ἄνθρωπος ζῷον ἢ λογικόν. τρίτον ὅτι ἡ μὲν διαφορὰ ποιότητα τοῦ γένους οὗ ἐστι σημαίνει (ποιότης γὰρ τοῦ ζῴου τὸ λογικὸν καὶ τὸ πεζόν), οὐκέτι δὲ καὶ τὸ γένος τῆς διαφορᾶς· οὐδενὸς γὰρ αὐτῶν ποιότης τὸ ζῷον. καὶ ὅτι οὕτως ἔχει δεικνὺς παρέθετο ὅτι ὁ μὲν εἰπὼν λογικὸν ποιὸν ζῷον σημαίνει, ὁ δὲ ζῷον εἰπὼν οὐ λέγει ποιὸν λογικόν· ὥστε τὸ μὲν λογικὸν εἰς ποιὸν μεταλαμβάνεται, ποιότητα τοῦ ζῴου σημαῖνον, τὸ δὲ ζῷον οὐκέτι τοῦ λογικοῦ σημαίνει ποιότητα. p. 128a31 Ἐπεὶ δὲ δοκεῖ τὸ μουσικό ν , ᾗ μουσικόν ἐστι ν , ἐπιστῆμόν τι εἶναι καὶ ἡ μουσικὴ ἐπιστήμη τι ς . Τόπον ἡμῖν παραδίδωσιν, ᾧ προσχρώμενοι δυνησόμεθα κατασκευάζειν τε καὶ ἐπικρίνειν τι ὂν ἐν γένει τινί. φησὶ γὰρ δεῖν ἐπὶ τὰ τὰς ἕξεις ἔχοντα καὶ ἀπὸ τῶν ἕξεων παρωνύμως λεγόμενα ἐπιβλέπειν, κἂν ἐπ’ ἐκείνων τὸ παρωνομασμένον τινὶ φαίνηται ὑπό τι ὂν γένος ἄλλο ὃ παρωνόμασταί τινι, καὶ τὸ ἀφ’ οὗ παρωνόμασται τοῦτο, λέγειν γένος εἶναι τοῦ ἀφ’ οὗ τὸ προκείμενον παρωνόμασται [παρωνύμως ἀπὸ τοῦ λεγομένου γένους]. τοῦτο δὲ ὅτι οὕτως ἔχει, διὰ τῆς ἐπαγωγῆς συνέστηκεν. ἐπεὶ γὰρ τὸ μουσικόν, καθ’ ὃ μουσικόν, παρώνυμον ὂν τῆς μουσικῆς ἐπιστῆμόν ἐστι, τὸ δὲ ἐπιστῆμον παρώνυμον τῆς ἐπιστήμης, καὶ ἡ μουσική, ἀφ’ ἧς τὸ μουσικὸν παρωνόμασται, ἐπιστήμη ἔσται, ἐπεὶ ἀπὸ ταύτης παρώνυμον τὸ ἐπιστῆμον τὸ γένος τοῦ μουσικοῦ. πάλιν ἐπεὶ κατὰ τὴν βάδισιν τὸ βαδίζειν λεγόμενον καὶ ὂν αὐτῆς παρώνυμον κινεῖται καὶ ἔστι πάλιν τὸ κινεῖσθαι παρώνυμον καὶ αὐτὸ τῆς κινήσεως, εἴη ἂν καὶ ἡ βάδισις κίνησις καὶ ὑπὸ τὴν κίνησιν.

in Top.367 τούτων τοίνυν οὕτως ἐχόντων δεῖν φησιν, ὅταν βουλώμεθα κατασκευάσαι καὶ δεῖξαί τι γένος ὄν τινος, ἐπὶ τὰ ἔχοντα αὐτὸ καὶ παρωνομασμένα ἀπ’ αὐτοῦ κατὰ τὸν ὡρισμένον τρόπον

μεταβάντας καὶ δείξαντας τὸ ἕτερον ὑπὸ τὸ ἕτερον, οὕτω καὶ τοῦ προκειμένου γένος ὂν τὸ προκείμενον δεικνύναι. οἷον, ὡς αὐτὸς παρέθετο, εἰ βουλόμεθα τῆς ἐπιστήμης δεῖξαι γένος ὂν τὴν πίστιν, δεῖ ὁρᾶν τε καὶ δεικνύναι ὅτι ὁ ἐπιστάμενο ς , κα θ ’ ὃ ἐπίστατα ι , πιστεύει · εἰ γὰρ τοῦτο, δῆλον ὅτι καὶ ἡ ἐπιστήμη πίστι ς . καὶ εἰ ὁ ἡδόμενος, καθ’ ὃ ἥδεται, ἐν ἀγαθῷ ἐστι, καὶ ἡ ἡδονὴ ἀγαθὸν ἂν εἴη. καὶ εἰ τὸ ἀκοῦον αἰσθάνεται, καὶ ἡ ἀκοὴ αἴσθησις. ἡ δὲ λέξις ἡ ἐπεὶ δὲ δοκεῖ τὸ μουσικό ν , ᾗ μουσικόν ἐστι ν , ἐπιστῆμον εἶνα ι , ἡ μουσικὴ ἐπιστήμη τις εἴη ἂν σαφεστέρα εἰ οὕτως ἔχοι· ‘ἐπεὶ δὲ δοκεῖ, διότι τὸ μουσικόν, ᾗ μουσικόν ἐστιν, 〈ἐπιστῆμόν ἐστιν,〉 ἡ μουσικὴ ἐπιστήμη εἶναι‘. p. 128a38 Ἔτι ἐπεὶ τὸ παρεπόμενόν τινι ἀεὶ καὶ μὴ ἀντιστρέφον χαλεπὸν χωρίσαι τοῦ μὴ γένος εἶνα ι . Ἐπεὶ τὸ γένος ἕπεται τῷ εἴδει καὶ οὐκ ἀντιστρέφει (εἰ μὲν γὰρ ἄνθρωπος, ζῷον, οὐ μήν, εἰ ζῷον, ἄνθρωπος), δεῖν φησιν, ἐφ’ ὧν ἡ τοιαύτη τάξις ὡς τὸ ἕτερον τῷ ἑτέρῳ ἕπεσθαι μηκέτι δὲ καὶ ἀντιστρέφειν τῷ τὸ ἑπόμενον ἐπὶ πλέον ἔσεσθαι, λαμβάνειν ὡς τὸ μὲν εἶδος αὐτῶν ὂν τὸ δὲ γένος· δοκεῖ γὰρ ἔνδοξον εἶναι. ἐπεὶ γὰρ τῇ νηνεμίᾳ μὲν ἕπεται ἡ ἠρεμί α , τῇ δὲ ἠρεμίᾳ οὐκέτι ἡ νηνεμία, καὶ τῷ μὲν ἀριθμῷ τὸ διαιρετό ν , τῷ δὲ διαιρετῷ οὐκέτι ὁ ἀριθμός, τῆς μὲν νενημίας γένος εἶναι δοκεῖ ἡ ἠρεμία, τοῦ δὲ ἀριθμοῦ τὸ διαιρετόν. αὐτὸν μὲν οὖν φησιν ὡς ἐνδόξῳ δεῖν τούτῳ χρῆσθαι, τῇ προειρημένῃ ἀκολουθίᾳ, πρὸς τὴν τοῦ γένους κατασκευήν, εἰ δὲ ἄλλος τις αὐτῷ χρῷτο, μὴ συγχωρεῖν ὡς ἐπὶ πάντων οὕτως ἔχοντι· ἔστι γάρ τινα ἃ ἀκολουθεῖ μὲν καὶ οὐκ ἀντιστρέφει, οὐ μὴν καὶ γένη ἐστὶ τούτων οἷς οὕτως ἀκολουθεῖ. καὶ δείκνυσι τοῦτο ἐπὶ παραδείγματος. τῷ γὰρ γινομένῳ ἕπεται τὸ μὴ ὄν (οὐδὲν γὰρ γινόμενον ἔτι ἔστιν ἤδη) καὶ οὐκ ἀντιστρέφει· οὐκέτι γὰρ τῷ μὴ ὄντι τὸ γινόμενον ἕπεται· οὐ γάρ, εἴ τι μὴ ἔστι τοῦτο, γίνεται· καὶ οὐκ ἔστι τοῦ γινομένου τὸ μὴ ὂν γένος.

in Top.368 καὶ δι’ ὅ τι οὐκ ἔστιν αὐτοῦ γένος, ἔδειξε· τοῦ γὰρ μὴ ὄντος οὐχ οἷόν τε εἴδη εἶναι· οὐδενὸς γὰρ τὸ μὴ ὂν ἐν τῷ τί ἐστι κατηγορεῖται· διὰ τοῦτο γὰρ οὐδὲ τῆς στερήσεως. ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΕΙΣ ΤΟ ΠΕΜΠΤΟΝ ΤΗΣ ΤΟΠΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ Παραδοὺς ἡμῖν ἐν τῷ πρὸ τούτου, τοῦτ’ ἔστι τῷ τετάρτῳ τῆς τῶν τοπικῶν πραγματείας, τοὺς τόπους, δι’ ὧν οἷόν τε πρὸς τὰ ἀπὸ τοῦ γένους προβλήματα ἐπιχειρεῖν κατασκευαστικῶς τε καὶ ἀνασκευαστικῶς, μεταβαίνει ἐντεῦθεν ἐπὶ τὰ ἀπὸ τοῦ ἰδίου προβλήματα, καὶ παραδίδωσι καὶ πῶς πρὸς ταῦτα ἐπιχειρεῖν δεῖ.

in Top.369.(1t) καὶ προλαμβάνει ποσαχῶς τε τὸ ἴδιον, ὅτι τετραχῶς, καὶ τί ἕκαστον, καὶ τίς ἡ πρὸς ἄλληλα τούτων διαφορά. εἰκότως δὲ προετάγησαν οἱ μὲν πρὸς τὰ γενικὰ προβλήματα τόποι τῶν πρὸς τὰ ἰδικά, οἱ δὲ πρὸς τὰ ἰδικὰ τῶν πρὸς τὰ ὁρικά, διότι, δι’ ὧν τόπων δείκνυμεν ὅτι τόδε τοῦδε γένος ἐστί, διὰ τῶν αὐτῶν τούτων δείκνυμεν ὅτι τὸ παραληφθὲν γένος ἐν τῷ ὁρισμῷ γένος ἐστὶ τοῦ ὁριστοῦ, καὶ διὰ τῶν ἀνασκευαστικῶν πάλιν τῶν δεικνύντων μὴ εἶναι τὸ παραληφθὲν γένος ἀνασκευάζοντες δείκνυμεν ὅτι οὐδὲ τοῦ ὁριστοῦ ἐστι γένος. τοὺς δὲ τόπους τοὺς πρὸς τὰ γενικὰ προβλήματα προέταξε πρὸ τῶν ἰδικῶν, διότι τὰ γενικὰ προβλήματα οὐσιώδη εἰσί, τὰ δὲ ἰδικὰ ἐπουσιώδη, τιμιώτερα δὲ τὰ οὐσιώδη τῶν ἐπουσιωδῶν. πάλιν δὲ τοὺς τόπους τοὺς περὶ τῶν ἰδικῶν προβλημάτων προέταξε τῶν πρὸς τὰ ὁρικά, διότι οἱ περὶ τῶν ἰδικῶν προβλημάτων τόποι χρησιμεύουσιν ἡμῖν καὶ ἐν τοῖς ὁρικοῖς προβλήμασι· δι’ ὧν γὰρ τόπων δείκνυμεν ὅτι τόδε οὐκ ἔστιν ἴδιον τοῦδε, διὰ τῶν αὐτῶν δείκνυμεν ὅτι οὐδὲ ὁρισμός ἐστι τόδε τοῦδε. δείκνυμεν 〈δ’〉 ὅτι οὐκ ἔστι τόδε τοῦδε ἴδιον, ἐὰν ἀσαφέστερον ᾖ τὸ ἀποδοθὲν ἴδιον τοῦ ὑποκειμένου ᾧ ἀπεδόθη· οἷον εἴ τις ἀποδώσει ἴδιον τοῦ πυρὸς τὸ ὅμοιον εἶναι τῇ ψυχῇ, μᾶλλον οἶδε τὸ ὑποκείμενον ἢ τὸ ἀποδοθὲν ἴδιον.

in Top.370 ἢ εἰ ὁμωνύμους ἔχοι φωνάς, οἷον ἴδιον τῆς ψυχῆς τὸ κινεῖσθαι κίνησιν τὴν κατὰ λόγον· ὁμώνυμος γὰρ φωνὴ ἡ κίνησις. ἢ εἰ μὴ ἀντιστρέφοι τὸ ἀποδοθὲν ἴδιον πρὸς τὸ ὑποκείμενον, οἷον ἀπεδόθη τὸ δίπουν ἴδιον τοῦ ἀνθρώπου· ἀλλ’ οὐκ ἔστιν ἴδιον· εἰ γὰρ ἦν ἴδιον, ἀντέστρεφεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἂν καὶ ἐλέγετο ὥσπερ ὁ ἄνθρωπος δίπουν, οὕτω καὶ τὸ δίπουν ἄνθρωπος. ὁμοίως οὖν καὶ ἐπὶ τῶν ὁρισμῶν. δέον τε γὰρ σαφέστερον εἶναι τὸν ὁρισμὸν τοῦ ὁριστοῦ· εἰ γὰρ ἀσαφέστερος εἴη, οὐκ ἔστιν ὁρισμός, ἢ εἰ μὴ ἀντιστρέφοι ὁ ὁρισμὸς πρὸς τὸ ὁριστόν, ἢ εἰ ὁμωνύμους φωνὰς περιέχοι ὁ ὁρισμός. p. 128b16 Ἀποδίδοται δὲ τὸ ἴδιον ἢ κα θ ’ αὑτὸ καὶ ἀεὶ ἢ πρὸς ἕτερον καὶ ποτ έ . ʼΙστέον ὅτι ἐπὶ πλέον τὸ ἀεὶ τοῦ καθ’ αὑτό· τὸ μὲν γὰρ καθ’ αὑτὸ ἴδιον καὶ ἀεί, οὐ μὴν τὸ ἀεὶ πάντως καὶ καθ’ αὑτό· τὸ μὲν γὰρ καθ’ αὑτὸ ἀπὸ πάντων χωρίζει τῷ μόνῳ αὐτῷ ὑπάρχειν, πολλὰ δὲ τῶν ἀεί τισιν ὑπαρχόντων οὐ μόνοις ὑπάρχει. ὁμοίως καὶ τὸ πρὸς ἄλλο ἴδιον τοῦ ποτὲ ἐπὶ πλέον· τὸ γὰρ πρὸς ἄλλο ἴδιον ἢ ἐν ἅπασι καὶ ἀεὶ ἢ ἐν τοῖς πλείστοις καὶ ὡς ἐπὶ τὸ πολύ. διὰ ταῦτα καὶ τοῦ ἀεὶ τὸ πρὸς ἄλλο ἐπὶ πλέον. τὸ δὲ καθ’ αὑτὸ ἴδιον τοῦ πρὸς ἄλλο διαφέρει, ὅτι τὸ μὲν καθ’ αὑτὸ ἴδιον ἀπὸ πάντων χωρίζει, τὸ δὲ πρὸς ἄλλο οὐκ ἀπὸ πάντων. τὸ οὖν καθ’ αὑτὸ πάντων διαχωρίζει τῷ μόνῳ αὐτῷ ὑπάρχειν. τὸ δ’ ἀεὶ ὑπάρχον τινὶ ἴδιον λέγεται, οὐχ ὅτι καὶ μόνῳ, ἀλλ’ οὐδ’ ὅτι χωρίζει αὐτὸ ἀπὸ τοῦ τινός, ὡς τὸ πρὸς ἄλλο ἴδιον, ἀλλὰ δι’ αὐτὸ τοῦτο μόνον, διότι ἀεὶ ὑπάρχει. διὸ οὐδὲν κωλύει αὐτὸ πλειόνων εἶναι κατὰ τοῦτο τὸ σημαινόμενον τοῦ ἰδίου ἴδιον. Πρόσκειται τὸ φύσε ι , διότι ἐμφαίνεται τὸ ἥμερον καὶ τοῖς ἀλόγοις ζῴοις· ἀλλ’ οὐκ ἔστιν αὐτοῖς φύσει, ἀλλ’ ἐκ χειροηθείας καὶ τιθασεύσεως. καὶ τοῖς ὀρνέοις ὑπάρχει τὸ ἥμερον, ἀλλ’ οὐ πᾶσι· τοῖς δὲ ἀνθρώποις πᾶσι. διὸ καὶ λέγεται φύσει τούτοις ἐνυπάρχειν. ⟦ Καθ’ αὑτὸ μὲν ἴδιον, ὃ καὶ κυρίως ἴδιον λέγεται, ὡς ἐν ταῖς Πέντε φωναῖς ἀποδίδοται, ὃ μόνῳ καὶ παντὶ καὶ ἀεὶ ὑπάρχει, ἢ ἀεὶ μὲν ὑπάρχει μὴ μόνῳ δέ, ὡς τῷ θεῷ τὸ ἀθάνατον· ἀεὶ μὲν γὰρ ὑπάρχει αὐτῷ τοῦτο, οὐ μόνῳ δέ, ἐπεὶ καὶ οἱ ἄγγελοι καὶ αἱ ψυχαὶ ἀθάνατοι.

in Top.371 πρὸς ἕτερον δὲ ἴδιον, ὡς εἴ τις εἴποι ἴδιον ἀνθρώπου τὸ δίπουν· πρὸς τὸ τετράπουν γὰρ λέγεται δίπουν. ἀλλὰ καὶ τῆς ψυχῆς ἴδιον λεγόμενον τὸ προστακτικὸν πρὸς ἕτερον ἀποδίδοται, ἤγουν πρὸς τὸ σῶμα· ἄρχει μὲν γὰρ καὶ προστάσσει ἡ ψυχὴ καὶ κινεῖ τὸ σῶμα, τὸ δὲ σῶμα ὑπηρετεῖ ταῖς κινήσεσι καὶ ὁρμαῖς τῆς ψυχῆς. τὸ δὲ περιπατεῖν ἐν τῷ γυμνασίῳ ἴδιον ῥηθήσεται τοῦ τινὸς ἀνθρώπου, ἀλλὰ ποτέ, ἤγουν καθ’ ὃν καιρὸν περιπατεῖ· οὐ γὰρ ἀεὶ περιπατεῖ. ἀλλὰ τὸ μὲν πρὸς ἕτερον ἴδιον ἀποδιδόμενον δύο προβλήματα ποιεῖ, εἰ τοῦδε μὲν καταφάσκεται, ὡς τοῦ ἀνθρώπου τὸ δίπουν, τοῦδε δέ, ἤγουν τοῦ ἵππου, ἀποφάσκεται. καὶ γὰρ εἰ ἐπιχειρήσει τις δεῖξαι ὅτι ὁ ἄνθρωπος οὐ δίπουν ἐστ ί , τοῦτο ἓν πρόβλημα ἔσται· καὶ πάλιν εἰ ἐπιχειρήσει δεῖξαι ὅτι ὁ ἵππος δίπουν ἐστί, τοῦτο ἕτερον πρόβλημα ἔσται. ἀναιρεῖται δὲ τὸ τοιοῦτον ἴδιον ἀμφοτέρως, ἤγουν εἴτε δείξει τις τὸν ἄνθρωπον τετράπουν εἴτε τὸν ἵππον δίπουν. χάριν δὲ παραδείγματος καὶ πρὸς ἔνδειξιν τοῦ δύο γίνεσθαι προβλήματα ἐκ τοῦ πρὸς ἕτερον ἰδίου τὸ τοιοῦτον παράδειγμα εἴληπται· ἀδύνατον γὰρ δειχθῆναι τὸν ἄνθρωπον τετράπουν ἢ τὸν ἵππον δίπουν. τέτταρα δὲ προβλήματα γίνονται ἀπὸ τοῦ τοιούτου ἰδίου, ἐὰν ἑκατέρου, τοῦ τε ἀνθρώπου καὶ τοῦ ἵππου, ἀποδώσεις τὰ ἴδια, τοῦ μὲν τὸ δίπουν τοῦ δὲ τὸ τετράπουν, οἷον ὅτι ὁ ἄνθρωπος δίπουν, ὁ δὲ ἵππος τετράπουν, καὶ ἐὰν ἑκάτερον ἑκατέρου ἀπαρνηθ ῇ , οἷον ὁ ἄνθρωπος οὐ δίπουν, ὁ ἵππος οὐ τετράπουν. εἴτε γὰρ εἴποι τις ‘ὁ ἄνθρωπος οὐ δίπουν ἐστίν‘, εἴτε ‘ὁ ἄνθρωπος τετράπουν ἐστίν‘, ἓν ἔσται πρόβλημα ἀναιροῦν τὸ τὸν ἄνθρωπον δίπουν εἶναι· ὁμοίως καὶ εἰ φήσειεν ‘ὁ ἵππος οὐ τετράπουν ἐστίν‘ ἢ ‘δίπουν ἐστί‘· διὰ γὰρ τούτου κἀκεῖνο ἀναιρεῖται, ὅτι ὁ ἵππος τετράπουν ἐστίν. ⟧ p. 128b34 Ἔστι δὲ τὸ μὲν κα θ ’ αὑτὸ ἴδιο ν . ⟦ Ὁρίζεται τὸ καθ’ αὑτὸ ἴδιον, καὶ φησὶ καθ’ αὑτὸ καὶ κυρίως ἴδιον εἶναι ὃ ἀποδίδοται πρὸς ἅπαντ α , ἤγουν ὃ ἐφαρμόζει πᾶσι τοῖς μερικοῖς ἀνθρώποις τοῖς ὑπὸ τὸν ἄνθρωπον ἀναγομένοις καὶ δύναται χωρίζειν τὸν ἄνθρωπον ἀπὸ πάντων τῶν ἄλλων ζῴων. τὸ δὲ πρὸς ἕτερον ἴδιόν ἐστιν ὃ οὐ δύναται χωρίζειν καὶ διορίζειν τὸ εἶδος ἀπὸ πάντων τῶν ἄλλων ἀλλὰ ἀπό τινων τακτῶν καὶ ὡρισμένων, ὡς τὸ δίπουν χωρίζει τὸν ἄνθρωπον ἀπὸ πάντων τῶν τετραπόδων, οὐ μέντοι γε καὶ τῶν ὀρνέων. ⟧ p.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

in Top.372 128b37 Καθάπερ ἀρετῆς πρὸς ἐπιστήμη ν . ⟦ Ἡ μὲν γὰρ ἀρετὴ ἐν πλείοσι θεωρεῖται, καὶ ἐν τοῖς φυσικοῖς καὶ τεχνητοῖς, καὶ οὐκ ἐπί τινων ὡρισμένων λέγεται· τοῦ γὰρ ἀνθρώπου ἀρετὴ τὸ κατὰ νοῦν ἐνεργεῖν, ἵππου δὲ τὸ εὖ τρέχειν, οἰκίας δὲ τὸ κωλύειν τοὺς ὄμβρους καὶ τοὺς καύσωνας, κλίνης δὲ τὸ πρὸς ἀνάπαυσιν ἐπιτήδειον· ἡ δὲ ἐπιστήμη ἐν τακτοῖς καὶ ὡρισμένοις θεωρεῖται, τοῖς λογικοῖς δηλονότι μόνοις, ἤγουν τοῖς ἀνθρώποις. τὴν δὲ ἀρετὴν καὶ ἐπιστήμην ἔλαβεν οὐχ ὡς ἴδια ἀλλὰ πρὸς ἀπόδειξιν τοῦ ποῖα θεωρεῖται ἐν ὡρισμένοις ποῖα δὲ οὔ. ⟧ Καθάπερ ἀρετῆς πρὸς ἐπιστήμη ν , ὅτι τὸ μὲν ἐν πλείοσ ι . Ὅτι ἡ μὲν ἀρετὴ ἐν πλείοσι δυνάμεσι τῆς ψυχῆς γίνεται ἡ ἀρετή (καὶ γὰρ ἐν τῷ παθητικῷ καὶ τῷ λογιστικῷ), ἡ δὲ ἐπιστήμη ἐν μόνῳ τῷ λογιστικῷ. p. 129a6 Ἔστι δὲ τὸ πρὸς ἄλλο ἴδιον ἀποδοῦνα ι . ⟦ Τὸ πρὸς ἄλλο ἴδιο ν , φησίν, ἢ ἐν πᾶσι θεωρεῖται καὶ ἀε ί , ὡς τὸ δίπουν διαφορὰ ὂν ἐν πᾶσι τοῖς ἀνθρώποις θεωρεῖται καὶ ἀεί, ἢ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐν τοῖς πλείστοι ς , οἷον τὸ ἄρχειν ἴδιον μέν ἐστι τοῦ λογικοῦ, ἀλλ' οὐκ ἀεὶ ὑπάρχει αὐτῷ, ἀλλ' ἐπὶ μὲν τῶν ἀγαθῶν ἀνθρώπων ἄρχει τὸ λογικὸν τοῦ θυμικοῦ καὶ τοῦ ἐπιθυμητικοῦ καὶ ἀναχαιτίζει αὐτὰ τῆς ἀλόγου ὁρμῆς, ταῦτα δὲ ὑπηρετοῦσιν αὐτῷ· ἐπὶ δὲ τῶν μοχθηρῶν καὶ φαύλων ψυχῶν τοὐναντίον γίνεται, ταῦτα μὲν ἄρχουσι τοῦ λογικοῦ, τὸ δ' ὑπείκει αὐτοῖς. ⟧ p. 129a17 Τῶν δὲ ἰδίων ἐστὶ λογικὰ μάλιστ α . Λογικὰ προβλήματα λέγει τὰ ἐπιχορηγοῦντα πολλοὺς λόγους καὶ πολλὰ ἐπιχειρήματα καὶ ἰσχυρά· εἰσὶ δὲ ταῦτα τά τε κα θ ' αὑτὰ καὶ ἀεὶ καὶ τὰ πρὸς ἕτερο ν . τὸ μὲν γὰρ πρὸς ἕτερον ἴδιο ν , φησί, τέσσαρα ποιεῖ προβλήματα· τὸ δὲ κα θ ' αὑτὸ καὶ ἀεὶ πρὸς πολλὰ ἔστιν ἐπιχειρεῖ ν . καὶ γὰρ δεῖ λαμβάνειν τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ δεῖ τούτῳ τῷ ἰδίῳ χωρίζειν τὸν ἄνθρωπον ἀφ' ἑκάστου τῶν ὄντων, οἷον ἵππου, βοὸς καὶ τῶν ἄλλων τῶν ἀνομοειδῶν. οὕτω γὰρ χωρίζοντες τὸν ἄνθρωπον ἀπὸ τῶν ἀνομοειδῶν πάντων ποιοῦμεν πολλὰ ἐπιχειρήματα· οἷον τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἴδιον καθ' αὑτὸ τοῦ ἀνθρώπου· λοιπὸν οὔτε τῷ ἵππῳ ἐστὶν ἴδιον οὔτε τῷ βοῒ οὔτε ἄλλῳ τῶν τοιούτων, ἀλλὰ τὸ τετράπουν.

in Top.373 τὰ πρὸς ἕτερον οὖν ἴδια δύο 〈ἢ〉 καὶ τέσσαρα προβλήματα, ὡς εἴρηκε, ποιοῦντα πολλὰ ἐπιχειρήματα πρὸς ἕκαστον ἑαυτῶν ἐφέλκεται. τὸ δὲ καθ' αὑτὸ καὶ κυρίως ἴδιον καὶ τοῦτο λογικόν ἐστιν, ὅτι δυνατὸν καὶ ἐξ αὐτοῦ πρὸς πλείονα ἐπιχειρεῖν ⟦ ἤγουν πολλὰ ἐπιχειρήματα λαμβάνειν· ὁ γὰρ κατασκευάζων τὸ γελαστικὸν καθ' αὑτὸ ἴδιον εἶναι τοῦ ἀνθρώπου δείκνυσιν αὐτὸ ἀντιστρέφον καὶ μόνῳ καὶ παντὶ καὶ ἀεὶ ὑπάρχον. τὸ δὲ ἀεὶ ἴδιον ὁ κατασκευάζων πρὸς πλείονας χρόνου ς , ἤγουν τὸν παρεληλυθότα, τὸν ἐνεστῶτα καὶ τὸν μέλλοντα, παρατηρήσει καὶ σπουδάσει λαμβάνειν ἐξ αὐτῶν τὰ ἐπιχειρήματα, ὡς ὁ εἰπὼν τὸν θεὸν ζῷον ἀθάνατον εἶναι καὶ ἴδιον ὑπάρχειν αὐτὸ τῷ θεῷ δείξει καὶ κατὰ τὸν παρεληλυθότα χρόνον ἀθάνατον εἶναι καὶ κατὰ τὸν ἐνεστῶτα καὶ κατὰ τὸν μέλλοντα· εἰ γὰρ μὴ ἐφαρμόζει τοῦτο τῷ θεῷ κατά τινα τῶν τοιούτων χρόνων, ἀναιρεῖται, ὥσπερ καὶ τὸ καθ' αὑτὸ ἴδιον δεῖ χωρίζειν τὸ εἶδος, οὗ ἐστιν ἴδιον, ἀφ' ἑκάστου τῶν ὄντων· εἰ δὲ μή, οὐκ ἔσται καθ' αὑτὸ ἴδιον. δεῖ δὲ γινώσκειν ὅτι τὸ ἀεὶ ἴδιον πλέον ἐστὶ τοῦ καθ' αὑτό. πᾶν μὲν γὰρ καθ' αὑτὸ καὶ κυρίως ἴδιόν ἐστι καὶ ἀεί, ὡς τὸ ἐπιστήμης δεκτικόν· οὐ πᾶν δὲ τὸ ἀεὶ ἴδιόν ἐστι καὶ καθ' αὑτό· τὸ γὰρ δίπουν ἀεὶ μὲν ὑπάρχει τῷ ἀνθρώπῳ, οὐ καθ' αὑτὸ δὲ καὶ κυρίως διὰ τὸ εἶναι καὶ τοῖς ὀρνέοις. τὸ δὲ ποτὲ ἴδιον οὐ λέγεται λογικὸν πρόβλημα διὰ τὸ μὴ εἰς πολλοὺς λόγους ἐπιχειρεῖν· ἀπὸ μόνου γὰρ τοῦ χρόνου ἔχομεν ἐπιχειρεῖν πρὸς κατασκευὴν καὶ ἀνασκευὴν τούτου, καθ' ὃν λέγομεν νῦν ὑπάρχειν αὐτό· οἷον τὸ ἐν γήρᾳ πολιοῦσθαι τὸν ἄνθρωπον κατασκευάσομεν, εἰ κατὰ τὸν καιρὸν τοῦ γήρως πάντας δείξομεν πολιουμένους. ⟧ p. 129a26 Τὸ δ ' ἀεὶ πρὸς πολλοὺς χρόνου ς . Τὸ ἀεὶ ἴδιον πολλά, φησί, τὰ ἐπιχειρήματα χορηγεῖ τῷ τηροῦντι καὶ ἀποβλέποντι πρὸς ἅπαντας τοὺς χρόνους. δεῖ γὰρ ὁρᾶν εἰ τὸ καθῆσθαι μὴ ὑπάρχει νῦν τῷ Σωκράτει ἢ μὴ ὑπῆρξεν ἢ μὴ ὑπάρξε ι , ὥστε οὐκ ἔστι τὸ καθῆσθαι ἴδιον τοῦ Σωκράτους. p. 129a28 Τὸ δὲ ποτὲ πρὸς τὸν νῦν λεγόμενον χρόνον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπισκοποῦμε ν . Ἐπὶ δὲ τοῦ ποτὲ ἰδίου οὐκ εἰσὶ λόγοι καὶ ἐπιχειρήματα πολλά, διότι ἐπὶ τοῦ νῦν μόνον χρόνου σκοποῦμεν.

in Top.374 καὶ εἰ μὲν ἔστι τῷ Σωκράτει νῦν τὸ καθῆσθαι, ἔστι καὶ ἴδιον αὐτοῦ· εἰ δὲ οὐκ ἔστι νῦν, οὐδὲ ἴδιον αὐτοῦ εἴη ἄν. ἐπὶ γὰρ τοῦ παρεληλυθότος καὶ μέλλοντος τὸ ποτὲ οὐ σκοποῦμεν, ἀλλὰ πρὸς τὸ νῦν· πρὸς γὰρ τοῦτον τὸν χρόνον ἐν ᾧ ὑπάρχειν αὐτῷ λέγεται τὸ ποτὲ ἴδιον. οὐκ εὔπορος δὲ πρὸς τὸ οὕτως ἴδιον ἡ ἐπιχείρησις ἀπὸ ἑνός τινος γινομένη χρόνου. λογικὸν δέ, φησί, τοῦ τ ' ἔστι πρόβλημα πρὸς ὃ λόγοι γίνονται καὶ συχνοὶ καὶ καλοί · τὰ γὰρ εὐεπιχείρητα καὶ πολλὰς ἀφορμὰς ἔχοντα λογικὰ καλεῖ. p. 129a32 Τὸ μὲν οὖν πρὸς ἕτερον ἴδιον ῥηθὲν ἐκ τῶν περὶ τὸ συμβεβηκὸς τόπων ἐπισκεπτέο ν . Καὶ γὰρ ἣ τοῦ ἀεὶ καὶ παντὶ ὑπάρχοντός ἐστι τὸ πρὸς ἕτερον ἴδιον, καὶ παραδίδωσι τοὺς πρὸς τοῦτο τόπους, ἢ τῶν ὡς ἐπὶ τὸ πλεῖστον καὶ οὐκ ἀεί. καὶ ἄντικρυς τὰ οὕτως ὑπάρχοντά τισι τῶν συμβεβηκότων ἐστίν. εἶπε δὲ καὶ ἐν τῷ πρώτῳ ὅτι τὰ συμβεβηκότα πολλάκις ἴδια γίνονται πρός τι. ⟦ Δεῖ οὖν ἐν τούτοις ἐπισκέπτεσθαι καὶ λαμβάνειν τὰ ἐπιχειρήματα ἐξ ὧν εἴπομεν τόπων περὶ τοῦ συμβεβηκότος. ὡς γὰρ ὁ τὸ λευκὸν κατασκευάζων συμβεβηκέναι τῷ σώματι ἐκ τοῦ τινὶ μὲν ὑπάρχειν τινὶ δὲ μὴ ὑπάρχειν, οὕτω καὶ τὸ πρὸς ἕτερον ἴδιον μὴ ἀεὶ δὲ ὑπάρχον κατασκευάσει ἐκ τοῦ τισὶ μὲν ψυχαῖς ὑπάρχειν τισὶ δὲ μὴ ὑπάρχειν. ὥστε οἱ αὐτοὶ τόποι χρήσιμοί εἰσι καὶ πρὸς τὰ κατὰ συμβεβηκὸς προβλήματα καὶ πρὸς τὰ πρὸς ἕτερον καὶ ποτὲ ἴδια. ἐκ δὲ τῶν ῥηθησομένων τόπων θεωρητέο ν , φησί, κατασκευάζειν καὶ ἀνασκευάζειν τά τε καθ' αὑτὰ ἴδια καὶ τὰ ἀεί. ⟧ p. 129b1 Πρῶτον μὲν εἰ καλῶ ς . ⟦ Πρῶτον τόπον ἐκτίθησιν ἀνασκευαστικὸν τὸν δεικνύοντα τὸ ἴδιον μὴ διὰ γνωριμωτέρων καὶ σαφεστέρων λόγων ἀποδεδομένον. τὸ γὰρ ἴδιον χάριν γνώσεως καὶ μαθήσεως τοῖς πράγμασιν ἀποδίδοται, ὥσπερ καὶ ὁ ὁρισμὸς πρὸς παράστασιν καὶ γνῶσιν τοῦ ὁριστοῦ. εἰ γοῦν ἀσαφὲς τὸ ἀποδεδομένον τινὸς ἴδιον, πῶς γνωρίσομεν τὸ εἶδος οὗ ἐστιν ἴδιον; οἷον εἴ τις ἀποδοίη τοῦ πυρὸς ἴδιον τὸ ὁμοιότατον εἶναι τῇ ψυχῇ, ἀσαφέστερον τοῦ πυρὸς ἴδιον ἀπέδωκε τὴν ὁμοιότητα τῆς ψυχῆς· μᾶλλον γὰρ γνωρίζομεν τὴν φύσιν τοῦ πυρὸς ἢ τὴν ψυχήν.

in Top.375 ⟧ p. 129b2 Ἓν μέ ν , εἰ μὴ διὰ γνωριμωτέρων ἢ γνωριμωτέρω ν . Καὶ τοῦτο διχῶς· ἢ γὰρ ὅλως ἀγνωστότερόν ἐστι τὸ ἀποδιδόμενον ἴδιον τοῦ οὗ ἔστιν ἴδιον· τὸ δ έ , εἰ μὴ γνωριμώτερόν ἐστι τόδε τῷδε ὑπάρχο ν . δεῖ γὰρ οὐ μόνον εἶναι γνωριμώτερον τοῦ πράγματο ς , ἀλλὰ καὶ ὅτι τῷδε ὑπάρχε ι , γνωριμώτερον ὑπάρχειν · ὁ γὰρ μὴ εἰδὼς εἰ τῷδε ὑπάρχε ι , οὐ δ ' εἰ τούτῳ ὑπάρχει μόνῳ γνωριε ῖ . Ἀποδοτέον οὖν, φησί, τὸ ἴδιον διὰ γνωριμωτέρων· οὕτω γὰρ καλῶς ἂν μᾶλλον κατανοηθείη τὸ ὑποκείμενον. εἰ γὰρ ἀποδοθείη πυρὸς εἶναι ἴδιον τὸ ὁμοιότατον σφαιρικῇ ἀτόμῳ, οὐκ ἔσται καλῶς ἀποδεδομένον· μᾶλλον γὰρ δῆλον τί ἐστι πῦρ τοῦ τί ἐστιν ἡ σφαιρικὴ ἄτομος. p. 129b13 Τὸ δ έ , εἰ μὴ γνωριμώτερόν ἐστ ι . Δεύτερον τόπον καὶ τοῦτον ἀνασκευαστικὸν ἐκτίθησι λέγων εἰ μὴ γνωριμώτερόν ἐστι τόδε τῷ δ ' ὑπάρχο ν , τουτέστιν εἰ ἀμφισβητεῖται τὴν ὕπαρξιν ἔχειν τὸ ἀποδιδόμενον ἴδιον ἐν τῷδε τῷ ὑποκειμένῳ. οἷον εἴ τις θείη πυρὸς ἴδιον εἶναι τὸ ἐν ᾧ πρώτῳ πέφυκεν εἶναι ψυχήν· ἀμφισβητεῖται γὰρ εἰ ἐν τῷ ἐμφύτῳ θερμῷ ὑπάρχει ἡ ψυχή· ἄλλοι γὰρ ἐν τῷ πνεύματι ἀπέδωκαν εἶναι τὴν ψυχὴν καὶ ἄλλοι ἐν τῇ καρδίᾳ· ὥστε οὐκ ἔστι καλῶς ἔχον τὸ ἀποδοθὲν ἴδιον. δεῖ οὖν μὴ μόνον γνωριμώτερον εἶναι τὸ ἴδιον τοῦ ὑποκειμένου, ἀλλὰ καὶ ὅτι γνωριμώτερον καὶ μὴ ἀμφισβητούμενον ὑπάρχει ὑπάρχον τῷδε, τουτέστιν ὅτι ἔχει τὴν ὕπαρξιν ἐν τῷδε τῷ ὑποκειμένῳ. ὁ γὰρ μὴ εἰδὼς εἰ τὸ γελαστικὸν ὅλως ὑπάρχει τῷ ἀνθρώπῳ, οὐδ' εἰ [τῷδε] τῷ ἀνθρώπῳ μόνῳ καὶ παντὶ [καὶ πρώτῳ] καὶ ἀεὶ ὑπάρχει εἴσεται· τὸ γὰρ κυρίως ἴδιον οὕτω πρόσεστι τῷ οὗ ἐστιν ἴδιον. τὸν οὖν μέλλοντα, φησί, κατασκευάζειν τὸ ἴδιον χρὴ σκοπεῖν εἰ γνωριμώτερον καὶ σαφέστερον αὐτὸ ἀπεδόθη, καὶ εἰ κα θ ' ἑκάτερον τῶν εἰρημένων τρόπω ν , τουτέστι τοῦ μήτε ἁπλῶς ἄγνωστον τὸ ἀποδοθὲν ἴδιον εἶναι μήτε γνωστὸν μὲν μὴ γνωριμώτερον δὲ τοῦ ὑποκειμένου πράγματος οὗ ἴδιον ἀπεδόθη· εἰ γὰρ μὴ ἀμφισβητεῖται ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τόδε τὸ ἴδιον ὑπάρχει τῷ ὑποκειμένῳ, καὶ εἰ διὰ σαφῶν καὶ γνωρίμων εἴτε ὀνομάτων εἴτε λόγων ἀπεδόθη, φανερὸν ὅτι καλῶς ἀποδέδοται.

in Top.376 οἱ γὰρ κατασκευαστικοὶ τόποι τοῦ καλῶς ἀποδεδόσθαι τὸ ἴδιον οἱ μὲν αὐτὸ τοῦτο μόνον τὸ καλῶς ἀποδεδόσθαι τὸ ἴδιον κατασκευάζουσι (τοῦτο γὰρ δηλοῖ τὸ κατὰ τοῦτο μόνο ν) , οἱ δ ’ ἁπλῶς δείξουσιν ὅτι καλῶ ς . ἁπλῶς δέ φησιν ἀντὶ τοῦ ‘καθόλου καὶ κυρίωσ‘, οὓς καὶ μέλλει μετὰ ταῦτα παραδώσειν. καὶ ἐνταῦθα δὲ διὰ τοῦ παραδείγματος, ὃ ἐκτίθησι, σαφὲς ποιεῖ τὸ λεγόμενον· ὁ γὰρ ἀποδούς, φησί, ζῴου ἴδιον τὸ αἴσθησιν ἔχειν καλῶς ἀπέδωκε καὶ καθ’ ἑκάτερον τῶν εἰρημένων τρόπων, τουτέστιν ὅτι καὶ διὰ γνωριμωτέρων καὶ σαφεστέρων, καὶ ὅτι οὐκ ἀμφισβητεῖται τὸ ὑπάρχειν τῷ ζῴῳ τὸ αἰσθητικὸν εἶναι. p. 129b17 Ὥστε ὁποτέρου τούτων συμβάντος ἀσαφὲς γίνεται τὸ ἴδιο ν . ⟦ Τουτέστιν εἴτε ἀσαφές ἐστι τὸ ἴδιον, εἴτε οὐ πρόδηλόν ἐστιν ὅτι ὑπάρχει τῷ εἴδει οὗ ἴδιον ἀποδίδοται, ἀσαφῶς καὶ μὴ καλῶς ἀποδοθὲν τὸ ἴδιον ἀπελέγχεται. οἷον ὁ θεὶς ἴδιον τοῦ πυρὸς τὸ ἐν ᾧ πρώτῳ ψυχὴ πέφυκεν εἶναι οὐ καλῶς ἀποδέδωκε τὸ ἴδιον κατ’ ἄμφω τοὺς τρόπους, ὅτι τε ἀσαφές ἐστιν (ἀγνωστοτέρα γὰρ ἡ ψυχὴ τοῦ πυρός ἐστι) , καὶ ὅτι οὐ πρόδηλός ἐστιν ἡ ὕπαρξις αὐτῆς· ἄδηλον γὰρ εἰ πρώτῳ πυρὶ ἐνυπάρχει ἡ ψυχή. σαφηνιστέον δὲ τὸν περὶ τούτου λόγον. πῦρ μὲν λέγουσιν οἱ τοῦτο τιθέμενοι τὸ ἔμφυτον θερμόν, οὗ φασιν ὄχημα εἶναι τὴν ψυχήν· ἐν τούτῳ γὰρ φαίνεται καὶ ἔνεστιν αὕτη, καὶ χωρὶς αὐτοῦ οὐ δύναταί τι ἐνεργῆσαι· νεκροποιὸν γὰρ τὸ ψυχρὸν καὶ ἀκινησίαν ἐμποιοῦν. ἡ γὰρ κινητικὴ καὶ ἡ θρεπτικὴ ψυχὴ καὶ αἱ ἄλλαι δυνάμεις αὐτῆς διὰ τοῦ ἐμφύτου θερμοῦ ὡς δι’ ὀργάνου τινὸς τὰς πέψεις καὶ θρέψεις τοῦ ζῴου καὶ τὰς κινήσεις καὶ τὰς αὐξήσεις καὶ τὰς ἄλλας ἐνεργείας ἀποτελοῦσιν. ⟧ p. 129b22 Κατασκευάζοντα δὲ εἰ διὰ γνωριμωτέρων κεῖται τὸ ἴδιο ν . Ὅτι δεῖ τὸν κατασκευάζοντα διὰ γνωριμωτέρων κα θ ’ ἑκάτερον τῶν τρόπων τὴν ἀπόδοσιν τοῦ ἰδίου ποιεῖσθαι τῷ αὐτοῦ τοῦ πράγματος γνωριμώτερον εἶναι τὸ ἴδιον καὶ τὴν ὕπαρξιν αὐτοῦ· εἰ γάρ τι τούτων ἐνδεῖ, ἀσαφὴς ἡ ἀπόδοσις.

in Top.377 προσθεὶς δὲ τὸ ἔσται γὰρ κατὰ τοῦτο καλῶς κείμενο ν , τῆς προσθήκης ταύτης αἰτίαν ἀπέδωκεν εἰπὼν τῶν γὰρ κατασκευαστικῶν τόπων τοῦ καλῶς οἱ μὲν τὸ καλῶς ἁπλῶς κατασκευάζουσιν, ὧν ὕστερον μνημονεύσει, οἱ δὲ κατὰ τοῦτο · ὁ γὰρ δείξας ἔχειν τι τόδε κατὰ τοῦτο καλῶς ἔχειν τὸ προκείμενον ἔδειξε, κἂν μὴ πάντῃ καλῶς ἔχῃ. p. 129b23 Ἔσται γὰρ κατὰ τοῦτ ο . ⟦ Εἰκότως πρόσκειται τὸ κατὰ τοῦτ ο , ἤγουν ὅτι κατὰ τούτους μὲν τοὺς τρόπους, καθό τε σαφὲς ὑπάρχει τὸ ἴδιον καὶ πρόδηλός ἐστιν ἡ τούτου ὕπαρξις, καλῶς ἀποδέδοται· κατὰ δὲ τοὺς ἄλλους τρόπους ἴσως, τουτέστιν εἰ μὴ ἀντιστρέφει, εἰ μὴ μόνῳ καὶ παντὶ καὶ ἀεὶ ὑπάρχει, οὐχ εὑρεθήσεται καλῶς ἀποδοθέν. τῶν γὰρ κατασκευαστικῶν τόπων τοῦ καλῶς ἀποδεδόσθαι τὸ ἴδιον οἱ μὲν κατὰ τοῦτο μόνον κατασκευάζουσιν αὐτὸ καλῶς ἀποδοθέν, ἤγουν κατά τε τὸ σαφὲς καὶ γνώριμον εἶναι τὸ ἴδιον καὶ κατὰ τὸ πρόδηλον εἶναι τὴν αὐτοῦ ὕπαρξιν, κατὰ δὲ τοὺς ἄλλους τρόπους, ἤγουν τό τε ἀντιστρέφειν καὶ τὸ μόνῳ καὶ παντὶ καὶ ἀεὶ ὑπάρχειν, ἴσως οὐ δεικνύουσι καλῶς ἀποδοθέν, οἱ δὲ ἁπλῶς δείξουσιν, ἤγουν κατὰ πάντα τρόπον καθ’ ὃν συνίσταται τὸ ἴδιον καλῶς ἀποδοθέν. ⟧ p. 129b30 Ἔπει τ ’ ἀνασκευάζοντα μέ ν . Εἴ τι τῶν ὀνομάτω ν , φησί, τῶν ἐν τῷ ἰδίῳ πλεοναχῶς λέγεται ἢ καὶ ὅλος ὁ λόγος πλείω σημαίνε ι , ἀσαφὲς τοῦτο ἔλεγχον παρέχει. Εἰκότως δὲ προσέθηκε τὸ ἢ καὶ ὅλως ὁ λόγος · οὐ μόνον γὰρ ἐπὶ τῶν ὁμωνύμων φωνῶν εὑρίσκεται τὸ πλεοναχῶς λέγεσθαι ἀλλὰ καὶ ἐπὶ τοῦ λόγου, ὃ καλεῖται ἀμφιβολία, ὡς ἐν τῷ “γένοιτο, Ζεῦ, τὸν σῦν καταβαλεῖν ἐμέ”· δύναται γὰρ καὶ διὰ λόγου ἀποδίδοσθαι τὸ ἴδιον, ὡς τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν.

in Top.378 δεῖ οὖν, φησίν, ὁρᾶν εἰ δι’ ὁμωνύμου φωνῆς ἀποδέδοται τὸ ἴδιον ἢ διὰ λόγου ἀμφιβολίαν ποιοῦντος, καὶ οὕτως ἀνασκευάζειν καὶ ἀποδεικνύναι μὴ καλῶς ἀποδεδομένον τὸ ἴδιον. p. 130a5 Ἔτι δὲ πρὸς τούτοι ς . Ἔτ ι , φησί, πρὸς τούτοις ἔλεγχόν τινα 〈ἤ τινασ〉 ἀφορμὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλέγχου παρέχει ἡ τοιαύτη ἀπόδοσις. ἐπεὶ γὰρ οὐ κατὰ πάντα τὰ σημαινόμενα ὑπὸ τοῦ πολλαχῶς λεγομένου τὸ ἴδιον δηλοῦται, ἔστι μεταφέροντα τὸ ὄνομα ἢ τὸν λόγον ἐπὶ τῶν ἄλλο τι σημαινόντων ἀνασκευάζειν τὸ ἀποδοθὲν ὡς οὐκ ἴδιον. ⟦ Ἔλεγχος δέ ἐστι τὸ τὸν προσδιαλεγόμενον εἰς ἀντίφασιν περιάγειν τὸν ἀποκρινόμενον. ἐν γὰρ τῇ τοῦ ἰδίου δι' ὁμωνύμων λέξεων ἀποδόσει, οἷόν ἐστι τὸ αἴσθησιν ἔχειν, ἴσως ὁ μὲν ἀποκρινόμενος ἐξελάβετο αὐτὸ ἐπὶ τοῦ δυνάμει, ὡς διὰ τοῦτο καὶ τὸν κοιμώμενον λέγειν αἴσθησιν ἔχειν, ὁ δὲ ἐρωτῶν καὶ ποιῶν τὸν συλλογισμὸν οὐκ ἐπὶ τοῦ δυνάμει ἐκλήψεται τοῦτο ἀλλ' ἐπὶ τοῦ ἐνεργείᾳ τοῦ διαφωνοῦντος καὶ διαφέροντος πρὸς τὸ δυνάμει, καὶ συλλογιεῖται ὅτι ὁ κοιμώμενος οὐκ ἐνεργεῖ κατὰ τὴν αἴσθησιν· ὁ δὲ μὴ κατὰ ταύτην ἐνεργῶν οὐχ ὁρᾷ· ὁ κοιμώμενος ἄρα οὐχ ὁρᾷ· πῶς οὖν σὺ φὴς τὸν κοιμώμενον αἰσθάνεσθαι; εἰ γὰρ ᾐσθάνετο, καὶ ἑώρα. ⟧ p. 130a8 Κατασκευάζοντα δὲ εἰ μὴ πλείω σημαίνε ι . Πολλὰ γὰρ καθ' αὑτὰ μὲν λεγόμενα οὐκ ἔστι τῶν πολλὰ σημαινόντων, συντεθέντα δὲ ἀλλήλοις πλείω σημαίνει· καὶ πάλιν ἔστιν ἃ καθ' αὑτὰ μὲν λεγόμενα πλείω σημαίνει, συντεθέντα δὲ οὐκέτι, ὡς ἐδείχθη ἐν τῷ Περὶ τοῦ πολλαχῶς Θεοφράστου. ἐν γὰρ τῷ ἐπίστασθαι γράμματα τὸ συναμφότερον ἀμφίβολον μηδετέρου τῶν ὀνομάτων ὁμωνύμου ὄντος καθ' αὑτό· τὸ αὐτὸ καὶ τὸ τὸν Δίωνα τὸν Πλάτωνα τύπτειν· τὰ μὲν γὰρ ὀνόματα ἁπλᾶ, ὁ δὲ ἐξ αὐτῶν συγκείμενος λόγος ἀμφίβολος· πάλιν ἐν τῷ 'ἀετὸς πέτεται, κύων ὑλακτεῖ' τὰ μὲν ὀνόματα ὁμώνυμα, οἱ δὲ λόγοι ἁπλοῖ.

in Top.379 τὸ δὲ κατὰ τοῦτο προστίθησιν, ὡς εἴρηται, ὅτι καὶ ἐνδέχεται ὡς ἴδιόν 〈τί〉 τινος ἀποδεδόσθαι οὐκ ὂν ἴδιον χωρὶς ὁμωνυμίας ἢ ἀμφιβολίας καὶ κατὰ ἄλλην τινὰ ἁμαρτίαν ἁμαρτάνειν τὸν ἀποδιδόντα τὸ ἴδιον· ὥστε οὐ πάντως ἴδιον ὃ μὴ τούτων τι ἔχει, ἀλλ' ὅσον γε κατὰ τοῦτο ὑγιὴς ἡ ἀπόδοσις. Κατασκευάζοντα οὖν, φησί, δεῖ σκοπεῖν εἰ τὸ ἀποδοθὲν ἴδιον οὔτε δι' ὁμωνύμου ἀπεδόθη φωνῆς οὔτε διὰ λόγου πλεοναχῶς λεγομένου, ὥσπερ εἴ τις θείη τοῦ πυρὸς ἴδιον εἶναι τὸ σῶμα εὐκινητότατον εἰς τὸν ἄνω τόπον· οὔτε γὰρ τὸ σῶμα αὐτὸ καθ' ἑαυτὸ οὔτε τὸ εὐκινητότατον εἰς τὸν ἄνω τόπον πλείω σημαίνει, ἀλλ' οὐδὲ τὸ σύνολο ν , τουτέστι τὸ ἐκ τούτων συντιθέμενο ν , ἤγουν αὐτὸς ὁ λόγος δι' οὗ ἀπεδόθη τὸ ἴδιον. p. 130a15 Εἰ πλεοναχῶς λέγετα ι . Πάλιν ἀνασκευάζοντα μέ ν , φησί, δεῖ σκοπεῖν εἰ πλεοναχῶς λέγεται τὸ ὑποκείμενον, οὗ τὸ ἴδιον ἀποδέδοται, καὶ οὐ διώρισται ποίου τῶν σημαινομένων 〈ὑπὸ τοῦ〉 ὑποκειμένου ἀποδέδοται τὸ ἴδιον· οὕτω γὰρ ἀποδοθὲν οὐ καλῶς ἀποδέδοται. [ δ ι ' ἃς δὲ αἰτίας οὐκ ἂν εἴη καλῶς ἀποδεδομένον τὸ ἴδιον, καὶ αὐτὸς μέν, ὥς φησιν, εἴρηκε πρὸ ὀλίγου, ἡμεῖς δ' ἱκανῶς ἐπεσημηνάμεθα· τὰ γὰρ αὐτὰ κἀν τούτῳ συμβαίνειν ἄτοπα ἀναγκαῖον ἃ καὶ ἐν τοῖς πρότερον συνέβαινε. λαμβάνει οὖν εἰς παράδειγμα τὸ ἐπίστασθαι τοῦτο ὡς ὑποκείμενον, ὃ σημαίνει πλείονα· τὸ μὲν γὰρ σημαίνει ὅτι ἔχει αὐτὸ ἐπιστήμην, τὸ δὲ τὸ ἐπιστήμην εἶναι αὐτο ῦ , τουτέστι τὸ ἐπιστητὸν εἶναι αὐτὸ ἐνεργείᾳ. οὐ δεῖ οὖν τοῦ ἐπίστασθαι τοῦτο ὑποκειμένου πειρᾶσθαι τὸ ἴδιον αὐτοῦ ἀποδιδόναι, πρὶν ἂν διορισθῇ ποίου τῶν σημαινομένων ὑπ' αὐτοῦ ζητεῖται ἀποδοθῆναι τὸ ἴδιον. εἰ δὲ οὐ σημαίνει τὸ ὑποκείμενον πολλὰ ἀλλ' ἕν, οἷον ὁ ἄνθρωπος, τότε δεῖ αὐτοῦ ἴδιον ἀποδοῦναι.] p. 130a17 Δ ι ' ἃς δὲ αἰτία ς , οὐκ ἄδηλόν ἐστιν ἐκ τῶν πρότερον εἰρημένω ν . Καὶ γὰρ ἀσαφὲς τὸ λεγόμενον τῷ μὴ γνώριμον εἶναι τίνος τῶν σημαινομένων ὑπὸ τοῦ ὁμωνύμου τὸ ἴδιον ἀποδίδωσι, καὶ * ἀφορμὴν ἀνασκευῆς, ἂν ἄλλο τι τῶν σημαινομένων ὑπὸ τοῦ ὀνόματος, οὗ μή ἐστι τὸ ἀποδοθὲν ἴδιον, προχειρισάμενος ἐπ' αὐτοῦ ποιῆται τὸν ἔλεγχον.

in Top.380 p. 130a19 Οἷον ἐπεὶ τὸ ἐπίστασθαι τοῦτο πολλὰ σημαίνε ι . Τὸ ἐπίστασθαι τοῦτο δύο σημαίνει, ἢ τὸ ἐπιστήμην αὐτὸ ἔχειν ἢ τὸ ἐπιστήμην αὐτοῦ εἶνα ι , καὶ ἑκάτερον διχῶς, ἢ καθ' ἕξιν ἢ κατὰ προχείρισιν. p. 130a29 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ πλεονάκις εἴρηκε τὸ αὐτὸ ἐν τῷ ἰδί ῳ . Κατὰ δύο τρόπους φησὶ συμπίπτειν τὸ πλεονάκις ἀποδίδοσθαι τὸ αὐτὸ ἴδιον· κα θ ' ἕνα μέ ν , εἴ τις τὸ αὐτὸ ὄνομα δὶς ἢ τρὶς λάβοι ἐν τῇ ἀποδόσει τοῦ ἰδίου [τὸ αὐτὸ ὄνομα πλεονάκις], οἷον εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πυρὸς ἴδιον ἀποδοίη τις λέγων σῶμα τὸ λεπτότατον τῶν σωμάτων · ἔλαβε γὰρ δὶς τὸ σῶμα· καθ' ἕτερον δέ, ὅταν ἀντὶ ὀνομάτων λόγον ἀποδῷ, ὡς εἴ τις φήσειε γῆς ἴδιον εἶναι τὸ οὐσία ἡ μάλιστα κατὰ φύσιν φερομένη τῶν σωμάτων εἰς τὸν κάτω τόπον · εἴ τις γὰρ ἐνταῦθα μεταλάβοι τὸ ὄνομα τῶν σωμάτων εἰς τὸν λόγον αὐτῶν, ὅς ἐστι τὸ οὐσιῶν τοιωνδ ί , τουτέστι τριχῇ διαστατῶν μετὰ ἀντιτυπίας (τὰ γὰρ τέσσαρα στοιχεῖα τριχῇ διαστατά εἰσι), τὸ 'οὐσία' πλεονάκις ἔλαβε. τεσσάρων δὲ ὄντων τῶν στοιχείων φανερὸν ὅτι ἡ γῆ τὸν κατώτατον ἐπέχει τόπον. p. 130b11 Εἰ τοιοῦτόν τι ἀποδέδωκε ν . Εἰ κέχρηταί τις ἐν τῷ ἰδίῳ ὀνόματι κοινῷ καὶ πᾶσιν ἐφαρμόζοντι, οὐ καλῶς, φησίν, ἀποδέδωκε· τὸ γὰρ ἴδιον ἐκείνῳ μόνῳ τῷ ὑποκειμένῳ δεῖ προσεῖναι, οὗ ἐστιν ἴδιον, καὶ διαχωρίζειν αὐτὸ ἀπὸ πάντων τῶν ἀνομοειδῶν, ὡς καὶ τὰ ἐν τοῖς ὅροις λαμβανόμενα. οἷον ἐὰν εἴπω ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστι, χωρίζω μὲν αὐτὸν ἀπὸ τῶν ἑτερογενῶν τῶν ἀναγομένων ἢ εἰς τὸ ποσὸν ἢ εἰς τὸ ποιὸν ἢ εἰς ἄλλην τινὰ τῶν κατηγοριῶν πλὴν τῆς οὐσίας, οὐ μὴν χωρίζω αὐτὸν καὶ ἀπὸ τῶν ὁμογενῶν, οἷον βοός, ἵππου ἤ τινος τῶν λοιπῶν.

in Top.381 πάλιν ἐὰν εἴπω ζῴου ἴδιον τὸ ἔμψυχον, κοινὸν ἀπέδωκα ἴδιον ἐμφαινόμενον καὶ τοῖς φυτοῖς. ἢ ὁ εἰπὼν ἐπιστήμης ἴδιον εἶναι ὑπόληψιν ἀμετάπειστον ὑπὸ λόγο υ , ἓν ὄν · οὗτος γὰρ χρῆται τῷ ἑνί, ὅπερ ἐν πᾶσιν ὑπάρχει τοῖς οὖσιν· ἢ γὰρ τῷ γένει λέγονται ἕν, ὡς βοῦς, ἵππος, ἄνθρωπος, ἢ τῷ εἴδει ἕν, ὡς Σωκράτης καὶ Πλάτων, ἢ τῷ ἀριθμῷ, ὡς μονὰς ἢ τόδε τι ἄτομον, ἢ ἓν κατὰ συνέχειαν, ὡς ἅπας ὁ κόσμος. ὥστε οὐ καλῶς ἀποδέδοται κατὰ τοῦτο τὸ ἴδιον. ⟦ τὸ γὰρ ἴδιον χάριν γνώσεως τοῦ πράγματος λαμβάνεται, οὗ λέγεται ἴδιον εἶναι, καὶ δεῖ χωρίζειν τὸ εἶδος, οὗ ἐστιν ἴδιον, τῶν ἄλλων εἰδῶν, ὥσπερ καὶ ὁ ὁρισμός· τὸ δὲ ἓν καὶ ὂν ὡς πᾶσι παρακολουθοῦντα τοῖς οὖσιν οὐ χωρίζουσι τὸ εἶδος ἀπό τινων, εἴ γε λάβοι τι τούτων ἐν τῷ ἀποδεδομένῳ ἰδίῳ. ⟧ p. 130b21 Οὐδενὶ κέχρηται κοιν ῷ . Εἴη ἂν κατὰ τοῦτο καλῶς ἀποδεδομένον τὸ ἴδιο ν , καθ' ὅσον οὐ πρόσκειταί τι πᾶσιν ὑπάρχον· ἐπεὶ τό γε ἀποδεδομένον οὐκ ἴδιον ζῴου ἀλλ' ἐμψύχου, ζῴου δὲ τὸ αἰσθητικόν, εἰ μὴ ἄρα ζῴου ἴδιον ὡς ἀεὶ ὑπάρχον. p. 130b23 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ πλείω ἴδια ἀποδίδωσι τοῦ αὐτοῦ ὡς ἕ ν . Εἰ πλείω τις, φησίν, ἀπέδωκεν ἴδια τοῦ αὐτοῦ μὴ προσδιορίσας ὅτι πλείω ἀπέδωκεν, ἁμαρτάνει· διὸ καὶ ἀναιρεθήσεται. ὥσπερ γὰρ ἐν τοῖς ὅροις οὐ δεῖ πλείω λαμβάνειν παρὰ τὸν λόγον τὸν δηλοῦντα τὴν οὐσία ν , ὡς τὸ 'ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν πλατυώνυχον ὀρθοπεριπατητικόν' (περιττῶς γὰρ ἔχει κείμενα τό τε πλατυώνυχον καὶ τὸ ὀρθοπεριπατητικόν), οὕτως οὐδ' ἐν τοῖς ἰδίοις δεῖ πολλὰ ἴδια ἀποδίδοσθαι παρὰ τὸ ἓν ὄνομα τὸ σημαῖνον τὸ ἴδιον ἢ τὸν λόγον τὸν ποιοῦντα τὸ ἴδιο ν . p.

in Top.382 130b28 Ἀχρεῖον γὰρ γίνεται τὸ τοιοῦτο ν . Ὅτι ὁ τὰ πλείω ἴδια ὡς ἓν ἀποδιδοὺς δῆλον ὡς ἕκαστον αὐτῶν οὐχ ἡγεῖται αὔταρκες εἶναι πρὸς ἰδίου ἀπόδοσιν. Οἷον εἴ τις εἴποι πυρὸς ἴδιον εἶναι τὸ λεπτότατον καὶ κουφότατον · ἓν γὰρ τῶν δύο, ἢ τὸ λεπτότατον ἢ τὸ κουφότατον, περιττὸν καὶ ἀχρεῖόν ἐστιν. ἢ πάλιν ὁ εἰπὼν 'ὕδωρ ἐστὶ σῶμα ὑγρὸν ἐν ἀλλοτρίῳ εὐόριστον' ἓν μὲν ἴδιον ἀπέδωκε τῷ ὕδατι τὸ 'σῶμα ὑγρόν', ἕτερον δὲ τὸ 'ἐν ἀλλοτρίῳ εὐόριστον'· τὸ γὰρ ὕδωρ ἐν μὲν τῷ οἰκείῳ τόπῳ ἀόριστόν ἐστι καὶ διακέχυται, ἐν ἀλλοτρίῳ δὲ τόπῳ περιορίζεται, οἷον ἐν κυάθῳ ἢ ἄλλῳ τινί. ὁ γὰρ ἀποδοὺς πολλὰ ἔοικεν ἀγνοεῖν ὅτι πολλὰ ἀποδέδωκεν. ἐὰν δὲ ἀποδῷ ἴδιον εἶναι ὑγροῦ τὸ εἰς ἅπαν ἄγεσθαι σχῆμ α , καλῶς ἐποιήσατο τὴν τοῦ ἰδίου ἀπόδοσιν· εἰ γὰρ ἐν στρογγύλῳ τινὶ ἐμβληθείη, στρογγυλῶδες καὶ αὐτὸ γίνεται· ὁμοίως καὶ εἰ εἰς ἄλλο τι σχῆμα ὁποιονοῦν. p. 130b38 Εἰ αὐτῷ προσκέχρητα ι . Πάλιν ἀνασκευάζοντα μὲν δεῖ, φησί, σκοπεῖν εἰ αὐτῷ προσκέχρηται τῷ ὑποκειμένῳ οὗ ἐστι τὸ ἀποδιδόμενον ἴδιον. οἷον ἀνθρώπου μὲν ἴδιον τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἐὰν δὲ ἀποδῷ τις ἀνθρώπου ἴδιον τὸ 'ζῷον λογικόν', αὐτὸ τὸ ὑποκείμενον ἔλαβεν ἐν τῷ ἰδίῳ, καὶ ἔστιν αὐτὸ ἄγνωστον καὶ ζητούμενον ὁμοίως τῷ ὑποκειμένῳ· τὸ δὲ ἴδιον οὐκ ὀφείλει ἄγνωστον εἶναι· χάριν γὰρ γνώσεως τοῦ

ὑποκειμένου εἴληπται. p. 130b39 Ἢ τῶν αὐτοῦ τιν ι . Τοῦτο οὐχ ἁπλῶς εἶπε· καὶ γὰρ ὁ καλῶς τὸ ἴδιον ἀποδιδοὺς προσχρῆταί τινι τῶν αὐτοῦ · τὸ γὰρ ἴδιόν τινος ἐκείνου τί ἐστιν. ἀλλ' ἔστι τὸ τῶν αὐτοῦ λεγόμενον, ὅταν τῶν τοιούτων τινὶ ἐν τῇ ἀποδόσει τοῦ ἰδίου προσχρῆται, ὃ δι' αὐτοῦ ἐκείνου, οὗ τὸ ἴδιον ἀποδίδωσι, γνωρίζεται, ὡς διὰ τῶν παραδειγμάτων δηλοῖ. ὁ γὰρ ἀποδιδοὺς ζῴου ἴδιον οὐσία ν , ἧς εἶδός ἐστιν ἄνθρωπο ς , ἐν τῇ ἀποδόσει τοῦ ἰδίου προσχρῆται τῷ ἀνθρώπῳ, ὃ τοῦ ζῴου τί ἐστι καὶ δι' ἐκείνου γνωρίζεται· λέγομεν γὰρ τὸν ἄνθρωπον ζῷον τοιόνδε, πρὸς τὴν δήλωσιν αὐτοῦ τῷ ζῷον εἶναι προσχρώμενοι.

in Top.383 Εἰ δὲ μήτε αὐτῷ τῷ ὑποκειμένῳ κέχρηται ἐν τῷ ἰδίῳ μήτε μηδενὶ τῶν αὐτοῦ τοῦ ὑποκειμένου μερῶν, καλῶς ἂν ἀποδοίη τὸ ἴδιον· οἷον εἴ τις ἀποδοίη τοῦ ζῴου ἴδιον τὸ ἐκ ψυχῆς καὶ σώματος συγκεῖσθαι, καλῶς ἂν ἀποδοίη. ἀλλ' ἔστιν ἔνστασις τούτου· ἡ ψυχὴ γὰρ καὶ τὸ σῶμα ἑκάτερόν τι τοῦ ζῴου ἐστίν, ὥστε οὐκ ἂν εἴη καλῶς ἀποδεδομένον τὸ ἴδιον. λύεται δὲ ἡ ἔνστασις οὕτως, ὅτι εἰ καὶ εἰσὶ μέρη τοῦ ζῴου τὸ σῶμα καὶ ἡ ψυχή, ἀλλ' οὐκ εἰσὶν ὑστερογενῆ τοῦ ζῴου ἀλλ' ἅμα· οὐδὲ γὰρ δυνατόν ἐστι νοῆσαι ζῷον μὴ εὐθὺς συνεπινοοῦντας καὶ ψυχὴν καὶ σῶμα. p. 131a12 Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων σκεπτέον ἐστ ί . Τὰ μὲν γὰρ μὴ ποιοῦντα τὸ ἴδιον γνώριμον εἰς ἀνασκευὴν ληπτέον αὐτοῦ, τὰ δ' αὖ ποιοῦντα εἰς κατασκευήν. ⟦ εἰ μὲν γὰρ τὰ λαμβανόμενα ἐν τῷ ἰδίῳ ποιοῦσι τὸ ἴδιον γνωριμώτερον τοῦ πράγματος οὗ ἐστιν ἴδιον, καλῶς ἀποδέδοται τὸ ἴδιον, εἰ δὲ μὴ ποιοῦσι τὸ ἴδιον γνωριμώτερον, οὐ καλῶς ἀποδέδοται. ⟧ p. 131a13 Ἀνασκευάζοντα μὲν εἴ τινι προσκέχρηται ἢ ἀντικειμένῳ ἢ ὅλως ἅμα τῇ φύσε ι . Κειμένου ὅτι ἡ τοῦ ἰδίου ἀπόδοσις γνώριμον τὸ πρᾶγμα ποιεῖ, λέγει [δὲ] ὅτι μὴ καλῶς ἀποδίδοται, ὅταν διὰ τῶν ὁμοίως ἀγνώστων ἢ διὰ τῶν ἀσαφεστέρων ἀποδιδῶται.

in Top.384 ἔστι δὲ ὁμοίως μὲν ἀσαφῆ τὰ ἅμα τῇ φύσει ὄντα τοῖς ἀποδιδομένοις, ὥσπερ δὲ γνωρίσματα τὰ ὕστερον τῇ φύσει ὄντα. ἔστι δὲ τῶν ἅμα τῇ φύσει τῶν ἀντικειμένων τὰ πρός τι καὶ τὰ ἐναντία. ἐν γὰρ τῇ ἀντιφατικῇ ἀντιθέσει καὶ τῇ καθ' ἕξιν καὶ στέρησίν ἐστι τὸ μὲν πρῶτον τὸ δὲ δεύτερον· ἡ μὲν γὰρ κατάφασις τῆς ἀποφάσεως, ἡ δὲ ἕξις τῆς στερήσεως. ἐπιζητήσειε δ' ἄν τις ἐπὶ τῶν πρός τι, εἰ μὴ διὰ τῶν ἀντικειμένων ἐπὶ τούτων ἥ τε τοῦ ὁρισμοῦ ἀπόδοσις καὶ ἡ τοῦ ἰδίου γίνεται· τούτοις γὰρ τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν. ἢ ὡς ἐνδόξως λεγομένοις δεῖ προσέχειν τοῖς ἐνταῦθα. καλῶς δὲ πρόσκειται τὸ ἢ ὅλως ἅμα τῇ φύσε ι , ἐπειδὴ καὶ τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρημένα ἅμα τῇ φύσει. p. 131a20 Κατασκευάζοντα δὲ εἰ μηδενὶ προσκέχρηται μή τ ' ἀντικειμέν ῳ . Πόθεν οὖν ληπτέον τὰ ἴδια, εἰ μήτε ἐκ τῶν ἅμα μήτε ἐκ τῶν ὑστέρων μήτε ἐκ τῶν προτέρων, ἵνα μὴ γένηται ὅρος; ἢ ἐκ τῶν ὑστέρων οὐ τῇ γνώσει ἀλλὰ τῷ πράγματι. p. 131a27 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ τὸ μὴ ἀεὶ παρεπόμενο ν . Ἐν τῇ διαιρέσει τοῦ ἰδίου ἀπέκρινε μὲν τὸ πρὸς ἄλλο λεγόμενον ἴδιον καὶ τὸ ποτέ· ἐτήρησε δὲ ὡς κυρίως ἴδια λεγόμενα τό τε καθ' αὑτὸ καὶ τὸ ἀεί, περὶ ὧν καὶ τοὺς τόπους παραδίδωσι τοῦ καλῶς ἢ μὴ ἀποδίδοσθαι. τοιοῦτος δὲ καὶ ὃν νῦν τίθησιν, εἰ τὸ ἀποδεδομένον ἴδιον μὴ ἀεὶ παρακολουθεῖ τῷ πράγματι οὗ ἀποδέδοται, ἀλλὰ ποτὲ μὲν ὑπάρχει ποτὲ δὲ οὔ· τὸ γὰρ τοιοῦτον συμβεβηκὸς καὶ οὐκ ἴδιον.

in Top.385 ἀντὶ δὲ τοῦ εἰπεῖν 'ὃ γίνεταί ποτε μὴ ὑπάρχον' εἶπεν ὃ γίνεταί ποτε μὴ ἴδιο ν . τὸ γὰρ τοιοῦτον οὐδ', ὅτε ὑπάρχει, ἴδιόν ἐστι διὰ τὸ μὴ ἀντιστρέφειν πρὸς τὸ οὗ λαμβάνεται ἴδιον· οὔτε γὰρ ᾧ ὑπάρχον καταλαμβάνεται τὸ οὕτως ἀποδοθὲν ἴδιον, κατὰ τούτου καὶ τὸ ὄνομα ἐξ ἀνάγκης ἀληθεύεται τοῦ πράγματος οὗ ἀπεδόθη ὡς ἴδιον, διὰ τὸ καὶ ἄλλοις ὑπάρχειν, οὔτε ᾧ μὴ καταλαμβάνεται ὑπάρχον, κατὰ τούτου ἐξ ἀνάγκης οὐ ῥηθήσεται τὸ ὄνομα τοῦ πράγματος· ἐνδέχεται γάρ, ᾧ μὴ ὑπάρχει αὐτό, εἶναι. ἐπὶ δὲ τῶν ἰδίων, ἐφ' ὧν τὸ ἴδιόν τινος ἀληθές, καὶ τοὔνομα πάντως, καὶ οἷς μὴ ὄντως ὑπάρχει τὸ ἴδιον, οὐδὲ τὸ ὄνομα τοῦ πράγματος οὗ ἐστιν ἴδιον, καὶ εὐλόγως, εἴπερ τὸ ἴδιον μόνῳ ἐκείνῳ ὑπάρχει οὗ ἐστιν ἴδιον. Προστίθησι τοῖς εἰρημένοις, ὅτι εἰ τοιοῦτόν ἐστι τὸ ἀποδοθὲν ἴδιον ὡς ποτὲ μὲν ὑπάρχειν ποτὲ δὲ μὴ τῷ

πράγματι, οὐ δ ’ ὅτε ἀποδίδοταί τινος, ἔσται φανερὸν εἰ τότε ὑπάρχει αὐτῷ, εἴ γε τοιοῦτόν ἐστιν ὡς ποτὲ μὲν ἀπολείπειν καὶ χωρίζεσθαι αὐτοῦ ποτὲ δὲ ὑπάρχειν αὐτῷ. ὥστε οὐ σαφὲς οὐδὲ φανερὸν 〈εἰ〉 ὑπάρχει, εἰ ἐνδέχεται αὐτὸ καὶ μὴ ὑπάρχειν ποτέ· τὸ δὲ μὴ ὑπάρχον τινί, ὅτε μὴ ὑπάρχει, τότε λέγεσθαι αὐτοῦ ἴδιον ἀτοπώτατον. τὸ δὲ ποτὲ ἴδιον αὐτὸς μετὰ προσθήκης λέγει τοῦ ποτέ, ἁπλῶς δὲ οὔ, ὅτι μηδὲ κυρίως ἴδιον. οὗτος δὲ ὁ τόπος καὶ οἱ ἑξῆς οὐ μόνον τοῦ καλῶς ἢ μὴ λαμβάνεσθαί εἰσι δεικτικοί, ἀλλὰ καὶ τοῦ εἰ ἴδιόν ἐστιν ἢ οὔ. p. 131a32 Ἔτι δὲ πρὸς τούτοι ς . Ἔτι δ έ , φησί, πρὸς τούτοις οὐ δ ’ ὅτε τυχὸν ἀπέδωκέ τις τῷ Σωκράτει τὸ κινεῖσθαι ἴδιον, ἔσται φανερὸν ὅτι ὑπάρχει τῷ Σωκράτει τὸ περιπατεῖν· οὐ μόνον γὰρ οὐκ ἔστιν ἴδιον, ἀλλὰ καὶ ζητεῖται εἰ τῷ Σωκράτει ὅλως ὑπάρχει, εἴπερ τοιοῦτον ἀποδέδωκεν ἴδιον οἷον ἀπολείπει ν , ἤγουν ὃ ἐνδέχεται καὶ μὴ ὑπάρχειν· ἄδηλον γὰρ εἰ ὁ Σωκράτης περιπατεῖ.

in Top.386 οὐ τοίνυν ἔσται σαφὲς καὶ γνώριμον τὸ ἴδιον, ὅπερ γίνεται καὶ μὴ ἴδιόν ποτε τοῦ ζῴου· ἐνδέχεται γάρ ποτε καὶ ἵστασθαι. οὗτος δὲ ὁ τόπος ἐστὶν ἀπὸ τῆς ὑπάρξεως. p. 131b5 Ἔπει τ ’ ἀνασκευάζοντα μὲν εἰ τὸ νῦν ἴδιο ν . ⟦ Ἔπειτα, φησί, θεωρητέον ἀνασκευάζοντα εἰ τὸ ἀποδοθὲν ἴδιον οὐκ ἀεί ἐστιν ἴδιον ἀλλὰ νῦν· οἷον τὸ τὸν Σωκράτην καθῆσθαι μετά τινος οὐκ ἀεί ἐστιν ἴδιον ἀλλὰ νῦν, ὅτε κάθηται. εἰ γοῦν ὁ τοῦτο ἀποδιδοὺς οὐ διωρίσατο καὶ δῆλον ἐποίησεν ὡς νῦν ἴδιον τοῦτο λέγει, οὐ καλῶς ἀπέδωκεν. εἰ γὰρ οὐ προσέθηκε τὸ νῦν ἀλλ’ ἀπολύτως εἶπε, φαίνεται δοξάζων τοῦτο ἀεὶ ἴδιον εἶναι τοῦ Σωκράτους· εἰώθαμεν γὰρ τὰ ἀεὶ ὑπάρχοντα ἀποδιδόναι ἴδια. εἰ δὲ παρὰ τὸ ἔθος οὐκ ἀποδέδωκε τὸ ἀεὶ ὑπάρχον ἴδιον ἀλλὰ τὸ νῦν, ἔδει αὐτὸν τέως προσδιορίσασθαι καὶ προσθεῖναι τὸ νῦν, ἵνα φανερὸν ποιήσῃ ποταπὸν ἴδιον ἀποδέδωκε. διὰ τοῦτο δέδωκεν οὗτος ἀφορμὴν τῷ προσδιαλεγομένῳ ἐπιτιμῆσαι καὶ μέμψασθαι αὐτόν. δεῖ γοῦν προσέχειν μὴ ἀφορμὰς διδόναι ἐπιτιμήσεως. ⟧ p. 131b19 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ τοιοῦτον ἀποδέδωκε τὸ ἴδιο ν , ὃ φανερὸν μή ἐστιν ἄλλως ὑπάρχον ἢ αἰσθήσε ι . Τουτέστιν εἰ πρὸς τὴν αἴσθησιν ἀποδέδωκε τὸ ἴδιον καὶ οὐ πρὸς τὴν φύσιν τοῦ πράγματος· τοῦτο γὰρ οὐ τὸ πρᾶγμα ὅ τι ἐστὶν ἐξηγεῖται, ἀλλὰ πῶς ἔχει πρὸς τὴν αἴσθησιν. διὸ καὶ συμβέβηκε τὴν τοιαύτην ἀπόδοσιν εἰς τὸν προειρημένον τόπον ἐμπίπτειν· τὸ γὰρ ἀεὶ οὐ διασώζει· ὅταν γὰρ ἔξω γένηται τῆς αἰσθήσεως, χωρίζεται αὐτοῦ δῆλον ὅτι τὸ ἴδιον. p.

in Top.387 131b20 Οὐ γὰρ ἔσται καλῶς κείμενον τὸ ἴδιο ν . Οὐ καλῶς φησιν ἀποδίδοσθαι καὶ ὅσα ἄλλα τοιαῦτα ἀποδιδόασιν, ἃ οὐχ οἷόν τε ἄλλως γνωρίσαι εἰ ὑπάρχει τῷ πράγματι ἢ δι’ αἰσθήσεως· αἴτιον δὲ ὅτι τὰ αἰσθητὰ ἔξω γινόμενα τῆς αἰσθήσεως ἄδηλά ἐστιν εἴτε ἔτι ὑπάρχει εἴτε μή. εἰ γὰρ εἴη μέν τι ἴδιον, 〈δῆλον〉 ὅτι ἀεὶ ὑπάρχει τῷ πράγματι οὗ ἴδιον· τοῦτο δέ, αἰσθήσει μόνῃ γνωριζόμενον ὅτι ὑπάρχει τῷ πράγματι οὗ ἀπεδόθη ἴδιον εἶναι, ἄδηλον εἴτε ἀεὶ ὑπάρχει τῷ πράγματι εἴτε μή· ἄτοπον δὲ τοῦτο. γίνεται δὲ τοῦτο ἐπὶ τούτων ὧν μὴ ἀεὶ οἷόν τέ ἐστιν αἰσθάνεσθαι· τῇ γὰρ αἰσθήσει μόνῃ τοῦτο γνωρίζεται, ᾗ οὐκέτι μετὰ δύσιν ἀντιληπτόν ἐστιν, ἢ εἰ καὶ ἔστιν, ἀλλ’ οὐ ταύτῃ ᾗ καὶ πρότερον, ἀλλ’ ἄλλῃ τε καὶ ἄλλῃ. ἔσται δὲ ἀληθὲς τοῦτο ἐπὶ τῶν μὴ ἐξ ἀνάγκης ἀεὶ παρακολουθούντω ν , τουτέστιν ἐφ’ ὧν ἄδηλόν ἐστι καὶ ἀμφισβητούμενον εἰ καὶ ἐξ ἀνάγκης ἀεὶ παρακολουθεῖ τῷ πράγματι. εἰ γὰρ εἴη γνώριμον τῷ ἐξ ἀνάγκης αὐτὸ παρακολουθεῖν τῷ πράγματι, τὸ αἰσθητὸν [ἢ] τὸ ἀποδεδομένον οὐκ ἀνασκευασθήσεται. οἷον εἴ τις ἀποδοίη τοῦ ἡλίου ἴδιον τὸ ἡμεροφαὲς ἄστρον· τοῦτο γὰρ οὐκ ἐξ ἀνάγκης ἕπεται τῷ ἡλίῳ· ὥστε οὐκ ἔσται καλῶς ἀποδεδομένον τὸ ἴδιον κατὰ τοῦτο· ἄδηλον γὰρ ἔσται τὸ τοιοῦτον ἴδιον δύνοντος τοῦ ἡλίου καὶ ὑποκάτω τῆς γῆς φερομένου· οὐκέτι γὰρ ἡμεροφαὲς τότε ἐστὶ διὰ τὸ μὴ τὴν αἴσθησιν ἡμῶν ἀντιλαμβάνεσθαι τοῦ ἡλίου ὑπὸ γῆν φερομένου· ἔστ’ ἂν γὰρ ὑπὲρ κορυφῆς τῶν ἀνθρώπων φέρηται, ἀντιλαμβάνεται τούτου ἡ αἴσθησις. Κατασκευάζοντα δ έ , φησίν, εἰ τοιοῦτον ἀποδέδωκε τὸ ἴδιον σκοπεῖν, ὃ μὴ τῇ αἰσθήσει φανερόν ἐστι ν , ἤτοι ὃ οὐκ ἔστιν αἰσθητόν, ὡς τὸ νοῦ καὶ ἐπιστήμης 〈δεκτικὸν〉 τοῦ ἀνθρώπου ἢ τὸ γελαστικόν, ἢ ὃ αἰσθητὸν ὂν ἐξ ἀνάγκης [δ’ ] ὑπάρχον δῆλόν ἐστιν, ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιοῦτον ἀπεδόθη, οἷον εἰ καὶ ἀντιλαμβάνεται τούτου ἡ αἴσθησις, ἀλλ’ ἐξ ἀνάγκης ἕπεται τῷ ὑποκειμένῳ. οἷον ὁ θέμενος ἴδιον τῆς ἐπιφανείας ὃ πρῶτον κέχρωσται αἰσθητῷ τινι μὲν κέχρηται τῷ ἰδίῳ τῆς ἐπιφανείας, τουτέστι τῷ κεχρῶσθαι· τοιοῦτον δέ ἐστι τὸ ἴδιον ᾧ κέχρηται, ὅ τι φανερόν ἐστιν ἀεὶ ὑπάρχον τῇ ἐπιφανείᾳ, καὶ οὗ ἐξ ἀνάγκης ἡ αἴσθησις ἀντιλαμβάνεται.

in Top.388 πρῶτον δὲ λέγεται κεχρῶσθαι ἡ ἐπιφάνεια, ἐπειδὴ τῆς ἐπιφανείας ἐν παντὶ σώματι οὔσης πρῶτον αὐτῆς ἀντιλαμβάνεται ἡ αἴσθησις καὶ διὰ τῆς ἐπιφανείας λέγεται ὁρᾶσθαι τὸ σῶμα. p. 131b37 Εἰ τὸν ὅρον ὡς ἴδιον ἀποδέδωκ ε . Πάλιν εἰ ἀπεδόθη ὅρος ἀντὶ ἰδίου, ἀνασκευασθήσεται τὸ τοιοῦτον ἴδιον ὡς μὴ καλῶς ἀποδεδομένον· οὐ γὰρ δεῖ τὸ ἴδιον δηλοῦν τὸ τί ἦν εἶναι, ἤγουν τὴν οὐσίαν τοῦ πράγματος, ἀλλ’ εἶναι δεῖ ἐπουσιῶδες. οἷον εἰ ἀποδοθείη ἴδιον τῆς ἰδέας τὸ εἶναι αἰτίαν τῶν δημιουργημάτων καὶ τῶν ἐν κινήσει, καὶ τῆς ἐπιστήμης ἴδιον τὸ ἀγνοίας εἶναι ἀποβολήν (ἡ γὰρ ἐπιστήμη γνῶσίς ἐστι), καὶ ἔτι ἀνθρώπου τὸ ζῷον πεζὸν δίπουν· ἐν τούτοις γὰρ πᾶσιν ἀνασκευασθήσεται τὸ ἀποδοθὲν ἴδιον ὅτι οὐ καλῶς ἀποδέδοται· οὐ γάρ εἰσι ταῦτα ἴδια ἀλλ’ ὅροι τὸ τί ἦν εἶναι καὶ τὴν οὐσίαν σημαίνοντες· οἱ γὰρ ὅροι οὐσιώδεις, τὰ δὲ ἴδια ὀφείλουσιν εἶναι ἐπουσιώδη. εἰ δὲ ἀπεδόθη ἴδιον ἀντικατηγορούμενον μὲν καὶ ἀντιστρέφον πρὸς τὸ ὑποκείμενον μὴ σημαῖνον δὲ οὐσίαν, καλῶς ἀποδέδοται. p. 132a10 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ μὴ εἰς τὸ τί ἐστιν ὁ θεί ς . Εἰ ὁ θεὶς μὴ εἰς τὸ τί ἐστιν ἀποδέδωκε τὸ ἴδιο ν , τουτέστιν εἰ μὴ προσῆψε τὸ γένος τῷ ἰδίῳ, τοῦ μὴ καλῶς ἀποδεδόσθαι δεικτικόν φησιν εἶναι τὸ μὴ γένος πρῶτον εἰλῆφθαι τούτου οὗ τὸ ἴδιόν τις ἀποδίδωσι· τοῦτο γάρ ἐστι τὸ ἐν τῷ τί ἐστι κατηγορούμενον. δεῖ γὰρ ὡς ἐπὶ τῶν ὅρων οὕτως καὶ ἐπὶ τῶν ἰδίων πρῶτον τὸ γένος λαμβάνοντα οὕτω προστιθέναι τούτῳ τὰ λοιπά, οἷς τῶν ἄλλων διαχωρίζεται· δεῖ γὰρ γνώριμον εἶναί τι τὴν φύσιν ὃ ἴδιον τοῦτο ἔχει. Ὁ γὰρ θεὶς ἴδιον ζῴου τὸ ψυχὴν ἔχειν οὐκ ἀνῆξε τὸ ζῷον εἰς τὸ γένος αὐτοῦ· οὕτως γὰρ ὤφειλεν εἰπεῖν οὐσίαν ἔμψυχον πεφυκυῖαν εἶναι. εἰ οὖν ὁ τὸ ἴδιον ἀποδιδοὺς πρῶτον θεὶς καὶ ἀναγαγὼν τὸ ὑποκείμενον εἰς τὸ τί ἐστιν, ἤγουν εἰς τὸ γένος αὐτοῦ, [καὶ] μετὰ ταῦτα συνῆψε τῷ γένει τὸ ἴδιον ἢ τὰ ἴδια, καλῶς ἀποδέδωκεν, ὥσπερ ὁ ἀποδιδοὺς ἴδιον ἀνθρώπου τὸ ζῷον ἐπιστήμης δεκτικὸν εἶναι.

in Top.389 εἰ δὲ μὴ οὕτω ποιήσει, φανερὸν ὅτι οὐ καλῶς ἀπέδωκε τὸ ἴδιον. p. 132a23 Πότερον δ ’ ἴδιόν ἐστιν ὅλω ς . Οἱ μὲν κατασκευάζοντες τόποι ὅτι καλῶς ἀπεδόθη τὸ ἴδιον ἤδη παρεδόθησαν, οἷον τὸ μὴ λαμβάνειν ὁμωνύμους φωνάς, τὸ ἀντιστρέφειν τὸ ἀποδιδόμενον ἴδιον πρὸς τὸ ὑποκείμενον, τὸ διὰ γνωριμωτέρων τοῦ ὑποκειμένου ἀποδίδοσθαι. ἅμα δὲ τούτοις καὶ οἱ ἀνασκευάζοντες τὰ μὴ οὕτως ἀποδιδόμενα ἴδια, ἤγουν εἰ δι’ ὁμωνύμων φωνῶν ἐκφέρονται, εἰ μὴ ἀντιστρέφουσι πρὸς τὰ ὑποκείμενα, εἰ μὴ διὰ γνωριμωτέρων τοῦ ὑποκειμένου ἀποδίδονται, καὶ ὅσα ἄλλα οἱ προειρημένοι περιέχουσι τόποι. νῦν δὲ προτίθεται εἰπεῖν περὶ τοῦ ἁπλῶς καὶ κυρίως καλῶς· οὐ γὰρ πᾶν τὸ ἀπηλλοτριωμένον τούτων καὶ μὴ ἔχον ὁμωνύμους φωνὰς ἤ τι τῶν εἰρημένων καὶ ἴδιον ῥητέον ἐξ ἀνάγκης. p. 132a24 Οἱ γὰρ ἁπλῶς κατασκευάζοντες τὸ ἴδιον ὅτι καλῶς κεῖται τόπο ι . Τοὺς ἁπλῶς δεικνύντας τόπους ὅτι καλῶς τὸ ἴδιον ἀποδέδοται τοὺς αὐτοὺς εἶναί φησι τοῖς κατασκευάζουσι τόποις ὅτι ἴδιόν ἐστι τὸ ἀποδεδομένον. τὸ γὰρ ἴδιόν τινος ἀποδίδοται, ὅταν ἁπλῶς καλῶς καὶ ἀναμαρτήτως ἀποδοθῇ, ὥσπερ τὸ εὖ ἀποδεικνύναι οὐδὲν πλέον ἐστὶ τοῦ ἀποδεικνύναι, ὁμοίως καὶ τὸ εὖ φρονεῖν τοῦ φρονεῖν· οὕτω καὶ τὸ καλῶς ἀποδεδομένον ἴδιον οὐδὲν πλέον ἔχει τοῦ ἰδίου. διὸ ἐπὶ τῶν τοιούτων ὁ τοῦ εὖ ἁμαρτάνων ἁμαρτάνει καὶ τοῦ πράγματος. p. 132a26 Ἐν ἐκείνοις οὖν ῥηθήσοντα ι . Ἀντὶ τοῦ ‘ ἐν ἐκείνοις οὖν ὁμοίως ῥηθήσονται ‘ · συναποδίδωσι γὰρ ἄμφω ἅμα. p.

in Top.390 132a27 Πρῶτον μὲν οὖν ἀνασκευάζοντα ἐπιβλέπειν ἐ φ ’ ἕκαστο ν . Πρῶτον τόπον παραδίδωσιν ἀνασκευαστικὸν τοῦ τὸ ἀποδεδομένον τινὸς ἴδιον μὴ εἶναι ἴδιον αὐτοῦ τὸν ἀπὸ τῆς ἐπιβλέψεως τῶν πραγμάτων, ὧν τὸ ἴδιον ἀποδίδοται. εἴτε γὰρ τὸ ἀποδοθὲν ἴδιόν τινος μηδενὶ αὐτῷ ὑπάρχον φαίνεται, εἴτε ὑπάρχει μὲν παντί, μὴ μέντοι ᾗ ἐκεῖνό ἐστι μηδὲ μόνῳ, εἴτε μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πᾶσιν ὑπάρχει τοῖς ὑπ’ αὐτό, οὐ τὸ ἴδιον ἀποδίδοται· ἂν γάρ τινι τῶν ὑπὸ τοῦτο, οὗ τὸ ἴδιον ἀποδίδοται, μὴ ὑπάρχῃ τὸ ἴδιον ἢ ὑπάρχον μὴ ὑπάρχῃ κατὰ τοῦτ ο , καθ’ ὅ ἐστιν ἐκεῖνο οὗ τὸ ἴδιον ἀποδίδοται, οὐκ ἔστιν ἴδιον. μόνου δὲ τοῦ τελευταίου τὸ παράδειγμα παρέθετο, ὅτι οὐκ ἔστιν ἴδιον τὸ μηδενὶ ὑπάρχον οὗ ἴδιον ἀποδέδοται ἢ τὸ παντὶ μὲν ὑπάρχον μὴ μόνῳ δὲ ἢ τὸ μὴ παντὶ ἀλλὰ τὸ παντὶ καὶ μόνῳ. p. 132a28 Ἢ εἰ μὴ κατὰ τοῦτο ἀληθεύετα ι . Τουτέστιν εἰ μή, ᾗ τοῦτό ἐστι τὸ ὑποκείμενον, ὑπάρχει αὐτῷ τὸ ἀποδιδόμενον ἴδιον· τοῦτο δ’ ἂν ἴσον εἴη τῷ ‘εἰ μὴ μόνῳ αὐτῷ ὑπάρχει‘. ἐνδέχεται γὰρ τὸ ἀποδοθὲν ἴδιόν τινος παντὶ μὲν ὑπάρχειν ἐκείνῳ οὗ ἀποδέδοται ἴδιον, μὴ μέντοι ᾗ ἐκεῖνό ἐστι μηδὲ μόνῳ.

in Top.391 οἷον ἐάν τις ἀνθρώπου ἴδιον ἀποδῷ τὸ βαδιστικόν· παντὶ μὲν γὰρ τῷ ἀνθρώπῳ ἐστὶ τὸ βαδιστικόν, οὐ μέντοι καὶ μόνῳ· καὶ γὰρ καὶ τὰ ἄλλα τῶν ζῴων βαδιστικά ἐστι. Τὸ δὲ ἢ εἰ μή ἐστιν ἴδιον ἑκάστου αὐτῶν κα τ ’ ἐκεῖνο οὗ τὸ ἴδιον ἀποδέδωκεν ἀντὶ τοῦ ‘εἰ μή ἐστι τὸ ἴδιον καθ’ αὑτό‘. οἷον εἴ τις ἀποδοίη ἀνθρώπου ἴδιον τὸ ‘οὐσία ἔμψυχος αἰσθητική‘· τοῦτο γὰρ τὸ ἴδιον ὁ ἄνθρωπος οὐ καθὸ ἄνθρωπος ἔχει, ἀλλὰ καθὸ ζῷον· τὸ δὲ ἴδιον καθ’ αὑτό, ἤγουν καθὸ ἐκεῖνό ἐστιν, ὀφείλει ἴδιον ἀποδεδόσθαι. τῷ μέντοι γεωμέτρῃ τὸ ἀνεξαπάτητον οὐχ ὑπάρχει, ὅτι ἀπατᾶται ὁ γεωμέτρης ὑπὸ τοῦ ψευδογραφοῦντος ποτὲ μὲν δεικνύοντος τὰς δύο πλευρὰς τοῦ τριγώνου μείζους τῆς μιᾶς ποτὲ δὲ τὴν μίαν μείζονα τῶν λοιπῶν. p. 132a34 Κατασκευάζοντα δὲ εἰ κατὰ παντὸς ἀληθεύεται καὶ κατὰ τοῦτο ἀληθεύετα ι . Τουτέστι καθὸ τοῦτό ἐστιν ἀληθεύεται, ὃ ἴσον ἐστὶ τῷ μόνῳ ὑπάρχειν. p. 132b3 Εἰ μὴ κα θ ’ οὗ τοὔνομ α , καὶ ὁ λόγος ἀληθεύετα ι . Τὸ μὲν εἰ κα θ ’ οὗ τοὔνομ α , καὶ ὁ λόγος ἀληθεύεται λέγοιτ’ ἂν ἐπὶ τῶν μηδενὶ ἢ μὴ παντὶ ὑπαρχόντων, τὸ δὲ εἰ μὴ κα θ ’ οὗ ὁ λόγο ς , καὶ τοὔνομα ἐπὶ τῶν ἐπὶ πλέον λεγομένων. εἶπε δὲ οὗ τὸ ἴδιον ἀποδίδοται· λόγος γὰρ γίνεται, εἰ μετὰ τοῦ γένους εἴη τὸ ἴδιον ἀποδιδόμενον. p. 132b13 Κατασκευάζοντα δὲ εἰ κα θ ’ οὗ ὁ λόγο ς , καὶ τοὔνομα κατηγορεῖτα ι , καὶ κα θ ’ οὗ τοὔνομ α , καὶ ὁ λόγο ς . Ὅτι εἰ μὴ καθ’ οὗ τὸ ἴδιον, καὶ τὸ οὗ ἴδιον ἀπεδόθη κατηγορεῖται, ἢ ἔμπαλιν, οὐκ ἔστιν ἴδιον αὐτοῦ ὃ ὡς ἴδιον ἀποδέδοται. ἔστι μὲν οὖν τὸ δεικνύμενον διά τε τοῦ πρὸ αὐτοῦ τόπου καὶ διὰ τούτου δυνάμει τὸ αὐτό, διότι καὶ καθόλου τὸ ὡς ἴδιον ἀποδοθὲν οὕτω μάλιστα ἐλέγχεται, οὐ μὴν καὶ κατὰ τὴν αὐτὴν ἐπιβολήν· τότε μὲν γὰρ ἐκ τῆς ἐπιβλέψεως τούτων, ὧν ἐλέγετο τὸ ἴδιον εἶναι, ὁ τόπος προῆλθεν, εἰ τὸ μὲν ἕτερον αὐτῶν ὑπάρχει τὸ δὲ ἕτερον οὔ.

in Top.392 διὸ ἐπ’ ἐκείνου μὲν ᾧ τὸ ὄνομα ὑπῆρχε, τὸ ἴδιον μὴ ὑπάρχον ἔδειξεν· ἐν γὰρ τούτοις μόνοις ἡ ζήτησις ἦν. ἔμπαλιν δὲ ἐπὶ τούτου· ᾧ γὰρ ὁ λόγος, τούτῳ τὸ ὄνομα ἐδείχθη μὴ ὑπάρχον· δεῖ δὲ καθ’ ὧν τὸ ἕτερον ὑπάρχει, καὶ τὸ λοιπόν. Κατασκευάζοντα οὖν καὶ δεικνύντα καλῶς ἀποδεδόσθαι τὸ ἴδιον καὶ κατ’ ἄμφω σκοπεῖν, ἤγουν καὶ εἰ κα θ ’ οὗ ὁ λόγο ς , καὶ τοὔνομα κατηγορεῖτα ι , καὶ εἰ κα θ ’ οὗ τὸ ὄνομ α , καὶ ὁ λόγος ἀληθεύεται. ἔστι δὲ σαφέστερον εἰπεῖν τὸ μὲν ‘ εἰ μὴ κα θ ’ οὗ τοὔνομα κατηγορεῖται, καὶ ὁ λόγος ἀληθεύεται‘ τοιοῦτον· οἷον εἴ τις ἀποδοίη ἀνθρώπου ἴδιον τὸ μουσικὸν εἶναι, ἀνασκευασθήσεται ὡς μὴ καλῶς ἀποδεδομένον· κατηγορεῖται μὲν γὰρ Σωκράτους τὸ ὄνομα ὁ ἄνθρωπος, ὁ δὲ λόγος τοῦ ἰδίου, ἤτοι τὸ μουσικὸν εἶναι, οὐκ ἀληθεύεται· οὐ γὰρ ἦν ὁ Σωκράτης μουσικός. τὸ δὲ ‘ εἰ μὴ κα θ ’ οὗ ὁ λόγο ς , καὶ τοὔνομα κατηγορεῖται‘· οἷον εἴ τις ἀνθρώπου ἴδιον τὸ ‘οὐσία ἔμψυχος αἰσθητική‘ ἀποδοίη, ὁ μὲν λόγος, ἤγουν τὸ ‘οὐσία ἔμψυχος αἰσθητική‘, ἀληθεύεται κατὰ τοῦ βοὸς καὶ τοῦ ἵππου, ὁ δὲ ἄνθρωπος οὐδαμῶς. καὶ οὕτω μὲν ἀνασκευασθήσεται τὸ μὴ καλῶς ἀποδεδομένον ἴδιον. κατασκευασθήσεται δέ, εἰ κα θ ’ οὗ τοὔνομα κατηγορεῖται, καὶ ὁ λόγος ἀληθεύεται· οἷον εἴ τις ἀποδοίη ἀνθρώπου ἴδιον τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν· τοῦ γὰρ Σωκράτους καὶ ὁ ἄνθρωπος κατηγορεῖται καὶ ὁ λόγος ἀληθεύεται, ἤγουν τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν. καὶ ἐπεὶ ἐν τούτῳ ἀντιστρέφει τό τε ὄνομα πρὸς τὸν λόγον καὶ ὁ λόγος πρὸς τοὔνομα, διὰ τοῦτο καὶ τοῦτο προσέθηκεν, ἤγουν καὶ εἰ κα θ ’ οὗ ὁ λόγο ς , καὶ τοὔνομα κατηγορεῖτα ι . p. 132b19 Ἔπειτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνασκευάζοντα μὲν εἰ τὸ ὑποκείμενον ἴδιον ἀποδέδωκε ν . Οὐ δεῖ, φησί, τὸ ὑποκείμενον ἴδιον ἀποδιδόναι τοῦ ἐν τῷ ὑποκειμένῳ · τὸ γὰρ ἴδιον ἐνυπάρχειν δεῖ καὶ οὐκ ἐνυπάρχεσθαι, ὅτι τὸ αὐτὸ πλειόνων ἔσται καὶ διαφερόντων τῷ εἴδει ἴδιο ν . εἰ γάρ τις εἴποι τὸ πῦρ ἴδιον τοῦ λεπτομερεστάτου σώματο ς , διὰ τί μὴ καὶ τοῦ κουφοτάτου καὶ τοῦ θερμοτάτου καὶ τοῦ καυστικωτάτου καὶ πάντων ἁπλῶς τῶν οὕτως ὑπαρχόντων αὐτῷ; καὶ οὕτως ἔσται πλειόνων καὶ διαφερόντων τῷ εἴδει τὸ αὐτὸ ἴδιον · δεῖ δὲ τῶν διαφερόντων τῷ εἴδει διάφορα καὶ τὰ ἴδια εἶναι.

in Top.393 εἴ τις οὖν ἴδιον θείη τούτων πάντων τὸ πῦρ, οὐ καλῶς ἀποδοίη ἂν τὸ ἴδιον. Εἰ δέ τις τοῦ ὑποκειμένου ἴδιον τὸ ἐν ὑποκειμένῳ θείη καὶ ἔστι τὸ τοιοῦτον ἴδιον μόνῳ τῷ αὐτῷ ὑποκειμένῳ ὑπάρχον, καλῶς ἂν ἀποδοίη τὸ ἴδιον. οἷον εἴ τις σῶμα τὸ βαρύτατον τῷ εἴδει ἀπέδωκε τοῦ ὑποκειμένο υ , ἤγουν τῆς γῆς, καλῶς ἀπέδωκε τὸ ἴδιον, ἐπεὶ καὶ κατὰ μόνης τῆς γῆς λέγεται τοῦτο καὶ ἀντιστρέφει. τοῦτο γὰρ δηλοῖ τὸ καὶ ὡς τὸ ἴδιον κατηγορεῖτα ι , ἤτοι ὡς πέφυκε τὸ ἴδιον λέγεσθαι· πέφυκε δὲ λέγεσθαι κατὰ τὸ ἀντιστρέφειν. εἰ οὖν λέγοντός τινος μὴ εἶναι τοῦτο ἴδιον γῆς, καλῶς ἂν κατασκευασθήσεται κατὰ τὴν τοῦ τόπου τούτου παράδοσιν. p. 132b31 Γῆς ἴδιον σῶμα τὸ βαρύτατον τῷ εἴδε ι . Τῷ εἴδει προσέθηκεν ἀντὶ τοῦ 'τῇ φύσει'· τῇ γὰρ οἰκείᾳ φύσει ἡ γῆ βαρυτάτη τῶν σωμάτων, εἰ καί τις εὑρίσκεταί ποτε διὰ πάθους κουφοτέρα γεγονυῖα. p. 132b35 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ κατὰ μέθεξι ν . Οὐ δεῖ τὸ κατὰ μέθεξιν ὑπάρχον (τοῦτο γὰρ εἰς τὸ τί ἦν εἶναι συμβάλλεται · εἴη δ' ἂν τὸ τοιοῦτον διαφορά τις κατά τινος ἑνὸς εἴδους λεγομένη) ὡς ἴδιον ἀποδιδόναι, τουτέστιν οὐ χρὴ τὴν οὐσιώδη διαφορὰν τὴν ἀντιστρέφουσαν ἑνὶ εἴδει ἴδιον λέγειν. διαφέρει δὲ τὸ νῦν εἰρημένον τοῦ τὸν ὁριστικὸν λόγον ὡς ἴδιον ἀποδεδωκότος τῷ τὸν ὁρισμὸν ἐκ πλειόνων διαφορῶν συγκεῖσθαι. Εἰ οὖν τις ἀνθρώπου ἴδιον ἀποδέδωκε τὸ πεζὸν δίπουν, ἐπεὶ τὴν οὐσίαν τοῦ ἀνθρώπου τοῦτο δηλοῖ, οὐκ ἔστι τοῦ ἀνθρώπου τοῦτο ἴδιον. εἰ δὲ ἀποδέδωκεν ἴδιον τὸ μὴ κατὰ μέθεξιν καὶ μὴ οὐσιωδῶς ὑπάρχον τινί, καλῶς ἀποδέδωκε· τὸ τοιοῦτον γὰρ οὐ τὸ τί ἦν εἶναι καὶ τὴν οὐσίαν δηλοῖ, ἀλλὰ καὶ ἀντικατηγορεῖται καὶ ἀντιστρέφει πρὸς τὸ ὑποκείμενον, ὥσπερ εἴ τις εἴποι ἴδιον τοῦ ζῴου τὸ αἰσθάνεσθαι πεφυκό ς .

in Top.394 εἰ οὖν κεῖται τοῦτο ἴδιον εἶναι τοῦ ζῴου, ἐπειδὴ οὐ κατὰ μέθεξιν ἐνυπάρχει, ἤγουν ἐπειδὴ οὐκ ἔστι διαφορὰ οὐσιώδης τοῦ ζῴου οὐδὲ τὴν οὐσίαν αὐτοῦ δηλοῖ (καὶ γὰρ ἀντικατηγορεῖται πρὸς αὐτὸ καὶ ἀντιστρέφει, ἐπειδὴ καὶ εἴ τι ζῷον, αἰσθητικόν, καὶ εἴ τι αἰσθητικόν, ζῷον), ἔσται λοιπὸν καλῶς ἀποδεδομένον τὸ ἴδιον. p. 133a12 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ μὴ ἐνδέχεται ἅμ α . Οὐκ ἴδιον τοῦ ἰδίου τὸ πρότερον ἢ ὕστερον εἶναι τοῦ ὑποκειμένου, ἀλλὰ τὸ ἅμα ἐξ ἀνάγκης ὑπάρχειν καὶ ἀεί· τὸ γὰρ ἴδιον οὔτε ὅρος ἐστὶν οὔτε διαφορά, ἅ εἰσι πρότερα τῇ φύσει τοῦ ὑποκειμένου, ἀλλ' ἅμα τε ὑπάρχει τῷ οὗ ἐστιν ἴδιον καὶ ἀεί. εἰ οὖν τὸ ἀποδιδόμενον ἴδιόν τινος μὴ ἅμα εἴη αὐτῷ, ἀλ λ ' ἢ πρότερο ν , πρὸ τοῦ εἶναι τὸ πρᾶγμα, ὑπάρχοι ἢ ὕστερο ν , ἤδη ὄντος ἐκείνου, εἰ καὶ τοὔνομα ἀληθεύεται κατ' αὐτοῦ, οὐκ ἔστιν ἴδιον τὸ ἀποδοθέν. οἷον εἴ τις θείη τοῦ ἀνθρώπου ἴδιον τὸ βαδίζειν ἐν ἀγορᾷ· πρῶτον γάρ ἐστι τὸ εἶναι ἄνθρωπον, εἶτα τὸ βαδίζειν ἐν ἀγορᾷ. διὰ τοῦτο οὖν οὐκ ἔστιν ἴδιον τοῦ ἀνθρώπου τὸ διὰ τῆς ἀγορᾶς βαδίζει ν , ὅτι οὐκ εὐθὺς τῷ εἶναι ἄνθρωπον κατ' αὐτοῦ ἀληθεύεται καὶ τὸ διὰ τῆς ἀγορᾶς βαδίζειν. ἀλλ' οὐδὲ τὸ ἐμψύχῳ εἶναι, ὅτι ἦν ἔμψυχος καὶ κατὰ γαστρὸς ἔτι ὤν, ὅτε μήπω ἦν ἄνθρωπος. ἢ οὖν τὸ τοιοῦτον οὐδέποτε ἔσται ἴδιον τοῦ ἀνθρώπου (ἐνδέχεται γὰρ καὶ ἄλλῳ τινὶ γενέσθαι, οἷον ἵππῳ ἢ βοΐ), ἢ εἰ γένοιτό ποτε ἴδιον, ἀλλ' οὐκ ἀεὶ ἔσται ἴδιον. διὸ οὐ καλῶς ἀποδίδοται τοῦ ἀνθρώπου ἴδιον τὸ βαδίζειν ἐν ἀγορᾷ· τὸ γὰρ κυρίως ἴδιον καὶ μόνῳ ὀφείλει οὗ ἐστιν ἴδιον εἶναι καὶ ἀεί. ἐπεὶ δὲ καὶ ἡ διαφορὰ καὶ ὁ ὅρος μόνῳ τε ὑπάρχουσι καὶ ἀεὶ τῷ ὑποκειμένῳ, διὰ τοῦτο πρόσκειται τῷ εἰ ἅμα ἐξ ἀνάγκης ἀεὶ ὑπάρχει τὸ λεγόμενον ἴδιον τὸ μήτε ὅρος ὂν μήτε διαφορά · ταῦτα γὰρ οὐκ εἰσὶν ἴδια, ὡς εἴρηται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

in Top.395 οὕτω γοῦν ἀποδοθὲν τὸ ἴδιον, ὥστε μήτε πρότερον εἶναι τοῦ ὑποκειμένου μήτε ὕστερον ἀλλ' ἅμα τούτῳ καὶ ἀεὶ καὶ μήτε διαφορὰν μήτε ὅρον εἶναι, καλῶς ἔσται ἀποδεδομένον· καὶ εἴ τις θείη μὴ εἶναι τὸ τοιοῦτον ἴδιον, κατασκευασθήσεται δι' ὧν παραδίδωσιν ὁ τόπος. p. 133a24 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ τῶν αὐτῶ ν , ᾗ ταὐτά ἐστ ι , μή ἐστι τὸ αὐτὸ ἴδιο ν . Τὸ ταὐτὸν λέγεται καὶ γένει καὶ εἴδει καὶ ἀριθμῷ καὶ ἀναλογίᾳ. ἄν τε δὴ ὡς γένους τινὸς ἴδιον ἀποδοθῇ, ἀνάγκη τὸ αὐτὸ πάντων τῶν αὐτῶν κατὰ τὸ γένος ἴδιον εἶναι, ἄν τε ὡς εἴδους, τῶν ὁμοειδῶν· ὁμοίως καὶ ἐπὶ τῶν τῷ ἀριθμῷ ταὐτῶν καὶ ἐπὶ τῶν κατ' ἀναλογίαν. ἂν δή τι μὴ ᾖ τινος τῶν αὐτῶν ᾧ ἀπεδόθη [τὸ] ἴδιον, οὐδ' ἂν οὗ ἀπεδόθη ἴδιον. οἷον ταὐτόν ἐστι διωκτόν τε καὶ αἱρετόν· τῷ γὰρ ἀριθμῷ· εἰ δή τις ἀποδοίη διωκτοῦ ἴδιον τὸ φαίνεσθαί τισιν ἀγαθό ν , ἂν δειχθῇ τοῦτο μὴ ὂν τοῦ αἱρετοῦ ἴδιον (οὐ γὰρ τό τισι φαινόμενον ἀγαθὸν αἱρετὸν ἀλλὰ τὸ τῇ αὑτοῦ φύσει τοιοῦτον), οὐκ ἂν τοῦ διωκτοῦ ἴδιον εἴη. Κατασκευάζοντα δὲ εἰ τοῦ αὐτοῦ ᾗ ταὐτόν ἐστ ι , καθὼς ἄνωθεν διείλομεν, τὸ αὐτό ἐστιν ἴδιον. χρῆται δὲ παραδείγματι ἐπὶ τῶν ἀριθμῷ ταὐτῶν, ἤγουν ὀνόματι μόνῳ διαφερόντων τῷ δὲ σημαινομένῳ, ἤγουν τῷ ὑποκειμένῳ, τῶν αὐτῶν· ὁ γὰρ ἄνθρωπος καὶ ὁ βροτὸς ταὐτὸν τῷ ὑποκειμένῳ, ἤγουν τῷ ἀριθμῷ, κατὰ τὸ ὄνομα διαφέροντα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν συμβεβηκότων, εἴ τινα εἶεν τῶν πολυωνύμων, ὃ ἴδιον ἔχει τὸ κατά τι τῶν ὀνομάτων ὀνομαζόμενον, τὸ αὐτὸ ὀφείλει ἔχειν καὶ τὸ καθ' ἕτερον τῶν τοιούτων ὀνομάτων. τοῖς γὰρ αὐτοῖς καθό εἰσι ταὐτά, ἤγουν καθὸ ἄνωθεν διείλομεν, τὰ αὐτὰ ἴδια δεῖ ὑπάρχειν ἢ μὴ ὑπάρχειν· εἰ γὰρ τῷ ἑνὶ ὑπάρχει, καὶ τῷ ἑτέρῳ ὑπάρξει, εἰ δὲ μὴ τῷ ἑνί, οὐδὲ τῷ ἑτέρῳ. p.

in Top.396 133a35 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ τῶν αὐτῶν τῷ εἴδε ι . Ὁ τόπος οὗτος καὶ ἀσαφῶς εἴρηται καὶ κατά τι ψευδής ἐστιν, ὡς ἐρεῖ καὶ αὐτός. τὸ μὲν οὖν τῷ εἴδει εἴρηκεν ἀντὶ τοῦ 'τῷ γένει'. ὁ δὲ τόπος ἀνασκευαστικὸς ὢν τοιοῦτός ἐστι· τῶν τῷ γένει τῶν αὐτῶν, ταῦτα δέ ἐστι τὰ κατ' εἶδος ἀλλήλων διαφέροντα, τούτων δὴ ἀνάγκη καὶ τὰ ἴδια τῷ γένει τὰ αὐτὰ εἶναι· εἰ γὰρ τοῦ ἀντιδιῃρημένου τὸ ἀντιδιῃρημένον ἴδιον, καὶ τοῦ ἀντιδιῃρημένου τὸ ἀντιδιῃρημένον, καὶ εἰ μή, οὔ. οἷον εἴ τις ἀποδοίη ἵππου ἴδιον εἶναι τὸ ἑστάναι ὑ φ ' ἑαυτο ῦ , ἀνασκευασθήσεται μὴ ἴδιον εἶναι. ἐπεὶ γὰρ ὁ ἄνθρωπος ταὐτόν ἐστι τῷ ἵππῳ κατὰ γένος, εἰ τοῦ ἵππου ἴδιόν ἐστι τὸ ὑφ' ἑαυτοῦ ἑστάναι, εἴη ἂν καὶ τοῦ ἀνθρώπου ἴδιον τὸ ὑφ' ἑαυτοῦ κινεῖσθαι· ταὐτὸν γὰρ τῷ γένει τὸ ἵστασθαι καὶ τὸ κινεῖσθαι· ἀλλ' οὐκ ἔστι τοῦ ἀνθρώπου ἴδιον τὸ κινεῖσθαι· οὐδ' ἄρα τοῦ ἵππου ἴδιον ἂν εἴη τὸ ἑστάναι. p. 133b5 Ἧι ζῷόν ἐστιν ἑκάτερον αὐτῶν τῷ συμβεβηκένα ι . Καθὸ τὸ συμβεβηκέναι ἑκάτερον αὐτῶν ἑκατέρῳ τῶν ὑποκειμένων ζῴων ἐστὶ συμβεβηκέναι. ἢ καὶ ἄλλως κατὰ τί ταῦτα τὰ αὐτὰ προσέθηκεν· τὸ γὰρ ἑκάτερον αὐτῶν ζῴῳ ὑπάρχειν καὶ ζῴῳ συμβεβηκέναι· τοῦτο γὰρ εἴρηκε διὰ τοῦ ᾗ ζῷόν ἐστιν ἑκάτερον αὐτῶν τῷ συμβεβηκένα ι .

in Top.397 p. 133b11 Οὗτος ὁ τόπος ψευδής ἐστι ν . Τὸν τόπον λέγει ψευδῆ εἶναι· ὅταν γὰρ τὸ μὲν ἕτερον τῶν λεχθέντων ἰδίων τῶν ὁμογενῶν ἀλλήλοις ἑνὶ εἴδει ὑπάρχῃ τὸ δὲ ἕτερον πολλοῖ ς , οὔτε πρὸς ἀνασκευὴν οὔτε πρὸς κατασκευὴν ὁ τόπος χρήσιμος. τὸ γοῦν πεζὸν δίπουν ὁμογενές ἐστι τῷ πεζῷ τετράποδι· ἀλλ' εἰ τὸ πεζὸν δίπουν ἑνὶ εἴδει ὑπάρχει (τῷ γὰρ ἀνθρώπῳ), τὸ δὲ πεζὸν τετράπουν πλείοσιν, οὔτε, ἐπεὶ μὴ ἴδιον τὸ πεζὸν τετράπουν ἵππου, διὰ τοῦτο οὐδ' ἀνθρώπου ἴδιον τὸ πεζὸν δίπουν, οὔτ', εἰ ἀνθρώπου ἴδιον τὸ πεζὸν δίπουν, διὰ τοῦτο καὶ ἴδιον ἔσται ἵππου τὸ πεζὸν τετράπουν. τότε οὖν ὁ τόπος ἐπὶ τῶν τοιούτων ἔσται χρήσιμος, ὅταν ὁμοίως ἀμφότερα τὰ ὁμογενῆ ἀλλήλοις ἑνὶ εἴδει ἑκάτερον ὑπάρχῃ ἢ μηδέτερον αὐτῶν ἑνὶ ὑπάρχῃ. δεῖ δὲ αὐτὰ καὶ ἀντίθεσίν τινα ἔχειν πρὸς ἄλληλα. p. 133b15 Ἐπεὶ δὲ τὸ ταὐτὸν καὶ τὸ ἕτερον πολλαχῶς λέγετα ι . Τόπον τινὰ παραδίδωσι σοφιστικόν, ᾧ χρώμενοι οἱ σοφισταὶ πᾶν τὸ ἀποδιδόμενον ἴδιόν τινος ἀνασκευάζουσι καὶ δεικνύειν πειρῶνται ὅτι 〈μὴ〉 μόνῳ τούτῳ ὑπάρχει τῷ οὗ ἀπεδόθη ὡς ἴδιον. παραδίδωσι δὲ καὶ τοῦτον τὸν τόπον ὥσπερ καὶ τὴν ἔνστασιν, ᾗ δεῖ χρήσασθαι πρὸς τοὺς σοφιστικῶς ἐπιχειροῦντας διδάξαι. ὁ δὲ τόπος τοιοῦτος, ὅθεν τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀφορμὴν τῆς ἐπιχειρήσεως λαμβάνουσιν· τὸ ταὐτὸν καὶ τὸ ἕτερον πλεοναχῶς λέγεται · καὶ γὰρ καὶ γένει καὶ εἴδει καὶ ἀριθμῷ καὶ ἀναλογίᾳ. καὶ τὸ μέν τι καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ ταὐτόν ἐστιν, ᾧ ὑπάγοιτ’ ἂν τὸ κατ’ ἀριθμὸν ταὐτόν, τὸ δέ τι κατὰ τὸ ὑποκείμενον μόνον ταὐτὸν λέγεται, ὡς ἐπὶ τῶν ἑτερωνύμων· τούτων γὰρ τὸ μὲν ὑποκείμενον ἕν τε καὶ ταὐτόν ἐστιν, ὁ μέντοι λόγος αὐτῶν οὐχ ὁ αὐτός, ὡς ἐπὶ ἀναβάσεως ἔχει καὶ καταβάσεως, ὅταν κατὰ ἑνός, τῆς κλίμακος, καὶ ἄμφω τὰ ὀνόματα λέγηται· τὸ γὰρ ὑποκείμενον ἕν ἐστιν, αὐτὴ ἡ κλίμαξ.

in Top.398 λέγεται ταὐτὸν καὶ τὸ ὑποκείμενον μετὰ τοῦ συμβεβηκότος αὐτῷ τῷ ὑποκειμένῳ, οἷον λευκὸς ἄνθρωπος ἀνθρώπῳ. τὰ δὲ οὕτως λεγόμενα ταὐτὰ οὐχ ἁπλῶς ἐστι ταὐτὰ ἀλλὰ τῷ ὑποκειμένῳ, τῷ δὲ λόγῳ ἕτερα· ἕτερος γὰρ λόγος ἀνθρώπου καὶ ἕτερος λευκοῦ ἀνθρώπου, καίτοι κατὰ τὸ ὑποκείμενον ἕν ἐστιν ἄμφω. ἐπεὶ τοίνυν τὸ ταὐτὸν καὶ τὸ ἕτερον πλεοναχῶς λέγετα ι , χαλεπώτερον δοκεῖ τὸ ἑνὸς μόνου ἴδιόν τι ἀποδοῦναι· πᾶν γὰρ τὸ ὡς ἴδιόν τινος ἀποδοθὲν δοκεῖ οὐ μόνου εἶναι ἴδιον οὗ ἀπεδόθη. p. 133b31 Κατασκευάζοντα δὲ ῥητέον ὡς οὐκ ἔστιν ἁπλῶ ς . Δεῖ, φησίν, ἐνίστασθαι πρὸς τοὺς ἀνασκευάζειν βουλομένους οὕτω τὸ ἴδιον λέγοντας ὅτι μὴ ἁπλῶς ταὐτὰ μηδὲ ἁπλῶς ἕτερα τό τε ᾧ συμβέβηκε καὶ τὸ συμβεβηκὸς μετὰ τοῦ ᾧ συμβέβηκε ν , ἀλλὰ τῷ μὲν λόγῳ ἕτερα τῷ δὲ ὑποκειμένῳ ταὐτά, καθ’ ὃ καὶ τὸ ἴδιον ἀπεδόθη· ταὐτὸν γὰρ τὸ ὑποκείμενον ἕν τε ἀνθρώπῳ καὶ λευκῷ ἀνθρώπῳ, ὁ μέντοι λόγος αὐτῶν ἕτερος. ὁ οὖν ἐπ’ ἀμφοῖν, φησί, τὸ αὐτὸ ἴδιον ἀποδιδοὺς τὸ ἓν ὑποκείμενον εἰς δύο διαιρεῖ, ἄλλο μὲν ὑποκείμενον λέγων ἄλλο δὲ τὸ μετὰ τοῦ συμβεβηκότος. ὡσαύτως καὶ εἴ τις, φησίν, ἴδιον ἐπιστήμης ἀποδιδοίη τὸ ἀμετάπειστον ὑπὸ λόγου καὶ ἐπιστήμονος κατὰ τὴν ἐπιστήμην · ἔστι γάρ, φησίν, οὐχ ἕτερον τῷ ὑποκειμένῳ τὸ ἐπὶ τῶν ἕξεων λεγόμενον καὶ τὸ ἐπὶ τῶν κατὰ τὰς ἕξεις διακειμένων· ταῦτα γὰρ τῇ πτώσει διαφέρει καὶ οὐ τῷ ὑποκειμένῳ. [Σαφηνιστέον δ’ ἔτι μᾶλλον περὶ τούτων. ἐπεί, φησί, τὸ ταὐτὸν πλεοναχῶς λέγεται, ὡς ἄνωθεν διείλομεν, ἔργον, φησίν, ἔχουσιν οἱ σοφιστικῶς διαλεγόμενοι ἑνός τινος ἀποδιδόναι τὸ ἴδιον, χρώμενοι τῷ ταὐτὸν εἶναι τό τε συμβεβηκὸς καὶ τὸ ᾧ συμβέβηκε καὶ λέγοντες ‘ ὃ ὑπάρχει τινὶ ᾧ συμβέβηκέ τ ι , καὶ τῷ συμβεβηκότι μετὰ τοῦ ὑποκειμένου ὑπάρξει‘.

in Top.399 καὶ σαφηνίζει τοῦτο διὰ τοῦ παραδείγματος. εἶτά φησιν ἀνασκευάζεσθαι τὰ τοιαῦτα τῶν ἰδίων διὰ τῆς ἑτερότητος, λέγοντας ἄλλο μὲν εἶναι τὸ ὑποκείμενον αὐτὸ καθ’ αὑτό, δίχα δηλονότι τοῦ συμβεβηκότος, ἄλλο δὲ τὸ συναμφότερον· οἷον εἰπόντος τινὸς ἴδιον εἶναι ἀνθρώπου οὐσίαν ἐπιδεκτικὴν χρώματος διακριτικοῦ ὄψεως (τοῦτο γὰρ τὸ ἴδιον ὑπάρξει καὶ τῷ λευκῷ ἀνθρώπῳ) ὁ ἀνασκευάζων ἐρεῖ ἄλλο μὲν εἶναι τὸν ἄνθρωπον, ἄλλο δὲ τὸν λευκὸν ἄνθρωπον, καὶ ἄλλο μὲν τὴν ἕξιν, οἷον τὴν ἐπιστήμην, ἄλλο δὲ τὸ κατὰ τὴν ἕξιν, ἤγουν τὸν ἐπιστήμονα. τὸ δ’ ἐφεξῆς προσκείμενον τὸ γὰρ τῇ ἕξει ὑπάρχον καὶ τὰ λοιπὰ ἀξίωμά ἐστι τῶν χρωμένων ἐπὶ τῶν τοιούτων τῇ ταὐτότητι τοῦ τε ὑποκειμένου καθ’ αὑτὸ καὶ τοῦ ὑποκειμένου σὺν τῷ συμβεβηκότι. εἶτα τὸ ὑπόδειγμα τοῦ διὰ τῆς ἑτερότητος ἀποδεικνύντος τὸ οὕτως ἀποδιδόμενον ἴδιον κατασκευαστικόν ἐστι. κατασκευάζοντας γὰρ δεῖ λέγειν, ὡς οὐκ ἔστιν ἁπλῶς, ἤγουν καθόλου, ἕτερον ἄνθρωπος καὶ ἕτερον ἄνθρωπος λευκός, ἀλλὰ κατὰ τὸν ὁρισμὸν καὶ τὸ εἶναι. ᾗ μὲν γὰρ οὐσία, καὶ ἄμφω, ὅ τε ἄνθρωπος καὶ ὁ λευκὸς ἄνθρωπος, ταὐτόν εἰσι, κατὰ δὲ τὸν ὁρισμὸν διαφέρουσιν· ὁ μὲν γὰρ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, ὁ δὲ λευκὸς ἄνθρωπος ταῦτά τε καὶ ἐπιδεκτικὸς χρώματος διακριτικοῦ ὄψεως. ἄλλως τε καὶ ὅτι οὐδὲ ὁ αὐτὸς ὁρισμός ἐστιν ἐπιστήμης καὶ ἐπιστήμονος, ἀλλ’ ἐπιστήμη μέν ἐστιν ἡ ἀμετάπειστος, ἐπιστήμων δὲ ὁ ἀμετάπειστος· διαφέρουσιν οὖν οἱ ὅροι κατὰ τὰς πτώσεις. πρὸς γὰρ τὸν σοφιστὴν τὸν κατὰ πάντα τρόπον ἐνιστάμενον δεῖ ἀντιτάσσεσθαι καὶ ἀπὸ τῶν πτώσεων καὶ ἀφ’ ἑτέρων ὧν ἂν δύνῃ.] p. 134a5 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ τὸ φύσει ὑπάρχο ν . Φύσει ὑπάρχειν τισὶ ταῦτα λέγει, ὧν τὰ ὑποκείμενα, οἷς οὕτω λέγεται ὑπάρχειν, ἐπιδεκτικὰ μέν ἐστιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτῶν, οὐ μὴν ἀεὶ αὐτοῖς οὐδὲ ἐξ ἀνάγκης ἐνεργείᾳ πάρεστιν· οὕτως φύσει τῷ ἀνθρώπῳ ὑπάρχει ἡ ἐπιστήμη (ὅτι γὰρ δεκτικός ἐστιν αὐτῆς, οὐχ ὅτι ἀεί ἐστιν ἐν αὐτῷ) καὶ τὸ γενειάσκειν καὶ τὸ πολιοῦσθαι.

in Top.400 ἂν δή τις τὸ οὕτως ὑπάρχον τινὶ καὶ οὕτως ἴδιον αὐτοῦ ὂν ἀποδῷ τῇ λέξει ὡς ἀεὶ αὐτῷ ἐνεργείᾳ παρόν, μὴ προσθεὶς τὸ φύσει ἢ ἄλλο τι ὃ πρὸς τὸ δέξασθαι αὐτὸ ἐπιτηδειότητα σημαίνει, οὐκ ἂν τὸ ἴδιον λέγοι. οἷον εἰ ἁπλῶς τις εἴποι τοῦ ἀνθρώπου ἴδιον εἶναι τὸ πεζὸν δίπουν· τὸ γὰρ δίπουν ὡς ἀχώριστον αὐτοῦ καὶ ἐξ ἀνάγκης αὐτῷ ὑπάρχον δοκεῖ λαμβάνειν ὁ οὕτως λέγων. ἀλλ’ οὐχ οὕτως ἐν τῇ φύσει ὑπάρχει, 〈εἰ〉 καὶ κατὰ φύσιν αὐτῷ· ἐπεὶ ἔσται τις ἄνθρωπος καὶ οὐ δίπους, ἀλλ’ οὐ κατὰ φύσιν. ὁμοίως οὐδὲ τὸ ἐπίστασθαι ἴδιον ἀνθρώπου, ἀλλὰ τὸ ἐπιστήμης εἶναι δεκτικῷ. p. 134a18 Ἔτι ὅσα λέγεται ὡς κα τ ’ ἄλλο τι πρῶτο ν . Τόπον καὶ τοῦτον χρήσιμον πρὸς ἀνασκευὴν τοῦ ἰδίου παραδίδωσι. τῶν γὰρ ὑπαρχόντων τισὶ τὰ μὲν πρώτως ὑπάρχει, τὰ δὲ οὐ πρώτως ἀλλὰ κατ’ ἄλλο. ἐν δὲ τοῖς οὕτως ἔχουσι χαλεπόν φησιν ἀποδοῦναι τὸ ἴδιόν τινι αὐτῶν, διὰ τὸ τὸ ἐπὶ τοῦ πρώτως ἔχοντος αὐτὸ ἀποδοθὲν ἁρμόζειν καὶ ἐπὶ τοῦ μὴ πρώτως ἔχοντος αὐτό. καὶ τούτου οὕτως ἔχοντος συμβήσεται οὐ καθ’ οὗ ὁ λόγος καὶ τὸ ἴδιον ἀληθεύεται, κατὰ τούτου καὶ τοὔνομα τοῦ πράγματος ἀληθεύεσθαι. εἰ γὰρ εἴη τῆς ἐπιφανείας ἀποδιδόμενον ἴδιον τὸ κεχρῶσθα ι , τὸ μὲν κεχρῶσθαι καὶ κατὰ σώματος κατηγορεῖται, οὐκέτι δὲ καὶ ἡ ἐπιφάνεια, ἧς ἴδιον ταὐτὸν ἀπεδόθη· οὐ γάρ ἐστι τὸ σῶμα ἐπιφάνεια. ἀλλὰ κἂν σώματος ἴδιον ἀποδοθῇ τὸ κεχρῶσθαι, καὶ κατὰ τῆς ἐπιφανείας κατηγορεῖτα ι , οὐ μὴν καὶ τὸ σῶμα. δεῖται οὖν διορισμοῦ τινος τὸ οὕτως ἀποδιδόμενον τῶν τοιούτων ἴδιον, ὡς διὰ τῶν ἑξῆς δείκνυται.

in Top.401 λόγον δὲ τὸ ἴδιον λέγει, ἐπεὶ εἶπε τὴν τοῦ ἰδίου ἀπόδοσιν μετὰ τοῦ γένους ποιεῖσθαι. p. 134a26 Συμβαίνει δ ’ ἐν ἐνίοις τῶν ἰδίω ν . Πολυτρόπως, φησίν, ἁμαρτάνουσί τινες ἐν τῇ τῶν ἰδίων ἀποδόσει, μὴ προσδιοριζόμενοι κατὰ τίνα τρόπον ἀποδιδόασι ταῦτα, ἐπειδὴ ἐπιχειροῦσιν ἀποδιδόναι τὸ ἴδιον ἢ τὸ φύσει ὑπάρχο ν , ὅπερ ἐστὶ κατὰ τὸ δεκτικὸν εἶναι αὐτοῦ τὸ ὑποκείμενον καὶ μὴ κατὰ τὸ ἐνεργείᾳ παρεῖναι, ἢ τὸ ἁπλῶς ὑπάρχον, ὅπερ ἐστὶ τὸ ἐπ’ ἔλαττον ἐνδεχόμενον, ἢ κατ’ ἄλλους τρόπους, ὅσους δὴ καὶ ἀριθμεῖται, ὧν ἕκαστον διὰ τοῦ οἰκείου παραδείγματος δῆλον ποιεῖ. μὴ γὰρ διορισάμενός τις ἢ προσθεὶς ἐφ’ ἑκάστου τῶν τοιούτων ἰδίων τὸν ἁρμόζοντα ἑκάστῳ τῶν τρόπων, οὓς κατὰ μέρος παρέθηκε, προσδιορισμὸν φανερὸν ὅτι ἁμαρτάνει καὶ οὐκ ἀποδίδωσι καλῶς ἐφ’ ἑκάστου τὸ ἴδιον. p. 134a31 Καθάπερ πυρὸς τὸ λεπτομερέστατο ν . Πάλιν εἴ τις, φησίν, ἴδιον τοῦ πυρὸς θείη τὸ λεπτομερέστατον καὶ μὴ διαστείλας χωρίσειε τὸ ἴδιον τὸ ὑπάρχον τῷ εἴδει, προσθεὶς τὸ τῷ εἴδε ι , ἁμαρτάνει· καὶ γὰρ εἰ προστεθείη τὸ τῷ εἴδει, δῆλον ὅτι ἑνὶ ὑπάρξει τῶν εἰδῶν τῶν ὑπὸ τὸ πῦρ ὄντων. p. 134b5 Μὴ προσθεὶς μὲν οὖν τὸ φύσει ἁμαρτάνε ι . Νῦν καθόλου δείκνυσιν, ὅτι εἰ κατὰ πλείους τρόπους ὑπάρχει τὰ ὑπάρχοντά τισιν, ἀναγκαῖον τὴν τῶν ἰδίων ἀπόδοσιν μετὰ τοῦ οἰκείου τῇ ὑπάρξει διορισμοῦ ποιεῖσθαι· οὐ γὰρ ὑγιὴς ἡ χωρὶς διορισμοῦ ἀπόδοσις τῶν διορισμοῦ τινος δεομένων. διὸ καὶ ἕκαστον τῶν τοιούτων ἰδίων ἀνασκευασθήσεται διὰ τοῦ ὀφείλοντος κεῖσθαι προσδιορισμοῦ μὴ προστεθέντος δὲ ὑπὸ τοῦ προσδιαλεγομένου. p.

in Top.402 134b22 Μὴ διαστείλας δὲ τὸ τῷ εἴδε ι . Οὕτως αὐτὸς εἶπεν ἐν Κατηγορίαις ἐπὶ τῆς οὐσίας, ὅτι ἴδιον τῆς οὐσίας τὸ “ἓν ἀριθμῷ ὂν δεκτικὸν εἶναι τῶν ἐναντίων”· οὐ γὰρ ὅτι πᾶσα οὐσία τοιαύτη, ἀλλ’ ὅτι ἐν αὐτῇ μόνῃ τὸ τοιοῦτον. ἀνάγεται δὲ τὸ τοιοῦτον ἴδιον εἰς τὴν τῆς ἀντιστροφῆς ἁμαρτίαν· οὐ γὰρ ἐφ’ ὧν τοὔνομα, καὶ ὁ λόγος κατηγορεῖται. γῆ μὲν γὰρ καὶ ἡ τυχοῦσα βῶλος, βαρυτάτη δὲ οὐκέτι· καὶ πῦρ μὲν ἄνθραξ καὶ φλὸξ καὶ φῶς, λεπτομερέστατον δὲ μόνον τὸ φῶς. p. 134b23 Τὸ γὰρ κα θ ’ ὑπερβολή ν . Ἀποδιδοὺς ἐνταῦθα τὴν αἰτίαν τοῦ ἁμαρτάνειν τὸν οὕτως ἀδιορίστως ἀποδιδόντα τὸ ἴδιον, τὸ κα θ ’ ὑπερβολήν φησιν οὐχ οἷόν τε ἐν πλείοσι θεωρεῖσθαι, καθάπερ τὸ κουφότατον τῷ πυρ ί . p. 134b28 Οὐ γάρ ἐστιν ἓν εἶδος τοῦ

πυρό ς . Ὅτι ἐπὶ τῶν τῷ εἴδει ἀποδεδομένων ἰδίων, εἰ μὲν τὰ ὑπὸ τοῦ ὀνόματος οὗ τὸ ἴδιον ἀποδέδοται σημαινόμενα ἑνὸς εἴη εἴδους, ὑγιὴς ἡ ἀπόδοσις, εἰ δὲ πλειόνων εἰδῶν, οὐκέτι ὑγιὴς ἡ προσθήκη ἐπὶ τῶν οὕτως ἐχόντων, ἡ ὅτι τῷ εἴδει ἴδιον τὸ ἀποδοθέν· καὶ οὕτως 〈γὰρ〉 ἐνδέχεται ἁμαρτάνειν, εἰ μὴ προσδιορίσαιτο καὶ κατὰ τί μέρος τοῦ πράγματος. ἐπ’ ἐνίων γὰρ οὐκ ἔχει οὕτως, ὡς ἐπὶ τοῦ πυρός, εἴ τις κουφότατον εἴποι τὸ πῦρ μὴ διαστείλας τὸ φῶς ἐν τῷ μὴ προσθεῖναι τὸ τῷ μέρει· πυρὸς γὰρ μέρη ἄνθραξ καὶ φλὸξ καὶ φῶ ς , ὧν ἕκαστον πῦρ λέγεται, ἀλλὰ τὸ φῶς μόνον ἐστὶ τὸ κουφότατον. κοινότερον δὲ νῦν καὶ τὸ φῶς πῦρ λέγει κατὰ δόξαν τινῶν· ἐπεὶ αὐτῷ οὐ δοκεῖ πῦρ εἶναι τὸ φῶς, ὅτι μηδὲ σῶμα, πᾶν δὲ πῦρ σῶμα.

in Top.403 ὁ δὴ λέγων πυρὸς τῷ εἴδει ἴδιον εἶναι τὸ λεπτομερέστατον οὐχ ὑγιῶς ἀποδίδωσι διὰ τὸ πλείω εἴδη εἶναι τοῦ πυρὸς καὶ ἑνός τινος αὐτῶν ἴδιον εἶναι, τοῦ φωτός, πυρὸς λεγομένου ἀλλ’ οὐ τοῦ πυρὸς κοινῶς. p. 134b30 Διὰ τοῦτο οὐ δε ῖ , εἰ τῷ εἴδει προστεθεί η , ἕτερον εἶναι εἶδος τοῦ λεχθέντο ς , ὅτι τοῖς μὲν μᾶλλο ν . Ὅτι οὐ δεῖ ἐπὶ τῶν διαφερόντων τῷ εἴδει ἴδιον ἀποδίδοσθαι, ὅτι τοῖς μὲν μᾶλλον τοῖς δὲ ἧττον ὑπάρξε ι . τοῦτο δ ’ οὐ δεῖ γίνεσθα ι , ὅταν μὴ καὶ τὸ ὄνομα μᾶλλον κατηγορῆται κα θ ’ οὗ καὶ τὸ ἴδιον ἀληθεύεται μᾶλλο ν . καθ’ οὗ γὰρ τὸ βαρύτατον ἀληθεύεται μᾶλλον, κατὰ τούτου τὸ τῆς γῆς μᾶλλον ὄνομα κατηγορεῖται· ἡ γὰρ μᾶλλον γῆ βαρυτάτη· οὕτως γὰρ γῆς ἴδιον τὸ ἀποδιδόμενον γίνεται. εἰ δὲ μὴ καθ’ οὗ τὸ ἴδιον μᾶλλον, καὶ τοὔνομα μᾶλλο ν , οὐκ ἔστιν ἴδιον, ὡς ἐπὶ τοῦ πυρός· οὐ γὰρ ᾧ τὸ λεπτομερέστατον ὑπάρχειν ἴδιον ἀπεδόθη, τούτῳ καὶ τὸ μᾶλλον πῦρ· διὸ οὐκ ἴδιον. τὸ μὲν γὰρ φῶς τὸ λεπτομερέστατον, μᾶλλον δὲ πῦρ ἄνθραξ καὶ φλὸξ τοῦ φωτός. p.

in Top.404 135a1 Ἔτι δὲ πρὸς τούτοις ταὐτὸν εἶναι συμβήσετα ι . Συμβήσεται δὲ πρὸς τούτοι ς , φησίν, ἐπὶ τῶν τοιούτων ἰδίων τὸ αὐτὸ πλειόνων ἴδιον, τοῦ τε ἁπλῶς καὶ κοινῶς λεγομένου, οἷον τοῦ πυρός, καὶ τοῦ μάλιστα τοιούτου ἐν τῷ κοινῷ, οἷον τοῦ φωτός· τοῦ μὲν γὰρ πυρὸς ἔσται ἴδιον, διότι ἀπεδόθη τούτου, τοῦ δὲ φωτός, ὅτι μάλιστα ὑπάρχει τούτῳ μὴ ὄντι μάλιστα πυρί. οὐ δεῖ δὲ ταὐτὸν ἴδιον εἶναι τοῦ τε γένους καὶ ἑνὸς εἴδους τῶν ὑπὸ τὸ γένος· ἔσται γὰρ τὸ αὐτὸ πλειόνων τε καὶ διαφερόντων ἴδιον. Ταῦτα διευκρινήσας περαίνει λέγων, ὅτι ἄλλου μέν τινος οὕτως ἀποδιδόντος τὸ ἴδιον ἐπιχειρητέον ἀπελέγχειν αὐτόν, αὐτῷ δ έ , ἤγουν σοί, οὐ δοτέον ἐστὶ ταύτην τὴν ἔνστασι ν , τουτέστιν εἰ δὲ σὺ τοιοῦτον ἀποδοίης ἴδιον, οὐ δεῖ ἐπιφέρειν ἑαυτῷ τὴν ἔνστασιν, ἤγουν αἰτίαν διδόναι τῷ προσδιαλεγομένῳ ἐνίστασθαί σοι, ἀλλὰ δεῖ σε εὐθὺς διορίζειν, ὃν τρόπον ἀποδίδως τὸ ἴδιον, καθ’ ἕνα τῶν ἐκτεθέντων. p. 135a9 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ αὐτὸ αὑτοῦ ἴδιον ἔθηκ ε . Γίνεται δὲ τοῦτο, ἐάν τις τὸ ἴσον δυνάμενον ὄνομα ἀντιμεταλαβὼν ὡς ἴδιόν τινος ἀποδιδῷ· ὃ μάλιστα ἐπὶ τῶν πολυωνύμων οἷόν τε γίνεσθαι. ἐπεὶ γὰρ τὸ ἑκάστου ὄνομα τῆς οὐσίας αὐτοῦ ἐστι δηλωτικόν (οὗ γὰρ ὁ ὁρισμὸς δηλωτικός, τούτου καὶ τοὔνομα), καὶ ὁ τοιοῦτον ἴδιον ἀποδιδοὺς τὸ τῆς οὐσίας αὐτοῦ δηλωτικὸν ὡς ἴδιον 〈ἂν〉 ἀποδοίη. κεῖται δὲ ὅτι τὸ τὸ εἶναι καὶ τὴν οὐσίαν τινὸς δηλοῦν οὐκ ἴδιον· οὐ γὰρ ἦν ἴδιον τὸ σημαῖνον τὸ τί ἦν εἶναι, καὶ ἐν τῇ τῶν προβλημάτων διαιρέσει ὁρικὰ εἶπεν εἶναι τὰ τοιαῦτα. p.

in Top.405 135a16 Οἷον ἐπεὶ ὁ θεὶς ζῴου ἴδιον τὸ οὐσία ἔμψυχο ς . 〈Ὁ θεὶς ζῴου ἴδιον τὸ οὐσία ἔμψυχοσ〉 (δεῖ δὲ προσκεῖσθαι καὶ τὸ ‘αἰσθητική‘) ἀντικατηγορούμενον ἀπέδωκεν οὐκέτι ἴδιον 〈ὄν〉 · τοῦ γὰρ ζῴου τὸ ‘οὐσία ἔμψυχος αἰσθητική‘ ἀντικατηγορεῖται· πᾶν γὰρ ζῷον οὐσία ἔμψυχος αἰσθητική, καὶ πᾶσα οὐσία ἔμψυχος αἰσθητικὴ ζῷον. Ἐπιζητήσειε δ’ ἄν τις ἐπὶ τῶν λεγομένων ἑτερωνύμων, εἰ μὴ οἷόν τε θατέρου ἕτερον ἴδιον ἀποδίδοσθαι, οἷον τὸ σημεῖον, τὸ ἀμερές, τὸ ἐλάχιστον ἢ ἀδιάστατον· δοκεῖ γὰρ ἐπὶ τούτων καὶ τὰ σημαινόμενα διαφέρειν. οἷς δ’ ἂν προσῇ καὶ σαφεστέρως καὶ γνωριμωτέρως, μᾶλλον ἐναρμόττει. p. 135a20 Ἔπειτα ἐπὶ τῶν ὁμοιομερῶν σκεπτέον ἐστί ν , ἀνασκευάζοντα μὲν εἰ τὸ τοῦ ὅλου ἴδιο ν . [Ἐπεὶ ἡ διαίρεσις ἡ ἀπὸ τοῦ ὅλου εἰς μέρη ἢ εἰς ὁμοιομερῆ γίνεται ἢ εἰς ἀνομοιομερῆ, παραδίδωσι τόπους καὶ ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ὁμοιομερῶν. καὶ ἀνασκευάζοντα μέν · εἰ ἀπεδόθη ἴδιον τοῦ ὅλου, τοῦτο δὲ οὐ προσαρμόζει καὶ τῷ μέρει, οὐ καλῶς ἦν ἀποδεδομένον τὸ ἴδιον· ἢ εἰ ὃ τοῦ μέρους ἴδιον ἀπεδόθη, καὶ τῷ ὅλῳ οὐ προσαρμόζει, οὐ καλῶς εἴη ἂν ἀποδεδομένον τὸ ἴδιον. τοῦτο δὲ γίνεται ἐπί τινων, τὸ ἀποδιδόναι μὲν ἴδιον ἐπὶ τὸ σύμπαν ἐνίοτε ἀποβλέψαντα, τὸ δὲ ἀποδοθὲν ἴδιον μὴ προσαρμόζειν τῷ μέρει· οἷον τῆς θαλάσσης ἴδιον τὸ πλεῖστον ἁλμυρὸν ὕδω ρ . τοῦτο δὲ οὐ προσαρμόζει τῷ μέρει· οὐ γὰρ ἂν σχοίης ἀποδοῦναι τῆς θαλάσσης τινὸς τὸ πλεῖστον ἁλμυρὸν ὕδω ρ , ἐπειδὴ ἡ τὶς θάλασσα μόριόν ἐστιν ἐλάχιστον τῆς ὅλης. πῶς ἂν οὖν εἴποιμεν ἐπ' αὐτοῦ τὸ πλεῖστον; ὥστε οὐδ' αὐτῆς τῆς θαλάσσης εἴη ἂν ἴδιον τὸ ἀποδοθέν, ἐπεὶ οὐ προσαρμόζει καὶ τῷ μέρει. πολλάκις δ' ἂν ἀποδοίη τις ἴδιον τοῦ μέρους αὐτῷ μὲν τῷ μέρει ἐπισκεψάμενος ἴδιον ἀποδιδόναι μὴ προσαρμόζον δὲ καὶ τῷ ὅλῳ· οὐδὲ οὗτος ἀποδοίη ἂν τὸ ἴδιον καλῶς. εἰς τὸν αὐτὸν τόπον.] Δῆλον ὅτι τῶν ὁμοιομερῶν τὰ μόρια πάντα ἀλλήλοις τε καὶ τῷ ὅλῳ τῆς αὐτῆς ἐστιν οὐσίας· διὸ καὶ ὁ αὐτὸς ὅρος τῷ τε ὅλῳ καὶ ἑκάστῳ τῶν μορίων αὐτοῦ ἐφαρμόζει. ἐπεὶ τοίνυν τοιαῦτα τὰ ὁμοιομερῆ εἶναι δοκεῖ, δῆλον ὅτι καὶ τὸ ὁμοιομεροῦς τινος ἴδιον ἀποδεδομένον παντὶ ὑπάρχει τῷ ὁμοιομερεῖ, ὁμοίως ὅλῳ τε καὶ τοῖς μέρεσιν αὐτοῦ.

in Top.406 ἂν δή τις τοιοῦτον ἴδιον τῶν ὁμοιομερῶν τινος ἀποδῷ, ὃ τῷ ὅλῳ μὲν ὑπάρχει τοῖς δὲ μέρεσιν αὐτοῦ μηκέτι, ἢ ἔμπαλιν, ἀνασκευάζομεν ὡς οὐκ ἔστιν ἴδιον τὸ ἀποδιδόμενον ἴδιον. δεῖ οὖν τὸ ἀποδιδόμενον ἴδιον ὁμοιομεροῦς τινος καὶ τῷ ὅλῳ καὶ τοῖς μέρεσιν αὐτοῦ ὑπάρχειν. οὕτω γῆς ἴδιον τὸ κάτω φέρεσθαι κατὰ φύσιν · καὶ γὰρ κατὰ πάσης γῆς καὶ κατὰ τινὸς ἀληθεύεται · ἔστι γὰρ καὶ τῆς τινὸς γῆ ς , καθόσον ἐστὶ γῆ, ἴδιον τὸ κάτω φέρεσθαι κατὰ φύσι ν , οὐ καθὸ ὁμοιομερής, ὥσπερ οὐδὲ τῆς πάσης καθὸ πᾶσα. τὸ δὲ ἔστι δὲ αὐτῶν ἴδιον κατὰ τὸ σύμπαν δηλωτικόν ἐστι τοῦ τε ὡς ὅλου λαμβανομένου καὶ τῶν μορίων ἑκάστου. p. 135b7 Ἔπειτα ἐκ τῶν ἀντικειμένων σκεπτέον ἐστί ν . Ἐκ τῶν ἀντικειμένων παραδίδωσι καὶ πρὸς ἀνασκευὴν καὶ πρὸς κατασκευὴν τῶν ἰδίων τόπους, ὥσπερ ἐποίησε καὶ ἐπὶ τῶν πρὸς τὸ συμβεβηκὸς καὶ πρὸς τὸ γένος παραδοθέντων τόπων. καὶ ἐπεὶ τετραχῶς τὰ ἀντικείμενα, πρῶτον ἀπὸ τῶν ἐναντίων ἄρχεται. p. 135b10 Τῷ βελτίστῳ δὲ τὸ χείριστο ν . Πάσης γὰρ ἀρετῆς τοῦτο· εἰ γὰρ ἀρετῆς λόγος ἕξις ἡ βελτίστη, εἴη ἂν τῆς κακίας ἴδιον τὸ χείριστον. οὐκέτι δὲ τῆς δικαιοσύνης τὸ βέλτιστον ἴδιον · οὐκ ἂν εἴη τῆς ἀδικίας ἴδιον τὸ χείριστο ν . καὶ γὰρ ἐπὶ ταύτης ὁ αὐτὸς λόγος· πᾶσα γὰρ κακία ἕξις ἐστὶν ἡ χειρίστη. p. 135b24 Οἷον ἐπεὶ λέγεται διπλάσιον μὲν πρὸς ἥμισ υ . Ἀντίκειται γὰρ τὸ μὲν διπλάσιον πρὸς τὸ ἥμισ υ , τὰ δὲ δύο πρὸς τὸ ἕ ν , τὸ δὲ ἓν πρὸς δύ ο , καθόσον τὰ μὲν δύο πρὸς ἓν διπλασίου σημαίνει λόγον, τὸ δὲ ἓν πρὸς δύο ἡμίσεος.

in Top.407 ταῦτα δὲ οὐ πρός τι κυρίως· οὐ γὰρ λέγεται τὰ δύο τοῦ ἑνὸς δύο ἢ τὸ ἓν τῶν δύο ἕν, οὐδὲ ἐν τῇ πρὸς ἄλληλα σχέσει τὸ εἶναι ἔχει. εἴη δ' ἂν οἰκειότερον τῷ προκειμένῳ παράδειγμα, εἰ ληφθείη ἡμῖν μία μὲν ἀντίθεσις κατὰ τὸ πρός τι αἴσθησις, αἰσθητόν, ἑτέρα δὲ ἀντίληψις διὰ σώματος καὶ ἀντιληπτὸν διὰ σώματος· εἰ γὰρ αἰσθήσεως ἴδιον ἡ διὰ σώματος ἀντίληψις, εἴη ἂν καὶ τοῦ αἰσθητοῦ ἴδιον τὸ διὰ σώματος ἀντιληπτόν. οὐκ ἔστι δὲ τοῦ διπλασίου ἴδιον τὸ ὑπερέχον· οὐ γὰρ μόνον τοῦτο ὑπερέχον. p. 135b27 Τρίτον ἀνασκευάζοντα μὲν εἰ τῆς ἕξεως τὸ κα θ ' ἕξιν λεγόμενο ν . Ὅτι δύο οὐσῶν ἀντιθέσεων καθ' ἕξιν καὶ στέρησιν, ἐὰν μὴ ἡ ἕξις τῆς ἕξεως ἴδιον ᾖ, οὐδὲ ἡ στέρησις τῆς στερήσεως· ἐὰν δὲ ἡ ἕξις τῆς ἕξεως ἴδιον, καὶ ἡ στέρησις τῆς στερήσεως, καὶ ἔμπαλιν. p. 136a5 Ἔπειτα ἐκ τῶν φάσεων καὶ τῶν ἀποφάσεω ν . Τουτέστιν εἰ τὸ καταφασκόμενον αὐτοῦ ἴδιον εἴη, ἀδύνατον αὐτοῦ τὸ ἀποφασκόμενον ἴδιον εἶναι, καὶ ἔμπαλιν. φάσιν δὲ τὴν κατάφασιν λέγει. ἐπιζητήσαι δ' ἄν τις πῶς πρὸς κατασκευὴν οὐ χρήσιμος ὁ τόπος· ὁ γὰρ τὸ ἕτερον αὐτῶν δείξας μὴ ὑπάρχον τὸ ἕτερον ὑπάρχον ἔδειξεν· οὐδὲν γὰρ μεταξὺ τῆς ἀντιφάσεως. ἢ ὑπάρχον μὲν αὐτῷ δείκνυται, οὐ μὴν καὶ ὡς ἴδιον ὑπάρχον. ἢ δύναται μηδὲ τὴν ἀρχὴν ὑπάρχειν αὐτῷ τὸ ἀντικείμενον τῷ μὴ ἰδίῳ, εἰ τὸ δειχθὲν μὴ ἴδιον ὑπάρχει μὲν αὐτῷ, μὴ ὡς ἴδιον δέ· οὐ γάρ, εἰ τοῦ ἀνθρώπου μή ἐστιν ἴδιον τὸ ἔμψυχον, ἤδη αὐτῷ καὶ οὐχ ὑπάρχει.

οἰκειότερον δὲ ἐπὶ τοῦ ζῴου τὸ αἰσθητικὸν μεταλαμβάνειν ἀντὶ τοῦ ἐμψύχου· τὸ γὰρ ἔμψυχον ὑπάρχει μὲν αὐτῷ, οὐχ ὡς ἴδιον δέ. ἔστι δὲ ὁ μὲν πρῶτος τόπος ἐκ μάχης καὶ ἀνασκευαστικὸς μόνον, ὁ δὲ δεύτερος οὔ.

in Top.408 καὶ ἀμφοτέροις ἐν τοῖς ἑξῆς φησι μὴ δεῖν τὸ ἴδιον ἀποφατικὸν εἶναι ὡς καὶ τῷ μὴ ὄντι ὑπάρχον· "ἀπόφασις γὰρ φάσει ὑπάρχει μέν, οὐχ ὡς ἴδιον δέ." p. 136a14 Δεύτερον δὲ ἐκ τῶν κατηγορουμένων ἢ μὴ κατηγορουμένων καὶ ἐξ ὧν κατηγορεῖται ἢ μὴ κατηγορεῖτα ι . Μὴ κατηγορούμενα λέγει τὰ ἀποφατικῶς κατηγορούμενα, καὶ καθ' ὧν μὴ κατηγορεῖται τὰ ἀποφατικῶς ὑποκείμενα. Λαμβάνει γὰρ δύο ὑποκείμενα, ἓν κατηγορικὸν καὶ ἕτερον στερητικόν, καὶ δύο ἴδια ὅμοια. φησὶν οὖν, ὅτι εἰ τῆς καταφάσεως, οἷον τοῦ ἀνθρώπο υ , οὐκ ἔστιν ἴδιον ἡ φάσις, ἤγουν τὸ ζῷο ν , οὐδὲ ἡ ἀπόφασις, ἤγουν τὸ μὴ ζῷο ν , ἴδιον ἔσται τοῦ μὴ ἀνθρώπο υ . ὁμοίως δὲ καὶ τὸ ἐναντίον. εἰκότως δὲ εἶπε τὸν ἄνθρωπον φάσιν, ἐπεὶ μέρος ἐστὶ προτάσεως. p. 136a29 Τρίτον δὲ ἐξ αὐτῶν τῶν ὑποκειμένω ν . Παραδοὺς πρῶτον τόπον ἀπὸ τῶν ἀντικειμένων κατὰ κατάφασιν καὶ ἀπόφασιν ἀνασκευαστικόν, ἐν ᾧ ἓν μὲν ἦν τὸ ὑποκείμενον, τούτου δὲ κατηγορούμενον τὸ αὐτὸ ποτὲ μὲν καταφατικῶς λαμβανόμενον ποτὲ δὲ ἀποφατικῶς, ὅ ἐστι κυρίως ἀντίφασις, δεύτερον δὲ ἐν ᾧ καὶ τὰ ὑποκείμενα δύο καὶ τὰ κατηγορούμενα δύο ἐλαμβάνετο, ἐν μὲν τῷ ἑτέρῳ αὐτῶν καταφατικῶς εἰλημμένα ἐν δὲ τῷ ἑτέρῳ ἀποφατικῶς, καὶ δείξας τοῦτον καὶ πρὸς ἀνασκευὴν καὶ πρὸς κατασκευὴν χρήσιμον, τρίτης μνημονεύει ἀντιθέσεως, ἐν ᾗ τὸ κατηγορούμενον ἓν λαμβάνει δύο δὲ τὰ ὑποκείμενα αὐτῷ τούτῳ, ἀνὰ μέρος αὐτῷ ποτὲ μὲν καταφατικῶς ὑποκείμενα ποτὲ δὲ 〈ἀποφατικῶς, ἐναντίωσ〉 ἀντιφατικῶς ἀντικείμενα ἢ ὡς εἶχεν ἐπὶ τοῦ πρώτου ῥηθέντος τόπου.

in Top.409 τῶν δὲ εἰρημένων τριῶν τόπων μόνος ὁ πρῶτος τόπος ἀντίφασιν εἴληφε καὶ ἐπὶ ἀντιφάσεως τὴν δεῖξιν ποιεῖται. Ὁρμᾶται οὖν οὗτος ἀπ' αὐτῶν τῶν ὑποκειμένων καὶ φησίν, εἰ ἀποδοθείη τῆς φάσεως ἴδιον, ἤγουν τοῦ καταφατικῶς λεγομένου ὑποκειμένου, οἷον τοῦ ζῴου τὸ ἔμψυχο ν , οὐκ ἂν εἴη τὸ αὐτὸ τῆς ἀποφάσεως, ἤγουν τοῦ ἀποφατικῶς λεγομένου ὑποκειμένου, ἴδιον, οἷον τοῦ μὴ ζῴου τὸ ἔμψυχον · εἴη γὰρ ἂν ἴδιον ἓν πολλῶν ὑποκειμένων καὶ ἀντιφατικῶς ἀντικειμένων. ὁμοίως καὶ τὸ ἀνάπαλιν· εἰ γὰρ τοῦ μὴ ζῴου ἴδιον τὸ ἀναίσθητον, τοῦ ζῴου τοῦτο οὐκ ἔσται ἴδιον. τὸν δὲ κατασκευάζοντα τόπον ἐν τοῖς τοιούτοις ψευδῆ εἶναί φησι. καὶ τίθησι καὶ τὴν αἰτίαν λέγων ὅτι οὔτε ἡ φάσις τῆς ἀποφάσεως οὔτε ἡ ἀπόφασις τῆς φάσεώς ἐστιν ἴδιον. τὴν μὲν γὰρ φάσιν ὡς θέσιν ἀδύνατον ὑπάρχειν ἴδιον τῆς ἀποφάσεως, ἥτις ἀναίρεσίς ἐστι καὶ ἀνυπαρξία· τὴν δὲ ἀπόφασιν τῇ καταφάσει ἐνδέχεται μὲν ὑπάρχειν, ἀλλ' οὐχ ὡς ἴδιον. οἷον τὸ μὴ ὂν δοξαστόν ἐστιν οὐχ ὡς τὸ λευκὸν ἀνθρώπῳ, ἀλλ' ὡς μὴ ὄν· δόξα γὰρ αὐτοῦ ἐστιν οὐχ ὅτι ἔστιν, ἀλλ' ὅτι οὐκ ἔστιν. ἀλλ' οὐκ ἔστιν ἴδιον τοῦ μὴ ὄντος τὸ δοξαστόν· ἔστι γὰρ καὶ τοῦ ὄντος. p. 136b3 Ἔπειτα δὲ ἐκ τῶν ἀντιδιῃρημένω ν . Ἀντιδιῃρημένα ἀλλήλοις λέγεται ὅσα ἐκ τοῦ αὐτοῦ γένους κατὰ τὴν αὐτὴν διαίρεσιν κεχώρισται ἀλλήλων. ἐὰν οὖν τις τῶν ἀντιδιῃρημένων ἀλλήλοις τι ἀποδῷ ἴδιον ἄλλου τινὸς τῶν καὶ αὐτῶν ἀντιδιῃρημένων ἀλλήλοις κατ' ἄλλην διαίρεσιν ἐκ τοῦ αὐτοῦ γένους ἢ κατ' ἄλλην ἐπιβολὴν ἐξ ἄλλου γένους, ἐπιβλεπτέον, φησίν, ἐν ἄλλῳ τῶν κατὰ τὴν αὐτὴν διαίρεσιν τῷ ἀποδιδομένῳ ἰδίῳ, εἰ ἄλλου τινός ἐστιν ἴδιον τῶν ἀντιδιῃρημένων τούτῳ οὗ ἐκεῖνο ἴδιον ἀπεδόθη· ἂν γὰρ μηδὲν τῶν ἐκείνῳ ἀντιδιῃρημένων, οὐδ' ἂν τὸ ἀποδιδόμενον ἴδιον εἴη τοῦ οὗ ἀποδίδοται.

in Top.410 ἐὰν δὲ τὸ ἕτερον τοῦ ἑτέρου ἴδιον ᾖ ἢ τἆλλα τῶν ἄλλων, εἰ πλείω εἴη τὰ ἀντιδιῃρημένα, εἴη ἂν διὰ τούτου δεικνύμενον ὅτι καὶ τὸ ζητούμενον ἴδιόν ἐστιν οὗ ἀπεδόθη. οἷον ἀντιδιῃρημένα ὡς ἴδια τό τε ζῷον αἰσθητὸν καὶ τὸ ζῷον νοητό ν , καὶ ἀντιδιῃρημένα ὡς ὑποκείμενα τά τε θνητὰ ζῷα καὶ ὁ ἀθάνατος θεός· φησὶν οὖν, εἰ τὸ ζῷον αἰσθητὸν οὐκ [ἂν] εἴη ἴδιον τῶν θνητῶν ζῴων, οὐδὲ τὸ ζῷον νοητὸν εἴη ἂν ἴδιον τοῦ ἀθανάτου θεοῦ. ἐπὶ δὲ τοῦ κατασκευαστικοῦ τόπου κέχρηται παραδείγματι τοιούτῳ. λαβὼν ὡς ὅλου τῆς ψυχῆς ἀντιδιῃρημένα μέρη ἀλλήλοις τό

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τε λογιστικὸν καὶ τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν, λαβὼν δὲ καὶ τῆς ἀρετῆς, ἥτις ἐν ψυχῇ γίνεται, τὰς ἀντιδιῃρημένας ἀλλήλαις ἀρετάς, φρόνησιν, ἀνδρείαν, σωφροσύνην, δείκνυσιν, ὅτι ἐπεὶ τῆς φρονήσεως ἴδιόν ἐστι τὸ κα θ ʼ αὑτὸ πεφυκέναι τοῦ λογιστικοῦ ἀρετὴν εἶναι καὶ τῆς ἀνδρείας τοῦ θυμικοῦ, εἴη ἂν καὶ τῆς σωφροσύνης τὸ τοῦ ἐπιθυμητικοῦ καθʼ αὑτὸ ἀρετὴν εἶναι. p. 136b15 Ἔπει τ ʼ ἐκ τῶν πτώσεω ν , ἀνασκευάζοντα μέ ν . Πτώσεις ἰδίως αὐτῷ λέγειν ἔθος τὸ μὲν δικαίως τοῦ δίκαιος τὸ δὲ ἀνδρείως τοῦ ἀνδρεῖος, νῦν δὲ πτώσεις ἑκάτερα ἑκατέρων λέγει. ἔθος δὲ αὐτῷ καὶ τὰ σύστοιχα πάντα πτώσεις λέγειν. σύστοιχα δὲ ἀλλήλοις τὸ δικαίως καὶ τὸ δίκαιον καὶ ἡ δικαιοσύνη· ταῦτα γὰρ ὅμοια ἀλλήλοις. ἐὰν οὖν ἡ πτῶσις τῆς πτώσεως μὴ ᾖ ἴδιον, οὐδʼ ἂν αὐτό, οὗ ἡ πτῶσις οὐκ ἦν ἴδιον, τοῦ λοιποῦ εἴη ἴδιον. εἰ δὲ ἡ πτῶσις τῆς πτώσεώς ἐστιν ἴδιο ν , καὶ τὸ οὗ ἡ πτῶσις ἴδιον 〈ἦν, ἔσται ἴδιον〉 ἐκείνου οὗ τῆς πτώσεως ἦν ἡ πτῶσις ἴδιον.

in Top.411 οὐ μόνον δ έ , φησίν, ἐπὶ τοῦ εἰρημένου 〈τῷ〉 κατὰ τὰς πτώσεις δεῖ χρῆσθαι ἀλλὰ καὶ ἐπὶ τῶν ἀντικειμένων τούτῳ, καθάπερ καὶ ἐπὶ τῶν πρότερον τόπων εἴρηται τῶν πρὸς τὸ συμβεβηκός. ἰστέον δὲ καὶ τοῦτο, ὅτι φανερῶς ἐπὶ τῶν παραδειγμάτων δείκνυσιν ὅτι τῷ τῆς πτώσεως ὀνόματι κοινότερον νῦν ἐπὶ τῶν συστοίχων κέχρηται· οὐ γὰρ μόνον ἐπὶ τῶν πτώσεων ἀλλʼ ἁπλῶς ἐπὶ τῶν συστοίχων ὁ τόπος ἀνασκευαστικὸς καὶ κατασκευαστικός ἐστιν. p. 136b33 Ἔπειτα ἐκ τῶν ὁμοίως ἐχόντω ν . Εἴη δʼ ἂν ὁ τόπος οὗτος ἐφαρμόζων καὶ τοῖς κατὰ ἀναλογίαν· ὡς γὰρ ἐν θαλάττῃ γαλήνη, οὕτως καὶ ἐν ἀέρι νηνεμία. ἡ γὰρ ἀναλογία ὁμοιότης· ὥστε, εἰ μὴ θάτερον θατέρου ἴδιον, οὐδʼ ἂν θάτερον εἴη τοῦ λοιποῦ· ἢ εἰ τὸ ἕτερον τοῦ ἑτέρου ἴδιον, καὶ τὸ λοιπὸν τοῦ λοιποῦ. p. 137a8 Ἔπειτα ἐκ τῶν ὡσαύτως ἐχόντω ν . Τίνα μέν ἐστι τὰ ὡσαύτως ἔχοντα καὶ τίς διαφορὰ τῶν ὁμοίως ἐχόντων, αὐτὸς μετʼ ὀλίγον λέγει· τὸ γὰρ ὡσαύτως ἔχον ἓν πρὸς πλείω συγκρίνετα ι , τὰ δὲ ὁμοίως ἔχοντα ἐδείχθη ὅτι δύο πρὸς δύο τὴν σύγκρισιν ἔλαβεν· εἰ γὰρ μὴ ἴδιον τὸ ὁμοίως πρός τι ἔχον ἐκείνου, οὐδὲ τὸ ὁμοίως ἐκείνῳ πρός τι ἔχον ἄλλο ἴδιον ἐκείνου ἐγίνετο. ἐπὶ δὲ τῶν ὡσαύτως ἐχόντων ἕν τι λαμβάνεται πρὸς δύο ὁμοίως ἔχον ἢ δύο πρὸς ἕν· ὧν δύο εἰ μὲν τὸ ἕτερον μὴ εἴη ἴδιον τοῦ πρὸς ἄμφω ὁμοίως ἔχοντος, οὐδʼ ἂν τὸ ἕτερον αὐτοῦ ἴδιον εἴη· ἐὰν δὲ ἓν πρὸς δύο διαφέροντα ἀλλήλων ὁμοίως δοκοῦν ἔχειν τοῦ ἑτέρου αὐτῶν ᾖ ἴδιον, οὐκ ἔσται καὶ τοῦ λοιποῦ ἴδιον τῷ μὴ δύνασθαι τὸ αὐτὸ πλειόνων ἴδιον εἶναι, εἴ γέ ἐστιν ἴδιον ὃ μόνῳ τινὶ ὑπάρχει.

in Top.412 εἰ γὰρ ἡ φρόνησις ὁμοίως ἔχειν δοκοῦσα πρός τε τὸ καλὸν καὶ τὸ αἰσχρὸν τῷ ἀμφοτέρων αὐτῶν ἐπιστήμην δοκεῖν εἶναι, εἰ μὴ τοῦ ἑτέρου αὐτῶν εἴη ἴδιον, καὶ τοῦ λοιποῦ οὐκ ἂν εἴη ἴδιον. αὐτὸς δὲ ἀνάπαλιν λαμβάνει, εἰ τῆς φρονήσεως ἴδιον τὸ ἐπιστήμην εἶναι καλο ῦ , μηκέτι αὐτῆς ἴδιον ἔσεσθαι τὸ ἐπιστήμην εἶναι αἰσχροῦ · εἶτα ἐπενεγκὼν τὸ ἀδύνατον γὰρ εἶναι τὸ αὐτὸ πλειόνων ἴδιον ἤλεγξε τὸ ἁμάρτημα. ἐπιζητήσειε δʼ ἄν τις πῶς ἔτι δύναται τὸ αὐτὸ πρὸς ἄμφω ὁμοίως ἔχειν, εἰ ἔστι μόνου τοῦ ἑτέρου αὐτῶν ἴδιον. ἢ καὶ τοῦτο συναποδείκνυσι τὸ δοκοῦν ὁμοίως ἔχειν μὴ ἔχειν ὁμοίως. p. 137a18 Κατασκευάζοντι δὲ οὐδὲν οὗτος ὁ τόπος χρήσιμο ς . Πρὸς κατασκευὴν οὐδέν φησι χρήσιμον εἶναι τὸν τόπον. τὴν δὲ αἰτίαν οὐ προστίθησιν ἀλλʼ ἢ μόνον τὸ γὰρ ὡσαύτως ἔχον ἓν πρὸς πλείω συγκρίνετα ι . καὶ ἔοικε διὰ τούτου δυνάμει λέγων· οὐ γὰρ τὸ εἶναι τοῦ ἑτέρου αὐτῶν ἴδιον τὸ πρὸς ἄμφω ὡσαύτως ἔχον κατασκευαστικόν ἐστι τοῦ καὶ τοῦ ἑτέρου αὐτῶν ἔσεσθαι ἴδιον, ἀλλʼ ἀνασκευαστικόν. οὐ γάρ, ἂν δειχθῇ τοῦ ἑτέρου ἴδιον ὄν, κατασκευάζεται ὅτι καὶ τοῦ λοιποῦ· τοὐναντίον γὰρ ἀνασκευάζεται· ἓν γὰρ πρὸς δύο συγκρίνεται, καὶ τὸ ἴδιον πλειόνων εἶναι ἴδιον οὐ δύναται. p. 137a21 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ τὸ κατὰ τὸ εἶναι λεγόμενον μή ἐστι τοῦ κατὰ τὸ εἶναι λεγομένου ἴδιο ν . Ἐπεὶ τὸ ἴδιόν τινος ἀναγκαῖον ὄντος εἶναι καὶ γινομένου γίνεσθαι καὶ φθειρομένου φθείρεσθαι, εἰ ἐπί τινος τούτων διαφωνεῖ, οὐδʼ ἐπὶ τῶν ἄλλων ἂν εἴη ἴδιον. εἰ δʼ ἐπί τινος ἴδιον τούτων τὸ ἀποδοθέν, ἔσται καὶ ἐπὶ τῶν λοιπῶν. p.

in Top.413 137b3 Ἔπειτα ἐπιβλέπειν ἐπὶ τὴν ἰδέαν τοῦ κειμένο υ . Ὅτι ἐὰν τὸ ἀποδιδόμενον ἴδιόν τινος μὴ ὑπάρχῃ τῇ ἰδέᾳ τοῦ πράγματος οὗ τὸ ἴδιον ἀπεδόθ η , ἢ ὑπάρχῃ μὲν αὐτῇ, μὴ καθὸ δὲ ἰδέα αὐτοῦ ἐστιν οὗ λέγεται, οὐκ ἔστιν ἴδιον τὸ ἀποδοθὲν ἴδιον. οἷον ἐπεὶ τῷ αὐτοανθρώπ ῳ , ὅ ἐστιν ἰδέα ἀνθρώπου, οὐχ ὑπάρχει τὸ ἠρεμεῖ ν , ὅτι ἰδέα ἀνθρώπου ἐστὶ καὶ ἄνθρωπος, ἀλλὰ καθὸ ἰδέα (πάσαις γὰρ ταῖς ἰδέαις τοῦτο ὑπάρχει), οὐκ ἂν εἴη ἀνθρώπου ἴδιον τὸ ἠρεμεῖ ν . πάλιν δὲ ἐπεὶ ὑπάρχει τῷ αὐτοζῴῳ τὸ ἐκ ψυχῆς καὶ σώματος συγκεῖσθα ι , ὑπάρχει δὲ τούτῳ καθὸ 〈ζῷον, οὐ καθὸ〉 ἰδέα, εἴη ἂν καὶ ζῴου ἴδιον τὸ ἐκ ψυχῆς καὶ σώματος συγκεῖσθα ι . κοινότερον δὲ ὡς ἐν τοῖς πλείστοις καὶ νῦν τῷ παραδείγματι κέχρηται τῷ αὐτοζῷον συγκεῖσθαι ἐκ ψυχῆς καὶ σώματος· ἕπεται μὲν γὰρ ἴσως τοῦτο, οὐ μὴν συγχωρεῖται ὑπὸ τῶν τὰς ἰδέας τιθέντων. p. 137b14 Ἔπειτα ἐκ τοῦ μᾶλλον καὶ ἧττο ν . Ἐκ τοῦ μᾶλλον καὶ ἧττον καὶ τῶν τοιούτων ὑπερθέσεων, τοῦ μάλιστα καὶ ἥκιστα καὶ ἐλάχιστα, ὅτι ὡς ἔχει ἐπὶ τοῦ ἑνός, 〈οὕτωσ〉 καὶ 〈ἐπὶ〉 τῶν λοιπῶν ἢ τῶν πλείστων, καὶ ὡς ἐπὶ τῶν ἁπλῶς, οὕτως καὶ ἐπὶ τῶν συγκριτικῶν. τέσσαρες δέ εἰσι τόποι οἱ ἀπὸ τοῦ μᾶλλον, ἓν περὶ ἑνός, δύο περὶ δύο, ἓν περὶ δύο, δύο περὶ ἑνός. καὶ ἔστιν ὁ μὲν πρῶτος κατασκευαστικὸς καὶ ἀνασκευαστικὸς ὁποτέρωθεν, ὁ δὲ δεύτερος καὶ ὁ τέταρτος ἀπὸ μὲν τοῦ μᾶλλον ἀνασκευαστικοί, ἀπὸ δὲ τοῦ ἧττον κατασκευαστικοί, ὁ δὲ τρίτος μόνον ἀνασκευαστικός. ἐπιζητήσειε δ’ ἄν τις εἰ πάντως ἕπεσθαι δεῖ τοῖς συγκριτικοῖς τὰ ἁπλᾶ· δοκεῖ γὰρ ἐπί τινων μὴ ἕπεσθαι· μᾶλλον γὰρ καὶ ἧττον ἀὴρ βαρύς, οὐ μὴν καὶ ἁπλῶς βαρύς, καὶ γῆ μᾶλλον καὶ ἧττον κούφη 〈, οὐ μὴν καὶ ἁπλῶς κούφη〉 .

in Top.414 ἢ ἐπὶ τούτων οὐχ ἕπεται τῷ κατὰ σύγκρισιν τὸ ἁπλῶς, ὅτι μὴ κυρίως ἐπ’ αὐτῶν λαμβάνεται τὰ κατὰ σύγκρισιν λεγόμενα, τὸ βαρὺ καὶ τὸ κοῦφον, ἀλλ’ ὁμωνύμως· ὡς γὰρ ἐν τούτοις μᾶλλον, ἁπλῶς δ’ οὔ. τοῖς δὲ παραδείγμασι [τούτοις] καὶ ἐπὶ τῶν τόπων τούτων κοινότερον κέχρηται· ἐπὶ γὰρ οὐσιῶν, αἳ οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον, πεποίηται τὸν λόγον. εἴη δ’ ἂν οἰκειότερον ἐπὶ ἡδονῆς καὶ ἀγαθοῦ τὸν λόγον πεποιῆσθαι· εἰ γὰρ ἡ μᾶλλον ἡδονὴ μή ἐστιν μᾶλλον ἀγαθόν, οὐδὲ αἱ ἄλλαι. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων τῶν τε ἀνασκευαστικῶν καὶ τῶν κατασκευαστικῶν. p. 138a4 Δεύτερον ἀνασκευάζοντα μὲν εἰ τὸ μᾶλλον τοῦ μᾶλλο ν . Ὅσον μὲν ἐπὶ τῇ ἐκθέσει τοῦ τόπου τὸ αὐτὸ οὗτος δόξει λέγειν τῷ φθάνοντι εἰρῆσθαι· οὐ μὴν οὕτως ἔχει, ὡς διὰ τῶν παραδειγμάτων ἔδειξε. τότε μὲν γὰρ ἡ σύγκρισις ἡ κατὰ τὸ μᾶλλον ἦν αὐτῶν πρὸς αὑτὰ συγκρινομένων τῶν λαμβανομένων ἰδίων τε καὶ ὧν ἴδια· ζητουμένου γὰρ τοῦ εἰ τὸ κεχρῶσθαι ἴδιον σώματος, ἑκάτερον αὐτῶν κατὰ τὸ μᾶλλον λαμβάνοντες, εἰ μὴ τὸ ἕτερον τοῦ ἑτέρου ἴδιον ἦν, ἀνῃροῦμεν καὶ τὸ ἁπλῶς τοῦ ἁπλῶς ἴδιον εἶναι. νῦν δὲ οὐκ αὐτῶν τὴν ἐπίτασιν πρὸς αὑτὰ λαμβάνει κατὰ τὸ μᾶλλον, ἀλλὰ τῶν ὑπαρχόντων αὐτοῖς· εἰ γὰρ τὸ μᾶλλόν τινι ὑπάρχον μή ἐστιν ἴδιον ἐκείνου, οὐδ’ ὃ ἧττον ὑπάρχει. καὶ εἰσὶν οὗτοι οἱ τόποι οἱ αὐτοὶ τοῖς ἀπὸ τοῦ μᾶλλόν τε καὶ ἧττον κυρίως, ὧν οἱ μὲν ἀπὸ τοῦ μᾶλλόν εἰσιν ἀνασκευαστικοί, οἱ δὲ ἀπὸ τοῦ ἧττον κατασκευαστικοί. πρῶτον δὲ δύο τινὰ πρὸς δύο σχέσιν ἔχοντα κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον διαφέρουσαν λαμβάνει. p. 138a13 Τρίτον ἀνασκευάζοντα μὲν εἰ οὗ μᾶλλόν ἐστιν ἴδιο ν . Ὁ μὲν πρῶτος τόπος ἑνὸς πρὸς ἓν ἐποιεῖτο τὴν σύγκρισιν, ὁ δὲ δεύτερος δυοῖν πρὸς δύο· οὗτος δὲ ἑνὸς πρὸς δύο, καὶ ἔστιν ἀνασκευαστικὸς μόνον.

in Top.415 εἴτε γὰρ οὗ μᾶλλόν ἐστιν ἴδιο ν , μή ἐστιν ἴδιο ν , εἴτε ἐστίν, οὐκ ἔσται ἴδιον οὗ 〈ἧττόν〉 ἐστιν ἴδιον · ὁ γὰρ ἀπὸ τοῦ μᾶλλον τόπος ἀνασκευαστικός ἐστιν, οὐ κατασκευαστικός. καὶ ἔστιν ἀδύνατον τὸ αὐτὸ πλειόνων ἴδιον εἶναι · διὸ οὐδ’ ἀπὸ τοῦ ἧττόν ἐστι κατασκευαστικός. p. 138a21 Τέταρτον ἀνασκευάζοντα μέ ν . Τέταρτον τόπον ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον παραδίδωσι καὶ ἀνασκευαστικὸν καὶ κατασκευαστικὸν δύο τινῶν πρὸς ἓν ἐχόντων τὴν κατὰ τὸ μᾶλλον σύγκρισιν. p. 138a30 Ἔπειτα ἐκ τῶν ὁμοίως ὑπαρχόντω ν . Παραδοὺς τοὺς ἀπὸ τοῦ μᾶλλόν τε καὶ ἧττον τόπους μέτεισιν ἐπὶ τοὺς ἀπὸ τῶν ὁμοίως ὑπαρχόντων. οὐκ εἰσὶ δὲ οὗτοι οἱ αὐτοὶ οἷς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤδη ἀπὸ τῶν ὁμοίως ἐχόντων παρέδωκεν· ἐκεῖνοι μὲν γὰρ ἦσαν ἀπὸ τῶν ὁμοίως ἐχόντων πρός τινα ἄλλα κατ' ἀναλογίαν λαμβανόμενοι, οὗτοι δὲ ἀπὸ τῶν ὁμοίως ὑπαρχόντων τισίν· ἐρεῖ δὲ καὶ αὐτὸς αὐτῶν τὴν διαφοράν. οἱ μὲν οὖν ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον τέσσαρες ἦσαν, οἱ δὲ ἀπὸ τῶν ὁμοίως ὑπαρχόντων τρεῖς, οὓς ἐκθήσεται· ὧν καὶ ἐν τοῖς πρὸς τὰ ἀπὸ τοῦ συμβεβηκότος προβλήματα τόποις ἐμνημόνευσεν. εἶπε δὲ ὅτι ἡ μὲν κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον σύγκρισις καὶ αὐτῶν πρὸς αὐτὰ γίνεται, οὐ μόνον πρὸς ἄλληλα, ἡ δ' ὁμοιότης ἐν πλείοσι μόνον. πρῶτον μὲν οὖν λαμβάνει τόπον ἀπὸ τῶν ὁμοίων ἀνασκευαστικὸν καὶ κατασκευαστικόν, εἰ δύο τινὰ δύο τισὶν ὁμοίως ὑπάρχει, δεύτερον δὲ ὁμοίως πρὸς ἄμφω χρήσιμον, εἰ δύο τινὰ ἑνί τινι ὁμοίως ὑπάρχει, τρίτον δὲ ἀνασκευαστικὸν μόνον, εἰ ἓν δύο τισὶν ὁμοίως ὑπάρχει. p.

in Top.416 138b6 Δεύτερον δὲ ἀνασκευάζοντα μὲν εἰ τὸ ὁμοίως ὂν ἴδιον αὐτοῦ μή ἐστιν ἴδιο ν . Ἐν τούτῳ θεωρεῖ, εἰ δύο ἴδια ὁμοίως ἑνὶ ὑπάρχει ἢ μὴ ὑπάρχει. καὶ ἐπὶ μὲν τοῦ μὴ ὑπάρχειν τίθησι παράδειγμα σαφές, τὸ ὁρᾶν καὶ τὸ ἀκούειν τοῦ ἀνθρώπου, ἐπὶ δὲ τοῦ ὑπάρχειν ἀσαφές. ἔστι δ' ὃ λέγει τοιοῦτον· εἰ ὁμοίως ἐστὶ ψυχῆς ἴδιον τὸ μέρους αὐτῆς ἐπιθυμητικὸν εἶναι πρώτου καὶ λογιστικὸν ὡσαύτως μέρους πρώτου, εἴη ἂν ἴδιον αὐτῆς τὸ λογιστικὸν μέρους πρώτου, ὥσπερ καὶ τὸ ἐπιθυμητικὸν μέρους πρώτου ἴδιον αὐτῆς. τὸ δὲ τῆς ψυχῆς πρώτου μέρους εἶναι καὶ τὸ ἐπιθυμητικὸν καὶ τὸ λογιστικὸν ἐν τοῖς παραδείγμασιν ἔλαβεν, ὅτι καὶ ἀνθρώπου ἴδιον ἔστιν ὅτε τις λέγει τὸν μὲν θυμικὸν εἶναι τὸν δὲ ἐπιθυμητικόν, ἀλλ' οὐ πρώτου. p. 138b16 Τρίτον δὲ ἀνασκευάζοντα μὲν εἰ οὗ ὁμοίως ἐστὶν ἴδιο ν . Εἰ ἓν δύο τισὶν ὁμοίως ὑπάρχει, οἷον ἐπεὶ ὁμοίως ἐστὶν ἴδιον τὸ καίειν φλογὸς καὶ ἄνθρακος ***** , ὅτι μὴ οἷόν τε τὸ αὐτὸ πλειόνων ἴδιον εἶναι, ἀλλ' ἐν ᾧ τοῦ ἑτέρου αὐτῶν δείκνυσιν ἴδιον ὄν, ἅμα ἂν δεικνύοιτο ὅτι μηδὲ ὁμοίως ἀμφοτέροις ὑπάρχει. p. 138b27 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ δυνάμει τὸ ἴδιον ἀποδιδού ς . Εἴ τις ἴδιόν τινος ἀποδιδοὺς πρὸς δύναμιν, τουτέστι κατὰ δύναμιν αὐτοῦ ἀποδιδούς (κατὰ δύναμιν δέ ἐστι τὸ ἐπιστήμης φέρε εἰπεῖν δεκτικόν, τὸ γελαστικόν, καὶ ὅσα οὐ κατ' ἐνέργειαν πάρεστι τῷ πράγματι, ἀλλὰ λέγεται αὐτοῦ ἴδια τῷ δύνασθαι ἐν αὐτῷ γίνεσθαι), εἰ δή τις ἴδιόν τινος ἀποδιδοὺς πρὸς δύναμιν ἀποδίδωσι τὴν δύναμιν ταύτην πρός τι, ὃ δύναται καὶ μὴ εἶναι ὄντος αὐτοῦ οὗ ἴδιον ἀπεδόθη, μὴ ἐνδεχομένης τῆς δυνάμεως ταύτης ὑπάρχειν τῷ μὴ ὄντι οὐχ ὑγιῶς ἔσται τὸ ἴδιον ἀποδεδωκώς.

in Top.417 p. 138b31 Τὸ γὰρ τοιοῦτον ἴδιον οἷον ἀναπνεῖσθαι ἀναπνευστόν ἐστ ι . 〈Ἐπεὶ ἀναπνευστόν ἐστι〉 τὸ οἷόν τε ἀναπνέεσθαι, καὶ ἐπεὶ τὸ ἀναπνέεσθαι πεφυκὸς ὑπό τινος ἀναπνέεται, πᾶν δὲ τὸ ἀναπνέον ζῷον, πρὸς ζῷον ἂν εἴη τὸ ἀναπνευστὸν λεγόμενον ἴδιον, ὃ ἀπεδόθη τοῦ ἀέρος. εἰ δὲ τὸ ἀναπνευστὸν πρὸς τὸ ἀναπνέον λέγεται, εἰ μὴ εἴη τὸ ἀναπνέον, οὐδ' ἂν τὸ ἀναπνευστὸν ἔτι εἴη. εἰ οὖν μὴ ὄντος τοῦ ζῴου ἀέρα μὲν ἐνδέχεται εἶναι, τὸ δὲ ἀναπνευστὸν οὐκέτι μὴ ὄντος τοῦ ἀναπνέοντος αὐτό, οὐκ ἂν εἴη τοῦ ἀέρος ἴδιον τὸ ἀποδεδομένον, εἴ γε δεῖ μὲν τὸ ἴδιον ἀχώριστον εἶναι καὶ ἀεὶ ὑπάρχειν τῷ οὗ ἐστιν ἴδιον. p. 139a1 Κατασκευάζοντα δὲ εἰ τῇ δυνάμει ἀποδιδοὺς τὸ ἴδιο ν . Ὅταν μὴ ὄντος τούτου, πρὸς ὃ ἡ δύναμις ἀποδέδοται, μηδὲ ἡ δύναμις ἔτι σώζηται τοῦ πράγματος οὗ τὸ ἴδιον ἀποδέδοται, οὐ καλῶς τὸ ἀποδοθέν. ἂν δὲ καὶ μὴ ὄντος τοῦ πρὸς ὃ λέγεται ἡ δύναμις, ἔτι μένῃ τὸ πρᾶγμα ἐν τῇ δυνάμει, τότε καλῶς ἂν εἴη τὸ κατὰ δύναμιν ἴδιον ἀποδεδομένον. τοῦ μὲν γὰρ ἀναπνευστὸν εἶναι τὸν ἀέρα ἡ δύναμις ἐν ἄλλῳ ἐστί, τῷ ζῴῳ, ὃ ἔστι καὶ μὴ εἶναι· τοῦ δὲ τὸ ὂν οἷόν τε παθεῖν ἢ ποιῆσαι ἡ δύναμις ἐν αὐτῷ καὶ μὴ ὄντος τοῦ πάσχοντος ἢ ποιοῦντος· τὴν γὰρ ἐνέργειαν ἐμπεπόδισται μὴ ὄντων ἐκείνων, τὴν δὲ δύναμιν ἐν ἑαυτῷ φυλάσσει.

in Top.418 τοῦ μὲν 〈οὖν〉 πρὸς ὃν κατὰ δύναμιν ἀποδιδομένου ἰδίου παράδειγμα παρέθετο, οὐκέτι δὲ καὶ τοῦ πρὸς μὴ ὂν ἐνδεχομένου μέντοι καὶ μὴ ὄντι αὐτῷ ὑπάρχειν. εἴη δ' ἂν τοῦτο, εἴ τις ὕλης λέγοι ἴδιον τὸ τῶν ἐναντίων δεκτικόν· κἂν γὰρ μὴ ἐνεργείᾳ ὕλη λαμβάνηται, ἀλλὰ δυνάμει ὑπάρχει αὐτῇ τὸ κατὰ δύναμιν ἀποδεδομένον ἴδιον. [ Κατασκευάζοντα δ έ , φησί, δεῖ σκοπεῖν, εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δυνάμει ἴδιον ἀπέδωκεν ἢ πρὸς ὂν ἢ πρὸς μὴ ὄ ν , ἤτοι τὴν ὕλην, ἐνδεχομένης τῆς δυνάμεω ς , ἤγουν τοῦ δυνάμει, καὶ τῷ μὴ ὄντι ὑπάρχει ν , ὅπερ ἐστὶν ἡ ὕλη· ἡ γὰρ ὕλη μὴ ὂν διὰ τὸ εἶναι πάντα δυνάμει καὶ μηδέν τι εἶναι ἐνεργείᾳ. εἰ οὖν ἀποδοίη τις τῇ ὕλῃ ἴδιον τὸ δεκτικὴν εἶναι πάντων (δυνάμει γὰρ δεκτική ἐστι πάντων, εἴπερ τινὸς τῶν ὄντων οὐκ ἔστιν), ἢ εἰ ἀποδοίη τοῦ ὄντος ἴδιον τὸ δυνατὸν παθεῖν ἢ ποιῆσαι (πᾶν γὰρ τὸ ὂν δυνατὸν ἢ παθεῖν ἢ ποιῆσαι), καλῶς ἀποδέδωκε τὸ ἴδιον ἑκατέρου.] p. 139a9 Ἔπειτα ἀνασκευάζοντα μὲν εἰ ὑπερβολῇ τέθεικε τὸ ἴδιο ν . Τουτέστιν ὑπερθετικῶς. εἰ γὰρ δεῖ τὸ ἴδιον μόνῳ τε ὑπάρχειν καὶ συναναιρεῖσθαι αὐτῷ ἀναιρουμένῳ, τὸ δὲ καθ’ ὑπερβολὴν λεγόμενον οὐ συναναιρεῖται ἀναιρουμένῳ τῷ τὴν ὑπερβολὴν ἔχοντι διὰ τὸ τούτου ἀναιρεθέντος ἄλλο γίνεσθαι ἐν τῇ ὑπερβολῇ τὸ μετ’ ἐκεῖνο ὄν, εἰ δὲ τοῦτο, οὐ καθ’ οὗ ὁ λόγος [ἤτοι τὸ ἴδιον], καὶ τὸ ὄνομα, καὶ οὐκ ἔσται ἴδιον τὸ οὕτως ἀποδοθέν.

in Top.419 Φθαρέντος γὰρ τοῦ πυρὸς ἔσται τι ἄλλο γινόμενον ἐν ὑπερβολῇ, τὸ μετ’ ἐκεῖνο· ἔστω δὴ τοῦτο καθ’ ὑπόθεσιν ὁ ἀήρ· εἰ δὲ τοῦτο, συμβαίνει ὅτι οὐ καθ’ οὗ ὁ λόγος, καὶ τοὔνομα· τὸ μὲν γὰρ κουφότατον λέγεται κατὰ τοῦ ἀέρος, τὸ δὲ πῦρ, οὗ πρὸ τῆς φθορᾶς ἦν ἴδιον τὸ κουφότατον, οὐ λέγεται κατὰ τοῦ ἀέρος. ὥστε συμβαίνει τι ἄτοπον ἐκ τοῦ ὑπερθετικῶς ἀποδίδοσθαι τὸ ἴδιον, τὸ μὴ κα θ ’ οὗ τὸν λόγο ν , λέγεσθαι καὶ τοὔνομα. ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΕΙΣ ΤΟ ΕΚΤΟΝ ΤΗΣ ΤΟΠΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ Διδάξας ὁ Ἀριστοτέλης περὶ τῶν γενικῶν καὶ ἰδικῶν προβλημάτων, καὶ πρὸ αὐτῶν δ’ ὁμοίως περὶ τῶν ἀπὸ τοῦ συμβεβηκότος, καὶ τοὺς τόπους τούς τε κατασκευάζοντας ὅτι τόδε γένος ἐστὶ τοῦδε ἢ ἴδιον ἢ συμβέβηκε τῷδε καὶ αὖθις ἀνασκευάζοντας καὶ δεικνύντας ὅτι οὐκ ἔστι παραδούς, νῦν διδάσκει καὶ περὶ τῶν ὁρικῶν, οὐχ ὅτι τί ἐστιν ἡ φύσις τοῦ ὅρου, καὶ εἰ ἄρα πλείω γένη δεῖ ἐν τῷ ὁρισμῷ παραλαμβάνεσθαι μίαν δὲ διαφορὰν ἢ τοὐναντίον, καὶ τίνων ἔστιν ὁρισμός, ὅτι τῶν οὐσιωδῶν κυρίως, κατὰ δεύτερον δὲ λόγον καὶ τῶν συμβαινόντων (περὶ γὰρ πάντων τούτων ἐδίδαξεν ἐν τοῖς Μετὰ τὰ φυσικά, καὶ ἐν τῷ δευτέρῳ τῆς Ἀποδεικτικῆς περὶ τοῦ εἰ δεῖ τῶν ὁρισμῶν ἀπόδειξιν γίνεσθαι), ἀλλ’ εἰ ὁ ἀποδιδόμενός τινι ὅρος ὅρος ἐστὶν αὐτοῦ ἢ οὐκ ἔστι· περὶ τούτου γάρ ἐστιν ἡ πρόθεσις αὐτῷ ἐν τῷ παρόντι τῶν Τοπικῶν βιβλίῳ.

in Top.420.(1t) p. 139a24 Τῆς δὲ περὶ τοὺς ὅρους πραγματεία ς . Τῆς πραγματεία ς , φησί, τῆς περὶ τοὺς ὅρου ς , ἤτοι τῆς περὶ τὰ ὁρικὰ προβλήματα, μέρη εἰσὶ πέντε · πέντε γάρ εἰσι, δι’ ὧν ἐπιχειροῦμεν κατασκευάζειν ὅτι τόδε ἐστὶν ὁρισμὸς τοῦδε, καὶ αὖ τοὐναντίον ἀνασκευάζειν ὅτι ὁ ἀποδοθεὶς ὁρισμὸς οὐ καλῶς ἀποδέδοται. p.

in Top.421 139a25 Ἢ γὰρ ὅλως οὐκ ἀληθὲς εἰπεῖ ν , κα θ ’ οὗ τοὔνομ α , καὶ καὶ τὸν λόγο ν . Ἢ γὰρ δεῖ ἐπιχειρεῖν καὶ δεικνύναι ὅτι οὐδ’ ὅλως ὁ ἀποδοθεὶς ὁρισμὸς τὴν φύσιν τοῦ ὁριστοῦ σημαίνει, ἀλλ’ ἄλλο τί ἐστιν (εἰ γὰρ τὸ ζῷον λογικὸν θνητὸν ὁρισμὸς τοῦ ἀνθρώπου ἐστίν, ὀφείλει καὶ κατὰ παντὸς ἀνθρώπου κατηγορεῖσθαι καὶ καθ’ οὗ τὸ ὄνομα κατηγορεῖται, ἤγουν τὸ ὑπὸ τοῦ ὀνόματος δηλούμενον, ὁ ἄνθρωπος, καὶ κατὰ τοῦ Σωκράτους κατηγορεῖσθαι, καὶ διὰ τοῦτο καὶ τὸν ὁρισμὸν τοῦ ἀνθρώπου οἰκεῖον τῷ Σωκράτει καταφαίνεσθαι), ἢ ὄντος γένους τοῦ ὁριστοῦ οὐκ ἔθηκεν εἰς τὸ γένος τὸν ὁρισμόν, ἤτοι οὐκ ἔλαβε τὸ γένος τοῦ ὁριστοῦ εἰς τὸν ὁρισμὸν αὐτοῦ (οἷον εἴ τις τὴν ἐπιστήμην ὁριζόμενος εἴποι ‘ἐπιστήμη ἐστὶν ἀμετάπειστος ὑπὸ λόγου‘, ἁμαρτάνων ἐλέγχεται· οὐ γὰρ ἔλαβεν ἐν τῷ ὁρισμῷ τὸ γένος αὐτῆς· μάλιστα γά ρ , φησί, τῶν ἐν τῷ ὁρισμῷ παραλαμβανομένων τὸ γένος δοκεῖ τὴν τοῦ ὁριζομένου οὐσίαν σημαίνειν · ἐν γὰρ τῷ τί ἐστι κατηγορεῖται τὸ γένος, αἱ δὲ διαφοραὶ ὡς ποιότητες μᾶλλον. καὶ ὅτι πρῶτον τὸ γένος τὴν ἑκάστου οὐσίαν δείκνυσιν, χωρίζον αὐτὸ ἀπὸ πάντων τῶν διαφόρων· ἀρχὴ γὰρ τοῦ ὅρου τὸ γένος, ἐξεργασίᾳ δὲ αἱ διαφοραὶ ἐοίκασιν. καὶ αἱ μὲν διαφοραὶ τῶν ὁμοίων καὶ συγγενῶν χωρίζουσι τὸ ὁριστόν, ὧν οὐχ οἷόν τε χωρίσαι αὐτό, εἰ μὴ πρότερον χωρισθείη τῶν ἀνομοίων καὶ ἐκτὸς τῆς φύσεως τοῦ ὁριστοῦ, ὃ ποιεῖ τὸ γένος), ἢ ὅταν οὐκ ἴδιον τοῦ ὁριστοῦ ἀποδιδῷ τις

τὸν λόγον, ὡς εἴ τις θείη ὁρισμὸν εἶναι τοῦ ἀνθρώπου τὸ ζῷον πεζὸν δίπουν· (οὗτος γὰρ ὁ ὅρος οὐκ ἴδιος τοῦ ἀνθρώπου ἐστίν, ἐπεὶ οὐκ ἀντιστρέφει· δεῖ δὲ τὸν ὁρισμὸν ἴδιον εἶναι τοῦ ὁριστοῦ καὶ ἀντιστρέφειν ὥσπερ καὶ τὸ ἴδιον), ἢ 〈εἰ〉 πάντα τὰ εἰρημένα πεποιηκώ ς , ἤγουν καὶ γένος οἰκεῖον λαβὼν καὶ διαφορὰς προσθεὶς καὶ ἀντιστρέφοντα πρὸς τὸ ὁριστὸν τὸν ὁρισμὸν ἀποδούς, μὴ ὥριστα ι , τουτέστι μὴ κυρίως ἀπέδωκεν ὁρισμὸν ἀλλ' ὑπογραφήν, μη δ ' εἴρηκε τὸ τί ἦν εἶνα ι , ἤγουν ἐδήλωσε τὴν φύσιν τοῦ ὁριστοῦ (ὁ γὰρ εἰπὼν ζῷον ὀρθοπεριπατητικὸν πλατυώνυχον φαλακρὸν προγαστρικὸν τὸν Σωκράτην πάντα μὲν ἐφύλαξεν ἃ εἴπομεν, ὁρισμὸν δὲ οὐκ ἐποίησεν ἀλλ' ὑπογραφὴν λαβὼν τὰ συμβεβηκότα· διὸ οὐκ ἐδήλωσε τὴν φύσιν τοῦ ὁριστοῦ), καὶ τελευταῖον, εἰ ὥρισται μέ ν , μὴ καλῶς δὲ ὥριστα ι , τουτέστιν εἰ ὁρισμὸς μέν ἐστιν ὁ ἀποδιδόμενος, μὴ οἰκεῖος δὲ ὢν τῷ πράγματι. p.

in Top.422 139a36 Εἰ μὲν οὖν μὴ ἀληθεύετα ι , κα θ ' οὗ τοὔνομ α , καὶ ὁ λόγο ς , ἐκ τῶν πρὸς τὸ συμβεβηκὸς τόπων ἐπισκεπτέο ν . Πέντε οὐσῶν, ἃς ἀπηριθμήσατο, τῶν κατὰ τὰ ὁρικὰ προβλήματα γινομένων ἁμαρτιῶν, τὰς μὲν προτέρας τρεῖς ἐκ τῶν κατὰ τὸ συμβεβηκὸς καὶ γένος καὶ ἴδιον παραδοθέντων τόπων ἐπιχειρεῖν δεῖ, φησίν, ἀνασκευάζειν, τὰς δὲ ὑστέρας δύο τόπων δεῖσθαι δύο ἰδίων, οὓς καὶ ἐκτίθησι. διό φησιν εἰ μὲν οὖν μὴ ἀληθεύετα ι , κα θ ' οὗ τοὔνομ α , καὶ ὁ λόγο ς , ἤτοι εἰ οὐδαμῶς ὑπάρξει τῷ πράγματι ὁ ἀποδοθεὶς λόγος, δι' ἐκείνων τῶν τόπων ἀποδείξομεν, δι' ὧν καὶ ἐν τοῖς κατὰ τὸ συμβεβηκὸς ἀπεδείκνυμεν. οὗτοι γὰρ τοῦ ὑπάρχειν τὸ τιθέμενον ἦσαν δεικτικοί, καὶ τὸ συμβεβηκὸς τῇ ὑπάρξει μόνῃ ἐχαρακτηρίζετο· ἦν γὰρ συμβεβηκὸς τὸ μήτε γένος μήτε ὅρος μήτε ἴδιον 〈ὂν〉 ὑπάρχον δὲ τῷ πράγματι· οἷον ὅτι τὸ λευκὸν οὐχ ὑπάρχει τῷ Σωκράτει· καὶ γὰρ ἐν ἐκείνοις ἡ σκέψις καὶ ἡ ἐξέτασις ἐγίνετο, πότερον ὑπάρχει τῷ Σωκράτει τὸ λευκὸν ἢ οὐχ ὑπάρχει. ὥσπερ γὰρ ἐκεῖ σπουδὴν ἔχομεν δεῖξαι ὅτι τῷ Σωκράτει οὐκ ἔστι τὸ λευκόν, ἐπεὶ οὐδὲ λευκός ἐστι, περαιτέρω δὲ οὐ πολυπραγμονοῦμεν, ἢ πάλιν ὅτι ὑπάρχει, οὕτως ἀρκεῖ ἡμῖν καὶ εἰ δείξομεν ὅτι τὸ ‘οὐσία ἄψυχος ἀναίσθητοσ‘ οὐχ ὑπάρχει [ὁρισμὸς] τῷ ἀνθρώπῳ (οὐδὲ γὰρ ἄψυχός ἐστι καὶ ἀναίσθητος), ὡσπεροῦν πάλιν τὸ ‘ζῷον λογικὸν θνητόν‘ ὁρισμός ἐστιν αὐτοῦ, ἐπεὶ καὶ λογικὸς καὶ θνητός. τοὺς δὲ τόπους, δι' ὧν ὀφείλομεν δεικνύειν ὅτι τὸ ἐν τῷ ὁρισμῷ γένος ἀλλότριόν ἐστι τοῦ ὁριστοῦ ἢ ὅτι οὐκ ἀντιστρέφει ὁ ὁρισμός, ἐπισκέπτεσθαί φησιν ἀπὸ τῶν παραδοθέντων ἐν τοῖς γενικοῖς καὶ ἰδικοῖς προβλήμασι τόπων. δι' ὧν γὰρ ἐν ἐκείνοις ἀπεδείκνυτο ὅτι οὐκ ἔστι γένος τοῦδε ἢ ἴδιον τὸ ἀποδιδόμενον, διὰ τῶν αὐτῶν καὶ ὅτι οὐδὲ τὸ ἐν τῷ ὁρισμῷ γένος οἰκεῖόν ἐστι τῷ ὁριστῷ ἢ ὁ ὁρισμὸς ἴδιος αὐτοῦ ἐστιν. ὁμοίως δὲ πάλιν καὶ διὰ τῶν ἐν ἐκείνοις τόπων τὰ τοιαῦτα κατασκευάσομεν. ὥστε αἱ μὲν πρῶται ἀνασκευαὶ τῶν ὅρων ἀπὸ τῶν πρὸς τὸ συμβεβηκὸς τόπων γίνοιντ' ἄν, ἡ δὲ δευτέρα διὰ τῶν πρὸς τὸ γένος τόπων, ἡ δὲ τρίτη διὰ τῶν πρὸς τὸ ἴδιον. p.

in Top.423 139b7 Πρῶτον μὲν οὖν ἐπισκεπτέον εἰ μὴ καλῶς ὥρισται · ῥᾶον γὰρ ὁτιοῦν ποιῆσαι ἢ καλῶ ς . Δύο ὄντων ὑπολελειμμένων, πρὸς ἃ δεῖ τόπους εὑρεῖν, πρῶτο ν , φησίν, ἐπισκεπτέον εἰ μὴ καλῶς ὥρισται · ῥᾴων γὰρ ἡ πρὸς τοῦτο ἐπιχείρησις ἢ ἡ πρὸς τὸ ἁπλῶς ὡρίσθαι. ἐπειδὴ γὰρ ἐργωδέστερον τὸ καλῶς ὁτιοῦν ποιῆσαι τοῦ ἁπλῶς ποιῆσαι, δῆλον ὅτι ἡ ἁμαρτία περὶ τοῦτο πλείων· εὐκολώτερον δὲ πλείους ἁμαρτίας φωρᾶσθαι τῶν ἐλαττόνων, ὥστε εὐκολώτερον δεῖξαί τινα μὴ καλῶς ὡρισμένον ἤπερ μηδὲ ὅλως ὡρισμένον. p. 139b15 Δεύτερον δ έ , εἰ ἐπὶ πλέον εἴρηκε τὸν λόγον τοῦ δέοντο ς . Τουτέστιν εἰ περιττὸν προσέθηκε τῷ λόγῳ. ὁ μὲν οὖν περιττόν τι προστιθεὶς τῷ λόγῳ τῷ δηλοῦντι τὸ τί ἦν εἶναι τοῦ προκειμένου ὡς μὴ καλῶς ὁριζόμενος εὐθύνοιτ' ἄν, ὁ δὲ ἐνδεέστερον ἀποδιδοὺς καὶ ταύτῃ ἁμαρτάνων οὐ τῷ μὴ καλῶς ἀλλὰ τῷ μηδ' ὅλως ὡρίσθαι. ὁ γὰρ ἐνδεὴς λόγος κατὰ τοῦτο ἐνδεής ἐστιν, ὅτι ἐλλείπει τι αὐτῷ πρὸς τὸ δηλῶσαι τὸ τί ἦν εἶναι· ὁ δὲ μὴ δηλῶν τὸ τί ἦν εἶναι οὐχ ὁρισμός. p. 139b21 Ὁμώνυμος γὰρ ἡ ἀγωγὴ καὶ ἡ συμμετρί α . Ὅτι ἡ μὲν ἀγωγὴ σημαίνει φοράν τινων, ὃ καὶ παρακομίζειν

λέγεται, ὡς λέγεται σίτου ἀγωγὴ ἢ οἴνου· λέγεται καὶ ἡ διὰ τῶν ἠθῶν τοῦ τρόπου κατακόσμησις, ὡς λέγεται παίδων ἀγωγή· λέγεται ἀγωγὴ καὶ ἡ μεταβολή· ἐφ’ οὗ σημαινομένου ὁ ὁριζόμενος οὕτω τὴν γένεσιν κέχρηται τῷ τῆς ἀγωγῆς ὀνόματι.

in Top.424 ἀλλὰ καὶ ἡ συμμετρία ὁμώνυμον, ὥσπερ καὶ τὸ σύμμετρον· σύμμετρα γὰρ τὰ τῷ αὐτῷ μέτρῳ μετρούμενα καὶ τὰ οἰκεῖα ἑκάστῳ καὶ ἀρκοῦντα, ἢ κατὰ τὸ πλῆθος ἢ κατὰ τὸ μέγεθος ἢ κατὰ τὰς ποιότητας ἢ κατὰ τὰς δυνάμεις ἀνάλογον ἔχοντα. p. 139b25 Ἐνδέχεται δὲ συκοφαντεῖν ὡς οὐκ ἐφαρμόττοντος τοῦ λόγο υ . Ἐνδέχετα ι , φησί, συκοφαντεῖν τὸν οὕτως ἀποδοθέντα ὁρισμόν, ὅτι μηδὲ τὴν ἀρχὴν ὅρος ἐστίν, εἴ τις ὡς πάντων τῶν ὑπ’ αὐτοῦ τοῦ ὀνόματος σημαινομένων ἀποδεδωκότος αὐτοῦ τὸν ὁρισμὸν προχειριζόμενος ἐκεῖνα τῶν σημαινομένων, οἷς οὐκ ἐφαρμόζει ὁ ἀποδοθεὶς λόγος, δεικνύοι ὅτι οὐχ ὁρισμός· ἐπεὶ τόν τινων ὁρισμὸν ἐπὶ πάντων δεῖ ἀληθεύεσθαι, ἐφ’ ὧν καὶ τοὔνομα οὗ ὁ ὁρισμός. εὐλόγως δὲ προσέθηκε τὸ συκοφαντεῖν ἐπὶ τοῦ τοιούτου ἐλέγχου· ὁ γὰρ τὸν ἀποδιδόμενον τοῦ κυνὸς λόγον ἀξιῶν πᾶσι τοῖς ὑπὸ τοῦ ὀνόματος τοῦ κυνὸς σημαινομένοις ἁρμόζειν, ὡς ὄντος τοῦ κυνὸς μιᾶς τινος φύσεως, συκοφαντεῖ· ὁρισμὸς μὲν γάρ τινος κυνὸς τὸ ζῷον πεζὸν ὑλακτικόν, ἂν οὕτω τύχῃ, ἀσαφὴς δὲ τῷ μὴ προσδιωρίσθαι ποίου κυνός. τὴν μέντοι ἀφορμὴν τῆς τοιαύτης κακουργίας παρέχει μὴ διαιρεθέντος τοῦ πολλαχῶς λεγομένου ἀλλ’ ὡς μίαν φύσιν δηλοῦντος ἀποδιδοὺς τὸν ὁρισμόν. p. 139b27 Μάλιστα δ ’ ἐνδέχεται τὸ τοιοῦτον ποιεῖν λανθανούσης τῆς ὁμωνυμία ς . Μάλιστα δ ’ ἐνδέχεται ἀπελέγχειν τὸν ὁριζόμενον, ὅταν ἀγνοῇ τις ὅτι πολλὰ σημαίνει τὸ ἐν τῷ ὁρισμῷ πολλαχῶς λεγόμενον· τότε γὰρ δυνατὸν ὡς μίαν φύσιν σημαίνοντος τοῦ ὀνόματος ἕν τι λαμβάνοντα δεικνύναι ὅτι μὴ ὁρισμός, διὰ τὸ μὴ πᾶσι τοῖς ὑπὸ τὸ ὄνομα ἐφαρμόζειν.

in Top.425 εἰ δὲ γινώσκει ὁ προσδιαλεγόμενος, φέρε εἰπεῖν ὅτι τὸ κύων πολλὰ σημαίνει, καὶ διαιρήσει αὐτὸ εἰς τὰ σημαινόμενα καὶ εἴποι ὅτι τοῦδε τοῦ κυνὸς τὸν ὁρισμὸν ἀποδέδωκεν, ἀνεύθυνος ἔσται. ἐνδέχεται δέ, φησίν, αὐτὸν τὸν προσδιαλεγόμενον διελόμενον καὶ διορίσαντα πόσα σημαίνει τὸ ἀποδοθέ ν , ἤγουν τὸ ὁρισθέν, ἐν τῷ ὁρισμ ῷ , συλλογισμὸν ποιῆσα ι , ἤτοι συλλογὴν καὶ ἀπαρίθμησιν τῶν σημαινομένων. εἰ γὰρ μηδενὶ τῶν σημαινομένων ἁρμόσει τὸ ἀποδοθὲν ἐν τῷ ὁρισμ ῷ , οὐχ ὡρίσατο καλῶς· ὃ ἐδήλωσε διὰ τοῦ εἰπεῖν κατὰ τρόπο ν , ἤγουν κατά τινα τῶν ἀπηριθμημένων τῆς σημασίας τρόπον. δεῖ δὲ ποιεῖν τὴν συλλογὴν οὕτως· ἐπεὶ φέρε εἰπεῖν ὁ ἀποδοθεὶς ὑπὸ σοῦ ὁρισμὸς τοῦ κυνὸς οὔτε τῷ ἀστρῴῳ ἁρμόζει οὔτε τῷ χερσαίῳ οὔτε τῷ θαλασσίῳ, οὐχ ὡρίσω καλῶς. p. 139b32 Ἄλλο ς , εἰ κατὰ μεταφορὰν εἴρηκε ν , οἷον εἰ τὴν ἐπιστήμην ἀμετάπτωτο ν . Μεταφορὰ μέν ἐστιν, ὅταν τὸ κυρίως ἐπί τινος λεγόμενον ἐφ’ ἕτερον μὴ κυρίως ὑπ’ αὐτοῦ σημαινόμενον μετάγωμεν [τὴν φωνήν], ὃ καλεῖται παρὰ τοῖς γραμματικοῖς καὶ παράχρησις. εἰ οὖν τις ὁρισάμενος τὴν ἐπιστήμην ἀμετάπτωτον φήσειεν, ἐπεὶ τὸ ἀμετάπτωτον ἐπὶ σωμάτων κυρίως λέγεται τῶν δι’ ἰσχὺν μὴ τρεπομένων ἢ δι’ ἰδιότητα μὴ μεταβαλλόντων, ἀσαφὲς ἐποίησε τὸ λεγόμενον. ὡσαύτως καὶ ὁ τιθήνην τὴν γῆν ὁρισάμενος· ἡ γὰρ τιθήνη κυρίως ἐπὶ τῆς γυναικὸς τῆς τιθηνούσης καὶ ἀνατρεφούσης λέγεται. ἐνδέχεται οὖν, φησί, καὶ τὸν μεταφορικῶς ὁρισάμενον συκοφαντεῖ ν , ἤγουν ἐλέγχειν, ὡς μὴ ἀποδιδόντα ὅρον ἐφαρμόζοντα τῷ ὑποκειμένῳ. οἷον εἴ τις τὴν σωφροσύνην ὁρίσαιτο συμφωνίαν · ἡ γὰρ συμφωνία οὐχ ἁρμόζει τῇ σωφροσύνῃ· κυρίως γὰρ ἐπὶ φθόγγων λέγεται ἡ συμφωνία· εἰ οὖν καὶ ἡ σωφροσύνη συμφωνία κατὰ τὸν ὁρισάμενον, ἦν ἂν καὶ ἡ σωφροσύνη φθόγγος. ἀλλ’ οὐδὲ γένος ἔσται τῆς σωφροσύνης ἡ συμφωνία· εἰ γὰρ κατὰ τὸν ὁρισάμενον γένος ἐστὶ τῆς σωφροσύνης ἡ συμφωνία (οὕτω γὰρ παρ’ ἐκείνου εἴληπται ἐν τῷ ὅρῳ), ἔστι δὲ καὶ γένος ὁμολογουμένως τῆς σωφροσύνης ἡ ἀρετή, εὑρεθήσεται τὸ αὐτὸ καὶ ἓν εἶδος, ἡ σωφροσύνη, ὑπὸ δύο γένη ἀναγομένη μήτε περιέχοντα ἄλληλα μήτε ὑπὸ τὸ αὐτὸ καὶ ἓν γένος ἀναγόμενα.

in Top.426 εἰ γὰρ ὑπὸ τὸ αὐτὸ καὶ ἓν γένος ἀνήγοντο ἥ τε [ἡ] ἀρετὴ καὶ ἡ συμφωνία, ἢ ἡ συμφωνία περιεῖχεν ἂν τὴν ἀρετὴν ἢ ἡ ἀρετὴ τὴν συμφωνίαν· ἀλλ’ οὐκ εἰσὶν ὑπὸ τὸ αὐτὸ γένος· τῆς μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ ἀρετῆς γενικώτατόν ἐστιν ἡ ποιότης, τῆς δὲ συμφωνίας τὸ πρός τι. p. 140a2 Ἔτι εἰ μὴ κειμένοις ὀνόμασι χρῆτα ι . Καὶ οὗτος ὁ τόπος τοῦ ἄνωθεν κατὰ παράχρησιν ἔχεται. κείμενα οὖν ὀνόματα λέγει τὰς συνήθεις καὶ κατατετριμμένας λέξεις, καὶ μὴ οἵαις ὁ Λυκόφρων χρῆται, σκληραῖς τε καὶ τροπικαῖς, πεφναίαν λέγων τὴν φονικὴν καὶ κύνα τὴν γυναῖκα διὰ τὸ ἀναιδές, καὶ Πλάτων ὀφρυόσκιον τὸν ὀφθαλμό ν , καὶ τὰ ἄλλα, ἃ παρέθηκεν αὐτός· ταῦτα γὰρ ἀσυνήθη· πᾶσα δὲ λέξις ἀσυνήθης ἀσάφειαν ἐν τοῖς ὁρισμοῖς ἐμποιεῖ. p. 140a6 Ἔνια δὲ οὔτε κα θ ' ὁμωνυμίαν οὔτε κατὰ μεταφορά ν . Ἔνια δέ φησιν οὔτε κα θ ' ὁμωνυμίαν οὔτε κατὰ μεταφορὰν ἐν τοῖς ὅροις παραλαμβάνεσθαι. καὶ εἰσὶ ταῦτα χείρω καὶ τῶν κατὰ μεταφορὰν λεγομένων· καίτοι καὶ τὰ οὕτως τιθέμενα ἐν τοῖς ὅροις ἀσαφείας ἦν αἴτια. ἃ δὲ οὐ κυρίως λαμβανόμενα ἐκπεπτώκασι, καὶ τῆς δι' ὁμωνυμίας συνήθως γινομένης πλάνης καὶ τῆς ἐκ μεταφορᾶς ὁμοιότητος πολὺ χεῖρον λέγεται. ἡ μὲν γὰρ μεταφορ ά , εἰ καὶ μὴ κυρίως ἐστὶ τοῦ πράγματος σημαντική, ἀλλ' ὅμως γνώριμόν πως παρέχει τὸ σημαινόμενο ν , διότι καθ' ὁμοιότητά τινα γίνονται αἱ μεταφοραί· καὶ ὁ τῇ ὁμωνυμίᾳ χρώμενος ἔχει καὶ αὐτὸ τὸ προκείμενον ὑπὸ τοῦ ὀνόματος σημαινόμενον κυρίως, εἰ καὶ μὴ μόνον. τὰ δὲ τοιαῦτα οὐδαμόθεν παρέχονται τὴν γνῶσιν τῷ μήτε κύρια εἶναι μήτε καθ' ὁμοιότητα γίνεσθαι, ἀσαφείας δὲ αἴτιά τινος πλείονος. οὔτε γὰρ ἡ ὁμοιότης ὑπάρχε ι , κα θ ' ἣν μέτρον ἢ εἰκὼν ὁ νόμος ἐστί ν , οὔτε εἴωθε κυρίως λέγεσθα ι , ἀλλ' [ὡς] οὐδέτερον κυρίως ὁ νόμος· τὸ μὲν γὰρ μέτρον ποσόν, ὁ δὲ νόμος οὐ ποσόν· καὶ ἡ εἰκὼν μίμησίς ἐστι ζῴου ἐκ τοιῶνδε χρωμάτων σχηματιζομένη, ὁ δὲ νόμος οὐκ ἔστι μίμησις ζῴου.

in Top.427 p. 140a16 Εἰ δὲ μὴ κυρίω ς , δῆλον ὅτι ἀσαφῶς εἴρηκε ν . Ὅτι τοῦ μὴ καλῶς ὡρίσθαι μέρη δύο, ἀσάφεια καὶ περιττολογία· ἡ δὲ ἀσάφεια ἤτοι δι' ὁμωνυμίαν, ἢ ἐν τῷ ὅρῳ ἢ ἐν τῷ ὁριστῷ, ἢ διὰ μεταφορὰν ἢ διὰ κατάχρησιν. p. 140a18 Ἔτι εἰ μὴ δῆλος ὁ τοῦ ἐναντίου λόγος ἐκ τοῦ λεχθέντο ς . Ἔτι τοῦ ἀσαφῶς εἰρῆσθαι δεικτικὸν τὸ ἐκ τοῦ ἀποδεδομένου ὅρου μὴ εἶναι γνώριμον τὸν τοῦ ἐναντίου τῷ οὗ ὁ ὁρισμὸς ἀποδέδοται λόγον τε καὶ ὅρον, δηλονότι ἐὰν ᾖ τι αὐτῷ ἐναντίον. δοκεῖ γὰρ ὁ τοῦ ἑτέρου τῶν ἐναντίων ὁρισμὸς γνώριμον ποιεῖν καὶ τὸν τοῦ ἑτέρου· διὰ γὰρ τοῦ ἐναντίου τῷ ἐν τῷ τοῦ ἑτέρου τῶν ἐναντίων ὁρισμῷ τὸ ἐναντίον αὐτῷ ὁρίζεται. [Ἔτι, φησίν, εἰ μὴ ὁ λόγος καὶ ὁ ὁρισμὸς τοῦ ἐναντίου δῆλός ἐστιν ἐκ τοῦ ῥηθέντος ὁρισμοῦ· οἱ γὰρ καλῶς ἀποδιδόμενοι ὅροι σημαίνουσι καὶ τοὺς τῶν ἐναντίων ὅρους.] οἷον εἴ τις εἴποι 'ἀδικία ἐστὶ κακία ψυχῆσ', εὐθὺς καὶ τὸν τοῦ ἐναντίου ὁρισμόν, τῆς δικαιοσύνης, ἐδήλωσεν· ἔστι δ' οὗτος 'ἀρετὴ ψυχῆσ'. καὶ εἰ τὸ λευκὸν χρῶμα διακριτικὸν ὄψεως, δῆλον ὅτι τὸ ἐναντίον τῷ λευκῷ, τουτέστι τὸ μέλαν, ἔσται χρῶμα συγκριτικὸν ὄψεως. εἰ οὖν ἐκ τοῦ ῥηθέντος ὅρου οὐ γίνεται δῆλος καὶ ὁ τοῦ ἐναντίου τῷ ὁριστῷ ὁρισμός, ἀμφίβολος γίνεται τίνος ἂν εἴη ὁρισμός. p. 140a20 Ἢ εἰ κα θ ' αὑτὸν λεχθεὶς μὴ φανερὸς εἴη τίνος ἐστὶν ὁρισμό ς . Δεῖ, φησί, τὸν σαφῶς ἀποδοθέντα ὁρισμόν, κἂν μὴ προσκείμενον ᾖ αὐτῷ τὸ τίνος ἐστὶν ὁρισμό ς , εὐθὺς εἶναι γνώριμον, τοῖς δηλονότι περὶ ταῦτα ἔχουσιν (οὐ γὰρ δὴ καὶ τοῖς ἰδιώταις) καὶ μὴ δεῖσθαι τὸν ὁρισμὸν προσθήκης τίνος ἐστὶν ὁρισμός· ἄτεχνον γὰρ τοῦτο καὶ ἀμαθές· ὅπερ οἱ παλαιοὶ ζωγράφοι ἐποίουν, μὴ ἀκριβεῖς τὰς εἰκόνας ἀπεργαζόμενοι δι' ἐπιγραφῆς ἐδήλουν τίνος ἐστὶν ἑκάστη ζῴου.

in Top.428 ὅταν οὖν ὁ ἀποδοθείς τινος ὁρισμὸς μὴ γνώριμος αὐτόθεν ᾖ τίνος ἐστὶν ὁρισμός, ἀλλὰ δέηται προσκειμένου τοῦ ὁριστοῦ, δῆλον ὅτι ἀσαφῶς ἀποδέδοται. p. 140a23 Εἰ μὲν οὖν μὴ σαφῶ ς , ἐκ τῶν τοιούτων ἐστὶν ἐπισκεπτέο ν . Τὸ μὲν οὖν ἀσαφές, φησίν, ἐκ τῶν εἰρημένων κριτέον. καὶ σχεδὸν ἅπαν εὑρίσκεται ἐν τοῖς τῆς λέξεως πάθεσι· πάθος γὰρ λέξεως καὶ ἡ ὁμωνυμία καὶ ἡ μεταφορὰ καὶ ἡ κατάχρησις. τὸ δὲ περίεργον καὶ περιττὸν ἐν μὲν τῇ πρώτῃ τῶν ἐφόδων δόξειεν ἂν ὁ Ἀριστοτέλης μετάγειν εἰς τὰς πραγματικὰς ἐξετάσεις· ἄντικρυς γὰρ τὴν ἐκ τοῦ πλεονάζειν κακίαν καὶ πλείω τὰ πράγματα περιλαμβάνειν ὁ τόπος ἐλέγχειν [γὰρ] φαίνεται, οὐ

μὴν ἀληθῶς, ἀλλ' ὅταν μὲν ὅλῳ τῷ ὅρῳ ἅμα συμβῇ τὸ λέγεσθαι ἐπὶ πλέον τοῦ πράγματος, οὐ πρὸς τὸν τρόπον ἡ ἐπιτίμησις οὐδὲ πρὸς τὸ καλῶς, οἷον ἄνθρωπός ἐστι ζῷον δίπουν, ὅταν δὲ ἐν μιᾷ λέξει τὸ περιττόν, ἧς καὶ ἀφαιρεθείσης ὁ λοιπὸς ὅρος τέλειός τε καὶ ἀκριβής, τοῦτο αἶσχος ἤδη, καθάπερ ἐπὶ σώματος εὐειδοῦς ἀκροχορδόνες. καὶ τοῦτον τὸν τρόπον αἰτιᾶται νῦν ὁ Ἀριστοτέλης, καὶ φησὶ μάταιον εἶναι καὶ παρέλκον τῷ ὁρισμῷ προσκείμενον τὸ πᾶσιν ὑπάρχον, ἢ ἁπλῶς τοῖς οὖσιν ἢ τοῖς ὑπὸ τὸ αὐτὸ γένος τῷ ὁριζομέν ῳ , τὸ ὑπάρχον μὲν τοῖς οὖσιν, ὡς ὅταν τις εἴπῃ ζῷον λογικὸν θνητὸν ἓν ὄν (πρόσκειται γὰρ ἐν τούτῳ τὸ ἓν ὄν, ὃ περιττόν ἐστιν ὡς πᾶσιν ὑπάρχον, καὶ τοῖς ὁμογενέσι καὶ ἀνομογενέσι), τὸ τοῖς ὑπὸ τὸ αὐτὸ δὲ γένος ὑπάρχον, ὡς ὅταν εἴπῃ ζῷον λογικὸν αἰσθητικόν· τὸ γὰρ αἰσθητικὸν πᾶσι τοῖς ὑπὸ τὸ αὐτὸ γένος εἴδεσιν ὑπάρχει, καὶ ἵππῳ καὶ βοῒ καὶ τοῖς ἄλλοις. δεῖ γάρ, φησίν, ἐν τῷ ὅρῳ τὸ μὲν γένος ἀπὸ τῶν μὴ ὁμογενῶν χωρίζειν, τὴν δὲ διαφορὰν ἀπὸ τῶν ὁμογενῶν· τὸ δὲ πᾶσιν ἁπλῶς ὑπάρχον οὐδενὸς χωρίζει, τὸ δὲ τοῖς ὁμογενέσιν πᾶσιν ὑπάρχον οὐ χωρίζει ἀπὸ τῶν ἐν τῷ αὐτῷ γένε ι .

in Top.429 p. 140a33 Ἢ εἰ ἔστι μὲν ἴδιον τὸ προσκείμενο ν . Εἰ τὸ προσκείμενον, φησίν, ἴδιον μέν ἐστι τοῦ ὁριστοῦ, ἀφαιρεθέντος δὲ τούτου καὶ ὁ λοιπὸς λόγος ἴδιός ἐστι καὶ δηλοῖ τὴν οὐσίαν αὐτοῦ, περίεργον τὸ προσκείμενον· καθόλου γὰρ ἅπαν περιττὸν οὗ ἀφαιρεθέντος ὑπὸ τοῦ καταλειπομένου δηλοῦται ἡ οὐσία τοῦ προκειμένου. καθόλου δὲ ἐπήνεγκε τοῦτο δεικτικὸν ὂν τοῦ καὶ τὰ κοινὰ ὑποπίπτειν τούτῳ, 〈τῷ〉 καὶ ἐκείνων ἀφαιρουμένων δείκνυσθαι ὑπὸ τοῦ λοιποῦ λόγου ἢ ὅτι μὴ τοῦ προκειμένου ὡς εἰ γένει μὴ εἴη δηλούμενον, οὐκέτι ἂν εἴη λόγος. ὥσπερ ψυχῆς ὁρισμὸς τὸ ἀριθμὸς αὐτὸς ἑαυτὸν κινῶν · τὸ γὰρ 'ἀριθμός' ἐκ περιττοῦ κεῖται· καὶ γὰρ τὸ αὐτὸ ἑαυτὸ κινοῦν χωρὶς τοῦ ἀριθμοῦ τὴν ψυχὴν δηλοῖ, καθάπερ Πλάτων ἐν τῷ Φαίδρῳ φησὶ λέγων "ἀθανάτου δὲ πεφασμένου τοῦ ὑφ' ἑαυτοῦ κινουμένου, ψυχῆς οὐσίαν τε καὶ λόγον τοῦτό τις λέγων οὐκ αἰσχυνεῖται". ἄλλως τε καὶ ὁ ἀριθμὸς οὐκ ἔστι γένος τῆς ψυχῆς. ὥσπερ δή τινος ἐνισταμένου καὶ λέγοντος 'πῶς φὴς ὅτι ἀφαιρεθέντος τοῦ ἀριθμοῦ οὐ λυμαίνεται ὁ ὁρισμός; γένος γάρ ἐστι τῆς ψυχῆς ὁ ἀριθμὸς κατὰ Ξενοκράτην καὶ Πλάτωνα, καὶ δεῖ τῆς προσθήκης τοῦ ἀριθμοῦ ὡς γένους ἐν τῷ ὁρισμῷ', φησίν, ὅτι εἰ δώσομεν ὅτι ὁ ἀριθμὸς γένος ἐστὶ τῆς ψυχῆς, ἀφαιρεθέντος τούτου τὸ καταλειφθὲν οὐκ ἔσται ὅρος ἀλλ' ἴδιον. οὐ μὴν δὲ καὶ τὴν οὐσίαν δηλώσει τοῦ πράγματος· πᾶς μὲν γὰρ ὅρος ἴδιον, οὐ μὴν καὶ τὸ ἀνάπαλιν. p. 140b5 Ὁποτέρως μὲν οὖν ἔχε ι , χαλεπὸν διασαφῆσα ι . Τουτέστι πότερον γένος ψυχῆς ὁ ἀριθμὸς ἢ οὔ, καὶ πότερον ἀφαιρεθέντος τοῦ ἀριθμοῦ τὸ καταλειπόμενον ὁρισμός ἐστι ψυχῆς ἢ ἴδιον ἢ οὔ, χαλεπὸν εὑρεῖν· μείζονος γὰρ σκέψεως ἡ περὶ τούτου ζήτησις ἢ τῆς διαλεκτικῆς.

in Top.430 χρηστέον δὲ τῷ ὁρισμῷ ἐν τῷ παρόντι παραδείγματι, ὡς ἡμῖν ἐστι χρήσιμον· χρησιμεύει δέ, εἰ λάβοιμεν νῦν τὸν ἀριθμὸν ὡς γένος τῆς ψυχῆς. [Καὶ τοῦτο δὲ δεῖ γινώσκειν, ὅτι τοῦ μὴ καλῶς ὡρίσθαι μέρη δύο, ἀσάφεια καὶ περιττολογία. εἴρηκε δὲ κατὰ πόσους τρόπους γίνεται ἡ ἀσάφεια. νῦν δέ φησι περὶ τῆς περιττολογίας 'περιττόν ἐστιν ἐν ὁρισμῷ ἅπαν οὗ ἀφαιρεθέντος τὸ λοιπὸν δηλοῖ τί ἐστι τὸ ὁριζόμενον ' · τοῦτο δὲ "ἢ πᾶσιν ὑπάρχει, ἢ ὅλως τοῖς οὖσιν ἢ τοῖς ὑπὸ τὸ αὐτὸ γένος τῷ ὁριζομένῳ," ἢ ἴδιόν ἐστι τὸ προσκείμενον, ἢ οὐ πᾶσιν ὑπάρχει τοῖς ὑπὸ τὸ αὐτὸ εἶδος, ἢ πλεονάκις εἴρηται, ἢ "εἰ καθόλου εἰρημένου προστεθείη καὶ ἐπὶ μέρους".] Προσέθηκε δὲ τῷ προτέρῳ παραδείγματι καὶ ἕτερον ὅμοιον, λέγων εἴ τις θείη ὅρον τοῦ φλέγματος εἶναι τὸ ὑγρὸν πρῶτον ἀπὸ τροφῆς ἄπεπτον · τὸ γὰρ ἄπεπτον περιττῶς κεῖται, ἐπειδὴ ἓν τὸ πρῶτο ν . εἶτα προσαπορεῖ τῷ εἰρημένῳ ὡς οὐχ ὑγιῶς εἰρημένῳ. ἔστι γὰρ ὑγρὸν πρῶτον καὶ ὑγρὸν πρῶτον ἄπεπτον· δύναται γὰρ τὸ ἀπὸ τροφῆς ὑγρὸν πρῶτον εἶναι καὶ πρὸ τοῦ φλέγματος οὐκ ἄπεπτον, ὡς τὸ ἐξυγρανθείσης αὐτῆς ἐν τῇ πέψει γινόμενον αἷμα, ὃ ἀναδίδοται. ὡς μέντοι ἄπεπτον ὑγρὸν πρῶτον τὸ φλέγμα, ἐπεὶ δύναται καὶ ἄλλα ἀπὸ τροφῆς ὑγρὰ ἄπεπτα εἶναι· ἀπὸ γοῦν τοῦ φλέγματος μεταβάλλοντος ὀξὺς χυμὸς γίνεταί τις περὶ τὸν στόμαχον, ποτὲ δὲ χολώδης. διὸ οὐ παρέλκοι ἂν τὸ ἄπεπτον προσκείμενον ἐν τῷ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φλέγματος λόγῳ, εἴ γε μή ἐστιν ἁπλῶς πρῶτο ν , ἀλλὰ τῶν ἀπέπτων πρῶτο ν . p. 140b16 Ἔτι εἴ τι τῶν ἐν τῷ λόγῳ μὴ πᾶσιν ὑπάρχει τοῖς ὑπὸ τὸ αὐτὸ εἶδο ς . Ἔτι ἐὰν ἐν τῷ ἀποδεδομένῳ τινὸς λόγῳ τοιοῦτόν τι προσκείμενον ᾖ, ὃ μὴ πᾶσι τοῖς ἐν τῷ αὐτῷ εἴδει, οὗ τὸν ὁρισμὸν ἀποδίδωσιν, ὑπάρχει, παρέλκον τε καὶ μάτην προσκείμενον τὸ τοιοῦτον ἔσται.

in Top.431 καὶ μᾶλλόν γε τοῦτον ἢ τὸν ἔχοντά τι προσκείμενον, ὃ πᾶσιν ὑπάρχε ι , διαβλητέον. ἐπὶ μὲν γὰρ ἐκείνου, εἰ ὁ λόγος χωρὶς τοῦ προσκειμένου, ὃ πᾶσιν ὑπάρχει, [καὶ] ἴδιός ἐστιν ὑποκειμένου τινὸς τὴν οὐσίαν αὐτοῦ δηλῶν, καὶ μετὰ τοῦ τοιούτου προσκειμένου ἔτι ἴδιος ἔσται αὐτοῦ· καθόλου γάρ, πρὸς τὸν ἴδιόν τινος λόγον ἂν προστεθῇ τι παντὶ ὑπάρχον τῷ ὁριστῷ, καὶ ὅλος ὁ λόγος μετὰ τοῦ προσκειμένου ἔτι ἴδιος γίνεται τοῦ πράγματος καὶ ἀντικατηγορηθήσεται τοῦ πράγματος · οὐδενὶ γὰρ ἄλλῳ παρὰ τὸ προκείμενον ὁ τοιοῦτος ἐφαρμόζει λόγος. ἐὰν δὲ προστεθῇ τι ὃ μὴ παντὶ ὑπάρχει τῷ ὁριστῷ, ἀδύνατον ὅλον τὸν λόγον εἶναι ἴδιον · οὐ γὰρ ἀντικατηγορεῖτα ι . p. 140b25 Διὰ τὸ μὴ πᾶσιν ὑπάρχειν τοῖς ὑπὸ τὸ αὐτὸ εἶδος τὸ τετράπηχ υ . Εἴη ἂν οὐ τοῦ μὴ ὡρίσθαι ἀλλὰ τοῦ μὴ καλῶς ὡρίσθαι τῷ ἔχειν ἐκ περισσοῦ προσκείμενον καὶ οὗτος ὁ τόπος, ὅτι ἀφαιρεθέντος τούτου, ὃ μὴ πᾶσιν ὑπάρχει, ὁ καταλειπόμενος λόγος ὁρισμός ἐστι τοῦ προκειμένου. p. 140b27 Πάλιν εἰ τὸ αὐτὸ πλεονάκις εἴρηκε ν . Ἐπὶ πλέον, φησίν, ἁμαρτάνει ὁ πλεονάκις τὸ αὐτὸ τιθεὶς ἐν τῷ ὅρῳ. ἐνεργείᾳ μέντοι τὸ αὐτὸ οὐκ ἄν τις ῥαδίως ὁριζόμενος πλεονάκις θείη· φανερὸν γὰρ καὶ πρόδηλον τὸ ἁμάρτημα· δυνάμει δὲ πολλάκις ποιοῦσί τινες τοῦτο, προστιθέντες ὃ φθάνει ταὐτὸν εἶναί τινι τῶν κειμένων. οἷον ὁ ἀποδιδοὺς τοῦ ἀνθρώπου ζῷον αἰσθητικὸν πεζὸν δίπουν ἐνεργείᾳ μὲν οὐκ ἔχει πλεονάκις κείμενον τὸ αἰσθητικόν, δυνάμει δέ· ἐν γὰρ τῷ ζῴῳ τὸ αἰσθητικόν ἐστιν, εἴ γε ζῷόν ἐστιν οὐσία ἔμψυχος αἰσθητική.

in Top.432 διὸ παρέλκων ὁ τοιοῦτος λόγος τῷ ἐκ περισσοῦ τι ἔχειν προσκείμενον, ἐν ᾧ πλεονάκις ἢ ἐνεργείᾳ ἢ δυνάμει ταὐτὸν παρείληπται. καὶ ὁ εἰπὼν δὲ ʻἀρετή ἐστιν ἕξις ἐν μεσότητι ὑπερβολῆς καὶ ἐλλείψεως βελτίστηʻ δὶς εἶπε τὸ ʻβελτίστηʻ· πᾶν γὰρ τὸ μέσον καὶ βέλτιστον· ὥστε περιττὸν τὸ ʻβελτίστηʻ. ὁμοίως δὲ καὶ τὸ ʻἐλλείψεως καὶ ὑπερβολῆσʻ περιττόν· εἰπὼν γὰρ μέσην ἐδήλωσεν ὅτι οὔτε ὑπερβάλλει οὔτε ἐλλείπει. p. 140b35 Οὐ γὰρ κατὰ ζῴου πεζοῦ τὸ δίπουν κατηγορεῖτα ι . Ὅτι ὡς τοῦ ἀνθρώπου τὸ δίπουν κατηγορεῖται, οὕτως καὶ τοῦ ὁρισμοῦ αὐτοῦ, τοῦ ζῴου πεζοῦ δίποδος, καὶ οὐ δὶς τὸ δίπουν κατηγορεῖται, ἐπεὶ οὐδὲ τοῦ ἀνθρώπου, ᾧ ταὐτόν ἐστιν ὁ τούτου ὁρισμός, δὶς τὸ δίπουν κατηγορεῖται ἀλλ' ἅπαξ· οὐ γὰρ μόνου τοῦ ζῴου πεζοῦ κατηγορεῖται τὸ δίπουν ἀλλ' ὅλου τοῦ ζῴου πεζοῦ δίποδο ς . [Καὶ ὁ εἰπὼν τὴν ἐπιθυμίαν ὄρεξιν ἡδέος εἶναι δὶς τὸ ʻἡδέοσʻ ἔθηκεν ἐν τῷ ὅρῳ· καὶ ἡ ἐπιθυμία γὰρ ἡδέος ἐστί ν . ἀλλ' ἴσως μέν, φησίν, οὐδὲν ἄτοπον τοῦτο· καὶ γὰρ τὸ δίπουν ταὐτόν ἐστι τῷ ἀνθρώπῳ καὶ κατηγορεῖται κατ' αὐτοῦ· ἔστι δὲ καὶ τὸ ζῷον πεζὸν δίπουν ταὐτὸν τῷ ἀνθρώπ ῳ , ὥστε ἔτι τοῦ ἀνθρώπου τὸ δίπουν κατηγορεῖται, ὃ ἦν τοῦ ζῴου πεζοῦ δίποδος. ἀλλ' οὐκ ἔσται ὁ ἄνθρωπος ζῷον πεζὸν δίπουν δίπουν · διὸ οὐδὲν ἄτοπον ἐκ τούτου συμβαίνει. οὐ γὰρ κατὰ τοῦ πεζοῦ ζῴου τὸ δίπουν λέγεται· οὕτω γὰρ ἂν διττὴ ἡ κατηγορία ἐγίνετο, κατὰ τοῦ ἀνθρώπου καὶ τοῦ ζῴου πεζοῦ, καὶ ἐν τῷ ὁρισμῷ δὶς ἐλαμβάνετο τὸ δίπουν· ἀλλὰ κατὰ τοῦ ζῴου πεζοῦ δίποδος τὸ δίπουν λέγεται · τὸ δὲ ζῷον πεζὸν δίπουν ὁ ἄνθρωπός ἐστι, καὶ ἐν τούτῳ ἔχει ὁ ἄνθρωπος τὸ εἶναι, ὥστε ὁ εἰπὼν ζῷον πεζὸν δίπουν ἄνθρωπον εἶπε. ταὐτὰ δ' ὁμοίως καὶ ἐπὶ τῆς ἐπιθυμίας δεῖ ἐκλαβεῖν. Ἔστι δὲ σαφέστερον εἰπεῖν περὶ τούτου, ὅτι ὡς τοῦ ἀνθρώπου τὸ δίπουν κατηγορεῖται, οὕτω καὶ τοῦ ὁρισμοῦ αὐτοῦ, τοῦ ζῴου πεζοῦ δίποδος, καὶ οὐ δὶς τὸ δίπουν κατηγορεῖται ἀλλ' ἅπαξ· οὐ γὰρ μόνου τοῦ ζῴου πεζοῦ κατηγορεῖται τὸ δίπουν, ὡς ἐξ ἀνάγκης, ὅταν ἀκούσωμεν ζῷον πεζόν, νοῶμεν αὐτὸ καὶ δίπουν εἶναι, ἀλλ' ὅλου τοῦ ζῴου πεζοῦ δίποδος, ὅπερ ἐστὶν ὁ ἄνθρωπος. ἐπεὶ οὖν ἐν τῷ ἀνθρώπῳ τὸ δίπουν οὐ δὶς κατηγορεῖται, οὐδὲ ἐν τῷ ὁρισμῷ αὐτοῦ, ὅς ταὐτόν ἐστιν αὐτῷ, δὶς τὸ δίπουν παραληφθήσεται, εἴπερ ἀνθρώπου ὁρισμὸς ἀποδοθείη τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζῷον πεζὸν δίπουν.] Ὁμοίως καὶ ἐπὶ τῆς ἐπιθυμίας · ὡς γὰρ αὐτὴ τοῦ ἡδέος ἐστίν, οὕτω καὶ ὁ ταύτης ὁρισμός, ἡ ὄρεξις τοῦ ἡδέος, ἡδέος ἐστίν.

in Top.433 καὶ ἅπαξ μόνον κατηγορεῖται· οὐ γὰρ κατὰ τῆς ὀρέξεως μόνης τὸ ἡδέος εἶναι κατηγορεῖται ἀλλὰ κατὰ τῆς ὀρέξεως τοῦ ἡδέος· οὐκ ἔστι δὲ τῶν ἀτόπω ν , φησί, τὸ δὶς φθέγξασθαι ταὐτὸ ὄνομ α , ἀλλὰ τὸ πλεονάκις ταὐτὸ περί τινος κατηγορεῖ ν . ὥσπερ οὖν τοῦ ἀνθρώπου ἔχοντος ἐν ἑαυτῷ τὸ δίπουν οὐδὲν ἄτοπον κατηγορεῖσθαι κατ' αὐτοῦ τὸ δίπουν (ἀληθὲς γὰρ καὶ ὑγιὲς τὸν ἄνθρωπον δίπουν εἰπεῖν· οὐδὲν γὰρ ἄτοπον τὸ ὑπάρχον τινὶ κατηγορεῖσθαι αὐτοῦ), οὕτως οὐδὲν ἄτοπον οὐδὲ τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου, καίτοι ἔχοντος ἐν ἑαυτῷ τὸ δίπουν, κατηγορεῖσθαι αὐτό. οὐ γάρ, ὅταν λέγω τυχὸν ὅτι ὁ ἄνθρωπος ζῷον λογικὸν θνητόν ἐστι, καὶ δύνωμαι συνεπινοεῖν ὅτι ὁ ἄνθρωπος ζῷον λογικὸν θνητόν ἐστι, καὶ οἱονεὶ φθέγγωμαι τοῦτο καὶ κατὰ τὴν διάνοιαν, ἄτοπόν τι ποιῶ καὶ διὰ τοῦτο εὐθυνθήσομαι δὶς λέγων αὐτό, ἀλλ' ὅταν τοῦ αὐτοῦ ὑποκειμένου τὸ αὐτὸ δὶς κατηγορήσω. καὶ τίθησι τούτου παράδειγμα τὸν ὑπὸ Ξενοκράτους ἀποδοθέντα ὁρισμὸν τῆς φρονήσεως λέγοντος 'φρόνησίς ἐστιν ὁριστικὴ καὶ θεωρητικὴ τῶν ὄντων ' · τὸ γὰρ θεωρητικὸν ταὐτὸν ὂν τῷ ὁριστικῷ δὶς ἐν τῷ τοιούτῳ παραλαμβάνεται ὁρισμῷ. ὁμοίως καὶ διὰ τῶν λοιπῶν ὑποδειγμάτων σαφῆ πεποίηκε τὰ λεγόμενα· διὸ οὐ δέον ἡμᾶς πολυλογεῖν. p. 141a9 Ὁμοίως καὶ ὅσοι τὴν κατάψυξι ν . Πᾶσα γὰρ στέρησίς ἐστι τοῦ κατὰ φύσιν ὑπάρχοντο ς , εἴ γε ἡ τοῦ πεφυκότος, ὅτε πέφυκεν ὑπάρχειν, ἀπουσία στέρησις.

in Top.434 αὐτὸς μέντοι ὁριζόμενος τὸν ὕπνον στέρησιν ἐγρηγόρσεως οὐ περιπίπτει τῷ εἰρημένῳ, ὡς οἴεται ὁ Σωτίων· ἄλλο γάρ ἐστιν εἰπεῖν τοῦ κατὰ φύσιν καὶ ἄλλο τὸ κατὰ φύσιν· πᾶσα μὲν γὰρ στέρησις τοῦ κατὰ φύσιν, ἀλλ' αἱ μὲν βίαιοι καὶ παρὰ φύσιν γινόμεναι, ὡς εἴ τις ἐκκοπείη τοὺς ὀφθαλμούς, αἱ δὲ κατὰ φύσιν, ὧν καὶ ὁ ὕπνος ἐστίν. ὅμοιον ἁμάρτημα ἁμαρτάνουσι καὶ οἱ τὴν γραμμὴν ὁριζόμενοι τῶν διαστατῶν τὸ ἐφ' ἓν διαστατόν· τὸ γὰρ ἐφ' ἓν διαστατὸν τὸ διαστατὸν ἐν ἑαυτῷ περιέχει· οὐ γὰρ ἐν ἀδιαστάτῳ τὸ ἐφ' ἓν διαστατόν. ὅμοιον δὲ τούτοις καὶ τὸ λέγειν τὸ πῦρ εἶναι τῶν σωμάτων τὸ ξηρὸν καὶ τὸ θερμὸν σῶμα, ἢ τὸν ἄνθρωπον ζῷον προαιρετικὸν καὶ βουλευτικόν, ἢ τὴν ἀρετὴν ἕξιν ἐν μεσότητι ὑπερβολῆς καὶ ἐλλείψεως βελτίστην· ἐν γὰρ τῇ τῶν προειρημένων μεσότητι τὸ βέλτιστον. p. 141a15 Πάλιν εἰ τοῦ καθόλου εἰρημένου προσθείη καὶ ἐπὶ μέρου ς . Τοῦ ἐκ περιττοῦ προσκεῖσθαί τι ἐν τῷ ὅρῳ δεικτικόν φησιν εἶναι καὶ τὸ εὑρεῖν εἰ τοῦ καθόλου εἰρημένου πρόσκειταί τι τῶν ἐπὶ μέρους καὶ ὑπ' αὐτό· καὶ γὰρ ὁ τοῦτο ποιῶν πολλάκις ταὐτὸν λαμβάνει. διαφέροι δ' ἂν οὗτος ὁ τόπος τοῦ πρὸ αὐτοῦ, ὅτι ἐκεῖ μὲν ἐδείκνυτο τὸ προσκείμενον ταὐτὸν ὄν τινι τῶν κειμένων, ἐνταῦθα δὲ ὑπό τι τῶν ἀποδεδομένων. δόξειε δ' ἂν ἔνστασιν ἔχειν ὁ τόπος· ἐν γὰρ τῷ πτηνῷ τὸ σχιζόπτερον προστίθεμεν· τοῦτο δέ ἐστιν ἐν τῷ φθάνοντι κεῖσθαι. ἢ οὐχ ὅμοιον τοῦτο τοῖς εἰρημένοις. ἐπ' ἐκείνων μὲν γὰρ τῷ τὸ καθόλου ἴδιον εἶναι τοῦ πράγματος, τούτῳ ἐγίνετο ἡ τοῦ ὑπ' αὐτὸ προσθήκη περιττή· ὅ τε γὰρ νόμος πάντων τῶν καλῶν ἐστιν εἰκὼν κατὰ τὸν οὕτω λέγοντα, καὶ ὁ ἐπιεικὴς ἐν πᾶσι τοῖς συμφέρουσιν ἐλαττωτικὸς αὑτοῦ· εἰ γὰρ ἔν τισιν ἀφωρισμένοις, προσθήκης ἐδεῖτο καὶ οὐκ ἂν ἐλέγετο τῶν συμφερόντων καὶ δικαίων ἀλλὰ 'τῶν ἐν τοῖς δικαίοις συμφερόντων'· καὶ ἡ ἰατρικὴ ἐπιστήμη τῶν πᾶσι τοῖς ζῴοις ὑγιεινῶν· ὁ δ' ὄρνις οὐκ ἐν πᾶσίν ἐστι τοῖς πτηνοῖς, ἀλλὰ τὸ πτηνὸν ἐν τούτῳ.

in Top.435 ἔτι ἐπὶ μὲν τοῦ ὄρνιθος γένος μὲν τὸ πτηνόν, διαφορὰ δὲ τὸ σχιζόπτερον· ἐπὶ δὲ τῶν προειρημένων οὔτε τὸ καθόλου ὡς γένος ὂν τοῦ προκειμένου εἴληπται, οὔτε τὸ ὑπ' αὐτὸ διαφορά ἐστιν, ἀλλ' εἶδός τι τοῦ καθόλου. p. 141a26 Πρῶτον μὲν εἰ μὴ διὰ προτέρω ν . Πρῶτον μέν, φησί, δειχθήσεται μὴ ὡρίσθαι τὸ προκείμενον, εἰ μὴ διὰ προτέρων καὶ γνωριμωτέρων αὐτοῦ πεποίηται τὸν ὁρισμό ν . ὁ γὰρ ὁρισμὸς τοῦ γνωρίσαι χάριν ἀποδίδοται · γνωρίζομεν δὲ οὐκ ἐκ τῶν τυχόντων ἀλ λ ' ἐκ τῶν προτέρων καὶ γνωριμωτέρω ν , ὡς ἐν τῇ Ἀποδεικτικῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴρηται. ἔτι εἰ ἔσται διὰ τῶν ὑστέρων καὶ μὴ διὰ γνωριμωτέρων, ὁρισμοὶ πλείους ἔσονται τοῦ αὐτοῦ · δῆλον γὰρ ὅτι καὶ ὁ διὰ τῶν προτέρων καὶ γνωριμωτέρων αὐτοῦ λόγος ἔσται ὅρος καὶ βελτίων. ἀλλ' εἰ ὁ ὁρισμὸς λόγος ἐστὶν ὁ τὸ τί ἦν εἶναι δηλῶν τοῦ πράγματος, οὐ πλείους ἔσονται ὁρισμοὶ τοῦ αὐτοῦ· πλείω γὰρ καὶ τὰ τί ἦν εἶναι ἔσται· ἀλλὰ μὴν ἑκάστῳ τὸ εἶναι, καθ' ὅ ἐστι, ταὐτόν ἐστιν· οὐκ ἄρα οἷόν τε πλείους ἑνὸς ὁρισμοὺς εἶναι. Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι τὸ μὴ διὰ γνωριμωτέρων διττόν, ἢ ἁπλῶς ἢ ἡμῖν, ἐπεὶ καὶ τὸ γνωριμώτερον. p.

in Top.436 141b15 Ἁπλῶς μὲν οὖν βέλτιον τὸ διὰ τῶν προτέρων τὰ ὕστερα πειρᾶσθαι γνωρίζειν · ἐπιστημονικώτερον γὰρ τὸ τοιοῦτόν ἐστι ν . Ὅτι βέλτιον μὲν τὸ διὰ τῶν προτέρων τὰ ὕστερα γνωρίζειν (ἐπιστημονικὸν γὰρ τοῦτο), πρὸς δὲ τοὺς ἀδυνατοῦντας διὰ τῶν τοιούτων γνωρίζειν ἀναγκαῖον ἴσως διὰ τῶν ἐκείνοις γνωριμωτέρων ὁρίζεσθαι. 〈οὐκ〉 ἔστι δὲ ταῦτα τὸ τί ἦν εἶναι τοῦ πράγματος δηλοῦ ν , ἂν μὴ ἅμα τὸ αὐτὸ ἡμῖν τε ᾖ γνωριμώτερον καὶ τῇ φύσει, τῷ δεῖν μὲν τὸν ὁρισμὸν ἐκ γένους εἶναι καὶ διαφορῶν, τὸ δὲ γένος καὶ τὰς διαφορὰς τῶν ἁπλῶς τε καὶ τῇ φύσει πρώτων καὶ γνωριμωτέρων τοῦ ὁριστοῦ εἴδους εἶναι· ἕκαστον γὰρ τούτων συναναιρεῖ μὲν τὸ εἶδος τὸ ὁριστόν, οὐ συναναιρεῖται δὲ ὑπ' αὐτοῦ. ὥστε, εἰ διὰ τούτων μὲν ὁ ὁρισμός, οὐ τοιαῦτα δὲ τὰ πρὸς ἡμᾶς πρῶτα, ὁ διὰ τῶν πρὸς ἡμᾶς πρώτων ἀποδεδομένος λόγος οὐ τοῦ τί ἦν εἶναι δηλωτικὸς ἂν εἴη οὐδ' ὁρισμός· δεῖ γὰρ ὁρισμὸν τοῦτο δηλοῦν. δείξας δὲ ὅτι πρότερον τὸ γένος καὶ ἡ διαφορὰ τοῦ εἴδους ἐστίν, ὅτι ἕπεται τῷ προτέροις αὐτοῖς εἶναι τὸ καὶ γνωριμωτέροις εἶναι (περὶ γὰρ τούτου προέκειτο αὐτῷ λέγειν) δεικνὺς ἐπήνεγκεν ἔστι δὲ καὶ γνωριμώτερ α , διότι ὁ μὲν εἰδὼς ὅπερ ἐστὶ τὸ ὁριστὸν καὶ οὗ ὁ ὁρισμὸς εἶδος οἶδε καὶ τὸ γένος αὐτοῦ καὶ τὰς διαφοράς, τουτέστι τὸν ὁρισμόν (τοῦτο γὰρ ἦν τὸ εἰδέναι τὴν οὐσίαν αὐτοῦ ἥτις ἐστίν· ἐν τούτοις γὰρ ἡ οὐσία), οὐκέτι μέντοι ὁ τὸ γένος εἰδὼς ἢ τῶν διαφορῶν ἑκάστην ἤδη καὶ τὸ εἶδος οἶδεν. ὥστε, εἰ μὴ ἀντιστρέφει ἡ γνῶσις, γνωριμώτερα ἂν εἴη, ἃ συγγνωρίζεται πάντως, δύναται μέντοι κατ' ἰδίαν γνωρίζεσθαι, τῶν χωρὶς ἐκείνων γνωρισθῆναι μὴ δυναμένων· ὡς γὰρ πρότερον τῇ φύσει τὸ συναναιροῦν καὶ μὴ συναναιρούμενον, οὕτω καὶ γνωριμώτερον τῇ φύσει οὗ ἡ γνῶσις τῇ τοῦ τινὸς γνώσει συνεισάγεται, ἐκεῖνο δέ, οὗ τῇ γνώσει αὐτὸ γινώσκομεν, οὐ συνεισάγει.

in Top.437 p. 141b22 Οὐ δεῖ δὲ λανθάνειν ὅτι τοὺς οὕτως ὁριζομένους οὐκ ἐνδέχετα ι . Ὅτι οἱ ἐκ τῶν ἡμῖν γνωρίμων ὁρισμοὶ οὐ δηλοῦσι τὸ τί ἦν εἶναι τῷ ὁριζομέν ῳ , ἐὰν μὴ ᾖ ἡμῖν τε καὶ τῇ φύσει ταὐτὸν γνώριμον, εἴπερ οἱ ὁρισμοὶ ἐκ γένους καὶ διαφορῶν, ταῦτα δὲ πρότερα καὶ γνωριμώτερα τῇ φύσει. p. 141b29 Ὥστε πρότερα ταῦτα τοῦ εἴδου ς . Πάνυ ἐντρεχῶς βουλόμενος δεῖξαι γνωριμώτερον τὸ γένος καὶ τὰς διαφορὰς προσεχρήσατο τῷ προτέρῳ· εἰ γὰρ πρότερον ὃ συναναιρεῖ μὲν μὴ συναναιρεῖται δέ, εἴη ἂν καὶ γνωριμώτερον εὐλόγως τὸ συγγνωριζόμενόν τινι τοῦ μὴ συγγνωριζομένου. ἔστι δὲ καὶ τοῦτο εἰδέναι, ὅτι τὸ γνωριμώτερον διχῶς. ἐπ' ἐνίων μὲν οὖν ἀντιπέπονθε τὸ τῇ φύσει πρότερον καὶ τὸ πρὸς ἡμᾶς· ἐφ' ὧν ἀνάγκη τοὺς ὅρους ἑνί γε περιπίπτειν ἀτόπῳ· ἢ γὰρ τῆς πρὸς ἡμᾶς σαφηνείας στοχαζόμενοι τῆς τοῦ πράγματος οὐσίας διαμαρτάνουσιν, ἢ τὸ ἀκριβὲς ἐν τῷ λόγῳ μεταδιώκοντες τὸ πρὸς ἡμᾶς σαφὲς παρορῶσιν. ἐφ' ὧν δὲ ἄμφω συνδεδράμηκε παραπλησίως, ὥστε τὰ αὐτὰ καὶ ἡμῖν γνώριμα εἶναι καὶ ἁπλῶς, οὗτοι καὶ λέγουσι τὸ τί ἦν εἶναι καὶ διδάσκουσι. τοιοῦτοι δὲ οἱ διὰ τῶν οἰκείων γενῶν καὶ διαφορῶν· καὶ γὰρ ἡμῖν γνωριμώτερον τὸ γένος καὶ τῇ φύσει, φύσει μέν, ὅτι πρότερον καὶ συναναιρεῖ, ἡμῖν δέ, ὅτι 〈γνωρίζομεν〉 γνωρίζοντες τὸ εἶδος καὶ τὸ γένος πάντως, ἀλλ' οὐκ ἔμπαλιν· πολλοὺς γοῦν ὁρῶντες τῶν οὐ συνήθων ἰχθύων καὶ ὀρνίθων, ὅτι μὲν ἕκαστον ὄρνις καὶ ἰχθύς, οἴδαμεν, τί δὲ οὐχ οἷοί τέ ἐσμεν λέγειν.

in Top.438 Τὰ δὲ πρῶτα τῇ φύσει ἀκριβοῦς καὶ ἐπιστήμονος, φησίν, ἐστὶ διανοίας γνῶναι καὶ περιττῆς, ἤγουν δυναμένης καὶ τὰ μὴ ῥᾴδια καταλαβεῖν. [Εἰς τὸ ῥητὸν ἁπλῶς μὲν οὖν βέλτιο ν . Ἁπλῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν οὖν βέλτιον ὁρίζεσθαι τὰ ὕστερα διὰ τῶν προτέρων τῇ φύσει· ἐπιστήμονος γὰρ τὸ τοιοῦτον. οὐ μὴν δὲ ὀφείλομεν ἀεὶ τοῦτο ποιεῖν· πρὸς γὰρ τοὺς μὴ δυναμένους γινώσκειν τὰ πράγματα διὰ τῶν τῇ φύσει προτέρων ἀναγκαῖον ποιεῖν τοὺς ὅρους ἀπὸ τῶν ἐκείνοις γνωρίμων, τουτέστιν τῶν ὑστέρων. εἰσὶ δὲ [οἱ] διὰ τῶν ὑστέρων δηλοῦντες τὰ πρότερα ὁρισμοί, ὧν παρέθηκεν αὐτὸς ὑποδείγματα τὸν τῆς στιγμῆς, τῆς γραμμῆς καὶ τοῦ ἐπιπέδου. οὐ δεῖ δὲ λανθάνειν ἡμᾶς ὅτι οἱ ἐκ τῶν ὑστέρων ὁριζόμενοι οὐ δηλοῦσι τὸ τί ἦν εἶναι καὶ τὴν οὐσίαν τοῦ ὁριζομένου, εἰ μή που ταὐτόν ἐστιν, ἤγουν τὸ παραληφθὲν ἐν τῷ ὅρῳ, καὶ ἡμῖν καὶ τῇ φύσει γνώριμον. κατασκευάζει οὖν καὶ πῶς ἐνδέχεται τὰ τῇ φύσει πρότερα καὶ ἡμῖν γνώριμα εἶναι, καὶ φησὶν ὅτι πᾶς ὁρισμὸς ἐκ γένους καὶ συστατικῶν διαφορῶν σύγκειται· ταῦτα δὲ πάντως πρότερα μὲν τῇ φύσει καὶ γνωριμώτερα, ἀλλὰ καὶ ἡμῖν γνώριμα, διότι τὸ εἶδος γνωρίζοντες καὶ τὸ γένος καὶ τὰς διαφορὰς αὐτοῦ γνωρίζομεν, οὐκ ἐξ ἀνάγκης δὲ καὶ τὸ ἀνάπαλιν. ὁ οὖν ποιῶν τὸν ὁρισμὸν ἐκ τῶν τῇ φύσει μόνον γνωρίμων καὶ οὐχ ἡμῖν τῇ μὲν φύσει καλῶς ποιεῖ, ἡμῖν δὲ οὐ καλῶς. ὁ δ’ ἐκ τῶν κατ’ ἄμφω γνωρίμων βέλτιστον ποιεῖται τὸν ὅρον. ὁ δ’ ἐκ μόνων τῶν ἡμῖν γνωρίμων, τουτέστι τῶν ὑστέρων, πειρώμενος ὁρίζεσθαι πρὸς μὲν τοὺς λίαν ἰδιώτας καὶ ἀμαθεῖς τοῦτο ποιῶν ἴσως εὐλόγως ποιεῖ, πρὸς ἐπιστήμην δὲ καὶ ἀκριβῆ γνῶσιν οὐ καλῶς.] p. 141b34 Ἔτι τοῖς κα τ ’ ἀλήθειαν τοὺς τοιούτους ὁρισμοὺς φάσκουσιν εἶνα ι . Οἱ λέγοντες, φησίν, ὅτι οἱ ἐκ τῶν ἑκάστῳ γνωρίμων ἀποδιδόμενοι ὁρισμοὶ κυρίως καὶ κα τ ’ ἀλήθειαν ὁρισμοί εἰσι, κινδυνεύουσι πολλοὺς ὁρισμοὺς τοῦ αὐτοῦ ἀποδιδόναι, ἐπειδὴ ἄλλα ἄλλοις εἰσὶ γνώριμα καὶ οὐ τὰ αὐτὰ πᾶσιν· ὥστε δεῖ πρὸς ἕκαστον τῶν προσδιαλεγομένων ἄλλους καὶ ἄλλους ὁρισμοὺς τοῦ αὐτοῦ ἀποδοῦναι, εἴ γε περὶ τοῦ αὐτοῦ πολλοῖς προσδιαλέγονται καὶ ἀπὸ τῶν ἑκάστῳ γνωρίμων τοὺς ὁρισμοὺς ποιοῦνται.

in Top.439 ὥστε συμβαίνει τοῦ αὐτοῦ καὶ ἑνὸς πράγματος πλείους εἶναι τοὺς ὁρισμούς, ὅπερ ἄτοπον. οὐδὲ πρὸς τὸν αὐτὸν καὶ ἕνα ὁ αὐτὸς ἀεὶ ἀποδοτέος ὁρισμό ς , εἴπερ ἀνάγκη τοὺς ὁρισμοὺς ἐκ τῶν ἑκάστῳ ποιεῖσθαι γνωρίμων, ἐπεὶ τῷ αὐτῷ καὶ ἑνὶ ἄλλοτε ἄλλα εἰσὶ γνώριμα. ἐξ ἀρχῆς μὲν γὰρ μειρακίῳ ὄντι τινὶ τὰ μὲν αἰσθητὰ γνώριμά εἰσι, τὰ δὲ νοητὰ παντάπασιν ἄγνωστα, ἀκριβεστέρῳ δὲ γενομέν ῳ , τουτέστιν ἐπιστήμονι καὶ εἰδότι ἀκριβῶς τὰ πράγματα διαιρεῖν, τὰ μὲν αἰσθητὰ ἄγνωστα δοκεῖ εἶναι καὶ ἐν συνεχεῖ ῥύσει, τὰ δὲ νοητὰ καὶ λίαν γνώριμα ὡς ἑστῶτα καὶ μόνιμα. ὥστε οὐδὲ πρὸς τὸν αὐτὸν ἀεὶ ὁ αὐτὸς λόγος ὁρισμὸς ἔσται καθ’ οὓς δεῖ τὸν ὁρισμὸν ἀπὸ τῶν ἑκάστοις γνωρίμων γίνεσθαι. ἴσως δὲ καὶ τὸ ἁπλῶς γνώριμον οὐ τὸ πᾶσι γνώριμόν ἐστιν ἀλλὰ τὸ τοῖς εὖ διακειμένοις τὴν διάνοια ν . τοῖς δὲ εὖ διακειμένοις γνώριμά ἐστι τὰ τῇ ἑαυτῶν φύσει πρῶτά τε καὶ γνωριμώτερα. τοῦτο δὲ λύσις ἐστί τινος ἀντιπίπτοντος· πρὸς γὰρ τὸν ἐνιστάμενον ἴσως, ὅτι πῶς δυνατὸν τὰ τῇ φύσει γνώριμα καὶ πᾶσι γνώριμα εἶναι, φησὶν ὅτι οὐ λέγω πᾶσιν ἁπλῶς ἀλλὰ τοῖς ἐπιστήμοσι. p. 142a11 Καθάπερ καὶ τὸ ἁπλῶς ὑγιεινὸν τὸ τοῖς εὖ ἔχουσι τὸ σῶμ α . Ὑγιεινόν φαμεν οὐ τὸ πᾶσι δοκοῦν ἀλλὰ τὸ τοῖς σῶμα ἔχουσιν ἐρρωμένον. διὰ τοῦτο δεῖ προσέχειν τοῖς ῥηθεῖσι τόποις καὶ χρῆσθαι αὐτοῖς πρὸς τὸ συμφέρον · εἰ μὲν γὰρ ἄλλος τις ὁρίζεται ἀπὸ τῶν ἑκάστῳ γνωρίμων, ἐλέγχειν δεῖ αὐτὸν ἀφ’ ὧν εἴπομεν τόπων· εἰ δὲ αὐτὸς σὺ εἶ ὁ ὁριζόμενος, ἐκ τῶν ἡμῖν γνωρίμων δεῖ σε ἐνίστασθαι ὅτι καλῶς ὡρίσω. τοιαύτη γὰρ ἡ διαλεκτική, οὐ τοῦ ἀληθοῦς 〈οὖσα〉 ζητητικὴ ἀλλὰ δι’ ἐνδόξων ἐπιχειρηματική, καὶ ποτὲ μὲν διὰ τῶν τῇ φύσει γνωρίμων ὁρίζεται, ποτὲ δὲ διὰ τῶν πρὸς ἡμᾶς. p.

in Top.440 142a13 Μάλιστα δ ’ ὁμολογουμένω ς . Μάλιστα δ ’ ὁμολογουμένως καὶ κυρίως ἐνδέχεται ἀναιρεῖν τὸν ὁρισμό ν , ὃν πεποίηταί τις μήτε ἐκ τῶν ἁπλῶς γνωρίμων μή θ ’ ἡμῖ ν . οἷον εἴ τις εἴποι ‘ὁ ἄνθρωπος ζῷόν ἐστιν ὑδροφορικῶς κινούμενον‘ ἢ ‘φύρδην καὶ κατὰ τύχην φερόμενον‘· τὸ γὰρ ὑδροφορικῶς καὶ τὸ φύρδην οὔτε τῇ φύσει οὔθ’ ἡμῖν γνώριμα, τροπικαὶ οὖσαι φωναὶ καὶ οὐ κυρίως λεγόμεναι· εἰ γὰρ κυρίως ἐλέγοντο, ἦσαν ἂν ἢ τῇ φύσει ἢ ἡμῖν

γνωρίμως δηλοῦσαι τὸ πρᾶγμα καθ’ οὗ λέγονται. p. 142a19 Ἄλλο ς , εἰ τοῦ ἐν ἠρεμίᾳ καὶ τοῦ ὡρισμένου διὰ τοῦ ἀορίστου καὶ τοῦ ἐν κινήσει ἀποδέδοτα ι . Εἴ τις, φησί, τοῦ ἐν ἠρεμίᾳ ὄντος διὰ τοῦ ἐν κινήσει ποιεῖται τὸν ὁρισμὸν ἢ τοῦ ὡρισμένου διὰ τοῦ ἀορίστο υ , ἁμαρτάνει καὶ οὐκ ἀποδίδωσι τὸν ὁρισμὸν τοῦ ὑποκειμένου καλῶς. οὕτως ἂν ἁμαρτάνοιεν οἱ τὴν ἰδέαν ὁριζόμενοι διὰ τοῦ αἰτιατοῦ οἷά ἐστί, τουτέστιν αἰτίαν τῶν πρὸς αὐτὴν γινομένων· τὰ γὰρ αἰσθητὰ τὰ πρὸς αὐτὴν τὸ εἶναι ἔχοντα αὐτὰ μὲν ἐν κινήσει ἐστὶ καὶ ἀόριστα, ἡ δὲ ἰδέα ἀκίνητός τε καὶ ὡρισμένη. οὕτως ἁμαρτάνοι ἂν καὶ ὁ λέγων τὴν ἐπιστήμην ἀγνοίας εἶναι ἀποβολήν· ἐπεὶ γὰρ ἡ ἄγνοια στέρησίς ἐστι γνώσεως, ἡ δὲ στέρησις μὴ ὄν, τὸ δὲ μὴ ὂν ἀόριστον, πᾶσα δὲ ἐπιστήμη περὶ ὡρισμένα καὶ ἀεὶ ὡσαύτως ἔχοντα τὰ ὑποκείμενα καταγίνεται, τοῦ ὡρισμένου τὸν ὁρισμὸν ἐξ ἀορίστου πεποίηται. ἀλλὰ καὶ οἱ τὴν ὑγείαν νόσου ἀποβολὴν λέγοντες ὁμοίως ἁμαρτάνουσιν. ἢ οὗτοι δειχθήσονται ἐνεχόμενοι καὶ τῷ μὴ διὰ προτέρων· τὸ γὰρ διὰ τῶν ἀντικειμένων οὐ διὰ τῶν προτέρων ἐρεῖ. 〈καὶ〉 οἱ τὸν θεὸν ὁριζόμενοι τῶν ὄντων δημιουργὸν τῷ αὐτῷ ἂν ἐνέχοιντο· ἀόριστα γὰρ καὶ ἐν κινήσει τὰ ὧν φασι τὸν θεὸν εἶναι δημιουργὸν ὁριζόμενοι. καὶ ὁ τὴν ἐπιστήμην αὖ λέγων ἕξιν διὰ μαθήσεως κινητὴν τὸ ἀκίνητον ὁρίζεται διὰ τοῦ ἐν κινήσει· ἡ γὰρ μάθησις κίνησίς τις. ἀλλὰ καὶ ὁ λέγων τὴν ἰδέαν εἶναι οὐσίαν ἀσχημάτιστον καὶ ἀναφῆ τὸ ὡρισμένον διὰ τῶν ἀορίστων ὁρίζεσθαι δόξει.

in Top.441 καὶ ὁ τῆς ἀρετῆς λόγος ὁ λέγων αὐτὴν μεσότητα ὑπερβολῆς καὶ ἐνδείας τὸ ὡρισμένον διὰ τῶν ἀορίστων ὁρίζεται. p. 142a22 Τοῦ δὲ μὴ ἐκ προτέρων τρεῖς εἰσι τρόπο ι . Ὅτι τοῦ μὴ διὰ προτέρων ὁρίζεσθαι τρεῖς εἰσι τρόπο ι , πρῶτος μὲν εἰ διὰ τοῦ ἀντικειμένου τὸ ἀντικείμενον ὥρισται · ἅμα γὰρ τῇ φύσει τὰ ἀντικείμεν α . τὰ δὲ κα θ ’ αὑτὰ πρός τι οὐκ ἔστιν ἄλλως ἢ δι’ ἀλλήλων ὁρίζεσθαι· οὐδὲ γὰρ τὸ εἶναι αὐτοῖς ἄνευ ἀλλήλων. καθ’ αὑτὰ δὲ πρός τι εἴρηται, ἐπεὶ ἔστι τινὰ ἃ κατὰ τὴν ἐπ’ ἄλλο τι ἀναφοράν ἐστι πρός τι ἀλλ’ οὐ καθ’ αὑτά, ὡς ἰατρικὴ καὶ γραμματικὴ καὶ ἑκάστη τῶν ἐπιστημῶν· αὗται μὲν γὰρ κατὰ τὸν οἰκεῖον λόγον οὐκ εἰσὶ τῶν πρός τι, κατὰ δὲ τὴν πρὸς τὸ γένος ἀναφορὰν πρός τι. διὸ τούτων μὲν οὐχ οἷόν τε τὸν ὁρισμὸν χωρὶς ἀποδοῦναι τῶν ἀντικειμένων αὐτοῖς· ἔστι γὰρ ἐν τῇ πρὸς ἐκεῖνα σχέσει τὸ εἶναι αὐτοῖς. ἰατρικὴν μέντοι καὶ γεωμετρίαν 〈ὁ〉 ὁριζόμενος οὐκέτι τοῖς ἀντικειμένοις αὐτοῖς προσχρῆται, ὅτι μὴ ἔστιν αὐτὰ καθ’ αὑτὰ τῶν πρός τι. ἔστι δὲ ἃ καὶ κατὰ συμβεβηκός ἐστι πρός τι, ὡς ἡ μονάς· διότι γὰρ αὐτῇ συμβέβηκεν ἀρχῇ ἀριθμῶν εἶναι, ἡ δὲ ἀρχὴ καθ’ αὑτὸ πρός τι, κατὰ τοῦτο καὶ ἡ μονὰς ἂν εἴη τῶν πρός τι. ἀλλὰ καὶ τὸ σημεῖον καθὸ πέρας καὶ ἡ γραμμὴ καὶ ἡ ἐπιφάνεια· συμβέβηκε γὰρ αὐτοῖς πᾶσι πέρασιν εἶναι. p. 142a31 Γνωρίζειν μὲν οὖν δεῖ τὰ τοιαῦτα πάντ α , χρῆσθαι δ ’ αὐτοῖς ὡς ἂν δοκῇ συμφέρει ν . Εἰπὼν καὶ δείξας ὅτι τῶν καθ’ αὑτὸ πρός τι λεγομένων τὸν λόγον οὐχ οἷόν τε ἄλλως, δηλονότι χωρὶς τῶν ἀντικειμένων, ἀποδοθῆναι, τούτοις ἐπάγει ‘ γνωρίζειν μὲν οὖν δεῖ πάντα τὰ οὕτως ἔχοντα, χρῆσθαι δὲ αὐτοῖς ἐν τῷ διαλέγεσθαι, ὡς ἂν δοκῇ συμφέρειν πρὸς τὸ προκείμενον‘.

in Top.442 εἰ μὲν γὰρ ἀνασκευάζειν βουλόμεθα, λέγοιμεν ἂν ὅτι οὐ γέγονεν ὁ ὁρισμὸς ἐκ προτέρων καὶ γνωριμωτέρων· εἰ δὲ κατασκευάζοιμεν, δεικνύοιμεν ἂν ὅτι τὰ τοιαῦτα οὐχ οἷόν τε ἄλλως ὡρίσθαι. p. 142a34 Ἄλλο ς , εἰ αὐτῷ κέχρηται τῷ ὁριζομέν ῳ . Αὐτὸ γὰρ ἑαυτῷ πάνυ ὅμοιον, καὶ οὐδὲν αὐτὸ αὑτοῦ πρότερον ἢ ὕστερον. λανθάνει δέ τινας καὶ οὐ δοκοῦσι ποιεῖν τοῦτο, ἐπεὶ μηδὲ αὐτῷ τῷ τοῦ ὁριζομένου ὀνόματι προσχρῶνται· ἐπὶ μὲν γὰρ τῶν οὕτως ἀποδιδομένων κατάφωρος ἡ μοχθηρία· οἷον εἴ τις λόγον ὁριζόμενος ἀποδοίη φωνὴν σημαντικὴν ἧς τὰ μέρη μέρη λόγου εἰσίν. οὐδὲν δὲ διαφέρει πρὸς τὸ μοχθηρῶς ἀποδεδόσθαι τὸν λόγον καὶ πρὸς τὸ αὐτῷ τῷ ὁριστῷ συγκεχρῆσθαι, κἂν μὴ αὐτὸ τὸ ὄνομά τις θῇ, ἄλλο δέ τι ἴσον αὐτῷ δυνάμενον, ὡς ἐφ’ οὗ τίθησι παραδείγματος. οἷον εἴ τις εἴποι ‘ἥλιός ἐστιν ἄστρον ἡμεροφαές‘· ὁ γὰρ ἡμέραν εἰπὼν ἥλιον εἶπεν, ὥστε εἴρηκεν ‘ἥλιός ἐστιν ἄστρον ἥλιοσ‘. δεῖ οὖν πρὸς τὸ φωραθῆναι τὴν τοιαύτην μοχθηρίαν μεταλαμβάνειν τὸν ὁρισμὸν ἀντὶ τοῦ ὀνόματος, οἷον ἀντὶ τοῦ εἰπεῖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμέραν εἰπεῖν τὸν ὁρισμὸν τῆς ἡμέρας· οὕτω γάρ, κἂν λεληθότως κέηται τὸ ὁριστὸν ἐν τῷ ὁρισμῷ ὡς λόγος αὐτοῦ, φωράσομεν ὅτι τὸ ὁριστὸν ἔλαβεν ἐν τῷ ὁρισμῷ. οἷον ἐπεὶ ἡμέρα ἐστίν, ὅταν ὑπὲρ γῆν ὁ ἥλιος φέρηται, δῆλον ὅτι ὁ φορὰν ἡλίου εἰπὼν τὴν ἡμέραν [τὸν ἥλιον] εἴρηκεν, ὥστε τὴν ἡμέραν λαβὼν ἐν τῷ τοῦ ἡλίου ὁρισμῷ καὶ εἰπὼν ‛ἥλιός ἐστιν ἄστρον ἡμεροφαέσ‛ τῷ ἡλίῳ ἐχρήσατο εἰς τὸν αὐτοῦ ὁρισμόν. p. 142b7 Πάλιν εἰ τῷ ἀντιδιῃρημένῳ τὸ ἀντιδιῃρημένον ὥριστα ι . Τρίτον τρόπον παραδίδωσι τοῦ μὴ διὰ προτέρων ὡρίσθαι δεικτικόν, εἴ τις τὸ ἀντιδιῃρημένον ὁρίζοιτο διὰ τοῦ ἀντιδιῃρημένου· ἅμα γὰρ τῇ φύσει τὰ ἀντιδιῃρημένα ἀλλήλοις.

in Top.443 p. 142b11 Ὁμοίως δὲ καὶ εἰ διὰ τῶν ὑποκάτω τὸ ἐπάνω ὥριστα ι . Ἔοικε τοῦτον τὸν τόπον προστιθέναι δεικτικὸν τοῦ μὴ ἐκ προτέρων, ὧν προεῖπε τριῶν ἕτερον 〈ὄντα〉 · οὔτε γὰρ ἀντικείμενον οὔτε ταὐτὸν οὔτε ἀντιδιῃρημένον τὸ καθόλου τῷ ὑπ' αὐτό. ἔστι δὲ ὃ δείκνυσιν, ὅτι μὴ διὰ προτέρων τὸ κοινόν τι ὁριζόμενον διά τινος τῶν ὑπὸ τὸ κοινόν· τοῦτο γάρ ἐστι τὸ εἰ διὰ τῶν ὑποκάτω τὸ ἐπάνω ὥριστα ι . καὶ εἴη ἂν φανερώτατος τοῦ μὴ ἐκ προτέρων τρόπος, εἰ εἴη τις τὸ προκείμενον ὁριζόμενος οὕτως, εἴ γε τὸ ὑποκάτω ὕστερόν ἐστιν οὗ ἐστιν ὑποκάτω. ἔτι δὲ ἀνάγκη τὸν τῷ ὑποκάτω χρώμενον καὶ αὐτῷ χρῆσθαι · ἦν δὲ δεύτερος τρόπος οὗτος εἰρημένος ὑπ' αὐτοῦ, δεικτικὸς ὢν ὅτι μὴ διὰ προτέρων ὁ δι' αὐτοῦ. εἰς ὃν ἔοικεν ἀνάγειν καὶ τὸν διὰ τῶν ὑποκάτω ὁριζόμενον τὸ ἐπάνω· διὸ καὶ τρεῖς εἶπεν εἶναι τρόπους ἀλλ' οὐ τέσσαρας· τρόπος γάρ τις οὗτος τοῦ δι' αὐτοῦ. p. 142b22 Δεύτερος δ έ , εἰ ἐν γένει τοῦ πράγματος ὄντος μὴ κεῖται ἐν γένε ι . Παραδοὺς ὡς ἕνα τόπον δεικτικὸν τοῦ μὴ ὡρίσθαι τὸν δεικνύντα ὅτι μὴ διὰ προτέρων καὶ γνωριμωτέρων, δεύτερον τόπον τοῦτον παραδίδωσι δεικτικὸν τοῦ μὴ ὡρίσθαι τι γένος ἔχον, εἰ μὴ παραλάβοι ἐν τῷ ὁρισμῷ τὸ γένος αὐτοῦ.

in Top.444 ἀσαφῶς δὲ προσέθηκε τὸ εἰ ἐν γένει τοῦ πράγματος ὄντο ς , ὀφείλων εἰπεῖν ‛εἰ τὸ πρᾶγμά ἐστιν ὑπὸ γένοσ‛· ἔστι γάρ τινα ὧν οὐκ ἔστι γένη, ὡς τὰ γενικώτατα. δεῖ οὖν τὸ γένος, ἐπεὶ τὸ τί ἐστι σημαίνει, πρῶτον ὑποτίθεσθαι τῶν ἐν τῷ ὁρισμῷ · διὰ μὲν γὰρ τοῦ γένους προϋποτυπούμεθα τὴν φύσιν, διὰ δὲ τῆς διαφορᾶς οἷον προσεκπληροῦμεν καὶ ἀναγράφομεν· πρότερον γὰρ δεῖ λέγειν τί ἐστι, εἶθ' οὕτως ὁποῖόν τί ἐστιν· ἐξ ἀμφοῖν γὰρ ἑκάστῳ τὸ τί ἦν εἶναι. ὑποτίθεται δὲ εἶπεν, ὅτι μὴ κατὰ ἀπόδειξιν λαμβάνεται. ἔστι δὲ ἡ μὲν ὑπόθεσις ἀντιδιῃρημένη τῷ ὁρισμῷ, ἡ δὲ θέσις κοινὸν κατ' αὐτῶν. p. 142b30 Ἔτι εἰ πρὸς πλείω λεγομένου τοῦ ὁριζομένου μὴ πρὸς πάντα ἀποδέδωκε ν . Ἐπεὶ τὰ μὲν πρὸς ἕν τι λέγεται ἑνὸς ὄντα ἀεὶ ποιητικὰ ἢ δυνάμεις ἢ ἕξεις ἢ σχέσεις, τὰ δὲ πρὸς πλείω, οἷον τὸ μὲν διπλάσιον πρὸς ἓν λέγεται, τὸ ἥμισυ (τούτου γὰρ μόνου ἐστίν), ἡ δὲ γραμματικὴ τῶν πρὸς πλείω λεγομένων ἐστί (καὶ γὰρ τοῦ γράφειν ἐστὶ καὶ τοῦ ἀναγινώσκειν, καὶ οὐδὲν μᾶλλον τοῦδε ἢ τοῦδε), εἰ δή τις ὁριζόμενός τι πρὸς πλείω λεγόμενον μὴ πρὸς πάντα ἀποδοίη αὐτό, οὐχ ὥρισται. ἂν δέ τι πρὸς πλείονα μὲν λέγηται, μὴ ὁμοίως δὲ πρὸς πάντα μηδὲ καθ' αὑτό, ἀλλὰ πρὸς μέν τι καθ' αὑτὸ πρὸς δέ τι κατὰ συμβεβηκός, οὐκέτι φησὶ μᾶλλον ὡρίσθαι ἐπὶ τούτων τὸν πρὸς ἄμφω ἀποδιδόντα τὸν ὁρισμὸν τοῦ πρὸς τὸ καθ' αὑτό, ἀλλὰ καὶ ἧττον. πολλάκις γὰρ καὶ ἀλλότριόν ἐστι τοῦ προκειμένου τοῦτο πρὸς ὃ λέγεται κατὰ συμβεβηκός· οὐ γὰρ ἐν τῇ οὐσίᾳ ἑκάστου τὸ κατὰ συμβεβηκὸς ὑπάρχον αὐτῷ· δεῖ δὲ τὴν οὐσίαν σημαίνειν τοῦ ὑποκειμένου τὸν ὁρισμόν. ὅταν μέντοι ὁμοίως ἔχῃ τὸ εἶναι καὶ καθ' αὑτὸ [καὶ] πρὸς πλείω, οὐχ ὁρίζεται ὁ πρὸς τινὰ ἀποδιδοὺς καὶ μὴ πρὸς πάντα, ἐπειδὴ πλείους οὐκ ἐνδέχεται τοῦ αὐτοῦ ὁρισμοὺς εἶναι · μία γὰρ ἡ οὐσία ἑκάστου, ἧς ὁ ὅρος ἐστὶ δηλωτικός.

in Top.445 ἐ π ' ἐνίων μὲν οὖν κα τ ' ἀλήθειαν ἔχει τὸ πρὸς πάντα ἀποδίδοσθαι τὸν ὅρον πρὸς ἃ λέγεται τὸ ὁριστόν, ἐ π ' ἐνίων δὲ οὐδαμῶς. p. 143a9 Ἔτι εἰ μὴ πρὸς τὸ βέλτιον ἀλλὰ πρὸς τὸ χεῖρον ἀποδέδωκε ν . Εἰ πρὸς πλείω λέγεται, ὧν τὸ μὲν βέλτιόν ἐστι τὸ δὲ χεῖρον, καὶ μὴ πρὸς τὸ βέλτιον αὐτοῦ τὴν ἀπόδοσιν ποιήσεται ὧν δύναται ἀλλὰ πρὸς τὸ χεῖρον, οὐχ ὡρίσατο· πᾶσα γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιστήμη καὶ δύναμις τοῦ βελτίστου ἐστί, καὶ τὸ εἶναι αὐτῇ ἐν τούτῳ. p. 143a12 Πάλιν εἰ μὴ κεῖτα ι . Ἔτι εἰ μὴ κεῖται ἐν τῷ οἰκείῳ γένει τὸ λεχθὲν ἀλλ' ἐν ἄλλῳ· οὐ γὰρ ὁρίζεται τὴν ἀρετὴν ὁ γένος αὐτῆς οὐσίαν ἀποδιδοὺς ἐν τῷ λόγῳ. πῶς δὲ δυνησόμεθα γνωρίζειν εἰ τὸ ἀποδοθὲν γένος ἐν τῷ λόγῳ οἰκεῖον, ἀναπέμπει ἡμᾶς εἰς τοὺς τόπους τοὺς πρὸς τὸ γένος ἀποδεδομένους· ἐν ἐκείνοις γὰρ περὶ τούτου ἐπραγματεύσατο· ἤδη δὲ τοῦτο καὶ κατ' ἀρχὰς εἶπε τοῦδε τοῦ βιβλίου. στοιχεῖα δὲ τοὺς τόπους εἶπεν, ἐπειδὴ οὗτοι στοιχεῖα καὶ ἀρχαὶ καὶ ἀφορμαὶ τῶν ἐπιχειρημάτων καθ' ἕκαστον γένος προβλημάτων εἰσίν. Εἰπὼν δὲ μὴ ὁρίζεσθαι τοὺς μὴ ἐν τῷ οἰκείῳ γένει τὸ προκείμενον τιθέντας, οὔ φησιν ὁρίζεσθαι οὐδὲ τοὺς ἐν τῷ μὴ προσεχεῖ γένει τιθεμένους τὸ ὁριστὸν ἀλλ' ὑπερβαίνοντας καὶ τὸ κοινότερον λαμβάνοντας· τὸ γὰρ ὑπερβαίνειν αὐτὸς εἶπεν εἶναι τὸ μὴ ἐν τῷ ἐγγυτάτῳ γένει θεῖναι. κατὰ τί δὲ ἁμαρτάνουσιν οἱ οὕτως ποιοῦντες, καὶ πῶς μὲν γινόμενον ἁμάρτημά ἐστι, πῶς δὲ οὔ, λέγει. ὁ γὰρ τὸ προσεχὲς τοῦ προκειμένου γένος ἀποδιδοὺς ἔχει καὶ τὰ ὑπὲρ αὐτό, εἴ γε τὰ ἄνω ἐν τοῖς ὑπ' αὐτά· ὁ γὰρ ἀρετὴν εἰπὼν καὶ ἕξιν εἴρηκεν· ὁ δὲ τὸ ἐπάνω λαβὼν οὐκέτι ἐν τούτῳ λέγει καὶ τὸ ὑποκάτ ω , ὥστε παραλείποι ἄν τι τῶν ἐν τῇ οὐσίᾳ ὄντων καὶ τὸ εἶναι συμπληρούντων· ὁ δὲ τούτων τι παραλείπων οὐχ ὁρίζεται τὸ προκείμενον.

in Top.446 διό φησι δεῖν τὸν ὁριζόμενον ἢ τὸ προσεχὲς γένος τῷ ὁριστῷ λαμβάνειν ἢ ὑπερβαίνοντα λαμβάνειν τοῦ ἐπάνω καὶ τὰς διαφοράς, αἷς χωρίζεται τὸ προσεχῶς κείμενον γένος τῶν ἀντιδιῃρημένων αὐτῷ ἐκ τοῦ εἰλημμένου γένους· οὕτω γὰρ οὐδὲν οὐκέτι ἔσται ὑπερβαίνων τε καὶ παραλείπων ἀλλ' ἀντὶ τοῦ ὀνόματος τοῦ προσεχοῦς γένους τὸν ὁρισμὸν αὐτοῦ λαμβάνων. εἰ μὲν οὖν οὕτως ἀποδοίη τις, οὐχ ἁμαρτάνει. εἰ δὲ θεὶς τὸ ὑπερκείμενον γένος μηκέτι προσθείη τὰς διαφορὰς τὰς ἐν τῇ οὐσίᾳ τοῦ γένους τοῦ προσεχοῦς τῷ προκειμένῳ, ἀλλὰ μόνας λαμβάνοι τὰς διαφορὰς αἷς τὸ προκείμενον ἀπὸ τοῦ προσεχοῦς γένους χωρίζεται, τῷ παραλιπεῖν τὸ οἰκεῖον τοῦ προκειμένου γένος οὐχ ὁρίζεται· οὐ γὰρ ὁρίζεται ὁ τὸν ἄνθρωπον λέγων οὐσίαν ἔμψυχον πεζὴν δίπουν, οὐδὲ ὁ λέγων τὸ λευκὸν ποιότητα διακριτικὴν ὄψεως. προσέθηκε δὲ τὸ ἔστι δὲ τοῦτο ταὐτὸν τῷ μὴ εἰς τὸ ἐγγυτάτω γένος θεῖνα ι , ὑπομιμνήσκων ἡμᾶς τοῦ τόπου ὡς κειμένου ἐν τοῖς τόποις τοῖς πρὸς τὰ ἀπὸ τῶν γενῶν προβλήματα. p. 143a29 Πάλιν ἐπὶ τῶν διαφορῶ ν . Νῦν δείκνυσι καὶ τὰς παρὰ τὰς διαφορὰς ἁμαρτίας τῶν ὅρων. καὶ πρῶτον μέν φησι δεῖν ὁρᾶν εἰ ὁ ὁριζόμενος τὰς οἰκείας τοῦ γένους, ἐν ᾧ ἐστι τὸ ὁριστόν, διαφορὰς λαμβάνει· εἰ γὰρ μὴ τοῦτο ποιεῖ, οὐχ ὁρίζεται τὸ προκείμενον. ἢ εἰ τοιαύτη εἴη ἡ ὡς διαφορὰ λαμβανομένη ἣν μὴ ἐνδέχεται διαφορὰν εἶνα ι , οἷον τὸ ζῷο ν . ἢ εἰ μή ἐστί τι ἀντιδιῃρημένον τῇ εἰρημένῃ διαφορᾷ · εἰ γὰρ μή ἐστι ν , οὐκ ἂν εἴη ἡ εἰρημένη τοῦ γένους διαφορὰ ᾧ συνείληπται· πᾶν γὰρ γένος ταῖς ἀντιδιῃρημέναις διαφοραῖς διαιρεῖται. ἢ εἰ ἔστι 〈μὲν〉 ἀντιδιῃρημένη διαφορ ά , μὴ ὑπὸ γένος δὲ τὸ ἀποδεδομένον μηδὲ τοῦτο διαιροῦσα· δῆλον γὰρ ὅτι οὐδετέρα ἂν εἴη τοῦ γένους διαφορ ά .

in Top.447 ἢ εἰ ἔχει μὲν τὸ κείμενον ὡς διαφορὰ ἀντιδιῃρημένον τι καὶ εἴη ἄμφω ἀληθευόμενα κατὰ τοῦ γένους καὶ ὄντα ἐν αὐτῷ, τοιαύτη μέντοι εἴη ὡς συντιθεμένη τῷ γένει μὴ ποιεῖν εἶδος· δῆλον γὰρ ὅτι οὐκ εἰσὶν εἰδοποιοὶ διαφοραί. τὸ δὲ ἀληθεύονται κατὰ τοῦ οἰκείου γένους εἶπεν, ὅτι ἐν αὐτῷ εἰσι καὶ κατηγοροῦνται ἅμα λαμβανόμεναι· τὸ γὰρ ζῷον ἢ λογικὸν ἢ ἄλογον. ἢ ἀληθεύεσθαι κατὰ τοῦ γένους τὴν διαφορὰν εἶπεν, ὅτι κατά τινος αὐτοῦ κατηγορεῖται. p. 143a34 Ὁρᾶν δὲ καὶ εἰ ἔστιν ἀντιδιῃρημένον τι τῇ εἰρημένῃ διαφορ ᾷ . Οὕτως ὁ λέγων τὴν ψυχὴν κίνησιν οὐσιώδη ἐλέγχοιτο ἄν· οὐ γάρ ἐστιν ἀντιδιῃρημένη διαφορὰ τὸ οὐσιῶδες, καθ' ἣν αὐτὴ ἡ κίνησις διαιρεῖται. Ἢ εἰ ἔστι μὲν ἀντιδιῃρημένη διαφορ ά , μὴ ἀληθεύεται δέ. οἷον εἰ τὸν ἄνθρωπόν τις ὁρίσαιτο ζῷον συνεχές· ἔστι μὲν γὰρ τῷ συνεχεῖ τὸ διωρισμένον ἀντιδιῃρημένον, οὐδέτερον δὲ αὐτῶν ζῴου διαφορά. Ὁμοίως δὲ καὶ εἰ ἀληθεύεται μέ ν , μὴ ποιεῖ δὲ προστιθεμένη τῷ γένει εἶδο ς . οἷον εἰ τὸν ἄνθρωπόν τις ὁρίσαιτο ζῷον γρυπόν· ἐπεὶ

γὰρ ἀντιδιαιρεῖται τὸ γρυπὸν τῷ σιμῷ, ὃ συντιθέμενον τῷ ζῴῳ εἶδος οὐ ποιεῖ, οὐκ ἂν τὸ γρυπὸν εἴη εἰδοποιὸς διαφορὰ τοῦ ζῴου. p. 143b11 Ἔτι ἐὰν ἀποφάσε ι . Οὐδὲ τοὺς ἀποφάσει διαιροῦντας τὸ γένος, τουτέστι τοὺς ἐν τῷ ὁρισμῷ ἀπόφασιν ὡς διαφορὰν τοῦ προκειμένου γένους λαμβάνοντας, ὁρίζεσθαί φησιν, ὡς τοὺς τῆς γραμμῆς ὅρον ἀποδιδόντας μῆκος ἀπλατές · τὸ γὰρ ἀπλατὲς ὡς ἴσον δυνάμενον ἀποφάσει τῇ ʻοὐκ ἔχον πλάτοσʻ λαμβάνουσιν οἱ οὕτως ὁριζόμενοι.

in Top.448 τοῦτο δέ φησι μὴ καλῶς γίνεσθαι· συμβαίνει γὰρ κατὰ τοὺς οὕτω διαιροῦντας τὸ γένος μετέχειν τοῦ εἴδου ς , τουτέστιν ἐπιδέχεσθαι τὸν τοῦ εἴδους ὁρισμὸν τὸ γένος, ὅπερ ἄτοπον· οὔτε γὰρ τὸ εἶδος οὔτε ἡ διαφορὰ τοῦ γένους κατηγορεῖται, ἀλλ' ἔμπαλιν τὸ γένος τούτων· ταῦτα γὰρ ἐπ' ἔλαττον. δείκνυσι δὲ πῶς τὸ γένος τὸν τοῦ εἴδους ἀναδέξεται λόγον. ἐπεὶ γὰρ ἐπὶ πάντων ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθεύε ι , καὶ ἐπὶ τοῦ ἀντιφάσει διῃρημένου γένους δεήσει ἢ τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθεύειν· ἐπεὶ δὴ κατὰ τοῦ μήκους, ὅπερ γένος ἔλαβε τῆς γραμμῆς, ἢ τὸ πλάτος ἔχειν ἢ τὸ μὴ ἔχειν ἀληθεύεται, κατὰ τοῦ μήκους ἐπεὶ ἀληθεύεται καὶ τὸ μῆκος, ἀληθὲς ἔσται κατὰ τοῦ μήκους τὸ μῆκος μὴ ἔχον πλάτος· ἀλλὰ μὴν τοῦτο ὅρος ἐστὶ τῆς γραμμῆς, ὃ εἶδός ἐστι τοῦ μήκους· τὸ ἄρα γένος τὸν τοῦ εἴδους ἀναδέξεται λόγον. οὐ μόνον δὲ τὸ γένος τοῦ εἴδους μεθέξει κατὰ τὴν εἰρημένην διαίρεσιν ἀλλὰ καὶ τῆς διαφορᾶς· τοῦτο δὲ ἄτοπον. εἰ γὰρ διαφορὰ μὲν τοῦ μήκους τὸ ἔχον πλάτος καὶ οὐκ ἔχον πλάτος, τούτων δὲ ἐξ ἀνάγκης τὸ ἕτερον ἀληθὲς κατὰ τοῦ μήκους (ἀντίφασις γάρ), ἔσται ἡ ἑτέρα τῶν τοῦ μήκους διαφορῶν ἀληθεύουσα κατὰ τοῦ διῃρημένου ὑπ' αὐτῆς γένους· τοῦτο δὲ ἦν τὸ μῆκος. Ἔστι δὲ ὁ τόπος οὗτος τὸ ὅλον σοφιστικός· οὐ γὰρ αἱ ἀντιδιῃρημέναι τοῦ μήκους διαφοραί, τό τε ἀπλατὲς καὶ τὸ πλάτος ἔχον, τοῦ γένους, ἤγουν τοῦ μήκους, κατηγοροῦνται· τότε γὰρ ἂν κατηγοροῦντο, εἴπερ ἦσαν συστατικαὶ τοῦ μήκους καὶ οὐ διαιρετικαὶ καὶ περιέπιπτον τῇ ἀντιφάσει οὕτω λεγόμεναι. καὶ δῆλον ἐκ τοῦ τὸ λογικὸν καὶ ἄλογον ἀντιδιῃρημένας μὲν εἶναι διαφορὰς τοῦ ζῴου, κατὰ τοῦ ζῴου δὲ οὐ λέγεσθαι, ἀλλὰ σὺν τῷ ζῴῳ κατὰ τοῦ ἀνθρώπου καὶ κατὰ τῶν ἀλόγων ζῴων. οὕτω δὴ κἀπὶ τοῦ παρόντος ἔχον ἐστί· διαιρεῖται μὲν γὰρ τὸ μῆκος εἴς τε τὸ πλάτος ἔχον καὶ εἰς τὸ ἀπλατές· ἀλλ' ἑκάτερον τούτων μετὰ τοῦ μήκους, οὐ κατὰ τοῦ μήκους λέγεται, ἀλλὰ τὸ μὲν ἀπλατὲς προσλαβὸν τὸ μῆκος ὡς γένος κατὰ τῆς γραμμῆς, τὸ δὲ πλάτος ἔχον πάλιν μετὰ τοῦ μήκους κατὰ τῆς ἐπιφανείας. Δείξας διὰ τούτων τὰ δοκοῦντα ἕπεσθαι ἄτοπα τοῖς ἀποφάσει τὸ γένος διαιροῦσι, μετὰ ταῦτα ἐπὶ τίνων δύναται λέγεσθαι τὰ εἰρημένα, λέγει, καὶ εἰς ἃ χρήσιμος ὁ εἰρημένος τόπος.

in Top.449 ἐπεὶ γὰρ τὸ γένος κατὰ πολλῶν κατηγορεῖται καὶ ἔστιν ὄνομα καθόλου καὶ οὐκ ἄτομον, ἡ δ' ἀντίφασις ἐπὶ τῶν καθόλου ὀνομάτων μετὰ διορισμοῦ γινομένη, πᾶν ζῷον λογικὸν καὶ οὐ πᾶν ζῷον λογικόν, πᾶσα γραμμὴ πλάτος ἔχει καὶ οὐ πᾶσα γραμμὴ πλάτος ἔχει, καὶ ἔστιν ἐπὶ τῶν γενῶν ἡ ἀπόφασις τῆς λαμβανομένης διαφορᾶς ἀληθὴς μετὰ διορισμοῦ τοῦ οὕτως ἔχοντος, οὐδὲν ἄτοπον ἀπαντᾷ· οὐ γὰρ ἀντίφασις ʻπᾶν μῆκος ἀπλατέσʻ καὶ ʻπᾶν μῆκος πλάτος ἔχειʻ· διὸ οὐδ' ἀνάγκη τὸ ἕτερον. ἔτι οὔτε τὸ πᾶν μῆκος γένος οὔτε τὸ οὐ πᾶν (τοῦτο δὲ δείκνυται τὸ ἕτερον μέρος τῆς ἀντιφάσεως ὑπάρχον), ἐπειδὴ μή ἐστιν ἄτομον τὸ γένος ἀλλὰ καθόλου, διαίρεσις δὲ τοῦ καθόλου τὸ ʻπᾶσʻ καὶ ʻοὐ πᾶσʻ. ἔτι οὐχ οἷόν τε τὴν τοῦ γένους διαφορὰν πᾶσι τοῖς ὑπὸ τὸ γένος ὑπάρχειν· ἑκάστη γὰρ αὐτῶν οὐ παντὶ ὑπάρχει· τὸ δὲ μὴ παντὶ τῷ ὑπὸ τὸ γένος ὑπάρχον πῶς ἂν λαμβάνοιτο κατηγορούμενον τοῦ γένους; φησὶ δὲ ἐπ' ἐκείνων ἁρμόζειν τὸν τόπον οἳ τὸ γένος ἕν τι τῷ ἀριθμῷ λέγουσιν. οὗτοι δέ εἰσιν οἱ τὰ γένη ἰδέας εἶναι λέγοντες· ἓν γάρ τι τῷ ἀριθμῷ ἡ ἰδέα, οἷον αὐτοζῷον. εἰ γὰρ ἕν τι τῷ ἀριθμῷ τὸ ζῷον [αὐτοζῷον], οὐκέτι δέξεται τὸν διορισμὸν τὸν ʻπᾶσʻ καὶ ʻοὐ πᾶσʻ, ἀλλ' ἐπ' αὐτοῦ ἑνὸς ὄντος τῷ ἀριθμῷ τὸ λογικὸν ἢ ἄλογον κατηγορηθήσεται. ὁμοίως καὶ εἰ τὸ μῆκος ἓν τῷ ἀριθμῷ, ἀληθὲς ἐπ' αὐτοῦ ἔσται τὸ ἔχειν πλάτος ἢ μὴ ἔχειν. οὕτως δὲ ἔσται τὰ προειρημένα ἄτοπα. p.

in Top.450 143b33 Ἴσως δ ’ ἐ π ’ ἐνίων ἀναγκαῖον καὶ ἀποφάσει χρῆσθαι τὸν ὁριζόμενον οἷον ἐπὶ τῶν στερήσεω ν . Ἐ π ’ ἐνίων δέ, φησίν, ἀναγκαῖον ἀποφάσει χρῆσθαι τὸν ὁριζόμενο ν , ὡς ἐπὶ τῶν ὅρων οἳ τῶν στερήσεών εἰσιν· οἷον τυφλόν ἐστι τὸ μὴ ἔχον ὄψι ν , ὅτε πέφυκεν ἔχειν · καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ τοῦτο εἰκός· οὐδὲ γὰρ γένος τι λαμβάνομεν ἐν αὐτοῖς. ἐν οἷς δὲ γένος τὸ λαμβανόμενον, ἄτοπον ἐπὶ τούτων ἀποφάσει χρῆσθαι· οὔτε γὰρ τὸ εἶναί τινα ἡ ἀπόφασις σημαίνει, οὔτε διορίζει καὶ περιγράφει τῶν ὑπὸ τὸ γένος καὶ τίθησί τι, καθ’ αὑτήν γε λεγομένη, καὶ οὐδὲν μᾶλλον κατὰ ὄντος ἢ κατὰ μὴ ὄντος ἀληθεύεται. p. 143b35 Διαφέρει δ ’ οὐδὲν ἀποφάσε ι . Διαφέρει δ’ οὐδὲν διελεῖν τὸ γένος ἀποφάσει, ὡς ὅταν εἴπωμεν ‘τὸ μῆκος διαιρεῖται εἴς τε τὸ πλάτος ἔχον καὶ εἰς τὸ ἀπλατέσ‘ ἢ ‘τὸ ζῷον εἰς τὸ λογικὸν καὶ τὸ ἄλογον‘, ἢ τοιαύτῃ καταφάσε ι , ᾗτινι δύναται συνεπινοεῖσθαι καὶ ἡ ἀντιδιῃρημένη ταύτῃ ἀπόφασις, ὡς εἰ ὁρίσαιτό τις μῆκος πλάτος ἔχον · συνεπινοεῖται γὰρ τούτῳ καὶ τὸ πλάτος μὴ ἔχον ὡς ἀντιδιῃρημένον ὂν ἐκείνῳ· ἢ πάλιν ὅταν εἴπωμεν χρῶμα διακριτικὸν ὄψεως, συνεπινοοῦμεν καὶ τὸ μὴ διακριτικὸν ὄψεως. ἀλλ’ οὐκ ἐν πᾶσι τοῦτο φυλάσσεται· εἰ γὰρ εἴποι τις ὅτι ὄψις ἐστὶν ὄργανον ὁράσεως, οὐκ εὐθὺς συνεπινοεῖταί τι ἀντιδιῃρημένον τούτῳ· οὐδὲ γὰρ ἔχει. καὶ ἄλλα δὲ πλεῖστα τοιαῦτά εἰσιν. p. 144a5 Πάλιν εἰ τὸ εἶδος ὡς διαφορὰν ἀπέδωκε ν . Οἷον εἰ τὴν φωνὴν ὡρίσατο ἀέρα πεπληγμένον· γένος γὰρ τῆς φωνῆς ἡ πληγὴ ἀλλ’ οὐ διαφορά. καὶ τῆς σιμότητος γένος ἡ κοιλότης· διὸ οὐχ ὁρίζεται ὁ ὁριζόμενος λέγων ῥῖνα κοίλην τὴν σιμότητα· κοιλότης γάρ ἐστιν ἐν ῥινί· διαφορὰ γὰρ εἰδοποιὸς τῆς σιμότητος τὸ ἐν ῥινὶ σιμόν. καὶ ὁ πηλὸς δὲ οὐ “γῆ ὑγρῷ φυραθεῖσα”, ὡς Πλάτων, ἀλλὰ φύραμα γῆς· γένος γὰρ τοῦ πηλοῦ τὸ φύραμα ἀλλ’ οὐ διαφορά. p.

in Top.451 144a9 Ἔτι εἰ τὸ γένος ὡς διαφορὰν εἴρηκε ν . Τῆς ἀρετῆς γένος εἶναί φησι τὴν ἀγαθὴν ἢ τὴν σπουδαίαν ἕξι ν , διόπερ τὸ ἀγαθόν, ὅπερ ὡς διαφορὰν τῆς ἕξεως ἔλαβε, γένος μᾶλλόν ἐστι καὶ οὐ διαφορά. εἶτ’ ἐπιδιορθούμενος ἑαυτὸν ἴσως, φησίν, ἐπὶ τούτου τοῦ παραδείγματος οὐ δοκεῖ τὸ ἀγαθὸν γένος εἶναι ἀλλὰ διαφορά· εἰ γὰρ τὸ ἀγαθὸν γένος ἐστὶ τῆς ἀρετῆς, ἔστι δὲ καὶ ἡ ἕξις, ὁμολογουμένως 〈δ’ οὐκ〉 ἐνδέχεται τὸ αὐτὸ καὶ ἓν εἶδος ὑπὸ δύο γένη ἀνάγεσθαι μὴ ὑπάλληλα· νῦν δὲ οὔτε ἡ ἕξις περιέχει τὸ ἀγαθὸν οὔτε τὸ ἀγαθὸν τὴν ἕξιν· οὐδὲ γὰρ πᾶσα ἕξις ἀγαθό ν , οὐδὲ πᾶν ἀγαθὸν ἕξις · ὥστε οὐκ ἂν εἴη γένη τῆς ἀρετῆς ἀμφότερ α , ἥ τε ἕξις καὶ τὸ ἀγαθόν. ἀλλ’ εἰ καὶ μὴ περιέχει θάτερον τὸ ἕτερον, ἀλλ’ οὖν ὑπὸ ταὐτὸν καὶ ἓν γένος ἀνάγονται, τὴν ποιότητα. εἰσὶ γοῦν μᾶλλον τοῦ τοιούτου παραδείγματος τὰ ἄνωθεν ἡμῖν παρατεθέντα συνιστῶντα τὸν τόπον καὶ δεικνύντα ἀληθῶς ἔχειν. p. 144a20 Ὁρᾶν δὲ καὶ εἰ ἡ ἀποδοθεῖσ α . Δεῖν φησιν ὁρᾶν καὶ εἰ ἡ ἀποδοθεῖσα διαφορὰ μὴ ποιόν τι σημαίνει ἀλλὰ τόδε τι καὶ ἐν τῷ τί ἐστι κατηγορούμενον· οὐ γὰρ ἂν εἴη διαφορά. εἴη δ’ ἂν κοινότερος οὗτος ὁ τόπος τῶν δύο τῶν προειρημένων· τὸ γὰρ εἶδος καὶ τὸ γένος τόδε τι σημαίνει. p. 144a23 Σκοπεῖν δὲ καὶ εἰ κατὰ συμβεβηκό ς . Οὐδὲν τῶν ἐν τῇ οὐσίᾳ τινὸς ὄντων οἷόν τε συμβεβηκὸς αὐτῷ εἶναι· τὸ μὲν γὰρ συμβεβηκὸς οἷόν τε ὑπάρχειν καὶ μὴ ᾧ συμβέβηκε, τὸ δὲ ἐν τῇ οὐσίᾳ τινὸς ὂν ἀχώριστόν ἐστιν αὐτοῦ. εἰ οὖν τις ὁριζόμενος διαφορὰν εἴληφε τῶν συμβεβηκότων τι τῷ ὁριστῷ, οὐχ ὥρισται αὐτό. p. 144a31 Πάλιν εἰ κατηγορεῖται τὸ γένος τῆς διαφορᾶ ς . Οὔ φησι τοιαύτας εἶναι δεῖν τὰς λαμβανομένας ἐν τοῖς ὁρισμοῖς διαφορὰς ὥστε τὸ γένος αὐτῶν κατηγορεῖσθαι, ἀλλὰ κα θ ’ ὧν ἡ διαφορ ά , τουτέστιν εἰδῶν ἢ ἀτόμων · εἰς ἃ γὰρ ἡ διαίρεσις τῶν γενῶν γίνετα ι , τούτων τὰ γένη κατηγορεῖται · οὐκ εἰς διαφορὰς δὲ τὰ γένη διαιρεῖτα ι , ἀλλὰ διαφοραῖ ς .

in Top.452 ὡς οὖν ἐπὶ τῶν ἄλλων διαιρουμένων τὸ διαιροῦν οὐκ ἔστιν ὅπερ τὸ διαιρούμενον ( οὔτε γὰρ ἡ ἐπιφάνεια διαιρεῖται ἐπιφανείᾳ οὔτε ἡ γραμμὴ γραμμ ῇ) , οὕτως οὐ δ ’ ἐπὶ τῶν διαφορῶ ν , κα θ ’ ἃς διαιρεῖται τὸ γένο ς . εἰ γὰρ τὸ γένος εἴη ἑκάστης τῶν διαφορῶν κατηγορούμενο ν , οἷον τὸ ζῷον κατὰ τοῦ πεζοῦ καὶ τοῦ δίποδο ς , ἐπεὶ κα θ ’ οὗ κατηγορεῖται τὸ ζῷον ἐν τῷ τί ἐστι ν ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκεῖνο ζῷόν ἐστι ν , ἔσται καὶ τὸ πεζὸν ζῷον καὶ τὸ δίπουν πάλιν ζῷον · εἰ οὖν ὁ ἄνθρωπος ζῷον πεζὸν δίπου ν , πολλάκις ἂν αὐτοῦ τὸ ζῷον κατηγοροῖτο καὶ πολλὰ ζῷα ὁ ἄνθρωπος εἴ η , ὅπερ ἄτοπο ν . p . 144b1 Ἔτι διαφοραὶ πᾶσα ι . Δεύτερον δὲ ἑκάστη τῶν διαφορῶν ἢ εἶδος ἢ ἄτομον ἔσται, ἐπειδὴ πᾶν τὸ ὑπὸ γένος ὂν ἢ εἶδός ἐστιν ἢ ἄτομον · εἰς ταῦτα γὰρ ἡ τῶν γενῶν διαίρεσις, καὶ ἐν τούτοις τὸ εἶναι τοῖς γένεσιν, προσεχῶς μὲν ἐν τοῖς εἴδεσι, δευτέρως δὲ ἐν τοῖς ἀτόμοις. [ Ἔτι διαφοραὶ ἢ εἴδη ἢ ἄτομ α . ἔτι, φησίν, αἱ διαφοραὶ ἢ εἴδη εἰσὶν ἢ ἄτομα, εἴπερ τὰ γένη κατὰ τῶν διαφορῶν κατηγοροῦνται· ἀλλὰ τὰ γένη κατὰ τῶν εἰδῶν καὶ τῶν ἀτόμων κατηγοροῦνται· αἱ διαφοραὶ ἄρα ἢ εἴδη εἰσὶν ἢ ἄτομα. οἷον εἰ τὸ ζῷον κατὰ τῶν διαφορῶν αὐτοῦ κατηγορεῖται, κατηγορεῖται δὲ καὶ τῶν ὑπ’ αὐτὸ εἰδῶν καὶ ἀτόμων, αἱ διαφοραὶ τοῦ ζῴου, τὸ λογικὸν καὶ τὸ ἄλογον, ἢ εἴδη ἔσονται, τουτέστιν εἰδικώτατα, ἢ ἄτομα· ὥσπερ γὰρ τοῦ ζῴου καθ’ ἑκάστου εἴδους αὐτοῦ κατηγορουμένου ἕκαστον εἶδος ζῷόν ἐστί τε καὶ λέγεται, οὕτω καὶ εἰ κατηγορεῖται κατὰ τῶν διαφορῶν αὐτοῦ, ἑκάστη διαφορὰ ζῷον ἔσται· ἕκαστον δὲ ζῷον ἢ εἶδός ἐστιν ἢ ἄτομο ν. ] p. 144b4 Ὁμοίως δὲ σκεπτέο ν . Ὁμοίως δ έ , φησί, σκεπτέον καὶ εἰ τὸ εἶδος ἤ τι τῶν ὑπὸ τὸ εἶδος τῆς διαφορᾶς κατηγορεῖτα ι , οἷον εἴ τις τοῦ ἀθανάτου τὴν ψυχὴν κατηγορήσειεν εἶδος οὖσαν, ἢ εἴ τις ὁμοίως τὸν Σωκράτη τοῦ λογικοῦ ἄτομον ὄντα· τὰ γὰρ ἄτομα ὑποκάτω τῶν εἰδῶν. τοῦτο δὲ ἀδύνατον, φησίν, ἐπειδὴ ἡ διαφορὰ ἐπὶ πλέον τῶν εἰδῶν λέγεται · οὗ τὸ ἀνάπαλιν ὁ ὁρισάμενος πεποίηκε, θεὶς ἐπὶ πλέον τὰ εἴδη ἢ τὰ ἄτομα τῆς διαφορᾶς.

in Top.453 p. 144b12 〈Σκοπεῖν δὲ καὶ εἰ ἑτέρου γένου ς .〉 Σκοπεῖν δε ῖ , φησίν, εἴ τις τῶν ἐν τῷ ὁρισμῷ τινος ἀποδεδομένων διαφορῶν καὶ ἄλλου γένους ἐστὶ διαφορά, ὃ οὔτε περιέχει οὗ εἴληπται διαφορά, οὔτε περιέχεται ὑπ’ αὐτοῦ, οὔτ’ ἄμφω ὑπὸ ταὐτόν ἐστι γένος. εἰ γὰρ εἴη τοιαύτη τις εἰλημμένη διαφορά, οὐκ ἂν εἴη ὁρισμὸς τοῦ προκειμένου ὁ ἀποδεδομένος λόγος· οὐδὲ 〈γὰρ〉 ἡ διαφορὰ τοῦ προκειμένου γένους. εἰ γὰρ εἴη, συμβήσεται καὶ εἶδος τὸ αὐτὸ ἐν δυσὶ γένεσιν εἶναι μὴ περιέχουσιν ἄλληλα · ἐπιφέρει γὰρ ἑκάστη τῶν διαφορῶν τὸ οἰκεῖον γένος τοῖς εἴδεσιν, ὧν ἐν τῷ ὁρισμῷ παραλαμβάνεται. ὥστ ε , εἰ κα θ ’ οὗ ἡ διαφορ ά , καὶ τῶν γενῶν ἑκάτερο ν , δῆλον ὅτι τὸ εἶδος ἐν δύο γένεσι μὴ περιέχουσιν ἄλληλ α , ὅταν ἄλλου γένους οὖσα ὡς ἄλλου τινὸς οὖσα ληφθῇ· γένοιτο γὰρ ἂν αὐτὴ τῶν δύο γενῶν, τοῦ μέν, ὅτι εἴληπται μὴ οὖσα αὐτοῦ, τοῦ δὲ ἑτέρου, ὅτι κυρίως ἐκεῖνο διαιρεῖ. οἷον εἴ τις τὸ ζῷον ὁρίσαιτο οὐσίαν θεωρητικήν· τὸ γὰρ θεωρητικὸν ἔστι μὲν ἐπιστήμης διαφορά, εἴληπται δὲ οὐσίας· καὶ ἔστιν ἕτερα ἀμφοτέρων γένη καὶ οὐχ ὑπάλληλα· οὕτως δὲ ἔσται τὸ ζῷον οὐσία καὶ ἐπιστήμη, ἐπεὶ ἡ διαφορὰ τὸ οἰκεῖον γένος συνεπιφέρει, οὗ ἐν τῷ ὁρισμῷ παραλαμβάνεται. Ἐν τούτοις ἔοικε διορθοῦν τὸ εἰρημένον ἐν Κατηγορίαις τὸ “τῶν ἑτερογενῶν καὶ μὴ ὑπ’ ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραί”. ἢ κἀκεῖ διώρισται τοῦτο τῇ προσθήκῃ τοῦ εἴδει. ἢ ἐν Κατηγορίαις ἕτερα γένη τὰ πρῶτα λέγει, ἐπεὶ “τῶν ἑτερογενῶν καὶ μὴ ὑπ’ ἄλληλα τεταγμένων” μη δ ’ ἄμφω ὑπὸ ταὐτὸν ὄντων γένος “ἕτεραι τῷ εἴδει αἱ διαφοραί”. p.

in Top.454 144b26 Δῆλον δὲ ὅτι οὐκ ἀνάγκη τὴν διαφορὰν πᾶν τὸ οἰκεῖον ἐπιφέρειν γένο ς . Τοῦτο ἐπιδιορθωτικόν ἐστι τοῦ τόπου τοῦ λέγοντος ὅτι πᾶσα διαφορὰ τὸ οἰκεῖον ἐπιφέρει γένος · οὐ γὰρ ἀνάγκη, φησί, συνεπιφέρειν τὸ οἰκεῖον γένος. ἐπεὶ γὰρ ἔν τισιν ἡ αὐτή ἐστι διαφορὰ δύο γενῶν μὴ ὑπ’ ἄλληλα τεταγμένων, οὐκ ἀνάγκη συνεπιφέρειν ἐν τῷ ὁρισμῷ καὶ ἄμφω τὰ γένη, ἀλλὰ τὸ ἕτερον μόνον καὶ τὰ ἐπάνω τούτου πάντα· τὸ γὰρ δίπουν ἐν τῷ τοῦ ἀνθρώπου ὁρισμῷ οὐκ ἐπιφέρει ἀμφότερα τὰ γένη, τὸ πεζὸν καὶ τὸ πτηνό ν , ἀλλὰ τὸ πεζὸν μόνον καὶ τὸ ὑπὲρ τοῦτο, ἐν οἷς ἀμφοτέροις τὸ ζῷον. p. 144b32 Οὐ δοκεῖ γὰρ διαφέρειν οὐσία οὐσίας τῷ ποὺ εἶνα ι . Ἐπεὶ τὸ ποὺ εἶναι καὶ ἐν τόπῳ τινὶ οὐκ ἔστιν οὐσίας τινὸς τὸ τί ἦν εἶναι σημαῖνον, ὁ δὲ ὅρος τὸ τί ἦν εἶναι σημαίνει, φησὶ δεῖν ὁρᾶν εἴ τις ὁριζόμενος οὐσίαν τινὰ καὶ διαφορὰν ἐν τῷ ὁρισμῷ λαμβάνει τὸ ποὺ εἶναι σημαίνουσαν· τὸ γὰρ ἔν τινι πλεοναχῶς λεγόμενον νῦν ἐπὶ τοῦ

ποὺ καὶ ἐν τόπῳ εἶναι λέγεται· ὁ γὰρ οὕτω λαμβάνων ἁμαρτάνει. καὶ ἐπεὶ χρώμενοί τινες τῷ τόπῳ ἀνασκευάζουσι δεικνύντες ὅτι τὸ ἔνυδρον καὶ τὸ χερσαῖον οὐκ εἰσὶ διαφοραὶ τοῦ ζῴου (τὸ γὰρ ἐν τόπῳ εἶναι σημαίνουσι), δείκνυσιν ἁμαρτάνοντας· καὶ φησὶν ὅτι τὸ ἔνυδρον καὶ τὸ χερσαῖον οὐκ ἀπὸ τοῦ πού, ἤγουν ἐν τόπῳ εἶναι, οὕτω λέγονται, ἀλλ' ἀπὸ τοῦ ἐν δυνάμει τινὶ καὶ διαθέσει τοιαύτῃ· ποιὸν γάρ τι σημαίνουσιν. εἰκότως δὲ καὶ τὸ οὐσίας προσέθηκεν· οὐσίας γὰρ διαφορὰ οὐ δύναται τὸ ποὺ εἶναι. τῶν μέντοι ποὺ ὄντων ἀναγκαῖον καὶ τὸν ὁρισμὸν ἔχειν τινὰ διαφορὰν τοῦ ποὺ δηλωτικήν, οἷον τὸ ἔνυδρον καὶ τὸ χερσαῖον, οὐχ ὡς νῦν μὲν ὄντων ἐν ᾧ εἰσι τόπῳ, νῦν δ' οὐχ ὄντων, ἀλλ' ἀεὶ ὄντων, ἐπειδὴ καὶ ὅτε συμβαίνει τοὺς τόπους αὐτὰ μεταβάλλειν, τὰς διαφορὰς οὐ μεταβάλλουσιν· ὁ γὰρ ἄνθρωπος νηχόμενος οὐ λέγεται ἔνυδρος ἀλλὰ χερσαῖος· ὡσαύτως καὶ ὅσα τῶν ἐνύδρων ἐν τῇ χέρσῳ ἐξέρχονται, οὐ χερσαῖα ἀλλ' ἔνυδρα.

in Top.455 p. 145a3 Πάλιν εἰ τὸ πάθο ς . Οἷον εἴ τις εἴποι 'ἄνθρωπός ἐστι ζῷον θερμαινόμενον ἢ ψυχόμενον', φανερὸν ὅτι τὸ θερμαίνεσθαι καὶ τὸ ψύχεσθαι πάθη ὄντα διαφορὰν οὐσιώδη πεποίηκε. πάντα δὲ τὰ τοιαῦτα πάθη ἐπίτασιν λαμβάνοντα ἐξιστῶσι τὸ ζῷον τῆς οὐσίας· ὥστε καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐπίτασιν ἐν τῷ ζῴῳ δεξάμενα φθείρει τὸ ζῷον. ἡ δὲ οὐσιώδης διαφορὰ σωστικὴ μᾶλλον ὀφείλει εἶναι τῆς οὐσίας καὶ οὐ φθαρτική· καθόλου γὰρ ἀδύνατόν ἐστιν εἶναι τῶν ὄντων ἕκαστον ἄνευ τῆς οἰκείας διαφορᾶ ς , οἷον ἄνθρωπον μὲν ἄνευ τοῦ λογικοῦ, ἵππον δὲ ἄνευ τοῦ ἀλόγου. καὶ καθόλου εἰπεῖν, κα θ ' ὅσα πάθη ἀλλοιοῦται τὸ εἶδος τὸ ἔχον ταῦτα, ἅ εἰσι τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἢ τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὰ τοιαῦτα, οὐδὲν τούτων ἔσται διαφορά · τὸ γὰρ θερμὸν ἐπιταθὲν φθείρει τὴν ἁφὴν καὶ τὸ ζῷον· ἄνευ γὰρ ἁφῆς ἀδύνατον εἶναι ζῷον· καὶ τὸ λευκὸν καὶ ἄγαν λαμπρὸν ὑπερβαίνοντα τὴν ὁρατικὴν δύναμιν φθείρει τὴν ὄψιν· καὶ τὰ ἄλλα δ' ὡσαύτως. p. 145a12 Καὶ εἴ τινος τῶν πρός τ ι . Ἔτι φησὶ τῶν πρός τι γενῶν καὶ τὰς διαφορὰς εἶναι πρός τι. ἐπεὶ γὰρ τῶν πρός τι τὰ μὲν πρὸς ἕν τι μόνον ἐστὶ καὶ οὐκ ἄν τις αὐτοῖς πρὸς ἄλλο χρήσαιτο ἢ πρὸς ὃ πέφυκε ν , ὥσπερ τῇ ὄψει πρὸς μόνον τὸ ὁρᾶν, τοῖς δὲ καὶ πρὸς ἄλλο τι, πρὸς ὃ οὐ πέφυκε, χρήσαιτο ἄν τις (τῇ γοῦν στλεγγίδι, τουτέστι τῷ κτενίῳ, οὐ πρὸς τὸ περιξύεσθαι χρήσαιτο ἄν τις μόνον ἀλλὰ καὶ πρὸς τὸ ὕδωρ ἀρύσασθαι), δεῖν φησὶν ἐν τῇ τῶν πρός τι ἀποδόσει μὴ μόνον παραφυλάττειν τὰς διαφοράς, εἰ πρός τι καὶ αὗται, ἀλλὰ καὶ εἰ πρὸς ὃ πέφυκεν ἀποδίδονται.

in Top.456 Ἔστι δὲ στλεγγίς, ὡς μέν τινες λέγουσι, τὸ κτένιον, ὡς δὲ ἕτεροι, ὄργανόν τι κοῖλον, δι' οὗ τοὺς ἱδρῶτας ἀπέξεον· ὃ δοκεῖ βέλτιον ἐκ τοῦ δι' αὐτοῦ κοίλου ὄντος καὶ ὕδωρ ἀρύεσθαι. τὸ δὲ τῆς στλεγγίδος ὄνομα ἐν τῷ Λυκόφρονι· φησὶ γὰρ ἐκεῖνος στλεγγίσματα τὰ ἀποξύσματα. [Εἰς τὸ αὐτό. οὐ μόνον, φησί, χρὴ τὰς διαφορὰς τὰς ἐν τοῖς ὁρισμοῖς τῶν πρός τι λαμβανομένας κἀκείνας πρός τι εἶναι, ἀλλὰ δεῖ τὸν προσδιαλεγόμενον σκοπεῖν καὶ εἰ ἕκαστον ὁριστὸν τῶν πρός τι ἀποδίδωσιν ὁ ὁριζόμενος πρὸς ὃ κυρίως πέφυκε λέγεσθαι ὡς σχέσιν ἔχον· χρὴ γὰρ τὸν ὁριζόμενόν τι τῶν πρός τι κἀκείνων μνημονεύειν ἐν τῇ ἀποδόσει τοῦ ὁρισμοῦ, πρὸς ἃ λέγεται κυρίως τὸ ὁριζόμενον, εἴτε ἕν ἐστι τὸ πρὸς ὃ λέγεται, εἴτε καὶ δύο. εἰ μὲν γὰρ τὸ ὁριστὸν ἐκεῖνο πρὸς δύο πέφυκεν ἔχειν κυρίως τὴν σχέσιν, ὡς ἡ γραμματικὴ ὁριστὸν οὖσα καὶ αὐτὴ τῶν πρός τι, καθὸ τῷ γενικωτέρῳ αὐτῆς ὀνόματι ἐπιστήμη λέγεται, πρὸς δύο πέφυκεν ἔχειν τὴν σχέσιν, πρός τε τὸ εὖ γράφειν καὶ τὸ εὖ ἀναγινώσκειν, καὶ ἀμφοτέρων χρὴ τὸν ὁριζόμενον ἐν τῷ αὐτῆς ὁρισμῷ μνημονεύειν λέγοντα 'γραμματική ἐστι τέχνη τοῦ εὖ γράφειν καὶ τοῦ εὖ ἀναγινώσκειν'. εἰ δὲ πρὸς ἓν κυρίως φαίνεται σχέσιν ἔχον τὸ ὁριστόν, πρὸς δὲ τὸ ἕτερον ἀκύρως, ὡς ἡ ἰατρικὴ πρὸς μὲν τὸ ὑγιάσαι κυρίως λέγεται πρὸς δὲ τὸ νοσοποιῆσαι ἀκύρως, τοῦ πρὸς ὃ κυρίως λέγεται μόνον ἀπομνημονευτέον. εἰ δὲ πρὸς ἓν μόνον, ὡς ἡ ὄψις πρὸς μόνον τὸ ὁρᾶν καὶ ἡ ἀκοὴ πρὸς μόνον τὸ ἀκούειν, τοῦ ἑνὸς μόνου ἀπομνημονευτέον. ἐνδέχεται μέντοι τισὶ τῶν πρός τι χρήσασθαι καὶ πρὸς ἄλλο τι, πρὸς ὃ οὐ πεφύκασι λέγεσθαι· οἷον τῇ στλεγγίδι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰκός ἐστι χρήσασθαι πρὸς τὸ ἀρύειν ὕδωρ ἢ ἕτερόν τι ὑγρὸν καίτοι ἐπιτηδείᾳ μᾶλλον οὔσῃ πρὸς τὸ ἀποξύειν· ἀλλ' ὅμως, φησί, κἂν δυνατόν ἐστι χρήσασθαι ταύτῃ καὶ πρὸς τὸ ἀρύειν δι' ἣν ἔχει κοιλότητα, ἐπεὶ οὐ πέφυκε πρὸς τὸ ἀρύειν λέγεσθαι ἀλλὰ πρὸς τὸ ἀποξύειν, ἁμαρτάνει ὁ ταύτην ὁριζόμενος ὄργανον πρὸς τὸ ἀρύειν. στλεγγίδα δέ τινες λέγουσι τὸ ὀστρειῶδες κτένιον, ἄλλοι δὲ εἶδος σπόγγου, δι' οὗ ἀποψῶσι τοὺς ἱδρῶτας τῶν νοσούντων οἱ ἰατροί.] Ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων τῇ τοῦ ἐπιστήμονος περὶ ἕκαστον γνώμῃ καὶ τῇ τοῦ σπουδαίου χρῆσθαι δεῖ, οὕτω καὶ ἐπὶ τῆς διακρίσεως τῶν προκειμένων φησί. διὸ ἀποδίδωσιν ὅρον τοῦ πρὸς ὃ πέφυκε λέγων ἐ φ ' ὃ χρήσαι τ ' ἂν αὐτῷ ὁ φρόνιμος ᾗ φρόνιμος καὶ ἡ περὶ ἕκαστον οἰκεία ἐπιστήμη ᾗ ἐπιστήμ η . οἷον εἰ ἰατρικόν ἐστιν, ὁρᾶν τοὺς φρονιμωτέρους τῶν ἰατρῶν καὶ ἐπιστήμονας, ἐφ' ὃ τούτῳ ἐχρήσαντο· ὁμοίως καὶ εἰ γεωμετρικόν, πῶς τοῦτο ἐξελάβοντο.

in Top.457 φρόνιμον δὲ εἶπεν, ὅτι μὴ πάντων ἡ χρῆσις ὑπό τινα τέχνην ἢ ἐπιστήμην. p. 145a28 〈Ἢ εἰ μὴ τοῦ πρώτου ἀπέδωκε ν .〉 Προστίθησι καὶ τοῦτο τοῖς ἄνω· ἐπεὶ γὰρ ἔνια τῶν πρὸς πλείω λεγομένων οὐ πρὸς πάντα λέγεται πρώτως, ἀλλὰ πρὸς μέν τι πρώτως πρὸς δέ τι δευτέρως, δεῖ, φησίν, ὁρᾶν εἰ μὴ πρὸς ὃ λέγεται πρώτως ἀπέδωκεν ὁ ὁριζόμενος. ἡ γὰρ φρόνησις πρώτως τοῦ λογιστικοῦ ἐστιν ἀρετή· τῆς δὲ ψυχῆς μέρος ἐστὶ τὸ λογιστικόν· τὸ δὲ ὑπάρχον τῷ μέρει ὑπάρχει καὶ τῷ ὅλῳ· κατὰ τοῦτο οὖν λέγεται καὶ ἡ ψυχὴ φρόνιμος, ἀλλὰ δευτέρως, καὶ ὁ ἄνθρωπος διὰ τὴν ψυχήν· ἐκ ψυχῆς γὰρ καὶ σώματος. καὶ εἰ τὴν σωφροσύνην τοῦ ἐπιθυμητικοῦ πρώτως οὖσαν ἀρετὴν καὶ τὴν ἀνδρίαν τοῦ θυμικοῦ τῆς ψυχῆς ἀποδοίη τις ἀρετάς. p. 145a33 Ἔτι εἰ μὴ δεκτικόν ἐστ ι . Ἔτ ι , φησίν, εἰ μὴ δεκτικόν ἐστι τὸ ὡρισμένον [ἐκεῖνο] πάθος ἢ ἡ διάθεσις ἢ ἡ ἕξις ἢ ἄλλο ὁτιοῦν ἐκείνου οὗ ἀπέδωκεν, ὁ ὁριζόμενος οὕτως ἥμαρτε· πᾶν γὰρ πάθος καὶ πᾶσα διάθεσις ἐν ἐκείνῳ πέφυκε γίνεσθαι τῷ πράγματι, οὗ καὶ ἔστι διάθεσις ἢ πάθος. οἷον εἰ μέν τις ὁρίσαιτο τὴν ἐπιστήμην διάθεσιν τῆς ψυχῆς, καλῶς ἀπέδωκε τὸν ὁρισμὸν τῆς ἐπιστήμης· ἐν γὰρ τῇ ψυχῇ ἐστιν ἡ ἐπιστήμη διάθεσις. εἰ δὲ τὸ ἀποδοθὲν τῷ πάθει ἢ τῇ διαθέσει ἐν τῷ ὁρισμῷ οὐκ ἔστιν ἐκείνου, οὐ καλῶς ὡρίσατο. οἷον ὕπνος ἐστὶν ἀδυναμία αἰσθήσεως · καὶ γὰρ ὁ ὕπνος πάθος μέν ἐστιν, ἀλλὰ τοῦ ζῴου ἐν ᾧ ἡ αἴσθησις, οὐ μέντοι αὐτῆς τῆς αἰσθήσεως· οὗ γάρ ἐστιν ἀδυναμία, ἐκείνου καὶ πάθος ἂν εἴη ὁ ὕπνος· οὐκ ἔστι δὲ ὁ ὕπνος ἐν αἰσθήσει ἀλλ' ἐν ζῴῳ. καὶ πάλιν ἀπορία ἐστὶν ἰσότης ἐναντίων λογισμῶν · καὶ γὰρ ἡ ἀπορία πάθος ἐστὶν ἀνθρώπου δι' ἰσότητα ἐναντίων λογισμῶν.

in Top.458 καὶ ἔτι ἀλγηδών ἐστιν διάστασις τῶν συμφύτων μερῶν μετὰ βίας · ἡ γὰρ ἀλγηδὼν πάθος ἐστὶ ζῴου διὰ τὴν μετὰ βίας τῶν συμφύτων μερῶν διάστασιν, ἀλλ' οὐ διάστασις τῶν συμφύτων μερῶν· εἰ γὰρ ἦν οὕτως, ἔδει καὶ τὰ ἄψυχα τεμνόμενα καὶ τὴν τῶν μερῶν διάστασιν πάσχοντα ἀλγηδόνας ἔχειν. καὶ πάλιν ὑγεία ἐστὶ συμμετρία ψυχρῶν καὶ θερμῶν · εἰ γὰρ τοῦτο, ἀνάγκη καὶ τὰ ψυχρὰ καὶ τὰ θερμὰ ὑγιαίνει ν , ἤγουν αὐτὰς τὰς ἀψύχους ποιότητας· ἔστι γὰρ καὶ ἐν ταύταις συμμετρία ψυχρῶν καὶ θερμῶν· ἀλλ' ὑγεία ἐστὶ διάθεσις σώματος ζῴου ἐν συμμετρίᾳ θερμῶν καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν. ἐν πᾶσιν οὖν τοῖς εἰρημένοις ἡ ἁμαρτία παρὰ τὸ μὴ δεκτικὸν εἶναι τὸ ἀποδεδομένον ὑποκεῖσθαι τοῖς εἰρημένοις πάθος ἢ διάθεσιν. p. 145b11 Ἔτι τὸ ποιούμενον εἰς τὸ ποιητικὸν ἢ ἀνάπαλι ν . Ἔτι, φησίν, οἱ οὕτως ὁριζόμενοι καὶ λαμβάνοντες ἐν τῷ ὁρισμῷ τὸ τοιοῦτον, ὃ οὐκ ἔστι δεκτικὸν τοῦ ὁριστοῦ, ἢ τὸ ποιούμενον τιθέασιν εἰς τὸ ποιητικὸν ἢ τὸ ποιητικὸν εἰς τὸ ποιούμενον. [ὁ γὰρ λέγων ὕπνος ἐστὶν ἀδυναμία αἰσθήσεως ἐποίησε τὴν αἴσθησιν δεκτικὴν τοῦ ὕπνου· οὐκ ἔστι δὲ τῆς αἰσθήσεως, ὡς εἴρηται, πάθος ὁ ὕπνος· ἢ γὰρ ἂν ἡ αἴσθησις ὕπνωττεν.] οὐ γὰρ ἡ ἀλγηδών ἐστι διάστασις τῶν συμφύτων μερῶν · συμβαίνοι γὰρ ἂν οὕτως τὸ ποιούμενον εἶναι ποιητικόν· τοῦτο δὲ ἄτοπον· ἡ γὰρ διάστασις τῶν συμφύτων μερῶν μᾶλλόν ἐστι ποιητικὸν τῆς ἀλγηδόνος. οὐδὲ ὁ ὕπνος ἀδυναμία αἰσθήσεω ς , ἀλλὰ ποιητικὸν θάτερον θατέρου · ἢ γὰρ ἡ ἀδυναμία ἐστὶ ποιητικὸν τοῦ ὕπνου· ἀδυνατήσαντος γὰρ τοῦ ὁρατικοῦ ὀργάνου ὑπνώττει τὸ ζῷον· ἢ ὕπνος ποιητικὸς τῆς ἀδυναμίας· ὑπνώττοντος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ τοῦ ζῴου ἀδυναμία τῇ αἰσθήσει ἐπιγίνεται. ἀλλ’ οὐδὲ ἡ ἀπορία ποιητική ἐστι τῶν ἐναντίων λογισμῶ ν , ἀλλὰ τὸ ἀνάπαλιν· ἔστι γὰρ ἡ ἀπορία πάθος τῆς διανοίας δι’ ἐναντιότητα λογισμῶν ἐπιγινομένη. ὅταν γὰρ ἐπὶ δυσὶ λογισμοῖς ἐναντίοις σκοποῦσι καὶ ἐξετάζουσιν ἡμῖν, ποῖος μᾶλλον ἁρμόδιος φαίνεται, ἰσότης καὶ ὁμοιότης καὶ ἐπ’ ἀμφοτέροις κα θ ’ ἑκάτερον φαίνηται, τὸ τοιοῦτον πάθος γίνεται. οἷον προτεθέντος εἰ ἡ ψυχὴ ἀθάνατος ἢ θνητή, καὶ ληφθέντων καθ’ ἑκάτερον λόγων δεικνύντων καὶ ἄμφω τὰ ζητούμενα λόγοις καὶ ἀποδείξεσιν ἰσχυραῖς, τότε γίνεται ἀπορία, ποίῳ τῶν μερῶν δεῖ προστεθῆναι.

in Top.459 ὅταν οὖν πάντα ἰσχυρὰ φαίνηται καὶ ὅμοια τοσοῦτον ὥστε καὶ ἀπορεῖν τίνος τῶν μερῶν ἔσται μᾶλλον λῆψις, ἀπορία ἐστίν. p. 145b21 Ἔτι κατὰ τοὺς χρόνους πάντας ἐπισκοπεῖ ν . Δεῖ, φησίν, ὁρᾶν εἰ διαφωνεῖ κατὰ χρόνον τοῦ ὁριστοῦ τὸ ἐν τῷ ὁρισμῷ ἀποδεδομένον. εἰ γὰρ τὸ ὁριστὸν ἔχει τὴν παράστασιν ἀίδιον καὶ ἀθάνατον καὶ κατὰ τοὺς τρεῖς χρόνους διήκουσαν, ἔστι δὲ καὶ ὁ ὁρισμὸς τοιοῦτος, καλῶς ἀποδέδοται· εἰ δὲ διαφωνεῖ, οὐ καλῶς. οὕτως ἂν διαβάλλοιτο ὁ τὸ αἰώνιον λέγων ἀεὶ ἐσόμενον· ἐπεὶ γὰρ τὸ μὲν αἰώνιον ἀίδιον καθ’ ὅλους τοὺς χρόνους, ὁ δὲ κατὰ τὸν μέλλοντα μόνον τὸ ἐσόμενον ἀπέδωκεν (ἄδηλον γὰρ εἰ τὸ μέλλον τι ἔσται), οὐ καλῶς ἀπέδωκε· διεφώνησε γὰρ κατὰ τὸν χρόνον. ὁμοίως καὶ εἴ τις εἴποι ‘ἀθάνατόν ἐστι τὸ νῦν ἄφθαρτον ‘ · τὸ γὰρ νῦν ἄφθαρτον νῦν ἀθάνατον δηλοῖ, καὶ διαφωνεῖ κατὰ τὸν μέλλοντα καὶ παρεληλυθότα· ἄδηλον γὰρ εἰ καὶ μετὰ ταῦτα οὐ φθαρήσεται, ἢ εἰ πρώην ἔφθαρται· τὸ γὰρ ἀθάνατον ἀιδίως ἐστὶν ἀθάνατον. ἢ ἐπὶ μὲν τούτου τοῦ σημαινομένου 〈τοῦ〉 ἐπὶ τοῦ νῦν οὐ συμβαίνει ἀποδοθῆναι καλῶς τὸν ὁρισμόν· ἀμφίβολον γάρ ἐστι τὸ νῦν ἄφθαρτον. τρία γὰρ σημαίνει· ἢ γὰρ ὅτι οὐκ ἔφθαρται νῦ ν , ἤγουν μέχρι τοῦ νῦν, φθαρήσεται δέ· ἢ ὅτι οὐ δύναται νῦν φθαρῆνα ι , δύναται δὲ φθαρήσεσθαι· ἢ ὅτι νῦν τοιοῦτόν ἐστιν οἷον μηδέποτε φθαρῆνα ι . ὅταν οὖ ν , φησί, λέγωμεν ὅτι ἀθάνατόν ἐστι τὸ νῦν ἄφθαρτον ζῷο ν , οὐ κατὰ τοῦτο τὸ σημαινόμενον τοῦ νῦν ἀφθάρτου λέγομεν τὸ νῦν ἄφθαρτον, ὅτι νῦν ἐστιν ἄφθαρτον, πρώην δὲ ἔφθαρται, οὐδὲ κατὰ τὸ ἕτερον τὸ ἐπὶ τοῦ μέλλοντος, ἀλλὰ κατὰ τὸ τρίτον σημαινόμενον τοῦ νῦν ἀφθάρτου, ὃ ταὐτόν ἐστι τῷ ἀθανάτῳ, ὥστε οὐ συμβαίνει κατὰ τοῦτο τὸ σημαινόμενον τὸ νῦν ἄφθαρτον νῦν ἀθάνατον εἶνα ι . ὥστε, εἰ συμφωνεῖ μὲν τὸ ἀθάνατον τῷ νῦν ἀφθάρτῳ κατὰ τὸν λόγον, ἤγουν κατὰ τὸ ἀποδοθὲν τρίτον σημαινόμενον, κατὰ τοὔνομα δὲ διαφωνεῖ, ὅτι τὸ ἀθάνατον οὐ σημαίνει τὸ νῦν ἄφθαρτον, οὐκ ἔστι ταὐτὸν τῷ ἀθανάτῳ τὸ νῦν ἄφθαρτον, καὶ διὰ τοῦτο οὐδὲ ὁρισμὸς αὐτοῦ ἐστιν.

in Top.460 Ὁμοίως δὲ καὶ ὁ τὴν τοῦ κόσμου σύστασιν λέγων διὰ τὸ τὸν θεὸν ἀγαθὸν εἶναι ἁμαρτάνει· οὐ γὰρ ὑγιές, εἴ γε ὁ μὲν κόσμος ἤρξατο, ὁ δὲ θεὸς ἀγαθός ἐστιν ἀεί. εἶπε δὲ χρηστέον οὖν τῷ τόπῳ καθάπερ εἴρητα ι , τουτέστιν ἐπὶ τῶν διαφωνούντων κατὰ τὸν χρόνον. p. 145b34 Σκεπτέον δὲ καὶ εἰ κα θ ’ ἕτερόν τι μᾶλλο ν . Ἐπεὶ ὁ ἑκάστου ὁρισμὸς τῆς οὐσίας αὐτοῦ ἐστι δηλωτικός, δεῖ, φησίν, ἀποδοθέντος τινὸς ὁρισμοῦ ἐπισκοπεῖν εἰ κατά τινα λόγον ἄλλον 〈μᾶλλον〉 λέγεται τὸ προκείμενον ὁριστόν· εἰ γὰρ εἴη μᾶλλον ὑπ’ ἄλλου τινὸς δηλούμενον, οὐκ ἂν εἴη ὁ εἰρημένος λόγος ὁρισμὸς αὐτοῦ· ὁ γὰρ λόγος ὁ μάλιστα δηλῶν τὸ προκείμενον αὐτός ἐστιν αὐτοῦ ὁρισμός. εἴη δ’ ἂν ὁ τόπος οὗτος ἐκ παραβολῆς. ὅτι δ’ ἐν προαιρέσει μᾶλλον ἢ δυνάμει ἡ δικαιοσύνη, καὶ ἀπὸ τῶν ἄλλων ἀρετῶν δείκνυται· κυριωτέρα γὰρ ἡ προαίρεσις τῆς δυνάμεως· οὐ γὰρ ὁ δυνάμενος ἀλλ’ ὁ προαιρούμενος σπουδαῖος, κἂν μὴ δύνηται. τὸ δ’ αὐτὸ καὶ ἐπὶ τῆς κακίας. p. 146a3 Εἰ τὸ μὲν πρᾶγμα δέχεται τὸ μᾶλλο ν . Εἰ τὸ μὲν ὁριστόν, φησίν, ἐπίτασιν ἐπιδέχεται, τὸ δὲ κατὰ τὸν λόγον ἀποδοθὲν οὐκ ἐπιδέχεται, ἢ τὸ ἀνάπαλιν τὸ μὲν κατὰ τὸν λόγον ἐπιδέχετα ι , τὸ δὲ ὁριστὸν οὐκ ἐπιδέχεται, οὐ καλῶς ἀποδέδοται ὁ ὁρισμός. οἷον ἡ ἡδονή ἐστι διάθεσις ψυχῆς βελτίστη· ἰδοὺ γὰρ τὸ μὲν ὁριστὸν ἐπιδέχεται τὸ μᾶλλον· ἔστι γὰρ μᾶλλον καὶ ἧττον ἡδονή· ὁ δὲ ὁρισμός, τουτέστιν ἡ διάθεσις ψυχῆς ἡ βελτίστη, ἐπεὶ ἕξις ἐστίν, οὐκ ἐπιδέχεται τὸ μᾶλλον. ἢ τὸ ἀνάπαλιν, οἷον ὁ ἄνθρωπός ἐστι ζῷον λευκὸν γραμματικόν· ἰδοὺ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ τὸ μὲν ὁριστόν, ὁ ἄνθρωπος, οὐκ ἐπιδέχεται τὸ μᾶλλον· οὐδὲ γὰρ ἔστι μᾶλλον ἄνθρωπος· τὸ δὲ λευκὸν καὶ τὸ γραμματικὸν τὸ ἐν τῷ ὁρισμῷ ἐπιδέχεται· ἔστι γὰρ ζῷον λευκὸν γραμματικὸν καὶ μᾶλλον καὶ ἧττον. δεῖ δὲ καὶ ἀμφότερα ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον ἢ οὐδέτερον, εἴπερ ὁ ὁρισμὸς ὁ αὐτὸς ὀφείλει εἶναι τῷ ὁριστῷ. εἰ οὖν ὁ ὁρισμὸς ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τὸ δὲ ὁριστὸν οὐκ ἐπιδέχεται, ἢ τὸ ἀνάπαλιν, οὐκ ἔστι ταὐτὸν τῷ ὁριστῷ, καὶ δῆλον ὅτι οὐδὲ ὁρισμός ἐστιν.

in Top.461 ἔτι δέ, φησίν, εἰ καὶ ἀμφότερα, τό τε ὁριστὸν καὶ ὁ ὁρισμός, ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐχ ἅμα δὲ ἀλλὰ ἀνὰ μέρος, οὐ καλῶς ἀποδέδοται ὁ ὁρισμός. οἷον ἔρως ἐστὶν ἐπιθυμία συνουσίας · ὅτε γὰρ ὁ ἔρως ἔχει τὸ μᾶλλον, ἡ ἐπιθυμία τῆς συνουσίας τὸ ἧττον ἔχει· ὁ γὰρ μᾶλλον ἐρῶν οὐ μᾶλλον ἐπιθυμεῖ συνουσίας · ἡ γὰρ συνουσία φθαρτική ἐστι τοῦ ἔρωτος· ὅτε δὲ ἡ ἐπιθυμία τῆς συνουσίας τὸ μᾶλλον ἔχει, ὁ ἔρως αὖθις τὸ ἧττον· ὁ γὰρ μᾶλλον ἐπιθυμῶν συνουσιάσαι ἧττον ἐρᾷ· ἔδει δὲ ἀμφότερα τό τε μᾶλλον καὶ τὸ ἧττον ἅμα ἐπιδέχεσθαι καὶ μὴ ἀνὰ μέρος, εἴπερ ὁ ὁρισμὸς ὁ αὐτὸς ὀφείλει εἶναι τῷ ὁριστῷ. p. 146a13 Ἔτι εἰ δύο τινῶν προτεθέντω ν . Ἔτι εἰ δύο τινῶν προτεθέντων εἰδῶν, οἷον φλογὸς καὶ 〈φωτὸσ〉 πυρός, ἀποδοθείη τοῦ πυρὸς ὁρισμὸς σῶμα λεπτομερέστατον, ληπτέον μέρη τοῦ πυρὸς τὴν φλόγα καὶ τὸ φῶς, καὶ σκεπτέον κα θ ʼ οὗ τὸ πρᾶγμ α , ἤγουν τὸ πῦρ, μᾶλλον λέγετα ι , ὁ δὲ λόγος τοῦ πυρός, ἤγουν τὸ σῶμα λεπτομερέστατον, ἧττον. ἐν τούτοις οὖν ἡ μὲν φλὸξ μᾶλλον πῦρ λέγεται ἢ τὸ φῶς, τὸ δὲ φῶς σῶμα λεπτομερέστατον μᾶλλον ἢ ἡ φλόξ. ὥστε οὐκ ἔστιν ὁρισμὸς τὸ σῶμα τὸ λεπτομερέστατον · ἔδει γάρ, εἰ ἦν ὁρισμὸς τοῦτο τοῦ πυρός, καὶ κατʼ ἀμφοτέρων τῶν αὐτοῦ, τῆς τε φλογὸς καὶ τοῦ φωτός, καὶ τὸ ὄνομα ὁμοίως λέγεσθαι καὶ τὸν λόγον καὶ μὴ τοῦ μὲν ἧττον τοῦ δὲ μᾶλλον. p. 146a18 Πάλιν εἰ τὸ μὲν ὁμοίως ἀμφοτέροις ὑπάρχει τοῖς προτεθεῖσ ι , τὸ δὲ ἕτερον μὴ ὁμοίως ἀμφοτέροις ἀλλὰ τῷ ἑτέρῳ μᾶλλο ν . Κατὰ τοῦτο οὐκ ἂν εἴη ὁρισμὸς πυρὸς σῶμα καυστικόν· ὑπάρχει μὲν γὰρ ἀμφοτέροις, καὶ τῇ φλογὶ καὶ τῷ ἄνθρακι, ἀλλὰ τὸ μὲν πῦρ ὁμοίως, τὸ δὲ καυστικὸν οὐχ ὁμοίως· δοκεῖ γὰρ ὁ ἄνθραξ μᾶλλον καυστικὸς εἶναι διὰ τὴν πυκνότητα. p.

in Top.462 146a21 Ἔτι ἐὰν πρὸς δύ ο . Δεῖ, φησί, καὶ τοῦτο ἐν τῷ ἀποδεδομένῳ λόγῳ ζητεῖν, εἰ πρὸς δύο τὸν ὁρισμὸν ἀποδέδωκεν. ἐπεὶ δὲ τῶν πρὸς δύο ἀποδεδομένων τὸ μὲν οὕτως ἀποδεδόσθαι πρὸς αὐτὰ δύναται ὡς πρὸς ἄμφω ἅμα (ὁ γὰρ τὴν γραμματικὴν λέγων ἐπιστήμην τοῦ ἀναγινώσκειν τε καὶ γράφειν πρὸς ἄμφω ἅμα αὐτὴν ἀποδέδωκε), τὸ δὲ πρὸς δύο μὲν ἀποδίδοται, οὐ μέντοι ὡς πρὸς ἄμφω ἅμα, ἀλλʼ ὡς ἐν τούτοις τοῦ πράγματος τοῦ ὁριστοῦ ὄντος, βουλόμενος δεῖξαι πῶς πρὸς δύο τὸν ἀποδεδομένον λόγον ποιεῖται ὁ ὁριζόμενος, προσέθηκε τὸ κα θ ʼ ἑκάτερο ν , ὅ ἐστι δηλωτικὸν τοῦ μὴ πρὸς ἄμφω ἅμα· ὡς ποιεῖ ὁ τὸ καλὸν ὁριζόμενος τὸ δ ι ʼ ὄψεως ἢ δ ι ʼ ἀκοῆς ἡδ ύ . τοὺς δὴ οὕτως ὁριζομένους λέγει μὴ ἀποδιδόναι τὸν τοῦ πράγματος λόγον· ἅμα γὰρ διὰ τοῦ αὐτοῦ λόγου τὸ αὐτὸ καὶ τοῦτο καὶ οὐ τοῦτο λέγουσι καὶ καλὸν καὶ οὐ καλὸν καθʼ ἑκάτερον τῶν ἀποδοθέντων. εἰ γὰρ καλόν ἐστι τὸ διʼ ὄψεως ἡδύ, ἔστι δὲ καλὸν καὶ τὸ διʼ ἀκοῆς, ἔσται ἑκατέρῳ αὐτῶν ταὐτόν· ἀλλʼ εἰ τὸ καλὸν τοῦτο, ὅταν μὴ διʼ ὄψεως ᾖ ἡδύ, οὐκ ἔσται καλόν· τοῖς γὰρ αὐτοῖς καὶ τὰ ἀντικείμενα τὰ αὐτά · εἰ οὖν ταὐτὸν καλόν τε καὶ διʼ ὄψεως ἡδύ, ἀντίκειται δὲ τῷ μὲν καλῷ τὸ μὴ καλόν, τῷ δὲ διʼ ὄψεως ἡδεῖ τὸ μὴ ἡδὺ διʼ ὄψεως, ἔσται ταὐτὸν τὸ μὴ καλὸν τῷ μὴ διʼ ὄψεως ἡδεῖ· ἀλλὰ μὴν τὸ διʼ ἀκοῆς ἡδὺ οὐ διʼ ὄψεώς ἐστιν ἡδύ· τὸ ἄρα διʼ ἀκοῆς ἡδὺ οὐ καλόν· ἀλλʼ ὑπόκειται τὸ διʼ ἀκοῆς ἡδὺ καλόν· τὸ αὐτὸ ἄρα ἔσται καλὸν καὶ οὐ καλὸν τοῖς οὕτως ὁριζομένοις. ὁμοίως δὲ καὶ ὁ τοῦ ὄντος ἀποδιδόμενος λόγος ὁ λέγων εἶναι τὸ ὂν τὸ οἷόν τε ποιεῖν καὶ πάσχειν· τὸ αὐτὸ γὰρ ἔσται ὄν τε καὶ μὴ ὄν. εἰ γὰρ τὸ ὂν ταὐτὸν ἑκατέρῳ αὐτῶν, εἰ τὸ ὂν ταὐτὸν τῷ οἵῳ τε ποιεῖν, τὸ μὴ οἷόν τε ποιεῖν οὐκ ἔστιν ὄν· τὸ δὲ οἷόν τε πάσχειν μηκέτι δὲ ποιεῖν ἄλλο τοῦ οἵου τε ποιεῖν· ἔσται ἄρα τὸ οἷόν τε πάσχειν οὐκ ὄν, καὶ ἔσται τὸ οἷόν τε πάσχειν ταὐτὸν τῷ ὄντι καὶ μὴ ὄντι, τῷ μὲν ὄντι, ὅτι ἔκειτο τὸ ὂν καὶ ἐν τούτῳ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ δὲ μὴ ὄντι, ὅτι τὸ ἀντικείμενον τῷ οἵῳ τε ποιεῖν, ὃ ταὐτὸν ἦν τῷ ὄντι, ταὐτὸν ἔσται τῷ μὴ ὄντι.

in Top.463 ἀλλὰ καὶ αὐτὸ τὸ ποιοῦν καὶ πάσχον ἔσται ὂν καὶ οὐκ ὄν· καθόσον μὲν γὰρ οἷόν τε ποιεῖν, ὂν αὐτὸ ἐρεῖ, καθόσον δὲ οἷόν τε πάσχειν, οὐκ ὄν· ἢ ἔμπαλιν· οὐδὲν γὰρ διαφέρει. p. 146a33 Ἔτι καὶ τῶν γενῶν καὶ τῶν διαφορῶ ν . Ἔτι δεῖ, φησίν, ἀντὶ τῶν ὀνομάτων τῶν ἐν τοῖς ὅροις κειμένων, εἴτε γένη εἰσὶ ταῦτα εἴτε διαφοραί, λαμβάνειν τοὺς ὅρους αὐτῶν καὶ σκοπεῖν εἰ διαφωνοῦσιν. οἷον φυτόν ἐστι ζῷον ἐρριζωμένον ἐν τῇ γῇ· ἐπεὶ οὖν ληφθέντος τοῦ ὁρισμοῦ τοῦ ζῴου, ὃ ὡς γένος κεῖται ἐν τῷ ὅρῳ τοῦ φυτοῦ (ἔστι δ’ οὗτος τὸ οὐσία ἔμψυχος αἰσθητική), διαφωνία ἔσται τούτου πρὸς τὸ φυτόν (οὐ γάρ ἐστιν αἰσθητικὸν τὸ φυτόν), οὐκ εἴη ἂν καλῶς ἀποδεδομένος ὁ τοῦ φυτοῦ ὁρισμός, τὸ ζῷον ἐρριζωμένον ἐν γῇ. ὁμοίως καὶ ἐπὶ τῶν διαφορῶν. p. 146a36 Ἐὰν δ ’ ᾖ πρός τ ι . Τῶν πρός τι τὰ μὲν καθ’ αὑτά ἐστιν, ὡς ἐπιστήμη, αἴσθησις, διπλάσιον· καθ’ αὑτὰ γὰρ ἀποδίδονται, ἐπιστήμη μὲν πρὸς ἐπιστητόν, αἴσθησις δὲ πρὸς αἰσθητόν, καὶ ὁμοίως διπλάσιον πρὸς ἥμισυ. τὰ δὲ καθ’ αὑτὰ μὲν οὐκ ἔστι πρός τι κατὰ δὲ τὸ γένος, ὡς γεωμετρία, γραμματική· ταῦτα γὰρ κατὰ τὸ γένος, τὴν ἐπιστήμην, πρός τί ἐστι, καθ’ αὑτὰ δὲ ποιότητες, ὡς ἐν Κατηγορίαις δέδεικται. ἂν δὴ ὁριζόμενός τίς τι τῶν πρός τι μὴ ἐν τῷ ὁρισμῷ ἀποδιδῷ πρὸς ὃ λέγεται ἢ αὐτὸ τοῦτο 〈, εἰ〉 εἴη κα θ ’ αὑτὸ τῶν πρός τι, ἢ κατὰ τὸ γένο ς , εἰ κατὰ τοῦτο εἴη τῶν πρός τι, οὐκ ἂν εἴη ὁρισμός· οὐ γὰρ τὴν οὐσίαν δηλοῖ τοῦ ὁριστοῦ.

in Top.464 οἷον εἴ τις ἀποδοίη τῆς ἐπιστήμης ὁρισμὸν λέγων ‘ἐπιστήμη ἐστὶν ὑπόληψις ἀμετάπειστοσ‘, οὐ καλῶς ἀπέδωκε τὸν ὅρον· οὔτε γὰρ ὡς καθ’ αὑτὸ πρός τι ὡρίσατο τὴν ἐπιστήμην οὔτε κατὰ τὸ γένος, ἤγουν τὴν ὑπόληψιν, ὃ ἔλαβεν ἐν τῷ ὅρῳ· εἰ γὰρ ἀπεδίδοτο ἡ ὑπόληψις πρὸς ὑποληπτόν, εἶχεν ἂν ὁ ὅρος καλῶς. ὁμοίως καὶ εἴ τις εἴποι ‘βούλησίς ἐστιν ὄρεξις ἄλυποσ‘, οὐκ ἀπέδωκε καλῶς τὸν ὁρισμόν· οὔτε γὰρ πρὸς ὃ λέγεται τὸ πρᾶγμα, ἤγουν ἡ βούλησις, οὔτε πρὸς ὃ λέγεται τὸ γένος, τὴν ἐν τῷ ὅρῳ ἀπόδοσιν ἐποιήσατο. εἰ δέ τις εἴποι ‘βούλησίς ἐστιν ὄρεξις βουλητοῦ ἢ ὄρεξις ὀρεκτοῦ‘, καλῶς ἔσται ἀποδεδωκὼς τὸν ὅρον τῆς βουλήσεως· ἡ γὰρ οὐσία τῶν πρός τι τοῦτό ἐστι τὸ πρὸς ἕτερον λέγεσθαι, ἐπεὶ τὸ εἶναι καὶ ἡ οὐσία τῶν πρός τί ἐστιν ἐν τῷ ἕκαστον πρός τί πως ἔχειν ἢ πρὸς ἕτερον λέγεσθαι. ἀντὶ δὲ τοῦ εἰπεῖν ‘ὄρεξις ὀρεκτοῦ‘ εἶπεν ὄρεξις ἀγαθο ῦ , ἐπεὶ καθολικώτερόν ἐστι τὸ ὀρεκτὸν τοῦ ἀγαθοῦ· πᾶν γὰρ ἀγαθὸν ὀρεκτόν, οὐ πᾶν δὲ ὀρεκτὸν ἀγαθόν· τῷ γὰρ κλέπτῃ ὀρεκτὸν μέν ἐστι τὸ κλέπτειν, οὐκ ἀγαθὸν δέ. p. 146b6 Ὁμοίως δὲ καὶ εἰ τὴν γραμματικὴν ὡρίσατο ἐπιστήμην γραμμάτω ν . Ὁ οὕτως ὁριζόμενος οὐχ ὁρίζεται αὐτήν, ἐπειδὴ οὐκ ἀποδέδοται ἐν τῷ ὅρῳ πρὸς ὃ ἡ ἐπιστήμη τὸ εἶναι ἔχει· ἔστι δὲ τὸ ἐπιστητόν· οὐκ ἔστι δὲ ταὐτὸν τὸ γραμμάτων τῷ ‘ἐπιστητοῦ‘. διὸ ἔδει ἐν τῷ ὅρῳ κεῖσθαι ‘ἐπιστητοῦ‘· αὐτὴ μὲν γὰρ ἡ γραμματικὴ οὐ λέγεται πρός τι, οὐδέ ἐστιν αὐτῆς τὸ εἶναι τὸ γραμμάτων εἶναι. διὸ τοῦτο μὲν οὐκ ἔδει ἐν τῷ λόγῳ εἰπεῖν· ἐπεὶ δὲ κατὰ γένος ἐστὶ πρός τι, πρὸς ὃ τὸ γένος αὐτῆς λέγεται, τοῦτο ἔδει ἀποδιδόναι. ἔδει γὰρ ἢ πρὸς ὃ αὐτὸ λέγεται ἢ πρὸς ὃ τὸ γένος · ἡ δὲ γραμματικὴ οὔτε πρός τί ἐστι καθ’ αὑτὴν οὔτε γραμμάτων ἐστὶν ἐπιστήμη, ἀλλὰ τοῦ ἀναγινώσκειν καὶ γράφειν. τὸ δ’ ἔδει γὰρ ἢ πρὸς ὃ αὐτὸ λέγεται ἢ πρὸς ὃ τὸ γένος ἐν τῷ ὁρισμῷ ἀποδίδοσθαι εἴη ἂν εἰρημένον, ὅτι τῶν πρός τι τὰ μὲν καθ’ αὑτά ἐστι πρός τι, πρὸς ἃ δεῖ ἀποδίδοσθαι· ὁ γὰρ λέγων τὴν ἐπιστήμην ὑπόληψιν ἐπιστητῶν οὐ πρὸς ὃ ἡ ὑπόληψις λέγεται, ὃ γένος ἔλαβε τῆς ἐπιστήμης, ἐν τῷ ὅρῳ τέθεικεν, ἀλλὰ πρὸς ὃ ἡ ἐπιστήμη· καθ’ αὑτὴν γὰρ ἡ ἐπιστήμη πρός τι.

in Top.465 ὁ δὲ τὴν γραμματικὴν λέγων ἐπιστήμην ἐπιστητῶν τοιούτων, πρὸς ὃ τὸ γένος λέγεται τοῦ ὁριζομένου, τοῦτο ἔλαβεν, ἐπειδὴ καὶ τὸ ὁριστόν, ἡ γραμματική, κατὰ τὸ γένος πρός τι. p. 146b9 Ἢ εἰ πρός τι εἰρημένον μὴ πρὸς τὸ τέλο ς . Οὐδὲ τούτους φησὶν ὁρίζεσθαι, ὅσοι τοῦ ὁριστοῦ πρός τι ὄντος καὶ λεγομένου πρὸς δύο, ὧν τὸ ἕτερον ἐπὶ τὸ ἕτερον τὴν ἀναφορὰν ἔχει,

καὶ ἔστι τὸ μὲν ὡς τέλος τὸ δὲ ὡς πρὸς τὸ τέλος, μὴ πρὸς τὸ τέλος ἀλλὰ πρός τι τῶν πρὸς τὸ τέλος ἀποδιδόασι· δεῖ γὰρ ἀεὶ πρὸς τὸ βέλτιστον τῶν πρὸς ἃ λέγεται ἀποδιδόναι (ἕκαστον γὰρ κατὰ τὸ βέλτιστον τῶν ἐν αὐτῷ μάλιστά ἐστιν) ἢ πρὸς τὸ ἔσχατο ν . οἷον εἴ τις εἴποι ὅτι ἐπιθυμία ἐστὶν ὄρεξις ἡδέο ς , οὐ καλῶς ὡρίσατο· οὐ γὰρ τὸ ἡδὺ τέλος τῆς ἐπιθυμίας ἀλλά τι τῶν πρὸς τὸ τέλος· τέλος γὰρ τῆς ἐπιθυμίας ἡ ἡδονή· διὰ γὰρ ταύτην καὶ τὸ ἡδὺ αἱρούμεθ α . ἔδει οὖν εἰπεῖν ὅτι ἐπιθυμία ἐστὶν ὄρεξις ἡδονῆς · αὕτη γὰρ τέλος. p. 146b13 Σκοπεῖν δὲ καὶ εἰ γένεσι ς . Σκοπεῖν δὲ δεῖ, φησί, καὶ εἰ γένεσίς ἐστιν ἢ ἐνέργεια ἢ κίνησις πρὸς ὃ ἀπεδόθη ὁ ὁρισμός· οὔτε γὰρ ἡ γένεσις ἢ ἡ ἐνέργεια ἢ ἡ κίνησις τέλη εἰσί, διότι ἡ μὲν γίνεται, ἡ δὲ ἐνεργεῖται, ἡ δὲ κινεῖται, οὐδὲν δὲ τούτων τέλος ἐστίν. οἷον εἴ τις εἴποι ὅτι λευκόν ἐστι σῶμα πρὸς λεύκανσιν κινούμενον· ἐπειδὴ γὰρ κινεῖται καὶ οὔπω εἰς πέρας κατήντησε καὶ ἤδη λευκὸν γέγονεν, οὐ καλῶς ἀπεδόθη ὁ ὁρισμός, ἐπεὶ οὐ τὸ τέλος ἔλαβεν. ἢ πάλιν λευκόν ἐστι χρῶμα ἀπὸ μελανίας ἀφιστάμενον· καὶ οὗτος γὰρ ὁ ὁρισμὸς οὐκ ἔχει καλῶς· οὐ γὰρ ἡ ἀπὸ μελανίας ἀπόστασις τὸ πέρας ἐδήλωσεν. ὁμοίως οὖν καὶ ἐπὶ τῶν λοιπῶν, γενέσεως καὶ ἐνεργείας· τὸ γὰρ γεγενῆσθαι καὶ ἐνηργηκέναι τέλη μᾶλλόν εἰσιν ἢ τὸ γίνεσθαι καὶ ἐνεργεῖ ν .

in Top.466 ἐπὶ τούτοις κομίζει ἔνστασιν πρὸς τὸν τόπον καὶ δείκνυσι μὴ ἀληθῆ ὄντα ἐπὶ πάντων · φησὶ γὰρ ἐπὶ τοῦ ἥδεσθαι τοὺς πλείστους τὸ ἐνεργεῖν μᾶλλον βούλεσθαι ἢ τὸ ἐνηργηκέναι, τουτέστι τὸ πεπαῦσθα ι , ὥστε ἐπὶ τούτου τὸ ἐνεργεῖν μᾶλλον εἴη ἂν τέλος, οὐ τὸ ἐνηργηκέναι. p. 146b20 Πάλιν ἐ π ’ ἐνίων εἰ μὴ διώρικε ν . Ἐπεὶ γίνονταί τινες ἁμαρτίαι ἐν τοῖς ὁρισμοῖς καὶ παρ’ ἔλλειψιν, νῦν παραδίδωσι τόπον, πῶς φωρᾶν τοὺς οὕτως ἁμαρτάνοντας δυνησόμεθα. ἐπεὶ γὰρ ἔνια τῶν ὄντων τοιαῦτά ἐστιν οὐ τῷ ἁπλῶς ἔν τινι εἶναι ἀλλὰ τῷ ἐν ποσότητι ἢ ποιότητι ἢ τόπῳ ἤ τινι τοιαύτῃ διαφορᾷ, ὁ τῶν μετὰ τοιαύτης διαφορᾶς ὄντων τι χωρὶς τῆς διαφορᾶς ὁριζόμενος οὐχ ὁρίζεται. οἷον εἰ εἴποι τις ‘ φιλότιμός ἐστιν ὁ τιμῆς ὀρεγόμενοσ‘, μὴ προσθεὶς ποίας, οἷον παρὰ βασιλέως ἢ παρὰ μεγιστάνων, μηδὲ πόσης, οἷον μείζονος ἢ τῆς τυχούσης, μηδὲ ποῦ, οἷον ἐν βουλευτηρίῳ ἢ ἐν ἀγορᾷ, μηδ’ ἄλλην τῶν τοιούτων διαφορῶν, οὐκ ἀποδίδωσι τὸν ὁρισμὸν ἐντελῆ. καὶ ἐπὶ τούτῳ τίθησι καὶ ἕτερα παραδείγματα, ἅπερ ὡς σαφῆ καταλείπομεν. πῶς δέ ἐστιν ὁ τῆς νυκτὸς ὁρισμός, ὁ λέγων ὅτι νύξ ἐστι σκιὰ γῆ ς , ἐλλιπής; ὅτι καὶ σκιᾶς γινομένης ὑπὸ δένδρου ἢ ὄρους μεγίστου νὺξ οὐκ ἔστιν, ὅτι μὴ ἡ τυχοῦσα καὶ ὡς ἔτυχε γινομένη σκιὰ γῆς νύξ ἐστιν ἀλλ’ ἡ γινομένη παρὰ τὴν τοῦ ἡλίου αἰτίαν, τῷ εἶναι αὐτὸν ἐν τῷ ὑπὸ γῆν, ὡς πρὸς τούτους παρ’ οἷς ἐστιν ἡ νύξ, ἡμισφαιρίῳ. ἔδει δὴ προσκεῖσθαι τῷ ὅρῳ ‘τοῦ ἡλίου διαμετροῦντος τῇ σκιᾷ‘. καὶ ὁ τοῦ σεισμοῦ δὲ ὅρος ὡσαύτως· ἔδει γὰρ προσκεῖσθαι τὸ ‘ἐκ πνεύματος βιαίου ἐνσχεθέντος τοῖς κοιλώμασι τῆς γῆς καὶ ζητοῦντος διέξοδον‘· πολλάκις γάρ τινων ὀρυσσόντων γῆν καὶ τὴν δίκελλαν σφοδρότερον καθιέντων διὰ τὸ ἐντετυχηκέναι σκληροτέρᾳ γῇ ἢ λίθου βαρέος ἀπὸ ὕψους πεσόντος κλόνος τις βραχύτατος τῶν περὶ αὐτὰ γίνεται. τῷ δὲ τῆς νεφέλης ὁρισμῷ, ὅτι πύκνωσις ἀέρο ς , ἔδει προσκεῖσθαι τὸ τοιάδε, ἤγουν σφοδρά. τῷ δὲ ὁρισμῷ τοῦ πνεύματος, ὅτι κίνησις ἀέρο ς , τὸ ἐξ ἀναθυμιάσεως τῆς γῆς. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. διὰ τοῦτο δεῖ, φησίν, ὁρᾶν τὸν ὁρισμόν, [καὶ] εἴ τι παραλέλειπται ἐν αὐτῷ, εἶτα ἐπιχειρεῖν ἀπὸ τοῦ ἐνδεοῦς.

in Top.467 οὐδὲ γὰρ ὁπωσοῦν κινηθείσης τῆς γῆς οὐδὲ μικροῦ μορίου τῆς γῆς κινηθέντος σεισμὸς ἔσται· δεῖ οὖν προσθεῖναι τὸ πόσης, ἤγουν ὅλης ἢ ἀξιολογωτάτου μέρους τινός. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν. p. 146b36 Ἔτι ἐπὶ τῶν ὀρέξεω ν . Ὁ τόπος κοινός ἐστι παντὸς οὗ ἐν τῷ ὁρισμῷ ὡς γένος ἡ ὄρεξις παραλαμβάνεται· γένος δὲ ἡ ὄρεξις καὶ βουλήσεως καὶ ἐπιθυμίας καὶ θυμοῦ. λέγει δὲ τοὺς ἐν τοῖς τούτων λόγοις τῇ ὀρέξει τοῦ τινὸς μὴ προστιθέντας τὸ φαινόμενον μὴ ὁρίζεσθαι. προσέθηκε δὲ τὸ καὶ ἐ φ ’ ὅσων ἄλλων ἁρμόττε ι , ἐπεὶ τὸ φαίνεσθαι καὶ ἄλλοις τισὶ προστίθεται, οὐ μόνον ταῖς ὀρέξεσι· τὸν γοῦν σοφιστικὸν συλλογισμὸν λέγομεν εἶναι τὸν ἐκ φαινομένων ἐνδόξων. εἰ οὖν τις εἴποι, φησίν, ὅτι βούλησίς ἐστιν ὄρεξις ἀγαθοῦ ἢ ἐπιθυμία

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄρεξις ἡδέο ς , μὴ προσθεὶς τὸ φαινομένου ἀγαθοῦ ἢ τὸ φαινομένου ἡδέο ς , οὐ καλῶς ὡρίσατο, διότι οὐ πᾶν ὀρεκτὸν ἀγαθὸν ἢ ἡδύ ἐστιν· ἐπεὶ τῷ κλέπτῃ ὀρεκτὸν μέν ἐστι τὸ κλέπτειν, οὐκ ἀγαθὸν δέ. πολλάκις γά ρ , φησί, λανθάνει τοὺς ὀρεγομένους καὶ δοκεῖ αὐτοῖς ἀγαθὸν εἶναι ἐκεῖνο οὗ ὀρέγονται, οὐκ ἔστι δὲ ἀγαθόν· ὁμοίως οὐδὲ ἡδύ· ὥστε οὐκ ἐξ ἀνάγκης πᾶν τὸ ὀρεκτὸν ἀγαθὸν ἢ ἡδὺ ἁπλῶς λέγεται, ἀλλὰ φαινόμενο ν . Εἰπὼν δὲ ταῦτα προσέθηκε τὸ δεῖν πάλιν τοὺς τῇ ὀρέξει προστιθέντας τὸ φαίνεσθαι ἐν τοῖς τῶν προειρημένων ὅροις ἐλέγχειν ὡς οὐ καλῶς ὁρισαμένους, ἄγοντας ἐπὶ τὰς ἰδέας καὶ μεταφέροντας ἐπ' ἐκείνας τοὺς ἀποδιδομένους λόγους. ἡ γὰρ ἰδέα πρὸς ἰδέαν λέγεται· οὐχ οἷόν τε δὲ τὸ αὐτοαγαθὸν φαινόμενον εἶναι ἀγαθόν· οὐδὲν γὰρ ἐν τῇ ἰδέᾳ φαινόμενον. p. 147a12 Ἔτι ἐὰν μὲν ᾖ τῆς ἕξεως ὁρισμό ς . Ὁ τόπος ἀπὸ τῶν συστοίχων ἐστὶ καὶ ἀπὸ τῶν ἐναντίων. ἐπεὶ γὰρ τὰ μὲν σύστοιχα ἀλλήλοις ὄντα ὁμοίως ἔχει, τὰ δὲ ἐναντία ἐναντίως, δεῖν φησιν ἀποδοθέντος ὁρισμοῦ τινος μεταφέρειν τὸν ἀποδοθέντα ὁρισμὸν ἐπὶ τὰ σύστοιχα, δηλονότι ἁρμόζοντα κατὰ τὴν λέξιν ἑκάστῳ αὐτῶν οἰκείως τὸν ἀποδοθέντα ὁρισμόν, κἂν ἐπί τινος διαφωνῇ, ἀνασκευάζειν τὸν ὁρισμὸν ὡς μὴ ὄντα ἐκείνου οὗ ἀπεδόθη.

in Top.468 ἐν γὰρ τοῖς τοιούτοι ς , φησίν, ὁρισμοῖς τρόπον τινὰ πλείω ἑνὸς συμβαίνει τὸν ὁριζόμενον ὁρίζεσθαι · καὶ γὰρ τὰ σύστοιχα καὶ τὰ ἐναντία καὶ τὰ τοῖς συστοίχοις ἐναντία καὶ τὰ τοῖς ἐναντίοις σύστοιχα· ὥστ', εἰ ἐφ' ἑνὸς διαφωνεῖ, ἀνασκευάζοιτο ἂν ὁ ἀποδιδόμενος λόγος. διὸ σκοπεῖν φησι δεῖν ἐπὶ τούτων στοιχείοις καὶ τόποις χρώμενον πρὸς τὴν τῶν εἰρημένων δεῖξιν τοῖς ἐκ τῶν ἐναντίων καὶ τοῖς ἐκ τῶν συστοίχω ν , τοῖς μὲν ἐκ τῶν ἐναντίων, ὅτι, εἰ τῷ ἐναντίῳ τὸ ἐναντίον, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ, τοῖς δὲ ἐκ τῶν συστοίχων, ὅτι, ὡς ἂν ἐφ' ἑνὸς ἔχῃ τῶν συστοίχων, οὕτως καὶ ἐπὶ τῶν λοιπῶν. p. 147a23 Ἔτι ἐπὶ τῶν πρός τ ι . Δεῖν φησιν ἐπὶ τῶν πρός τι σκοπεῖ ν , εἰ πρὸς ὃ γένος τὸ γένος ἀποδίδοτα ι , καὶ τὸ εἶδος πρὸς τὸ εἶδος. οἷον ἐπεὶ γένος μὲν ἡ ὑπόληψι ς , εἶδος δὲ αὐτῆς ἡ τὶς ὑπόληψι ς , καὶ πάλιν γένος μὲν τὸ ὑποληπτό ν , εἶδος δὲ τὸ τὶ ὑποληπτό ν , φανερὸν ὅτι, εἰ τὸ γένος, ἡ ὑπόληψις, πρὸς εἶδος τὸ ὑποληπτὸν ἀποδίδοται, καὶ ἡ τὶς ὑπόληψις εἶδος οὖσα πρὸς εἶδος τὸ τὶ ὑποληπτὸν ἀποδοθήσεται· εἰ δὲ μὴ ἐκεῖνο πρὸς ἐκεῖνο, οὐδὲ τοῦτο πρὸς τοῦτο. ὁμοίως, φησί, καὶ εἰ τὸ πολλαπλάσιον πρὸς τὸ πολλοστημόριο ν , καὶ τὸ τὶ πολλαπλάσιον πρὸς τὸ τὶ πολλοστημόριον · γένη γὰρ τὸ πολλαπλάσιον καὶ τὸ πολλοστημόριον, καὶ εἴδη τὸ τὶ πολλαπλάσιον καὶ τὸ τὶ πολλοστημόριον. p. 147a29 Ὁρᾶν δὲ καὶ εἰ τοῦ ἀντικειμένο υ . Δεῖν φησιν εἰδέναι, ὅτι εἰ μὴ καταλλήλως τὰ τῶν πρός τι γένη καὶ εἴδη τις ὁρίσαιτο, ἡμάρτηκε.

in Top.469 διὸ δεῖν φησιν ἐπισκοπεῖν εἰ ὁ ἀντικείμενος τῷ ἀποδεδομένῳ λόγος τοῦ ἀντικειμένου αὐτῷ ἐστιν ὁρισμός. ἀντικείμενα δὲ νῦν τὰ πρός τι καλεῖ. καὶ ἐπὶ τῶν ἐναντίων ὡσαύτως · εἴρηκε γὰρ ὅτι ὁ ἐναντίος τοῦ ἐναντίου λόγος ἔστα ι . p. 147a33 Κατὰ μίαν τινὰ συμπλοκὴν τῶν ἐναντίω ν . Ἐπεὶ κατὰ πολλοὺς τρόπους τὰ ἐναντία λαμβάνεται ἐν ταῖς συμπλοκαῖς, ἀξιοῖ ζητεῖν πάσας προχειριζόμενον, εἴ τις τῶν συμπλοκῶν τῶν ποιουσῶν τὴν ἐναντίωσιν ἁρμόζει τῷ ἐναντίῳ τούτου οὗ ὁ ὁρισμὸς ἀποδέδοται. ἡ δὲ συμπλοκὴ τῶν ἐναντίων ὅτι πλεοναχῶς λέγεται, ἐδείχθη ἐν τῷ δευτέρῳ βιβλίῳ τῆς παρούσης πραγματείας· "τῷ γὰρ τοὺς φίλους εὖ ποιεῖν ἐναντίον καὶ τὸ τοὺς φίλους κακῶς ποιεῖν καὶ τὸ τοὺς ἐχθροὺς εὖ". δεῖ οὖν, φησί, τὸν ἐναντίον λόγον τῷ ἀποδοθέντι ὁρισμῷ [τοῦ ἐναντίου] ἐφαρμόζειν τῷ ἐναντίῳ τοῦ ὁριστοῦ καθ' ὁποιανοῦν συμπλοκήν. p. 147a34 〈Οἷον εἰ ὠφέλιμον τὸ ποιητικὸν ἀγαθο ῦ .〉 Ὅτι τῷ τοῦ ἀγαθοῦ ποιητικῷ ἐναντίον ἢ τὸ ποιητικὸν κακοῦ ἢ τὸ φθαρτικὸν ἀγαθο ῦ . τοῦτο μὲν οὖν ὡς παράδειγμα κεῖται τοῦ μὴ μίαν εἶναι τὴν τῶν ἐναντίων συμπλοκήν. τοῦ δὲ τόπου παράδειγμα τίθησι τὸ διπλάσιον καὶ τὸ ἥμισυ, λέγων 'εἰ τὸ διπλάσιον τῷ ἡμίσει ἀντίκειται, καὶ ὁ τοῦ διπλασίου λόγος τῷ τοῦ ἡμίσεος ἀντικείσεται λόγῳ'. ἔστι δὲ διπλασίου μὲν λόγος τὸ ἐν ἴσῳ ὑπερέχει ν , ἡμίσεος δὲ τὸ ἐν ἴσῳ ὑπερέχεσθαι · καὶ φανερὸν ὅτι καὶ οἱ λόγοι ἀντίκεινται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡσαύτως δ έ , φησί, καὶ ἐπὶ τῶν ἐναντίων · εἰ μὲν γὰρ μηδὲν τῶν ὑστέρων ἐναντίων τῷ ἐξ ἀρχῆς ῥηθέντι ἐναντίον, οὐδ’ ὁ ἐξ ἀρχῆς ἀποδοθεὶς λόγος εἴη ἂν καλῶς ἀποδεδομένος. p.

in Top.470 147b4 Ἐπεὶ δ ’ ἔνια τῶν ἐναντίων στερήσει θατέρου λέγετα ι . Ὅτι ἐπὶ τῶν κατὰ στέρησιν ἐναντίων τὸ μὲν κατὰ στέρησιν λεγόμενον ἀναγκαῖον ὁρίζεσθαι διὰ θατέρο υ , τὸ δὲ λοιπὸν οὐκέτι 〈δεῖ〉 διὰ τοῦ κατὰ στέρησιν λεγομένου ὁρίζεσθα ι . [συμβαίνει γὰρ τὸν οὕτως ὁριζόμενον αὐτῷ τῷ ὁριστῷ χρῆσθαι ἐν τῷ ὁρισμῷ. οἷον ἄνισον μὲν τὸ μὴ ἴσον ῥηθήσεται· οὐκέτι δὲ καὶ ἴσον τὸ μὴ ἄνισον. διό, φησί, προσεκτέον τὴν τῶν οὕτως ὁριζομένων ἁμαρτίαν, ἤγουν εἴ τις ὁρίσαιτο τὴν ἰσότητα μὴ ἀνισότητα εἶναι· οὐ γὰρ καλῶς ἀπέδωκε τὸν ὁρισμόν, τὸ καθ’ ἕξιν λεγόμενον, ὅ ἐστι τὴν ἰσότητα, διὰ τοῦ κατὰ στέρησιν λεγομένου, τουτέστι τῆς μὴ ἀνισότητος, ὁρισάμενος. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἔτι φησὶ τὸν οὕτως ὁριζόμενο ν , ἤγουν διὰ τοῦ κατὰ στέρησιν λεγομένου τὸ καθ’ ἕξιν.] ἀναγκαῖον γὰρ τὸν οὕτως ὁριζόμενον αὐτῷ τῷ ὁριζομένῳ χρῆσθαι ἐν τῷ ὁρισμῷ. δῆλον δὲ τοῦτο, ἂν μεταληφθῇ ἀντὶ τοῦ ὀνόματος λόγος · ἐπειδὴ γὰρ ἡ ἀνισότης στέρησις ἰσότητός ἐστιν, ἔσται ἰσότης τὸ ἐναντίον στερήσει ἰσότητο ς , ὥστε αὐτῷ ἂν εἴη κεχρημένο ς . ὅτι δὲ τοῦτο μοχθηρόν, πρόδηλον· ἔσται γὰρ αὐτὸ δι’ ἑαυτοῦ ὁριζόμενον· ἔτι τε ὅπερ ὡς ἄγνωστον ὁρίζεται, τούτῳ ἤδη γνωρίμῳ χρῆται. Ἂν δὲ μηδέτερον τῶν ἐναντίων κατὰ στέρησιν λέγητα ι , δεῖ μηδέτερον αὐτῶν διὰ τοῦ ἑτέρου ὁρίζεσθαι. εἰ γὰρ τῶν οὕτω λεγομένων ἐναντίων τὸ ἕτερον διὰ τοῦ ἑτέρου ὁρίσαιτό τις, πάντως ὁμοίως καὶ τὸ ἕτερον διὰ τοῦ ἑτέρου ἀποδώσει· τί γὰρ μᾶλλον τὸ ἀγαθὸν διὰ τοῦ κακοῦ ἢ τὸ κακὸν διὰ τοῦ ἀγαθοῦ ἀποδώσει; οὐ γάρ ἐστι διαφορὰ ὥσπερ ἐπὶ τῶν κατὰ στέρησιν καὶ ἕξιν ἀντικειμένων, ἀλλ’ ἔστιν ὅμοιον τὸ ἀγαθὸν εἰπεῖν τὸ ἐναντίον κακῷ καὶ κακὸν τὸ ἐναντίον ἀγαθῷ · τῶν γὰρ οὕτως λεγομένων ἐναντίων καὶ μὴ ἐχόντων τὸ ἕτερον στερητικὸν ὁ λόγος ὁμοίως ἀποδίδοται.

in Top.471 ἀλλὰ μὴν τούτου γινομένου συμβαίνει τὸ προειρημένον, τὸ χρῆσθαι αὐτῷ τῷ ὁριστῷ ἐν τῷ ὁρισμῷ αὐτοῦ· εἰ γάρ τις λέγοι ἀγαθὸν τὸ ἐναντίον κακ ῷ , ἐπεὶ ἐνυπάρχει τῷ τοῦ κακοῦ λόγῳ τὸ ἀγαθόν (ἔστι γὰρ κακὸν τὸ ἐναντίον ἀγαθ ῷ) , μεταληφθέντος τοῦ κακοῦ εἰς τὸν οἰκεῖον λόγον ἔσται ἀγαθὸν τὸ ἐναντίον τῷ τοῦ ἀγαθοῦ ἐναντί ῳ . δῆλον οὖν ὅτι αὐτῷ κέχρητα ι . p. 147b26 Ἔτι εἰ τὸ κατὰ στέρησι ν . Παραδοὺς ἀπὸ τῶν κατὰ πρός τι ἀντικειμένων τόπους καὶ ἀπὸ τῶν ἐναντίων, τῶν τε ἁπλῶς ἐναντίων καὶ ὡς κατὰ στέρησιν ἀντικειμένων, εἰπών τε ἐν τοῖς πρὸ τούτων, ὅτι τὰ κατὰ στέρησιν λεγόμενα ὁρίζεσθαι δεῖ διὰ τούτων ὧν ἐστερῆσθαι λέγεται, ἄν τε ὦσι στερήσεις ἄν τε ἐναντία στερητικῶς λεγόμενα, νῦν φησιν, ὅτι εἰ τὸ κατὰ στέρησιν λεγόμενον ὁριζόμενός τις μὴ παραλάβοι ἐν τῷ ὁρισμῷ τοῦτο οὗ ἐστιν ἐν στερήσει τὸ ὁριστόν, οὐχ ὁρίζεται ὀρθῶς. ἀλλὰ κἂν τοῦτο μὲν θῇ, μὴ προσθῇ δὲ τὸ ἐν ᾧ πέφυκε γίνεσθα ι , ἢ ἁπλῶς ἢ ἐν ᾧ πρώτω ς , οὐδ’ οὕτως ὡρίσατο· ἡ γὰρ στέρησίς ἐστι τινός τε καὶ ἔν τινι, ἀλλὰ καὶ ποτέ (ὅτε γὰρ πέφυκεν), εἰ τὴν κυρίως στέρησιν λαμβάνει. δεῖν γάρ φησι τὸν καλῶς ὁριζόμενον τὸ τί ἐστι καὶ τίνος ἐστὶν ἡ στέρησις ἀποδοῦναι καὶ ἐν τίνι γίνεται· τοῦτο γάρ ἐστι καὶ τί ἐστι τὸ ἐστερημένον · ἐπὶ μὲν γὰρ τῆς ἀγνοίας τὸ λογικὸν μέρος τῆς ψυχῆς ἐστι τὸ ἐστερημένον, ἐπὶ δὲ τῆς τυφλότητος ὁ ὀφθαλμός. p.

in Top.472 148a3 Ὁρᾶν δὲ καὶ εἰ μὴ λεγομένο υ . Ἔτι, φησίν, ἁμαρτάνει καὶ ὁ τὸ μὴ στερητικὸν ὡς στερητικὸν ὁριζόμενος. διὸ δόξει μὴ ὀρθῶς ὁ τῆς ἀγνοίας ἀποδίδοσθαι ὁρισμός, εἴ τις αὐτὴν στέρησιν λέγοι ἐπιστήμης· ὅσοι γὰρ τὴν ἄγνοιαν μὴ κατὰ ἀπόφασιν λέγουσιν μηδὲ λέγουσιν ἁπλῶς τὸ μὴ γινώσκειν ἀγνοεῖν (μήτε γὰρ τὸν τοῖχον ἀγνοεῖν μήτε τὰ παιδία, ἀλλὰ ταῦτα μὲν μὴ γινώσκειν, ἀγνοεῖν δὲ τοὺς διάθεσίν τινα ἠπατημένην καὶ μοχθηρὰν ἔχοντας), τούτους φησὶ τὴν ἄγνοιαν ἕξιν τινὰ μοχθηρὰν καὶ ἠπατημένην λέγειν ἀλλ’ οὐ γνώσεως στέρησιν. ἁμαρτάνοι ἂν οὕτως καὶ ὁ τὴν ἀθανασίαν ὁριζόμενος στέρησιν θανάτου· οὐ γὰρ στέρησις θανάτου ἡ ἀθανασία, ἀλλ’ ἕξις καὶ διάθεσις. p. 148a10 Ἔτι εἰ τῶν ὁμοίων τοῦ ὀνόματος πτώσεω ν . Οὗτος ὁ τόπος σχεδὸν ὁ αὐτός ἐστι τῷ τεσσαροκοστῷ ἐννάτῳ· καὶ γὰρ ἀξιοῖ νῦν ὅτι ταῖς πτώσεσι τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁριστοῦ τὰς πτώσεις τοῦ ὁρισμοῦ ἐφαρμόζειν δεῖ· εἰ γὰρ μὴ ἐφαρμόζουσιν, οὐκ ἂν εἴη καλῶς ἀποδεδομένος ὁ ὁρισμός. σαφὲς δὲ ποιεῖ τοῦτο διὰ τοῦ παραδείγματος. p. 148a14 Σκοπεῖν δὲ καὶ ἐπὶ τὴν ἰδέα ν . Οὗτος ὁ τόπος πρὸς τοὺς ἰδέας τιθεμένους καὶ λέγοντας ἐκείνων εἶναι τοὺς ὁρισμούς· ἐὰν γὰρ ὁ ἀποδεδομένος λόγος τινὸς μὴ ἁρμόζῃ τῇ ἰδέᾳ τῇ κατ' ἐκεῖνο, οὐκ ἂν εἴη καλῶς ἀποδεδομένος. οἷον ἐὰν λέγῃ τις τὸν ἄνθρωπον ζῷον λογικὸν θνητόν, οὐ καλῶς ὁρίζεται διὰ τὸ μὴ δύνασθαι τοῦ αὐτοανθρώπου, τῆς ἰδέας, τοῦτον εἶναι ὅρον· οὐ γὰρ ἐμπαθὲς οὐδὲ θνητὸν ἐκεῖνο.

in Top.473 καὶ καθόλου ἐν οἷς λόγοις πρόσκειται ποιητικόν τι ἢ παθητικό ν , οὗτοι οὐχ ἁρμόζουσιν ἐπὶ τῶν ἰδεῶν· ἀκίνητοι γὰρ αἱ ἰδέαι καὶ ἀίδιοι οὐσίαι. τὸ δὲ πρὸς τούτοις δὲ καὶ οἱ τοιοῦτοι λόγοι χρήσιμοι λέγοιτ' ἂν ἤτοι περὶ τῶν ἐφεξῆς λεγομένων τόπων ἢ περὶ τῶν πρὸς τὰς ἰδέας εἰρημένων, καὶ εἴη ἂν ἴσως ἡ γραφὴ ἀντὶ τοῦ 'πρὸς τούτους οἱ λόγοι χρήσιμοι'. τὸ δὲ λέγειν καὶ τὸν αὐτοάνθρωπον θνητὸν εἶναι, οὐ τῷ ἀποθνήσκειν ἀλλὰ τῷ λόγῳ εἶναι θνητόν, καθ' ὃν τὰ θνητὰ τοιαῦτά ἐστιν, οὐκ οὐσίας ἐστὶ ποιούντων τὰς ἰδέας αὐτὰς καθ' αὑτὰς πρώτας τε καὶ ἀιδίους, ἀλλὰ τοὺς λόγους τε καὶ ὁρισμοὺς τῶν τῇδε ποιούντων ἰδέας. p. 148a23 Ἔτι εἰ τῶν κα θ ' ὁμωνυμία ν . Ἄν τις, φησί, ὁμωνύμως τινῶν λεγομένων ἕνα κοινὸν λόγον ἀποδῷ, δῆλον ὡς ἁμαρτάνει· ποιεῖ γὰρ αὐτὰ ὡς συνώνυμα. οὐδενὸς γὰρ ἔσται τῶν ὑπὸ τὸ ὄνομα ὁ τοιοῦτος λόγος ὁρισμός, τῷ ἐκείνων μὲν διαφέροντας εἶναι τοὺς ὁρισμοὺς τοῦτον δὲ πᾶσιν αὐτοῖς δοκεῖν ὁμοίως ἐφαρμόζειν. ἐπιζητήσειε δ' ἄν τις πῶς οἷόν τε ἐφαρμόζειν πᾶσι τοῖς ὁμωνύμοις ἕνα λόγον κοινόν· οὐκέτι γὰρ μενεῖ ὁμώνυμα, εἰ καὶ ὀνόματος καὶ κοινοῦ τινος κοινωνεῖ λόγου. ἢ εἰ μὲν οὐσίαν τινὰ μίαν καὶ φύσιν πράγματος δηλῶν ὁ λόγος οὗτος ἅπασιν ἐφαρμόζοι, οὐκέτ' ἂν ὁμώνυμα εἴη· εἰ δὲ κοινά τινα συμβεβηκότα αὐτοῖς ἔχοι συγκείμενα, οὐκέτ' ἂν οὗτος οὔτε ὁρισμὸς εἴη οὔτε ἀναιροίη τὴν ὁμωνυμίαν αὐτῶν. εἶπε δὲ ὅτι ἐνδέχεται μὲν οὖν καὶ κατὰ προαίρεσιν οὕτως ἀποδοῦνα ι , τουτέστιν ὅτι εἴτε κατὰ προαίρεσιν ὡς συνωνύμου τοῦ ὁμωνύμου ἕνα λόγον ἀποδοίη πᾶσιν ἐφαρμόζοντα, εἴτε συνορῶν τὴν ὁμωνυμίαν καὶ βουλόμενος ἑνός τινος τῶν ὑπὸ τὸ κοινὸν ὄνομα ὁρισμὸν ἀποδοῦναι λάθοι μὴ ἴδιον ἀλλὰ κοινὸν ἀποδιδοὺς ὡς πᾶσιν ὁμοίως ἐφαρμόζειν τοῖς ὑπὸ τὸ ὄνομα, ὁμοίως ἁμαρτάνει· ὁποτέρως γὰρ ἂν ᾖ γινόμενον τοῦτο, ἁμάρτημά ἐστιν.

in Top.474 p. 148a37 Ἐπεὶ δ ' ἔνια λανθάνε ι . Ἐπεὶ δέ, φησί, τινὰ τῶν ὁμωνύμων οὐκ ἔστι γνώριμα, πότερόν ἐστιν ὁμώνυμα ἢ συνώνυμα, ἐρωτῶντας μέν, φησί, καὶ ἐλέγχειν βουλομένους δεῖ ὡς περὶ συνωνύμων αὐτῶν τὸν λόγον ποιεῖσθαι καὶ δεικνύναι ὅτι ὁ ἀποδιδόμενος λόγος οὐκ ἐφαρμόζει πᾶσιν αὐτοῖς ὡς οὖσι μιᾶς φύσεως καὶ ὁμοειδέσιν, εἰ δηλονότι τοιοῦτος εἴη ὁ ἀποδιδόμενος λόγος· ἀποκρινομένους δὲ διαιρεῖσθαι χρὴ καὶ δεικνύναι τὴν τῶν σημαινομένων κοινωνίαν οὖσαν μόνον κατὰ τοὔνομα, διὸ οὐδ' ὁ ἀποδοθεὶς λόγος πάντων κοινὸς ἀπεδόθη. οἷον εἴ τις ὁρισμὸν κινήσεως εἴη ἀποδεδωκὼς ὅτι μεταβολή ἐστι κατὰ τόπον, ἐπεὶ κίνησίς ἐστι καὶ ἡ ἀλλοίωσις, δεικνύναι χρὴ ὅτι μὴ ἐφαρμόζει ταύτῃ ὁ ἀποδεδομένος λόγος τῆς κινήσεως 〈ὡσ〉 οὔσης συνωνύμου· αὐτὸν δὲ ἀποκρινόμενον χρὴ δεικνύναι ὅτι καὶ ἡ κίνησις ὁμώνυμος καὶ αὐτὸς ὡρίσατο τὴν κατὰ τόπον κίνησιν, ἥτις ἐστὶ πρώτη τε καὶ κυριωτάτη κίνησις. χρὴ δὲ τοῖς τοιούτοις πρὸς τοὺς ἐριστικωτέρους χρῆσθαι· σοφιστικὸς γὰρ ὁ τόπος ὁ πρὸς τοὔνομα καὶ οὐ διαλεκτικός. p. 148b4 Ἐπεὶ δ ' ἔνιοι τῶν ἀποκρινομένω ν . Ἐπεὶ δέ, φησί, τινὲς τῶν ἀποκρινομένων δι' ἀνεπιστημοσύνην πολλάκις τὸ συνώνυμον ὁμώνυμον λέγουσιν, ὅταν μὴ ἐφαρμόττῃ ὁ ἀποδοθεὶς ὅρος πᾶσιν (οἷον ὅταν εἴπῃ τις ὅτι ζῷόν ἐστιν οὐσία ἔμψυχος ἄλογος, ἐπεὶ ὁ λόγος οὗτος, ὃν ἀπέδωκεν, οὐ προσαρμόζει πᾶσιν, ἀναγκαζόμενος φήσει ὅτι οὐ καινὸν εἰ οὐ προσαρμόζει πᾶσι· τὸ γὰρ ζῷον ὁμώνυμον, ἐπὶ δὲ τῶν ὁμωνύμων οὐ δύναται εἷς κοινὸς ὅρος ἀποδίδοσθαι), ἢ πάλιν τὸ ὁμώνυμον συνώνυμον (οἷον εἰ ἀποδοίη ἕνα κοινὸν ὁρισμὸν ἐ π ' ἄμφ ω , ἤγουν ἐπὶ πάντων τῶν ὑπὸ τοῦ ὀνόματος δηλουμένων, οἷον ὅτι κίνησίς ἐστιν ἐντελέχεια

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ κινητοῦ ὅτε κινητόν, φήσει ὁ τοιοῦτος, ὅτι ἐπειδὴ ὁ ἀποδοθεὶς οὗτος ὁρισμὸς πάσῃ κινήσει ἐφαρμόζει, ἡ κίνησις λοιπὸν συνώνυμός ἐστιν· ἐπὶ γὰρ τῶν συνωνύμων εἷς κοινὸς ὅρος), ἐπεὶ οὖν, ὡς εἴπομεν, τινὲς τῶν ἀποκρινομένων δι' ἀμαθίαν λέγουσι τὰ ὁμώνυμα συνώνυμα καὶ τὰ συνώνυμα ὁμώνυμα, καὶ διὰ τοῦτο ἐλέγχονται ὑπὸ τοῦ ἐρωτῶντος ὡς μὴ καλῶς ἀποδιδόντες τὸν ὅρον, προδιομολογητέον ὑπὲρ τῶν τοιούτω ν , τουτέστι δεῖ τὸν ἐρωτῶντα καταναγκάσαι τὸν ἀποκρινόμενον ὁμολογῆσαι πότερον τὸ ὁριστὸν ὁμώνυμόν ἐστιν ἢ συνώνυμον.

in Top.475 p. 148b9 Μᾶλλον γὰρ συγχωροῦσιν οὐ προορῶντες τὸ συμβησόμενο ν . Ῥᾷον γάρ, φησί, συγχωροῦσι τοῖς ἀληθέσι μὴ προορῶντες τὸν ἐσόμενον ἐκ τῆς τοιαύτης ὁμολογίας ἔλεγχον. εἰ γάρ τις εἴη ὁρισάμενος τὸ ἀγαθὸν φέρε εἰπεῖν οὕτως 'τὸ ποιοῦν ἀγαθούσ', δέον πρῶτον ὁμολογίαν ποιῆσαι τὸν ἐρωτῶντα, πότερον τὸ ἀγαθὸν ὁμώνυμον ἢ συνώνυμον· καὶ εἰ μὲν λέγει ὅτι συνώνυμον, δεικνύναι ὅτι μὴ πᾶσι τοῖς ἀγαθοῖς ὁ ἀποδεδομένος ἐφαρμόζει λόγος· εἰ δὲ ὁμώνυμον λέγει, εὐθυντέον ὡς πεπειραμένον τοῦ ὁμωνύμως λεγομένου πράγματος ἕνα ὁρισμὸν ἀποδιδόναι. Τὸ δὲ ὁπότερον ἂν ᾖ ἀντὶ τοῦ 'ἢ ἑτερώνυμον ἢ πολυώνυμον'. p. 148b10 Ἐὰν δὲ μὴ γενομένης ὁμολογίας φῇ τις τὸ συνώνυμο ν . Ἐὰν μὴ γενομένης ὁμολογίας ὁ ἀποκρινόμενος φεύγων τὸν ἔλεγχον τὸν ἐκ τοῦ μὴ ἐφαρμόζειν τὸν ἀποδοθέντα λόγον πᾶσι τοῖς ὑπὸ τοὔνομα φῇ αὐτὸ μὴ συνώνυμον ἀλλ' ὁμώνυμον εἶναι, δεῖ, φησί, χρῆσθαι τοιούτῳ τρόπῳ πρὸς ἔλεγχον τοῦ λεγομένου· ἐπισκοπεῖν εἰ ὁ λόγος καὶ ὁ ὅρος τούτου, ᾧ οὐκ ἐφαρμόζει ὁ ἀποδιδόμενος λόγος (δῆλον γὰρ ὅτι ἔστι τις λόγος αὐτοῦ), ἐφαρμόζει καὶ τούτοις ὧν ἔλεγε τὸν ἀποδοθέντα λόγον ὁρισμόν.

in Top.476 τούτου γὰρ δειχθέντος ἔσται συνώνυμον δεδειγμένον τοῦτό τε κἀκεῖνα, ἃ ἐλέγετο ὁμώνυμα εἶναι τούτου οὗ ὁρισμὸν ἀποδέδωκεν, εἴ γέ ἐστιν αὐτῶν εἷς λόγος· ὧν γὰρ εἷς λόγος, ταῦτα συνώνυμα. εἰ γὰρ μὴ εἴη συνώνυμα, συμβήσεται ὁμολογουμένως αὐτῶν πλείους εἶναι ὁρισμούς, τὸν αὐτόν τε ὃν αὐτὸς ἀποδέδωκε καὶ τὸν ὕστερον ἀποδεδομένον, ὃς κοινὸς εὕρηται ὧν αὐτοῖς πρὸς ἐκεῖνο τὸ δοκοῦν αὐτῶν ὁμώνυμον εἶναι. p. 148b16 Πάλιν εἴ τις ὁρισάμενος τῶν πολλαχῶς τι λεγομένω ν . Εἴ τι ς , φησίν, ὁρισάμενός τι τῶν πολλαχῶς λεγομένω ν , ἔπειτα ἐλεγχόμενος ὅτι μὴ πᾶσι τοῖς ὑπὸ τοὔνομα ἐφαρμόζει ὁ ἀποδεδομένος λόγος, μὴ λέγοι μὲν αὐτὰ ὁμωνύμως λέγεσθαι, λέγοι δὲ μηδὲ τὴν ἀρχὴν τὸ ὄνομα ἐφαρμόζειν τούτοις οἷς οὐδὲ ὁ ἀποδεδομένος ὑπ' αὐτοῦ ὁρισμός, δεῖ, φησί, πρὸς τοῦτον οὕτως λέγειν, ὅτι τοῖς μὲν ὀνόμασι δεῖ χρῆσθαι ὡς οἱ πολλοὶ λέγουσι καὶ μὴ καινοτομεῖν, τοῖς δὲ πράγμασιν ἐφαρμόζειν τὰ ὀνόματα οὐχ ὡς οἱ πολλοὶ ἀλλ' ὡς οἱ σοφοί· οὐ γὰρ χρὴ ὁμοίως τοῖς πολλοῖς οὔτε τὸν εὐτυχῆ εὐδαίμονα καλεῖν οὔτε οἰκονομικὸν τὸν ἀνελεύθερον οὔτε τὸν δεινὸν φρόνιμον οὔτε τὸν τολμηρὸν ἀνδρεῖον, ὡς εἰώθασιν οἱ πολλοί· διαφέρει δὲ ταῦτα [τῶν] οἷς κεῖται, ὅτι ἐκεῖνα μὲν οἱ σπουδαῖοι οὕτω καλοῦσι, ταῦτα δὲ οἱ ἰδιῶται ὀνομάζουσιν. p. 148b23 Ἐὰν δὲ τῶν συμπεπλεγμένω ν . Ὅτι ἐπὶ τῶν ὁρισμῶν τῶν συνθέτων, εἰ εἴη τὸ σύνθετον, οὗ ὁρισμὸς ἀποδέδοται, ἐκ δύο τινῶν συγκείμενον, δεῖ ἀφελόντα ἀπὸ τοῦ ὅλου λόγου τὸν τοῦ ἑτέρου τῶν ἐν τῷ ὁρισμῷ λόγον ἐπισκοπεῖν εἰ τὸ καταλειπόμενον μέρος τοῦ ἀποδεδομένου λόγου τοῦ καταλειπομένου ἐν τῷ ὁριστῷ τῷ συνθέτῳ ὁρισμός ἐστιν· εἰ γὰρ μ ή , οὐδ' ὅλος ὁ λόγος εἴη ἂν ὁρισμὸς ὅλου τοῦ συνθέτου ὁριστοῦ.

in Top.477 [Εἰς τὸ αὐτό. εἰ δέ τινος τῶν συμπεπλεγμένων, φησίν, ἀποδοθείη ὅρος, οἷον ὅτι ἄνθρωπος λευκός ἐστι ζῷον λογικὸν θνητὸν δεκτικὸν χρώματος διακριτικοῦ ὄψεως, δεῖ σκοπεῖν καὶ ἀφαιρεῖν τὸν λόγον τοῦ ἑτέρου, ἤτοι τοῦ ἑνὸς τῶν συμπεπλεγμένων, οἷον τὸ ζῷον λογικὸν θνητόν· εἰ οὖν καὶ ὁ λοιπός, ἔστι δὲ τὸ δεκτικὸν χρώματος διακριτικοῦ ὄψεως, ὅρος ἐστὶ τοῦ λοιποῦ, ὃ συμπέπλεκται τῷ ἀνθρώπῳ, ἤγουν τοῦ λευκοῦ, δῆλον ὅτι καὶ ὁ ὁρισμὸς τοῦ ὅλου ἔσται ὁρισμός. εἰ δὲ τὸ ἀπολειφθὲν οὐκ ἔστι τοῦ ἀπολειφθέντος ὁρισμός, οὐδὲ ὁ ὅλος τοῦ ὅλο υ . οἷον γραμμὴ πεπερασμένη εὐθεῖά ἐστι πέρας ἐπιπέδου ἔχοντος πέρατ α , οὗ τὸ μέσον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιπροσθεῖ τοῖς ἄκροις · δίελε τὸ συμπεπλεγμένον καὶ εἰπέ· εἰ τῆς πεπερασμένης γραμμῆς ὁρισμός ἐστι τὸ πέρας ἐπιπέδου ἔχοντος πέρατα (καὶ ἔστι τῆς μὲν γραμμῆς τὸ πέρας ἐπιπέδου · πέρας γὰρ ἐπιφανείας ἡ γραμμή· τῆς δὲ πεπερασμένης τὸ ἔχοντος πέρατ α) , δεῖ καὶ τῆς εὐθείας ὅρον εἶναι τὸ λοιπόν, ἤγουν τὸ οὗ τὸ μέσον ἐπιπροσθεῖ τοῖς ἄκροις · ἀλλ' ἔστιν ἡ ἄπειρος γραμμὴ οὔτε μέσον ἔχουσα οὔτε πέρατ α , ἔστι δὲ εὐθεῖ α , τουτέστιν ἔστι δὲ ἐπινοῆσαι εὐθεῖαν γραμμὴν ἀχθεῖσαν μήτε μέσον ἔχουσαν μήτε πέρατα, ᾗ οὐ προσαρμόζει τὸ ἀπολειφθέν, ἤτοι τὸ οὗ τὸ μέσον τοῖς ἄκροις ἐπιπροσθε ῖ , ἐπεὶ οὔτε μέσα ἔχει οὔτε πέρατα· ὥστε οὐκ ἔστιν ὁ λοιπὸς ὅρος τοῦ λοιπο ῦ , ἤγουν τὸ οὗ τὸ μέσον τοῖς ἄκροις ἐπιπροσθεῖ τῆς εὐθείας, ἀλλ' οὐδὲ τὸ ὅλον τοῦ ὅλου.] p. 148b33 Ἔτι εἰ συνθέτου ὄντος τοῦ ὁριζομένου ἰσόκωλο ς . Τὸ μὲν ἰσόκωλον σημαίνει τὸ ἴσα μέρη ἔχον. ἔστι δὲ ὃ λέγει, ὅτι ἐὰν συνθέτου τινὸς λόγος ἀποδοθῇ τοσαῦτα μέρη ἔχων, ὅσα καὶ τὸ σύνθετον ἔχει οὗ ὅρος ἀποδέδοται, οὐκ ἔστιν οὗτος ὁ λόγος ὁρισμὸς ἐκείνου. ἐν γὰρ τοῖς οὕτως ἀποδεδομένοις λόγοις ἀναγκαῖον ὀνομάτων εἰς ὀνόματα τὴν μετάληψιν γεγονέναι, ἐπεὶ ἴσα ἐστὶ καὶ τὰ ἐν τῷ ὁριστῷ καὶ τὰ ἐν τῷ λόγῳ· ἡ δὲ τοῦ ὀνόματος εἰς ὄνομα μετάληψις οὐχ ὁρισμός· κεῖται γὰρ ὁ ὁρισμὸς λόγος εἶναι.

in Top.478 ὥσπερ οὖν ὁ τὸ ἁπλοῦν εἰς ὄνομα μεταλαβὼν οὐχ ὥρισται, οὕτως οὐδ' ὁ 〈τοῦ〉 ἐκ πλειόνων ὀνομάτων ἀποδιδοὺς λόγον τοιοῦτον ὡς ἕκαστον τῶν ἐν αὐτῷ ὀνομάτων εἰς ὄνομα μεταλαβεῖν ὥρισται. Τὸ δὲ μάλιστα μὲν πάντω ν , εἰ δὲ μ ή , τῶν πλείστων εἶπεν ὡς μὴ πάντων ἐξ ἀνάγκης ὀφειλόντων τῶν ἐν τῇ συνθέσει ὀνομάτων ἐν τῷ ὁρισμῷ αὐτῶν μεταλαμβάνεσθαι εἰς λόγον· ἱκανὸν γὰρ ἔν τισι τὸ τὰ πλεῖστα μεταληφθῆναι· λέγομεν γὰρ συλλογισμοῦ ἀποδεικτικοῦ λόγον εἶναι τὸν λέγοντα συλλογισμὸν "ἐξ ἀληθῶν καὶ πρώτων καὶ ἀμέσων καὶ αἰτίων τοῦ συμπεράσματος", καίτοι τὸν συλλογισμὸν οὐχ ὁρισάμενοι. γίνεται δὲ τοῦτο ἐν οἷς ἐστι τὸ γένος τινὸς λεγόμενον γνώριμον· καὶ γὰρ ὁ προειρημένος λόγος ὁρισμός, ὅτι γένος ὁ συλλογισμὸς καὶ ὡς γένος εἴληπται ἐν τῷ λόγῳ. Ἔστω δὲ σαφέστερον τὸ λεγόμενον διὰ παραδείγματος. οἷον ἄνθρωπος λευκός ἐστι μέροψ ἀργός· ἐνταῦθα ἰσόμετρος ὁ ὅρος τῷ ὁριστῷ· καὶ ἑκάτερον γὰρ ἐκ δύο ὀνομάτων σύγκειται, καὶ ἀμφότερα τὰ ὀνόματα τὰ ἐν τῷ ὁριστῷ εἰς ἴσα ὀνόματα μετείληπται ἐν τῷ ὁρισμῷ. ἢ τινῶ ν , ὡς ὅταν γένηται μεταλλαγὴ τοῦ ἑνός· οἷον ἄνθρωπος λευκός ἐστι μέροψ λευκός. δῆλον οὖν ὅτι ἐναλλαγῆς γενομένης ἐν τῷ ὅρῳ, ἐπεὶ οὐ πλείω ὀνόματα εἴρηται τῶν ἐν τῷ ὁριστῷ, οὐκ ἔστιν ὁρισμὸς ὁ ἀποδοθείς· δεῖ γὰρ τὸν ὁρισμὸν πλείονα τοῦ ὁριστοῦ ὀνόματα ἔχειν δηλοῦντα δὲ ἕν, ὡς ἔχει ἐπὶ τοῦ ἀνθρώπου· οἷον ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. [Δεῖ δὲ τὸν ὁριζόμενον πάντα μὲν τὰ ὀνόματα εἰς λόγον μεταλαβεῖν, ὡς ὅταν εἴπῃ 'ἄνθρωπος λευκός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἔχον χρῶμα λευκόν'. ἢ μὴ πάντων, ἀλλ' ὅμως τῶν πλείστων καὶ ἀσαφεστέρων· οἷον συλλογισμὸς ἀποδεικτικός ἐστι συλλογισμὸς "ἐν ᾧ τεθέντων τινῶν" καὶ τὰ ἑξῆς· ἐνταῦθα τὸ μὲν 'συλλογισμόσ' οὐ μετείληπται εἰς λόγον διὰ τὸ σαφές, τὸ δὲ 'ἀποδεικτικόσ' μετείληπται εἰς λόγον.] Εἰ δὲ μὴ οὕτω γένοιτο μετάληψις τῶν ὀνομάτων εἰς λόγους, ἀλλ' ὄνομα ἀντὶ ὀνόματος ἀποδούς τις ἀξιοίη ὅρον εἶναι, ἔσται καὶ πᾶν ὄνομα ἁπλοῦν εἰς ἁπλοῦν μεταλαβεῖν καὶ εἰπεῖν ὅρον εἶναι, οἷον ἱμάτιον ἀντὶ λωπίο υ .

in Top.479 Ἔτι δὲ μεῖζον ἁμάρτημ α , εἰ καὶ δ ι ' ἀγνωστοτέρων ὀνομάτων τὴν μετάληψιν ποιήσαιτ ο , οἷον ὁ ἀντὶ τοῦ λευκοῦ ἀνθρώπου βροτὸν ἀργὸν ἀποδούς· πρὸς γὰρ τῷ μὴ ὡρίσθαι καὶ ἀσυνετώτερον τὸ λεγόμενον πεποίηκε. p. 149a8 Σκοπεῖν δὲ καὶ ἐν τῇ μεταλλαγῇ τῶν ὀνομάτω ν . Δεῖν φησιν ἐπισκοπεῖν καὶ τοῦτο, εἰ ἐν τῇ τῶν ὀνομάτων μεταλήψει ταὐτόν ἐστι τὸ σημαινόμενον· εἰ γὰρ μὴ ταὐτόν ἐστι, δῆλον ὡς καὶ κατὰ τοῦτο μοχθηρὰ ἡ ἀπόδοσις, οὐ μόνον καθὸ οὐχ ὁριστική. οἷον ἐπιστήμη θεωρητική ἐστιν ὑπόληψις θεωρητική · ἐνταῦθα ἡ ὑπόληψις οὐ ταὐτὸν σημαίνει τῇ ἐπιστήμῃ · ἡ μὲν γὰρ τῶν ἀεὶ ὡσαύτως ἐχόντων καὶ ἀιδίων καὶ ἀπταίστων, ἡ δὲ ὑπόληψις τῶν πεπλανημένων καὶ μὴ ἀεὶ ὡσαύτως ἐχόντων. δεῖ δὲ ταὐτὸν

σημαίνειν, εἴπερ μέλλει καὶ τὸ ὅλον, ἤγουν ὁ ὁρισμός, ταὐτὸν εἶναι τῷ ὁριστῷ. p. 149a14 Ἔτι εἰ θατέρου τῶν ὀνομάτων μετάληψιν ποιούμενο ς . Καὶ τοῦτό φησι δεῖν ἐν ταῖς τῶν ὀνομάτων εἰς ὀνόματα μεταλήψεσι σκοπεῖν, εἴ τις τοῦ ἑτέρου τῶν ὀνομάτων τὴν μετάληψιν ποιούμενος μὴ τοῦ ἀσαφοῦς ἀλλὰ τοῦ σαφοῦς εἴη πεποιημένος· δεῖ γὰρ τοῦ ἀγνωστοτέρου ποιεῖσθαι τὴν μετάληψιν, εἴτε ἡ διαφορὰ εἴη εἴτε τὸ γένος. Καὶ μετὰ τὸ ἐκθεῖναι τὸ ἄνωθεν παράδειγμα, τὸ τῆς θεωρητικῆς ἐπιστήμης δηλονότι, φησίν· ἀλλ' οὐκ ἔστιν ἀνάγκη τὴν διαφορὰν ἀεὶ τοῦ γένους ἀγνωστοτέραν εἶναι· διόπερ ἔν τισιν, εἰ συμβαίη τὴν διαφορὰν γνωριμωτέραν εἶναι τοῦ γένους, τὴν τοῦ γένους 〈δεῖ〉 εἰς ὄνομα ποιήσασθαι μετάληψιν. Εἰ δὲ μὴ εἰς ὄνομα, φησί, τοῦ ἑτέρου τῶν κειμένων ἡ μετάληψις γίνοιτο, ὧν τὸ μὲν γένος ἐστὶ τὸ δὲ διαφορά, ἀλλ' εἰς λόγον τε καὶ ὁρισμόν, δεῖν φησι τὴν διαφορὰν μᾶλλον μεταλαμβάνειν τοῦ γένους· οἰκειότερον γὰρ ἑκάστῳ τοῦ γένους ἡ διαφορά, τοῦ 〈δ'〉 οἰκειοτέρου τῷ πράγματι ἀναγκαῖος ὁ ὅρος· τὸ γὰρ γένος οὐδὲν μᾶλλον τούτου ἢ ἄλλου τινὸς τῶν ὁμογενῶν, ὥστε διὰ μὲν τῆς διαφορᾶς τοῦτο, διὰ δὲ τοῦ γένους οὐδὲν μᾶλλον τοῦτο ἢ ἄλλο τι τῶν ὁμογενῶν αὐτῷ· τοῦ γὰρ γνωρίσαι χάριν ὁ ὁρισμὸς ἀποδίδοτα ι .

in Top.480 οἷον εἰ εἴη προκείμενον συλλογισμὸν ἀποδεικτικὸν ὁρίσασθαι, οὐ τὸν συλλογισμὸν ἀλλὰ τὸ ἀποδεικτικὸν [συλλογισμὸν] ὁριστέον· τοῦτο γὰρ ζητοῦμεν ὡς ἴδιον καὶ τῶν ὑπὸ τὸν συλλογισμὸν μᾶλλον διαφέρον. τὸ δὲ ἧττον γὰρ ἡ διαφορὰ τοῦ γένους γνώριμον δοκεῖ μὴ ὁμόλογον εἶναι τῷ μικρῷ πρόσθεν εἰρημένῳ· ἔλεγε γὰρ δυνατὸν εἶναι τὴν μὲν διαφορὰν γνωρίμως ὠνομάσθαι, τὸ δὲ γένος μή· διὸ καὶ ἔφη δεῖν τὸ ἀσαφέστερον μεταλαμβάνειν. ἢ εἰ καὶ τὸ ὄνομά ποτε τὸ τῆς διαφορᾶς γνωριμώτερον εἴη τοῦ γένους, ἀλλ' αὐτὸ τὸ πρᾶγμα τὸ ὑπὸ τῆς διαφορᾶς δηλούμενον ἧττον γνώριμον τοῦ ὑπὸ τοῦ γένους δηλουμένου· τὸν μὲν γὰρ τὴν διαφορὰν γνωρίζοντα δεῖ καὶ τὸ γένος γνωρίζειν, οὐ μὴν ἐν τῇ τοῦ γένους γνώσει καὶ ἡ τῆς διαφορᾶς γνῶσις περιέχεται. p. 149a29 Εἰ δὲ τῆς διαφορᾶ ς . Πάλιν δεῖν φησιν, ὅταν μεταληφθῇ ἡ διαφορὰ εἰς λόγον, σκοπεῖν εἰ ὁ ἀποδεδομένος λόγος τῆς διαφορᾶς καὶ ἄλλῳ τινὶ ἐφαρμόζει· ἂν γὰρ ᾖ καὶ ἄλλῳ τινὶ ἐφαρμόζων, οὐκ ἔσται ὁρισμὸς τῆς μετειλημμένης διαφορᾶς· δεῖ γὰρ τὸν ὅρον ἴδιον εἶναι τούτου οὗ ἐστι καὶ πρὸς μηδὲν ἄλλο κοινόν. οὐ μόνον δὲ ἁμαρτάνει ὁ ἀποδιδοὺς τοῦ ὡς διαφορᾶς κειμένου λόγον τὸν καὶ ἄλλοις ἐφαρμόζοντα, ἀλλὰ κἂν μὴ παντὶ ἐφαρμόζῃ τῷ οὗ ἀποδέδοται, καὶ οὕτως ἡμάρτηται. ὁ γὰρ γραμμῆς εὐθείας λέγων ὅρον γραμμήν, ἧς "τὸ μέσον ἐπιπροσθεῖ τοῖς πέρασιν", ἁμαρτάνει, ὅτι οὐκ ἐφαρμόζει ὁ λόγος οὗτος καὶ τῇ ἀπείρῳ γραμμῇ εὐθείᾳ· οὔτε γὰρ μέσον αὕτη οὔτε πέρας ἔχει.

in Top.481 p. 149a35 Εἰ δὲ πολλαχῶς λέγεται τὸ μέσον ἔχο ν , διοριστέο ν . Εἰ δὲ λέγεται πολλαχῶς τὸ μέσο ν , διοριστέον τὸ πῶς ἔχον λέγεται, καὶ ὁμοίως ἐπί τε μεγεθῶν καὶ ἀριθμῶν λέγεσθαι, καὶ οὕτως ἐπιτιμητέον ὡς χωρὶς διορισμοῦ εἰρηκότι τὸ διορισμοῦ δεόμενον· δεῖ γὰρ ἐπὶ τῆς τῶν πολλαχῶς λεγομένων ἀποδόσεως διορίζεσθαι, κατὰ τί τῶν σημαινομένων τὴν ἀπόδοσιν ποιεῖταί τις. ἢ οὖν συλλογιστέον καὶ δεικτέον ὅτι οὐχ ὡρίσατο ὁ οὕτως ἀποδιδοὺς τῷ καὶ ἄλλοις ἐφαρμόζειν τὸν ἀποδοθέντα λόγον, ἢ ἐπιτιμητέον ὅτι μὴ καλῶς ἔλαβεν ἀδιορίστως· οὐ γὰρ περιττόν ἐστι τὸ ἔχον μέσον ἁπλῶς, ἀλλὰ τὸ μονάδα μέσην ἔχον, ὡς ὁ πέντε· μεταξὺ γὰρ τῶν δύο καὶ δύο ἐστὶ μονάς. p. 149a38 Πάλιν εἰ οὗ μὲν τὸν λόγο ν . Ἐπεὶ ὁ ὅρος τὸ τί ἦν εἶναι σημαίνει ἑκάστου, δεῖ, φησίν, ἐπιβλέπειν, εἰ τὸ μὲν ὁριστὸν τῶν ὄντων ἐστ ί , τὸ δὲ ὑπὸ τοῦ ὁρισμοῦ σημαινόμενον μὴ τῶν ὄντω ν . εἰ γὰρ τοῦτο, δῆλον ὡς οὐκ ἂν εἴη ὁρισμὸς τοῦ προκειμένου ὁ ἀποδεδομένος λόγος· οὐ γὰρ οἷόν τέ τινος τῶν ὄντων τὸ τί ἦν εἶναι, οὗ ἐστιν ὁ ὅρος δηλωτικός, μὴ ὂν εἶναι. Τὸ δ' ἐκκείμενον παράδειγμα σαφὲς ὂν δείκνυσι τὴν τοῦ τόπου δύναμιν. p. 149b4 Ἔτι ὅσοι μὴ διαιροῦσιν ἐν τοῖς πρός τ ι . Ἁμαρτάνουσι δὲ καὶ οἱ ἐν τῷ ὁρίζεσθαί τι τῶν πρός τι μὴ διαιροῦντες μηδὲ διορίζοντες πρὸς ὃ λέγεται τῶν ὑπὸ τὸ κοινὸν τοῦτο ὃ ὁρίζονται· ἐπεὶ γὰρ πᾶν πρός τι τὸ εἶναι ἔχει ἐν τῇ πρὸς ἄλλο σχέσει καὶ ἔστι τοῦτο,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς ὃ ἕκαστον τῶν πρός τι τὸ εἶναι ἔχει, ὡρισμένον, ὥσπερ καὶ αὐτὸ τὸ πρὸς ἐκεῖνο τὸ εἶναι ἔχον, εἰ ἀποδιδούς τις ὅρον τῶν πρός τι πρὸς ἄλλο ἀποδοίη, ὃ κοινὸν ὂν περιέχει καὶ τὸ πρὸς ὃ ὡρισμένως λέγεται τοῦτο, οὗ τὸν ὁρισμὸν ἀποδίδωσιν, ἢ ἄλλο ἐστὶν αὐτοῦ, παντάπασιν ἁμαρτάνει.

in Top.482 καὶ ψεύδεται ἢ ἐπί τι ἢ ἁπλῶς· ἐπί τι μέν, ἂν ᾖ τὸ πρὸς ὃ ἀποδέδωκεν αὐτὸ κοινόν τε καὶ ἐν αὐτῷ περιέχον πρὸς ὃ ἰδίως τοῦτο λέγεται· ἁπλῶς δέ, ἂν παντάπασιν ἄλλο. ὁ μὲν γὰρ ἰατρικὴν ὁρισάμενος ἐπιστήμην ὄντος ἐπί τι ἁμαρτάνει τῷ ὑπὸ τὸ ὂν εἶναι καὶ ταῦτα ὧν ἐστιν ἡ ἰατρικὴ ἐπιστήμη· οὐ γὰρ πάντα τὰ ὄντα ἀλλὰ τινὰ ἐπίσταται ἡ ἰατρική· τὸ γὰρ ὂν ἀληθὲς καὶ κατὰ τῶν ὑγιεινῶν καὶ νοσωδῶν, ὧν ἐστιν ἡ ἰατρικὴ ἐπιστήμη. ἢ δύναται τὸ κοινὸν καὶ μὴ ὁμώνυμον εἶναι ὡς τὸ ὄν, ἀλλὰ συνώνυμον τοῦ πρὸς ὃ τὸ προκείμενον λέγεται· οἷον ἐὰν γεωμετρίαν τις ὁριζόμενος εἴπῃ ἐπιστήμην ἐπιστητοῦ ἢ ὑποληπτοῦ· ἐπιστητὰ γὰρ καὶ ὑποληπτὰ καὶ τὰ ὧν ἐστιν ἡ γεωμετρία ἐπιστήμη. ἁπλῶς δὲ ἁμαρτάνει ὁ τὴν ἰατρικὴν λέγων ἐπιστήμην ἀρτίου καὶ περιττοῦ· παντάπασι γὰρ ταῦτα ἕτερα τῶν ἰατρικῶν. παραδείγματος δὲ χάριν, ὑπὲρ τοῦ δεῖξαι τίς μέν ἐστιν ὁ ἐπί τι ψευδόμενος, τίς δὲ ὁ ἁπλῶς ἐπὶ τῆς ἰατρικῆς, εἶπε τὸ εἰ μὲν γὰρ μηδενὸς τῶν ὄντων ἡ ἰατρικὴ ἐπιστήμ η , ἴσον λέγων τῷ ‘εἰ μὲν γὰρ μὴ εἴη ὑπὸ τὸ ἀποδεδομένον ταῦτα ὧν ἐστιν ἐπιστήμη ἡ ἰατρική, ἁπλῶς ἔψευσται, εἰ δὲ εἴη, ἐπί τι, ἐπεὶ πᾶσα ἐπιστήμη ὄντος ἐστίν‘. p. 149b8 Δεῖ γὰρ παντό ς , εἴπερ κα θ ’ αὐτὸ καὶ μὴ κατὰ συμβεβηκό ς . Δεῖ γὰρ παντὸς ὄντος τὴν ἰατρικὴν ἐπιστήμην εἶναι, εἰ εἴη ὀρθῶς ἀποδεδομένος ὁ ὅρος καὶ μὴ κατὰ συμβεβηκός · κατὰ συμβεβηκὸς γὰρ ὄντος, ἐπεὶ συμβέβηκε τοῖς ὑγιεινοῖς οὖσιν εἶναι, οὐχ ἁπλῶς οὐδὲ καθ’ αὑτό.

in Top.483 δεῖ δὲ ἕκαστον τῶν πρός τι πρὸς ὃ λέγεται καθ’ αὑτὸ ἀποδιδόναι· πάντα γὰρ τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται· ὡς γὰρ ἡ ἐπιστήμη πρὸς ἐπιστητόν, οὕτω καὶ τὸ ἐπιστητὸν πρὸς ἐπιστήμην· τὰ δὲ μὴ καθ’ αὑτὰ ἀποδεδομένα ἀλλὰ πρὸς κοινότερον καὶ κατὰ συμβεβηκὸς οὐκ ἀντιστρέφει. [Καὶ ἔτι δὲ σαφέστερον περὶ τούτου ἐροῦμεν. εἰ μὲν γὰρ ἀπέδωκεν ὅτι οὐδενὸς τῶν ὄντων ἐπιστήμη ἐστὶν ἡ ἰατρική, παντελῶς ἔψευσται· εἰ δὲ τινὸς μέν ἐστιν, οἷον τοῦ ὑγιεινοῦ, τινὸς δὲ μ ή , οἷον τοῦ νοσώδους, ἐπί τι · δεῖ γὰρ παντό ς , τοῦ ὑπ’ αὐτὴν δηλονότι, ἤγουν καὶ ἀμφοῖν, τοῦ τε νοσώδους καὶ ὑγιεινοῦ, τὴν ἰατρικὴν ἐπιστήμην εἶναι, εἴπερ κα θ ’ αὑτὸ ἀπεδόθη πρὸς τὸ ὂν καὶ μὴ κατὰ συμβεβηκό ς , καὶ μὴ κατὰ τινὸς μὲν ἀληθεύειν κατὰ τινὸς δὲ οὔ. οὐκ ὀφείλει οὖν καθολικώτερον εἶναι τοῦ πρὸς ὃ λέγεται· ὡς γὰρ ἡ ἐπιστήμη πρὸς τὸ ἐπιστητὸν λέγεται καὶ τὸ ἀνάπαλιν, ἔδει καὶ τὴν ἰατρικὴν ὡρισμένως πρός τι λέγεσθαι· εἰ γὰρ μὴ εἴη καθολικώτερον ἀλλ’ ἐξισάζον, εἴη ἂν καὶ ἀντιστρέφον· νῦν δὲ οὐ δυνατὸν ἀντιστρέψαι καὶ εἰπεῖν ‘πᾶν ὂν ἐπιστητὸν τῇ ἰατρικῇ ἐστι‘· τὶ γὰρ ὂν ἐπιστητὸν αὐτῇ ἐστιν, οἷον ὑγιεινὸν καὶ νοσῶδες. διὰ τοῦτο γὰρ εἴρηκεν ὅτι εἴπερ κα θ ’ αὑτὸ καὶ μὴ κατὰ συμβεβηκὸς ἀπέδωκε τὴν ἐπιστήμην πρὸς τὸ ὄν· τὰ γὰρ καθ’ αὑτὸ λεγόμενα πρός τι καὶ ἀντιστρέφουσι πρὸς ἄλληλα, τὰ δὲ μὴ καθ’ αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός, τουτέστι πρός τι κοινότερον ἀποδιδόμενα οὐκ ἀντιστρέφει.] Ὅτι δὲ οὐ δεῖ κατὰ συμβεβηκὸς τὴν ἀπόδοσιν τῶν πρός τι ποιεῖσθαι δεικνὺς προσέθηκε πρῶτον μέν, ὅτι εἰ οὕτως ἀποδοίη τις, συμβήσεται ἕκαστον τῶν πρός τι μὴ πρὸς ἓν λέγεσθαι ἀλλὰ πρὸς πλείονα κατὰ τοῦτον τὸν λόγον. ὥσπερ γὰρ τῷ ὕπνῳ συμβέβηκεν ὄντι εἶναι, οὕτως οὐδὲν κωλύει αὐτῷ συμβεβηκέναι καὶ τὸ ἀγαθὸν καὶ τὸ μέγα καὶ τὸ λευκὸν καὶ ἄλλα μυρία· καὶ ὁ πρὸς ἕκαστον δὴ τούτων ἀποδιδοὺς τὴν ἐπιστήμην ἢ τὴν ἰατρικὴν ἔσται καλῶς ἀποδεδωκώς, εἴ γε δεῖ κατὰ συμβεβηκὸς ποιεῖσθαι τὴν ἀπόδοσιν τῶν πρός τι. τοῦτο οὖν ἄτοπον, καὶ ἔτι τὸ μὴ γίνεσθαι ἐν τῇ τοιαύτῃ ἀποδόσει τὸν ἀποδιδόμενον ὅρον ἴδιον τοῦ οὗ ἀποδίδοται· καίτοι δεῖ ἴδιον τοῦτο τὸν ὁρισμὸν ἔχειν· ἴδιόν τε γὰρ δεῖ αὐτὸν εἶναι καὶ δηλοῦν τὸ τί ἦν εἶναι οὗ ἐστιν. οὐ γὰρ μόνον κατὰ τῆς ἰατρικῆς ἀληθὲς τὸ ἐπιστήμην αὐτὴν εἶναι ὄντος, ἀλλὰ καὶ 〈κατὰ〉 πάσης ἄλλης ἐπιστήμης ἐστὶ κυρίως λεγόμενον, εἴ γε πᾶσα ἐπιστήμη ὄντος τινός ἐστιν· εἰ δὲ πάσῃ ἁρμόζει, οὐδεμιᾶς ἂν εἴη ἴδιον.

in Top.484 p. 149b19 Οὐ γὰρ μόνον ἡ ἰατρικὴ ἀλλὰ καὶ τῶν ἄλλων ἐπιστημῶν αἱ πολλα ί . Τοῦτο ἢ ἁπλούστερον εἴρηκεν, ἢ ὅτι δοκεῖ καὶ ἡ σοφιστικὴ ἐπιστήμη τις οὖσα περὶ τὸ μὴ ὂν εἶναι, ὡς ἐν τῷ Σοφιστῇ τοῦ Πλάτωνος δέδεικται. p. 149b24 Ἐνίοτε δὲ ὁρίζοντα ι . Οἱ ὁριζόμενοί τε καὶ τὸν λόγον ἀποδιδόντες οὐχ ἁπλῶς τοῦ πράγματος ἀλλὰ τοῦ εὖ ἔχοντος ἢ τετελεσμένου οὐδ' αὐτοὶ ἂν εἶεν ὁριζόμενοι καλῶς· οὐ γὰρ ἐπὶ πάντων τῶν πραγμάτων ἡ οὐσία ἐν τῷ εὖ κεῖται. ἐφ' ὧν οὖν μὴ σύμφυτον τὸ εὖ ἀλλ' ἔξωθεν παραγίνεται ὡς καὶ πρὸ τοῦ εὖ δύνασθαι τὸ πρᾶγμα εἶναι, ἐπὶ τούτων οὐκ ὀρθῶς τὸ εὖ εἰς τὸν ὁρισμὸν παραλαμβάνουσι· μέρος γὰρ αὐτοῦ ἀλλ' οὐ τὸ ὅλον ὁρίζονται. οὐ γὰρ μόνος ἄνθρωπος ὁ σπουδαῖος, οὐδ' οἰκία μόνη ἡ σπουδαία, ἀλλ' οὐδὲ πόλις μόνη ἡ εὐνομουμένη· ἀλλ' οὐδὲ ἡ πρᾶξις οὐδὲ ἡ διάθεσις ἢ ὑπόληψις μετὰ τοῦ εἶναι τὸ εὖ ἔχουσι. διὸ ἐπὶ πάντων τούτων ἕτερος ὁ τοῦ πράγματος ὅρος καὶ ἄλλος ὁ τοῦ εὖ ἔχοντος. ῥήτωρ γὰρ οὐχὶ ὁ τὸ ἐν ἑκάστῳ πιθανὸν θεωρῶν καὶ μηδὲν παραλείπω ν , ἀλλὰ κἂν παραλείπῃ τινὰ τῶν ἐνδεχομένων πρὸς τὸ προκείμενον πιθανῶν, βούληται δὲ πᾶν τὸ πιθανὸν εὑρίσκειν τε καὶ παρέχεσθαι· εἰσὶ γάρ τινες καὶ ἐν ταῖς ἐπιστήμαις καὶ ταῖς τέχναις ἀτελέστεροι. ἀλλὰ καὶ τῶν ἀρετῶν καὶ τῶν κακιῶν ὁ μὲν ἐφ' ἑκάστου προστιθεὶς τῇ βουλήσει τὴν ἐνέργειαν τὸν τέλειον ὁρίζεται, ὁ δὲ τῇ προαιρέσει ἀρκούμενος τὸν τὴν ἕξιν ἔχοντα· ἄδικος γὰρ οὐχ ὁ προαιρούμενός τε καὶ πράττων τὰ ἄδικα, ἀλλ' ὁ τέλειος ἐν ἀδικίᾳ· ἄδικος δὲ καὶ ὁ μόνον προαιρούμενος. p.

in Top.485 149b31 Πάλιν εἰ τὸ δ ι ' αὑτὸ αἱρετό ν . Ἐπεὶ ὁ ὅρος τὴν οὐσίαν ἑκάστου καὶ ἐν ᾧ τὸ εἶναι αὐτῷ ἐστι σημαίνει, ὁ τὸ δ ι ' αὑτὸ αἱρετὸν ὁριζόμενος ὡς ποιητικὸν ἢ πρακτικὸν ἄλλου καὶ διὰ τοῦτο αἱρετὸν ἢ ὅλως δ ι ' ἄλλο αἱρετὸν δῆλον ὡς οὐχ ὁρίζεται· οὐ γὰρ τὴν οὐσίαν τοῦ πράγματος δηλοῖ διὰ τοῦ λόγου. εἰ δὲ καὶ ἔστι τινὰ δι' αὑτὰ αἱρετὰ καὶ δι' ἄλλα, οὐδὲν ἧττον, φησίν, ἁμαρτάνει ὁ τὰ τοιαῦτα ἀπὸ τοῦ χείρονος ὁριζόμενος· ἕκαστον γὰρ κατὰ τὸ βέλτιον τῶν ἐν αὐτῷ· ὁ δὲ ὁρισμὸς τοῦ τί ἦν εἶναι ἑκάστου ἐστὶ δηλωτικός. οὐ χρὴ δὲ ὑπολαμβάνειν μαχόμενα λέγειν αὐτόν, πρὸ ὀλίγου μὲν εἰπόντα μὴ δεῖν τὸν ὁριζόμενον ἀπὸ τοῦ εὖ ἔχοντος τῶν ἐν αὐτῷ ὁρίσασθαι, νῦν δὲ λέγοντα ἑκάστου τὴν οὐσίαν κατὰ τὸ βέλτιστον εἶναι τῶν ἐν αὐτῷ. ἐν οἷς μὲν γὰρ πᾶσιν ἄμφω ἐστί, καὶ τὸ βέλτιστον καὶ τὸ ἧττον τοιοῦτον, ὥσπερ ἐν τοῖς προειρημένοις καθ' αὑτά, ὧν χάριν ἐστὶ καὶ τοῖς ἄλλοις, τούτων τὸ εἶναι ἐν τῷ βελτίονι τῶν ἐν αὐτοῖς· ὧν δὲ τὸ βέλτιον μή ἐστιν ἐν τῇ φύσει, ἀλλ' ἔξωθεν αὐτῶν τοῦτο προσγίνεται ἔκ τινος ἐπιμελείας, τούτων οὐκέτι τὸ εἶναι ἐν τῷ βελτίονι, ὅτι τὴν ἀρχὴν μηδὲ πᾶσίν ἐστιν. ἔτι καὶ ἡ ἐπιχείρησις κατὰ τὸ ἔνδοξον γίνεται. p. 150a1 Σκοπεῖν δὲ καὶ εἴ τινος ὁρισμὸν ἀποδιδού ς . Σκοπεῖν δὲ δεῖ, φησί, καὶ εἴ τινος ὁριστοῦ, οἷον οἰκίας, ἀποδοὺς ὁρισμὸν ὡρίσατο ὅτι οἰκία ἐστὶ τάδε, ἤγουν λίθοι καὶ ξύλα, ἢ ἐκ τούτω ν , ἤγουν ὅτι δικαιοσύνη ἐστὶν ἐξ ἀνδρίας καὶ σωφροσύνης ἢ οἰκία ἐκ λίθων καὶ ξύλων, ἢ τόδε μετὰ τοῦδ ε , ὅτι δικαιοσύνη ἐστὶν σωφροσύνη μετὰ ἀνδρίας ἢ οἰκία σκέπη μετὰ λίθων καὶ ξύλων. εἰ μὲν γὰρ τάδ ε , συμβήσετα ι , ὅτι εἰ δύο τινὲς τύχοιεν καὶ ὁ μὲν σώφρων ἐστὶν ὁ δὲ ἀνδρεῖος, καὶ τοῖς δυσὶ τὴν δικαιοσύνην ὑπάρχειν καὶ μηδενὶ αὐτῶν ἀνὰ μέρος· ὁ γὰρ εἷς ὁ καὶ σώφρων οὐκ ἂν ῥηθείη δίκαιος· δύο γὰρ ἦν ἡ δικαιοσύνη, σωφροσύνη καὶ ἀνδρία. δύο γὰρ ὄντων ἀνθρώπων ὁ μὲν ἔχει τὴν σωφροσύνην, ὁ δὲ τὴν ἀνδρίαν· καὶ διὰ τοῦτο καὶ ἀμφότεροι δίκαιοι ἔσονται καὶ οὐδέτερο ς , καὶ οὐχ ὁ εἷς μόνον ὁ ἔχων τὴν ἀνδρίαν δίκαιος κληθήσεταί ποτε, ἐπεὶ ἀμφότεροι οἱ δύο ἔχουσι τὴν δικαιοσύνη ν , ἕκαστος δὲ ἀνὰ μέρος τὴν δικαιοσύνην οὐκ ἔχει.

in Top.486 ἀλλ' εἰ καὶ μηδὲν ἄτοπον συμβαίνει, φησίν, ἀπὸ τοῦ ἰδίᾳ μὲν ἕνα τούτων μὴ ἔχειν τὴν δικαιοσύνην μήτε καλεῖσθαι δίκαιον, ἀλλ' ὁμοῦ τοὺς δύο ἔχειν αὐτὴν καὶ ὁρίζεσθαι δικαίους, διὰ τὸ ἐ π ' ἄλλων συμβαίνειν τὸ τοιοῦτον (τριῶν γάρ τινων ὁμοῦ ἐχόντων νόμισμα ἓν τοῖς μὲν τρισὶν ὑπάρξει ὁμοῦ τὸ νόμισμα ἕν, ἰδίᾳ δὲ ἀνὰ μέρος ἑνὶ ἑκάστῳ οὐχ ὑπάρξει), ἀλ λ ' οὖν τοῦτο, τὸ ὑπάρχειν τοῖς δυσὶν ἐναντίως τό τε δίκαιον καὶ ἄδικον, δόξειεν ἂν παντάπασιν

ἄτοπον εἶναι. ἀντίκειται γὰρ τῇ δικαιοσύνῃ ἡ ἀδικία, τῇ δὲ σωφροσύνῃ ἡ ἀκολασία, τῇ δὲ δειλίᾳ ἡ ἀνδρία· εἰ οὖν ἡ δικαιοσύνη ἐστὶν ἀνδρία καὶ σωφροσύν η , εἴη ἂν ἡ ἀδικία δειλία καὶ ἀκολασία · διὸ καὶ συμβαίνει τὰ ἐναντία ὑπάρχειν αὐτοῖς, εἰ ὁ μὲν αὐτῶν σώφρων ἐστὶ καὶ δειλός (οὐκ ἔστι γὰρ ἀνδρεῖος), ὁ δὲ ἀνδρεῖος καὶ ἀκόλαστος· οὐ γὰρ σώφρων. καὶ διὰ τοῦτο καὶ ἀμφότεροι ἕξουσι δικαιοσύνην καὶ ἀδικίαν, εἴπερ δικαιοσύνη ἐστὶ σωφροσύνη μετὰ ἀνδρίας καὶ διὰ τοῦτο ἀδικία ἀκολασία μετὰ δειλίας. καθόλου οὖν, φησίν, ὅσα ἔστιν ἐπιχειροῦντα δεικνύειν μὴ ταὐτὸν εἶναι τὸ ὅλον καὶ τὰ μέρ η , πάντα χρήσιμά εἰσι πρὸς τὸ νῦν εἰρημένον · οἷον ὅτι δικαιοσύνη ἐστὶ τάδε, ἤγουν σωφροσύνη καὶ ἀνδρία· ὁ γὰρ οὕτως ὁριζόμενος φάσκει τὰ μέρη ταὐτὰ εἶναι τῷ ὅλῳ· μέρη γὰρ τῆς δικαιοσύνης ἡ ἀνδρία καὶ ἡ σωφροσύνη. μάλιστα δὲ οἱ λόγοι οἱ δεικνύντες μὴ ταὐτὸν εἶναι τὰ μέρη καὶ τὸ ὅλον οἰκεῖοι, ἤγουν ἁρμόδιοι, εἰσὶν ἐ φ ’ ὅσων κατάδηλός ἐστιν ἡ σύνθεσις τῶν μερῶν · δῆλον γὰρ ἐκ τῶνδε, ὅτι εἰ λίθοι καὶ ξύλα εἶεν, οὐκ ἀνάγκη καὶ οἰκίαν εἶναι· ὥστε, εἰ τῶν μερῶν ὄντων ἐνδέχεται τὸ ὅλον μὴ εἶναι, οὐ ταὐτὸν ἂν εἴη τῷ ὅλῳ τὰ μέρ η . οὗτος δὲ ὁ τόπος χρήσιμος ἐπὶ μόνων τῶν ἀνομοιομερῶν. p. 150a22 Εἰ δὲ μὴ ταῦτα ἀλλὰ τὸ ἐκ τῶν μερῶν ἔφησεν εἶναι τὸ ὁριζόμενο ν . Εἰ δέ τις, φησίν, ὁριζόμενος μὴ τὰ μέρη εἶπε τὸ ὅλον εἶναι ἀλλὰ τὸ ἐκ τῶν μερῶν γινόμενον, οἷον τὴν οἰκίαν οὐ λίθους καὶ πλίνθους ἀλλ’ ἐκ λίθων καὶ πλίνθων, πρῶτον μὲν ἀξιοῖ δεῖν ἐπισκοπεῖν, εἰ ἐκ τοιούτων ὡρίσατό τις εἶναι ἐξ ὧν οὐχ οἷόν τε συντιθεμένων ἕν τι γίνεσθαι, ἑνὸς ὄντος τοῦ ὁριστοῦ. ἔνια γὰρ τοιαῦτά ἐστιν ὡς μὴ δύνασθαι ἐξ αὐτῶν γενέσθαι τι ἕν, οἷον γραμμὴ καὶ ἀριθμὸς καὶ ὅλως τὰ συμβεβηκότα. ὁ γὰρ ἐκ τοιούτων τινὸς τὸ εἶναι λέγων καὶ ὁριζόμενος δῆλον ὡς οὐχ ὁρίζεται· διὸ ὁ λέγων τὴν λευκότητα ἐκ πυρὸς καὶ χρώματος οὐχ ὁρίζεται.

in Top.487 p. 150a26 Ἔτι εἰ τὸ μὲν ὡρισμένο ν . Ἔτι, φησί, δεῖ καὶ τοῦτο σκοπεῖν, εἰ τὸ μὲν ὁριστόν, οὗ τὸν ὁρισμὸν ἀποδίδωσιν, ἐν ἑνί τινί ἐστιν ἐν ᾧ πρώτῳ πέφυκε γίνεσθαι, τὰ δὲ ἐξ ὧν αὐτὸς ὡρίσατο εἶναι, μὴ ἐν τῷ αὐτῷ πρώτῳ ἀλλ’ ἐν ἄλλῳ καὶ ἄλλῳ. δῆλον γὰρ ὅτι οὐχ ὁρίζεται ὁ οὕτως ἀποδιδούς· ἐν ᾧ γὰρ τὸ ἔκ τινων συγκείμενόν ἐστιν, δῆλον ὅτι ἐν τούτῳ δεῖ εἶναι καὶ τὰ ἐξ ὧν τοῦτο σύγκειται. οἷον φρόνησίς ἐστιν ἐξ ἀνδρίας καὶ σωφροσύνης. ἀλλ’ ἡ μὲν φρόνησις ἐν πρώτῳ ἐστὶ τῷ λογιστικῷ, ἀνδρία δὲ καὶ σωφροσύνη ἡ μὲν ἐν τῷ θυμικῷ ἡ δὲ ἐν τῷ ἐπιθυμητικῷ· δῆλον οὖν ὅτι οὐκ ἂν εἴη ἐκ τούτων ἡ φρόνησις· ἐν οἷς γὰρ ἐμφαίνονται τὰ μέρη, ἐν ἐκείνοις καὶ τὸ ὅλον ἐμφαίνεσθαι δεῖ. ὥστε οὐκ ἐν ἑνὶ πρώτῳ τῷ λογιστικῷ συμβαίνει τὴν φρόνησιν ἐμφαίνεσθαι, ἀλλ’ ἐν ἄλλοις πλείοσι, τῷ τε θυμικῷ καὶ τῷ ἐπιθυμητικῷ. Ὃ δὲ προστίθησιν, ἐστίν· ἀλλ’ εἰ ἑκάτερον, ἐξ ὧν ἀποδέδωκεν εἶναι τὸ προκείμενον, ἐν ἑνὶ πρώτῳ τῷ αὐτῷ ἐστιν, ἐκεῖνά τε καὶ τὸ ὅλον τὸ ἐκ τούτων, ὅπερ ἐστὶ τὸ προκείμενον, οὗ τὸν ὁρισμὸν ἀποδίδωσι, μὴ μέντοι ἐν τῷ αὐτῷ μέρει ἀλλὰ τὸ μὲν ἐν ἄλλῳ τὸ δὲ ἐν ἄλλῳ, οὐδ’ οὕτως ἂν εἴη ὡρισμένος· ἐν ᾧ γὰρ τὸ ὅλον, ἐν ἐκείνῳ καὶ τὰ μέρη δοκεῖ εἶναι. οἷον εἴ τις ὁρίσαιτο τὴν ἀρετὴν ἐξ ἀνδρίας, σωφροσύνης καὶ φρονήσεως· ἔνθα μὲν γὰρ τὸ ὅλον ἐμφαίνεται, ἤγουν ἡ ἀρετή (ἐμφαίνεται δὲ ἐν τῇ ψυχῇ), ἐν ταύτῃ καὶ τὰ μέρη ἐμφαίνονται· ἀλλ’ ἕκαστον τῶν τοιούτων μερῶν τῆς ἀρετῆς ἐν ἄλλῳ καὶ ἄλλῳ μέρει τῆς ψυχῆς ἐμφαίνονται, καὶ οὐκ ἐν τῷ ὅλῳ ἕκαστον· μέρη γὰρ τῆς ψυχῆς τὸ λογιστικόν, τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν. p.

in Top.488 150a33 Πάλιν εἰ τῷ ὅλῳ συμφθείρεται τὰ μέρ η . Ἐπεὶ τῶν μερῶν φθειρομένων ἀνάγκη συμφθείρεσθαι τὸ ὅλον, τοῦ δὲ ὅλου φθαρέντος οὐκ ἀνάγκη καὶ τὰ μέρη φθείρεσθα ι , εἴ τις ἔκ τινών τι ὁρίσαιτο ὡς φθειρομένου τοῦ ὅλου συμφθείρεσθαι τὰ μέρη ἐξ ὧν ὥρισται τὸ ὅλον, δῆλον ὅτι οὐ καλῶς ὡρίσατο. οὕτως ἂν ἁμαρτάνοι ὁ τὸ μὲν σῶμα ὁρισάμενος τὸ ἐξ ἐπιπέδων συνεστὼς ἢ τὸ ἐπίπεδον τὸ ἐκ γραμμῶν ἢ τὴν γραμμὴν 〈τὸ〉 ἐκ στιγμῶν· οὔτε γὰρ τὸ σῶμα ἐξ ἐπιπέδων, διότι συμφθείρεται τῷ σώματι τὸ ἐπίπεδον, οὔτε τὸ ἐπίπεδον ἐκ γραμμῶν, οὔτε ἡ γραμμὴ ἐκ στιγμῶν. διὰ τοῦτο οὐδ’ ἐκ τῶν εἰδῶν οἷόν τε λέγειν τὸ γένος εἶναι, εἰ συναναιρεῖται αὐτῷ, οὐδ’ ἐκ περιττῶν καὶ ἀρτίων τὸν ἀριθμόν. Ἢ εἰ τὸ μὲν ὅλον ἀγαθὸν ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κακόν ἐστιν, τὰ δὲ μέρη οὔτε ἀγαθὸν οὔτε κακόν· ἔδει γὰρ καὶ ταῦτα ἢ ἀγαθὰ ἢ κακὰ εἶναι, εἴπερ μέρη τοῦ ὅλου ἐτύγχανον· ἀδύνατον γὰρ τῶν μερῶν μὴ ὄντων ἢ ἀγαθῶν· ἢ κακῶν τι ἐκ τούτων συγκείμενον ἀγαθὸν ἢ κακὸν εἶναι. ἢ πάλιν εἰ τὰ μέρη ἀγαθὰ ἢ κακά, τὸ δὲ ὅλον οὔτε ἀγαθὸν οὔτε κακόν· δῆλον γὰρ ὅτι οὐκ ἐκ τοιούτων μερῶν τὸ τοιοῦτον σύγκειται· ἦ γὰρ ἂν καὶ αὐτὸ τὸ ὅλον ἀγαθὸν ἢ κακὸν ἦν, εἴ γε ἐκ τῶν τοιούτων μερῶν ἦν. p. 150b1 Ἢ εἰ μᾶλλον μὲν θάτερον ἀγαθὸν ἢ θάτερον κακό ν . Ἐπεὶ δοκεῖ τὸ συγκείμενον ἔκ τινων, ὧν τὸ μὲν μᾶλλόν ἐστι τὸ δὲ ἧττον, τῷ μᾶλλον τοιούτῳ ἀκολουθεῖν, ἂν ὁριζόμενός τις ἀποδῷ τι συγκείμενον ἐξ ἀγαθοῦ καὶ κακοῦ, ὧν τὸ ἀγαθὸν μᾶλλόν ἐστιν ἀγαθὸν ἢ τὸ κακὸν κακόν, ὃ μή ἐστι μᾶλλον ἀγαθόν, οὗτος οὐχ ὁρίζεται. εἰπὼν δὲ ταῦτα ἔνστασιν πρὸς τὰ εἰρημένα φέρει, λέγων ὅτι μὴ ἀνάγκη τὸ ἐξ ἀγαθῶν συγκείμενον πάντως ἀγαθὸν εἶναι μήτε τὸ ἐκ κακῶν κακόν, ὃ ἠξίου ὁ πρὸ τούτου τόπος.

in Top.489 ἀλλ’ οὐδὲ τὸ ἐκ τοῦ μᾶλλον ἀγαθοῦ μᾶλλον ἀγαθὸν ἀνάγκη ἢ τὸ ἐκ τοῦ μᾶλλον κακοῦ μᾶλλον κακόν. ἐπὶ μὲν γὰρ τῶν καθ’ αὑτὰ καὶ ἁπλῶς ὄντων ἀκολουθοίη ἂν τὰ εἰρημένα· εἰ δέ τινα ὡς ποιητικὰ ἀγαθοῦ λαμβάνοιτο, οὐκέτι ἀκολουθεῖν ἀνάγκη τὰ εἰρημένα· πολλὰ γὰρ καθ’ αὑτὰ μὴ ὄντα ποιητικὰ ἀγαθοῦ ἐν τῇ πρὸς ἄλληλα μίξει τοῦτο ποιεῖ. ἡ μέντοι ἀρετὴ καθ’ αὑτὴν οὖσα ἀγαθὴ τοιαύτη μένει καὶ ἐν τῇ μετ’ ἄλλου συνθέσει· τοῦ μὲν γὰρ καθ’ αὑτὸ ὄντος ἀγαθοῦ ἀνάγκη καὶ τὰ μέρη ἀγαθὰ εἶναι. ὁμοίως καὶ ἐπὶ τοῦ κακοῦ. ὁμοίως καὶ τὰ ποιητικά τινων ἢ κακά ἐστιν ἢ ἀγαθὰ ἢ οὐδέτερα, δεῖ καὶ τὰ ἐξ αὐτῶν γινόμενα τοιαῦτα εἶναι. καὶ δείκνυσι τοῦτο οὕτως ἔχον ἐπὶ τῶν φαρμάκων τῶν τε ὑγείας ποιητικῶν καὶ τῶν δηλητηρίων. καὶ γὰρ οὐκ ὄντα καθ’ αὑτά τινα ὑγιεινὰ ἀλλὰ καὶ τοὐναντίον δηλητήρια, μιχθέντα ἀλλήλοις ὑγείας ποιητικὸν τὸ ἐξ αὐτῶν ποιεῖ· καὶ πάλιν οὐκ ὄντα τινὰ δηλητήρια κατ’ ἰδίαν ἀλλὰ καὶ ὠφέλιμα, μιχθέντα ἀλλήλοις ποιεῖ τὸ ἐξ αὐτῶν δηλητήριον. p. 150b14 Πάλιν εἰ ἐκ βελτίονος καὶ χείρονος ὅ ν . Ἐάν τι λεγόμενον ἐκ βελτίονος καὶ χείρονος μὴ ᾖ τοῦ μὲν βελτίονος χεῖρον τοῦ δὲ χείρονος βέλτιο ν , οὐκ ἂν δεόντως ἐκ τούτων εἶναι λέγοιτο· τὸ γὰρ ἐκ τοιούτων συγκείμενον μέσον γίνεται ἑκατέρου αὐτῶν ἀκράτου λαμβανομένου, διὰ τὴν μῖξιν τοῦ ἐναντίου ἑκατέρου αὐτῶν φέρον τὰ δεύτερα. διὰ τοῦτο οὖν ἡ ἐγκράτεια συγκειμένη ἔκ τε ὀρθοῦ λογισμοῦ καὶ φαύλης ἐπιθυμίας τῆς μὲν φαύλης ἐπιθυμίας ἐστὶ βελτίων, χείρων δὲ τοῦ ὀρθοῦ λογισμοῦ. καὶ πρὸς τοῦτο δὲ τὴν αὐτὴν ἔνστασιν φέρει ἣν καὶ πρὸς τὰ πρότερα. ἐπὶ γὰρ τῶν καθ’ αὑτὰ ἀγαθῶν καὶ κακῶν ἀληθῆ εἶναι τὸν λόγον [οὐχ] ἁπλῶς· εἰ γάρ τι εἴη συγκείμενον ἐξ ἁπλῶς ἀγαθοῦ καὶ ἁπλῶς κακοῦ, μεταξὺ τὸ συγκείμενον ἔσται, εἰ ἑκάτερον ἐκείνων ἐν τῇ συνθέσει σώζοιτο. ἐπὶ δὲ τῶν ὡς ποιητικῶν ἀγαθῶν οὐκέτι τοῦτο ἀνάγκη· ταῦτα γὰρ ἐν τῇ πρὸς ἄλληλα συνθέσει ἀλλάσσεται, ὡς ἐπὶ τῶν ἰατρικῶν φαρμάκων προεῖπεν, ὡς μηδὲν κωλύειν τὸ ἐξ ἀμφοῖν καὶ βέλτιον ἑκατέρου καὶ χεῖρον γίνεσθαι.

in Top.490 p. 150b19 Ἔτι εἰ συνώνυμον τὸ ὅλον θατέρ ῳ . Οὐδὲ τοῦτόν φησιν ὁρίζεσθαι τὸν λέγοντά τι ἔκ τινων εἶναι, ὧν ἕν τι τῷ ὅλῳ τῷ ἐκ πάντων ἐστὶ συνώνυμον. οἷον ἀρετή ἐστιν ἀνδρία, δικαιοσύνη καὶ φρόνησις· ἕκαστον γὰρ τούτων ἀρετὴ λέγεται συνωνύμως τῷ ὅλῳ. οὐ δεῖ οὖν τὸ ὅλον συνώνυμον εἶναι τοῖς μέρεσι, καθάπερ οὐδὲ ἐπὶ τῶν συλλαβῶν · ἑκάστη γὰρ τῶν συλλαβῶν οὐκ ἔστι συνώνυμος τοῖς συντιθεῖσιν αὐτὴν στοιχείοις. p. 150b22 Ἔτι εἰ μὴ εἴρηκε τὸν τρόπον τῆς συνθέσεω ς . Οὐδ’ ἐκεῖνόν φησιν ὁρίζεσθαι τὸν λέγοντα μόνον ἔκ τινων συγκεῖσθαι ὃ ὁρίζεται, μηκέτι δὲ καὶ τὸν τρόπον τῆς συνθέσεως προστιθέντα· οὐ γὰρ αὔταρκες πρὸς δήλωσιν τῆς οὐσίας τῆς ἔκ τινων συγκειμένης ἡ τῶν ἐξ ὧν σύγκειται ἀπόδοσις, ἂν μὴ καὶ ὁ τρόπος τῆς συνθέσεως αὐτῶν ᾖ ἐν τῷ λόγῳ προσκείμενος· τὸ γὰρ οὕτως ἐκ τούτων συγκείμενον ἑκάστου τῶν συνθέτων οὐσί α . δῆλον δὲ τὸ εἰρημένον ἐπὶ οἰκίας καὶ συλλαβῆς· οὔτε γὰρ ἡ οἰκία ἁπλῶς λίθοι καὶ πλίνθοι καὶ ξύλα, ἀλλ’ ἡ τούτων ποιὰ τάξις, οὔτε ἡ συλλαβὴ στοιχεῖα, ἀλλ’ ἡ τούτων ποιὰ σύνθεσις. p. 150b27 Εἰ δὲ τόδε μετὰ τοῦδε ἀποδέδωκε ν . Εἴ τις

ὁρισμόν τινος εἴη ἀποδεδωκὼς τόδε μετὰ τοῦδ ε , οὐδέν φησι τοῦτον διαφέρειν τοῦ λέγοντος τάδε τινὰ εἶναι ἢ τὸ ἐκ τούτων. ὁ γὰρ λέγων τὸ οἰνόμελι οἶνον μετὰ μέλιτος ὅμοιον λέγει τῷ λέγοντι τὸ οἰνόμελι εἶναι οἶνον καὶ μέλι ἢ τὸ ἐξ οἴνου καὶ μέλιτος. ὁποτέρῳ δ' ἂν τούτων ᾖ ταὐτὸν τὸ λεγόμενον, τοῖς αὐτοῖς τόποις πρὸς τὴν ἀνασκευὴν χρηστέον, οἷς καὶ 〈πρὸσ〉 τοὺς ἐκεῖ ὁριζομένους παραδέδωκε πρότερον.

in Top.491 παραδίδωσι δὲ καὶ ἰδίους τινὰς τόπους πρὸς τὴν τοιαύτην τῶν ὅρων ἀπόδοσιν. p. 150b32 Ἔτι διελόμενον ὁσαχῶς λέγεται ἕτερον με θ ' ἑτέρο υ . Πρῶτον ἀξιοῖ διελόμενον ὁσαχῶς λέγεται τόδε μετὰ τοῦδε, σκοπεῖν εἰ κατὰ μηδὲν τῶν σημαινομένων ὑπ' αὐτοῦ τὸ ἀποδοθὲν τόδε μετὰ τοῦδέ ἐστιν· οὐ γὰρ ἂν εἴη ὡρισμένος ὁ οὕτως ἀποδεδωκώς. σημαίνει δὲ τὸ τόδε μετὰ τοῦδε ἢ τὸ ἐν τῷ αὐτῷ ὑποκειμένῳ ἢ τὸ ἐν τῷ αὐτῷ τόπῳ ἢ τὸ ἐν τῷ αὐτῷ χρόνῳ εἶναι. προστίθησι δέ, ὅτι κἂν τὰ ἀποδεδομένα δύνηται ἐν τῷ αὐτῷ χρόνῳ εἶναι, μὴ πρὸς τὸ αὐτὸ δὲ ἑκάτερον λέγηται, ἢ εἰ καὶ πρὸς τὸ αὐτὸ μὲν ἄμφω λέγετα ι , οὐ μέντοι πρὸς τὸ τοῦ προκειμένου ὁριστοῦ τέλος, οὐδὲ οὕτως ὑγιῶς ὥρισται· οὔτε γὰρ πρὸς ἕτερον δεῖ λέγεσθαι οὔτε πρὸς ταὐτὸν τὸ τυχό ν , ἀλλὰ πρὸς τὸ τέλος τοῦ ὁριστοῦ. Ὑποδείγματα δὲ τοῦ μὲν ἐν τῷ αὐτῷ δεκτικῷ εἶναι ὡς ἡ ἀρετὴ δικαιοσύνη μετὰ ἀνδρίας· ἐν γὰρ τῷ αὐτῷ δεκτικῷ, τῇ ψυχῇ, καὶ ἀμφότερά εἰσιν, ἥ τε δικαιοσύνη καὶ ἡ ἀνδρία. ἐν τῷ αὐτῷ δὲ τόπῳ ὡς σῶμα τὸ τριχῇ διαστατὸν μετὰ ἐπιφανείας· ἐν ᾧ γὰρ τόπῳ ἐστὶ τὸ σῶμα, ἐν τούτῳ καὶ ἡ ἐπιφάνεια. ἐν τῷ αὐτῷ δὲ χρόνῳ ὡς ἀνδρία ἐστὶ τόλμα μετὰ ὀρθῆς διανοίας· ἐν ᾧ γὰρ χρόνῳ ἐστὶν ἡ τόλμα, ἐν τῷ αὐτῷ καὶ ἡ ὀρθὴ διάνοια. εἰ δὲ καὶ πρὸς ταὐτὸ τέλος, φησίν, ἥ τε τόλμα καὶ ἡ ὀρθὴ διάνοια λέγεται, οἷον πρὸς τὰ ἰατρικὰ τυχόν (εἰκὸς γὰρ ἐν οἷς ἐπάγει τομὴν ὁ ἰατρὸς τῷ τραύματι, τόλμαν ἅμα καὶ ὀρθὴν διάνοιαν ἔχειν καὶ πρὸς ἓν τέλος ἀφορᾶν, τὸ ὑγιάσαι τὸν κάμνοντα), ἀλ λ ' ὅμως οὐδὲ οὕτως λεχθήσεται ἀνδρεῖος ὁ ἰατρός. οὔτε γὰρ ἑκάτερον τῶν μερῶν πρὸς ἄλλο καὶ ἄλλο τέλος δεῖ λέγεσθαι, καθάπερ ἐπὶ τῆς φαύλης ἐπιθυμίας καὶ τοῦ ὀρθοῦ λόγου, οὔτε πρὸς ταὐτὸ μὲν καὶ ἓν τέλος τὸ τυχὸν δέ, ὥσπερ νῦν εἴπομεν ταὐτὸν τέλος ἔχειν καὶ ἀμφότερα, τὸ ὑγιάσαι, ἀλλὰ πρὸς ὃ λέγεται τὸ ὁριστόν· οἷον ἐπεὶ ἡ ἀνδρία πρὸς τὸ κατορθῶσαι τὰ ἐν πολέμῳ λέγεται, πρὸς τὸ αὐτὸ τέλος δεῖ καὶ τὰ μέρη αὐτῆς ἀφορᾶν, τήν τε τόλμαν καὶ τὴν ὀρθὴν διάνοιαν. p.

in Top.492 151a14 Ἔνια δὲ τῶν οὕτως ἀποδεδομένων οὐδαμῶς ὑπὸ τὴν εἰρημένην διαίρεσι ν . Δείκνυσι καὶ ἄλλην δυναμένην ἁμαρτίαν εὑρίσκεσθαι ἐν τῇ τοιαύτῃ ἀποδόσει· ἔνια γὰρ οὕτως ἀποδιδόμενα κατὰ τὴν λέξιν, ὅτι τόδε μετὰ τοῦδε, ἄλλο τι σημαίνει καὶ οὐδὲν τῶν τοῦδε μετὰ τοῦδε σημαινομένων οὐδὲ τῶν ὑπὸ τὴν εἰρημένην διαίρεσιν · οὔτε γὰρ σημαίνει τάδε οὔτε τὸ ἐκ τούτων οὔτε τόδε μετὰ τοῦδε, ἀλλὰ τόδε διὰ τόδε. ὁ γὰρ λέγων ὅτι ὀργή ἐστι λύπη με θ ' ὑπολήψεως τοῦ ὀλιγωρεῖσθαι ἐκείνων μὲν σημαίνει οὐδέν, σημαίνειν δὲ βούλεται ὅτι διὰ τὴν τοιαύτην ὑπόληψιν γινομένη ἡ λύπη ὀργή ἐστιν· εἰ δὲ βούλεται τὸ διὰ τόδε λέγεσθαι μετὰ τοῦδε, δῆλον ὡς ἁμαρτάνοι ἂν καὶ οὐ καλῶς ἀποδιδοίη τὸν ὅρον. p. 151a20 Πάλιν εἰ τὴν τούτων σύνθεσι ν . Ἔτι ὁ τὸ ὅλον ὁριζόμενος τὴν τῶνδε, τουτέστι τῶν μερῶν, σύνθεσιν ἁμαρτάνει· οὐ γὰρ ἡ τυχοῦσα σύνθεσις τὸ ὅλον ἐστίν, οὐδὲ ἀπόχρη τὸ σύνθεσιν εἰπεῖν τὸ ὅλον, ἀλλὰ καὶ ποία τις προσδιοριστέο ν . οἷον ὁ εἰπὼν 'ζῷόν ἐστι σύνθεσις ψυχῆς καὶ σώματος' τὸ γὰρ ζῷον ὡς ὅλον τί ἐστι, μέρη δὲ αὐτοῦ ἡ ψυχὴ καὶ τὸ σῶμα· δεῖ 〈δὴ〉 προσδιορίσασθαι καὶ ὅτι τοιάδε. Ἔτι οὐδὲ συνθέσει ταὐτὸν οὐδέτερον τῶν εἰρημένω ν . ὅτι μή ἐστι τὸ ἔκ τινων συγκείμενον ἐκείνων σύνθεσις, δείκνυσιν οὕτω· πάσῃ μὲν γὰρ συνθέσει διάλυσίς τίς ἐστιν ἐναντί α , τῷ δὲ ὅλῳ οὐδέν ἐστιν ἐναντίον. p. 151a29 Ἔτι εἰ ὁμοίως πιθανὸν πᾶν τὸ σύνθετο ν . Προστίθησι τοῖς εἰρημένοις καὶ τοῦτο· εἰ ὁμοίως εὔλογον καὶ πιθανὸν ἢ πᾶν τὸ σύνθετον σύνθεσιν [ἐκείνων] εἶναι ἢ μηδέ ν , ἐὰν [γὰρ] ἕν τι δειχθῇ τῶν ἔκ τινων συγκειμένων μὴ ὂν ἐκείνων σύνθεσις, οὐκ ἂν ἄλλο τι τῶν συγκειμένων ἔκ τινων σύνθεσις ἐκείνων εἴη· ἀλλὰ μὴν τὸ ζῷον συγκείμενον ὂν ἔκ τινων οὐκ ἔστιν σύνθεσις· οὐσία γὰρ ἔμψυχος αἰσθητικὴ τὸ ζῷον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’ οὐ σύνθεσις ψυχῆς καὶ σώματος, ἐξ ὧν σύγκειται· οὐδ’ ἄλλο τι ἄρα τῶν ἔκ τινων συγκειμένων ἐστὶ σύνθεσις.

in Top.493 εἴη δ’ ἂν ἡ τοιαύτη δεῖξις δι’ ὁμολογίας ἀπὸ τῶν ὁμοίων. εἰ δὲ μὴ σύνθεσις ὅλως, οὐδ’ ὁποιαοῦν σύνθεσις εἴη ἄν. p. 151a32 Πάλιν εἰ ὁμοίως ἔν τινι πέφυκεν ὑπάρχειν τἀναντί α . Ἐάν τι ᾖ τῶν ἀλλήλοις ἐναντίων ὁμοίως δεκτικόν, ὁ τοῦτο ὁριζόμενος διὰ τοῦ ἑτέρου τῶν ἐναντίων οὐκ ἀποδίδωσι τὸν ὁρισμὸν αὐτοῦ· συμβήσεται γὰρ οὕτω τοῦ αὐτοῦ πλείους ὁρισμοὺς εἶναι · ἔσται γὰρ ὁρισμὸς τοῦ προκειμένου καὶ ὁ διὰ τοῦ ἑτέρου τῶν ἐναντίων ἀποδοθεὶς λόγος, εἴ γε ὁμοίως αὐτῶν τὸ ὁριστόν ἐστι δεκτικόν. p. 151b3 Δεῖ δὲ καὶ ἐὰν μὴ πρὸς ὅλον ἔχῃ τι ς . Δεῖ, φησί, τοὺς ἀσαφεῖς τῶν ὅρων αὐτὸν μεταλαμβάνειν, διορθοῦντα καὶ σχηματίζοντα αὐτούς, ὥστε δηλοῦν τι σαφὲς πρὸς ὃ ἐπιχειρεῖν δυνησόμεθα. ἢ γὰρ οὕτως ἔχειν συγχωρήσουσι τὸν λόγον οἱ ἐκεῖνον ὁριζόμενοι, ἢ εἰ μὴ συγχωρήσουσιν, αὐτοὶ σαφέστερον ὁριοῦνται, δεικνύντες κατὰ τῶν ὑφ’ ἡμῶν λεγομένων ὅτι μετάληψιν οὐ προσίεται. ὁπότερον δ’ ἂν γένηται, εὐεπιχείρητος ἡμῖν ὁ λόγος ἔσται. Οἷον εἰ ἀποδοίη τις ὁρισμὸν τῆς ψυχῆς ὅτι ἀριθμός ἐστιν αὐτὸς ἑαυτὸν κινῶν, δεῖ σε μεταλαμβάνειν αὐτὸν διὰ τὸ ἀσαφὲς εἰς σαφῆ καὶ τοιοῦτον, ἀφ’ οὗ ἂν ἔχοις ἐπιχείρημα, ἤγουν τόπον, ἀνασκευάσαι αὐτόν. ἢ γὰρ ἀποκρινόμενος πρὸς σὲ δέξεται τὴν τοῦ ὅρου μετάληψιν, ὡς μετελήφθη ὑπὸ σοῦ, καὶ οὕτω ποιήσεις τὴν ἀνασκευὴν αὐτοῦ, ἢ εἰ μὴ δέχεται τὴν μετάληψιν, ἀνάγκην ἕξει ὑπὸ σοῦ διασαφῆσαι τὸν ἀποδοθέντα ὅρον. ἡ δὲ μετάληψις τοῦ ὅρου γίνεται οὕτως, ὡς ἐπὶ τοῦ τῆς ψυχῆς, ὃς εἴρηται ἀνωτέρω· ἔστι δὲ Ξενοκράτους.

in Top.494 εἰπὲ οὖν, εἰ ὁ ἀριθμός, ὦ Ξενόκρατες, ἢ περιττός ἐστιν ἢ ἄρτιος, ἡ ψυχὴ ἢ ἄρτιός ἐστιν ἢ περιττός; καὶ εἰ ἄρτιος, ἢ δʹ ἐστὶν ἢ ςʹ; εἰ δὲ περιττός, ἢ εʹ ἢ ζʹ; ἡ οὖν ψυχὴ τί ἐστι, δʹ ἢ εʹ; καὶ ἐπεὶ ἐκ παντὸς ἀριθμοῦ ἐκβαλλομένης μονάδος ἕτερος ἀριθμὸς καταλείπεται, οἷον ἀπὸ τοῦ ςʹ ὁ εʹ καὶ ἀπὸ τοῦ ζʹ πάλιν ὁ ςʹ, τίνα ἀριθμὸν ἀπὸ τῆς ψυχῆς ἐκβληθῆναι δεῖ ὡς ποιῆσαι ἕτερον; καὶ οὕτως ἀνασκευάσεις καίτοι τοῦ ὁριζομένου τὴν ψυχὴν οὕτω κατὰ τοὺς Πυθαγορείους ὁριζομένου. οὗτοι γὰρ εἴδη ἐκάλουν τοὺς ἀριθμοὺς καὶ ἔλεγον ὅτι ὥσπερ ὁ ἀριθμός, φέρε εἰπεῖν ὁ δέκα, ῥηθεὶς περιορίζει τὴν διάνοιαν καὶ οὐκ ἐᾷ πλανᾶσθαι ταύτην περὶ τὸ ποσόν, οὕτω καὶ ἡ ψυχὴ τὸ σῶμα περιορίζει, καὶ αὐτή ἐστιν ἡ διδοῦσα τῷ ζῴῳ τὰς ἀφορμὰς τῆς κινήσεως, καθ’ ὃν τρόπον κινεῖται. τούτου χάριν γὰρ εἶπε ‘κινῶν αὐτὸς ἑαυτόν‘· αἱ γὰρ κινήσεις, καθ’ ἃς κινεῖται τὸ ζῷον, ἢ ψυχικαί εἰσιν ἢ φυσικαί, καὶ φυσικαὶ μὲν αἱ εἰς τὸ ἄνω καὶ τὸ κάτω κινήσεις, ὡς ἡ τοῦ πυρὸς ἢ τοῦ λίθου, ψυχικαὶ δὲ αἱ ἀπὸ τόπου εἰς τόπον προαιρετικῶς. p. 151b12 Ἔτι καθάπερ ἐν ταῖς ἐκκλησίαι ς . Καθάπερ ἐν τοῖς συνεδρίοις, φησίν, ἐὰν ἐπεισαχθῇ νόμος τις παρά τινος, δόξῃ δὲ βελτίων τοῦ κειμένου ἐκ παλαιοῦ, ἀναιρεῖται οὗτος δὴ ὁ κείμενος, τὸν αὐτὸν τρόπον γινέσθω καὶ ἐπὶ τῶν ὁρισμῶν· ὁρισμοῦ γάρ τινος ἀποδοθέντος παρὰ τοῦ ἀποκρινομένου, εἰσαχθήτω παρὰ σοῦ ἕτερος βελτίων, ὅστις μᾶλλον δηλώσει τὴν οὐσίαν τοῦ ὁριστοῦ. ὃ δὴ καὶ Ἀριστοτέλης ἐποίησε· κειμένου γὰρ ὁρισμοῦ ὅτι ψυχή ἐστι κίνησις αὐτοκίνητος, ἐπεισήγαγεν ἕτερον, ὅτι “ἐντελέχεια σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος”· τούτου γὰρ δόξαντος βελτίονος ἠκυρώθη ὁ κείμενος, ὅτι οὐ δύνανται τοῦ αὐτοῦ δύο εἶναι ὁρισμοί. p. 151b18 Πρὸς ἅπαντας δὲ τοὺς ὁρισμοὺς οὐκ ἐλάχιστον στοιχεῖον τὸ πρὸς ἑαυτὸν εὐστόχως ὁρίσασθα ι . Οὐ μικρὰν ἔφοδον καὶ ἀφορμὴν πρὸς ἐπιχείρησιν τὴν πρὸς τοὺς ὁρισμοὺς εἶναί φησι τὸ γεγυμνάσθαι πρὸς τὸ δύνασθαι πᾶν τὸ προτιθέμενον εὐκόλως ὁρίζεσθαι ἢ καὶ τοὺς καλῶς ἀποδεδομένους ἀνειληφέναι. ὥσπερ γὰρ κανόνα ἔχοντες τὸν καλῶς ἀποδεδομένον ὅρον καὶ τούτῳ παραδείγματι χρώμενοι συνορᾶν δυνησόμεθα ῥᾷον τοῦ ἀποδοθέντος ὅρου τὰ ἁμαρτήματα, εἰ ἐλλιπῶς ἀποδέδοται ἢ περιττὸν ἔχει τι προσκείμενον.

in Top.495

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτω δὲ καὶ ἐπιχειρημάτων μᾶλλον ἂν εὐπορήσαιμεν. οἷον εἰ ἀποδοθείη ‘ἄνθρωπός ἐστι ζῷον θνητὸν ἄλογον‘, παραχθείη δὲ καὶ ἕτερος βελτίων, τό τε ἐλλεῖπον δεῖ προστεθῆναι, τὸ λογικὸν καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ τὸ ματαίως προσκείμενον, ἤγουν τὸ ἄλογον, ἐκβληθῆναι· ὥστε τούτου γινομένου εὐπορία ἔσται ἐπιχειρημάτων πρὸς τὸ ἀνασκευάσαι αὐτόν.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΕΙΣ ΤΟ ΕΒΔΟΜΟΝ ΤΗΣ ΤΟΠΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ

Εἰπὼν ἐν τῷ πρώτῳ ὁρικὰ εἶναι τὰ προβλήματα καὶ τὰ ἔχοντα ζήτησιν περὶ τοῦ εἰ ταὐτὸν τόδε τῷδε ἢ οὔ, καὶ κατὰ τί δείξας ἐκεῖ, εἰκότως τοῖς ὁρικοῖς προβλήμασι, περὶ ὧν εἶπεν ἐν τῷ ἕκτῳ, συντάσσει τὰ περὶ ταὐτοῦ καὶ τοὺς ἁρμόζοντας τόπους πρὸς τὰ τοιαῦτα ἀνασκευαστικούς τε καὶ κατασκευαστικοὺς παραδίδωσι ἐν τούτῳ ἑβδόμῳ ὄντι τῆς πραγματείας.

in Top.496 (1t) χρησιμεύουσι δὲ οὗτοι οἱ περὶ τοῦ ταὐτοῦ τόποι εἰς τὰ ὁρικὰ προβλήματα· δι’ ὧν γὰρ τόπων δεικνύομεν ὅτι τόδε ταὐτόν ἐστι τῷδε, διὰ τῶν αὐτῶν τούτων ἀποδεῖξαι δυνάμεθα ὅτι καὶ ὅδε ὁ ὁρισμὸς ὁ αὐτός ἐστι τῷ ὁριστῷ· καὶ πάλιν δι’ ὧν τόπων δεικνύομεν ὅτι τόδε ἕτερόν ἐστι τοῦδε, διὰ τῶν αὐτῶν πάλιν δεῖξαι δυνάμεθα ὅτι ὅδε ὁ ὁρισμὸς ἕτερός ἐστι τοῦ ὁριστοῦ. p. 151b29 Ἐλέγετο δὲ κυριώτατ α . Πολλῶν ὄντων τοῦ ταὐτοῦ τρόπων περὶ τοῦ κατὰ τὸν κυριώτατον τρόπον λεγομένου ταὐτοῦ δεῖ, φησίν, εἰπεῖν. ἔστι δὲ κυριώτατος τῶν ἄλλων τρόπος ὁ περὶ τοῦ ταὐτοῦ καὶ ἑνὸς τῷ ἀριθμῷ, ὅτι οἱ μὲν ἄλλοι μετὰ προσθήκης λέγονται, οἷον ταὐτὰ τῷ γένει ἢ τῷ εἴδει, ὁ δ’ ἁπλῶς, ἤγουν καὶ χωρὶς προσθήκης τοῦ ἀριθμοῦ, καὶ ὅτι τὰ τῷ ἀριθμῷ ταὐτὰ καὶ κατὰ τὰ ἄλλα σημαινόμενα τοῦ ταὐτοῦ ἐστιν ἀλλήλοις, οὐκέτι δὲ ἐκεῖνα καὶ κατὰ τοῦτο.

in Top.497 ποιεῖται δὲ περὶ τῶν κατ’ ἀριθμὸν ταὐτῶν τὸν λόγον, καίτοι πλεοναχῶς λεγομένου τοῦ ταὐτοῦ, ὅτι καὶ ὁ ὁρισμὸς τῷ ὁριστῷ οὕτω ταὐτόν· οὐ γὰρ τῷ γένει οὔτε τῷ εἴδει. μέρος δὲ τῶν ὁρικῶν προβλημάτων καὶ τὰ περὶ τοῦ ταὐτοῦ, δηλονότι ταῦτα ὅσα κοινωνίαν ἔχει πρὸς τοὺς ὁρισμούς. ἔτι περὶ μὲν τῶν τῷ γένει ταὐτῶν ἀπὸ τῶν πρὸς τὸ γένος τόπων ἔστιν ἐπιχειρεῖν· δι’ ὧν γὰρ κατασκευάζεται καὶ δείκνυται τόπων ἄλλο ἄλλου γένος ὄν, διὰ τούτων καὶ ὅτι ἄλλο ἄλλῳ ταὐτόν ἐστι τῷ γένει δείκνυται· ὅταν γάρ τι ἀμφοτέρων δειχθῇ γένος κοινόν, γίνεται δεδειγμένον ὅτι τὰ προκείμενα ταὐτὰ ἀλλήλοις ἐστὶ κατὰ γένος, ὡς καὶ αὐτὸς εἶπεν ἐν τῷ πρώτῳ. ἀλλὰ καὶ εἰ τὰ εἰδικὰ προβλήματα ὑπὸ τὰ γένη ἐστὶν ὥσπερ καὶ τὰ ἀπὸ τῶν διαφορῶν, εἴη ἂν καὶ τὰ κατ’ εἶδος ταὐτὰ ἐκ τῶν πρὸς τὸ γένος τόπων δεικνύμενα καὶ αὐτά. διὸ εἰκότως περὶ τῶν κατ’ ἀριθμὸν ταὐτῶν ἐνταῦθα τὴν ζήτησιν ποιεῖται. καὶ πρῶτον τόπον ἐκτίθησιν ὅτι τὸ ταὐτὸν τῷ ἀριθμῷ καὶ κατασκευάζεται καὶ ἀνασκευάζεται ἔκ τε τῶν πτώσεων καὶ τῶν συστοίχων καὶ τῶν ἀντικειμένω ν . ὡς γὰρ ἔχει ἓν πρὸς ἓν κατὰ τὸ ταὐτὸν ἢ ἕτερον τῶν κατὰ τὰς πτώσεις καὶ τὰς συστοιχίας, οὕτω καὶ τὰ ἄλλα πάντα πρὸς ἄλληλα ἕξει· ἀλλὰ καὶ τὰ ἀντικείμενα τοῖς αὐτοῖς τὰ αὐτὰ καὶ τὰ τοῖς ἑτέροις ἕτερα κα θ ’ ὁποιανοῦν τῶν ἀντιθέσεω ν . p. 151b36 Πάλιν ἐκ τῶν ποιητικῶν καὶ φθαρτικῶ ν . Πάλι ν , φησίν, ἐκ τῶν ποιητικῶν καὶ φθαρτικῶν · ὅσα γὰρ ἁπλῶς ταὐτά, καὶ αἱ γενέσεις αὐτῶν ἢ αἱ φθοραὶ αἱ αὐταί. οἷον εἰ βροτὸς καὶ μέροψ ταὐτά, καὶ αἱ γενέσεις αὐτῶν αἱ αὐταί· ἔστι γὰρ γένεσις μὲν αὐτῶν ἡ ἐκ σπέρματος καὶ καταμηνίων, φθορὰ δὲ ἡ διάλυσις τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. πάλιν εἰ ὑγεία καὶ νόσος ταὐτόν, εἴη ἂν καὶ ἡ γένεσις αὐτῶν ἡ αὐτή· ἀλλ’ οὐκ ἔστι· τῆς μὲν γὰρ ὑγείας τὰ ὑγιεινὰ σιτία εἰσὶ ποιητικὰ καὶ ἡ σύμμετρος τροφή, τῆς δὲ νόσου τὰ ἐναντία. ὁμοίως δὲ καὶ τὰ φθαρτικὰ αὐτῶν ταὐτά, εἴπερ ταὐτά εἰσι.

in Top.498 διαφέρει δὲ φθορὰ καὶ φθαρτικόν· φθορὰ μὲν γὰρ ἡ νόσος, φθαρτικὸν δὲ τὸ σιτίον καὶ ἡ μοχθηρὰ δίαιτα. p. 152a5 Σκοπεῖν δὲ καὶ ὧν θάτερο ν . Ἔτι τὰ καθ’ ὑπερβολὴν λεγόμενα κατὰ τὸ αὐτό, οἷον τὸ βέλτιστον καὶ τὸ μέγιστον καὶ τὰ ἄλλα, εἰ τὰ αὐτά ἐστι, πάντως ἕν ἐστι τῷ ἀριθμῷ· εἰ γὰρ μὴ ἦν ἓν τῷ ἀριθμῷ, οὐ ταὐτὰ ἔσται, καὶ ἀνάγκη τὸ ἕτερον ὑπὸ τὸ ἕτερον εἶναι· εἰ γὰρ μή, ἔσται ἑκάτερον ἑκατέρου κατὰ τὸ αὐτὸ ὑπερβάλλον. δεῖ οὖν, φησίν, ἐπιβλέπειν ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ζητουμένων εἰ ταὐτά ἐστιν ἀλλήλοις, εἰ ὧν τὸ ἕτερον αὐτῶν μάλιστα εἶναί τι λέγεται καθ' ὑπερβολήν, τῶν αὐτῶν τούτων καὶ τὸ ἕτερον μάλιστα εἶναί τι λέγεται, κατὰ τὸ αὐτὸ τοῦ μάλιστα λαμβανομένου, οἷον εἰ τοῦ ἑτέρου μεγίστου πάντων ὄντος καὶ τὸ ἕτερον ὁμοίως μέγιστον πάντων εἴη, καὶ εἰ τοῦ ἑτέρου μεγίστου καὶ αἱρετωτάτου πάντων ὄντος καὶ τὸ ἕτερον ὁμοίως μέγιστον καὶ αἱρετώτατον πάντων εἴη· οὐ γὰρ ἂν τὸ μὲν αἱρετώτατον ᾖ καὶ κατὰ τοῦτο ἔχῃ τὸ μάλιστα, τὸ δὲ μέγιστον καὶ κατὰ τοῦτο τῶν ἄλλων ὑπερβάλλον, ἔσται ταῦτα τὰ αὐτά, ἀλλ' ἐὰν ἀμφότερα κατὰ τὸ αὐτὸ ἁπάντων ὑπερβάλλῃ. ἀνάγκη γὰρ κατὰ ταὐτὸν ἁπάντων ὑπερβάλλοντα ταὐτὰ κατ' ἀριθμὸν ἀλλήλοις εἶναι· ἓν γὰρ τὸ κατὰ ταὐτὸν τῶν αὐτῶν ὑπερβάλλον. τοῦτο δέ ἐστιν, εἰ ἑκάτερον αὐτῶν ἓν κατ' ἀριθμὸν εἴη καὶ μὴ ἐκ πλειόνων συγκείμενον ὡς τὸ μὲν περιέχειν τὸ δὲ περιέχεσθαι τῶν συγκρινομένων, ὡς δείξει. δεικνὺς γὰρ πῶς τὰ συγκρινόμενα δεῖ λαβεῖν, φησὶν ὅτι ἓν δεῖ κατ' ἀριθμὸν εἶναι τὸ σημαινόμενον ὑφ' ἑκατέρου, περὶ ὧν ἡ ζήτησις εἰ τὰ αὐτὰ καὶ ἡ κατὰ τὸν προειρημένον τρόπον δεῖξις ὅτι τὰ αὐτά, καὶ μὴ ἐκ πλειόνων συγκείμενα. εἰ γὰρ ἓν κατ' ἀριθμὸν ἑκάτερον εἴη, καθ' ὧν τὸ μέγιστον ἢ ἄλλο τι τῶν καθ' ὑπερβολὴν λεγομένων κατηγορεῖται, δεικνύοιτ' ἂν τὸ ταὐτὰ ἐκεῖνα εἶναι ἀλλήλοις· εἰ δὲ μὴ εἴη ἑκάτερον αὐτῶν ἓν κατ' ἀριθμόν, οὐκ ἂν δεικνύοιτο τὸ ταὐτὸν τῷ δύνασθαι τὸ ἕτερον αὐτῶν ὑπὸ τὸ ἕτερον εἶναι.

in Top.499 οὐ γὰρ ἀναγκαῖον, φησίν, εἶναι τοὺς αὐτοὺς Λακεδαιμονίους καὶ Πελοποννησίους, κἂν καθ' ὑπερβολὴν λέγωνται καὶ ἀμφότεροι ὁμοίως ἀνδρειότατοι τῶν Ἑλλήνω ν , ἐπεὶ οὐχ εἷς τῷ ἀριθμῷ Πελοποννήσιος καὶ Λακεδαιμόνιο ς , ἀλλὰ καὶ περιέχουσιν οἱ Πελοποννήσιοι τοὺς Λακεδαιμονίους. διὰ τοῦτο οὖν προσέθηκεν ὅτι τὰ δύο, καθ' ὧν κατηγορεῖταί τι καθ' ὑπεροχήν, ὀφείλουσιν ἓν σημαίνειν πρᾶγμα. οὔπω γὰρ ἂν εἴη ταὐτὰ τῷ ἀριθμῷ, κἂν ἔχωσί τι ἓν καθ' ὑπεροχὴν αὐτῶν λεγόμενον, ὡς οἱ Πελοποννήσιοι καὶ οἱ Λακεδαιμόνιοι· ἐπεὶ γὰρ οὐχ ἓν σημαίνουσιν, εἰ καὶ ἔχουσί τι καθ' ὑπεροχὴν αὐτῶν λεγόμενον, οὐ ῥηθήσονται ταὐτὰ τῷ ἀριθμῷ. πλὴν διότι περιέχεται τὸ ἕτερον ὑπὸ τοῦ ἑτέρου, οὐδέν τι ἄτοπον συμβαίνει· ἐν οἷς γὰρ λέγει ὅτι οἱ Πελοποννήσιοι ἀνδρειότατοι, συμπεριέλαβε καὶ τοὺς Λακεδαιμονίους ὅτι ἀνδρειότατοι· εἰ γὰρ καὶ λέγονται οἱ Πελοποννήσιοι πάντων τῶν Ἑλλήνων ἀνδρειότατοι, ἀλλ' οὐχὶ καὶ τῶν Λακεδαιμονίων, ὅτι περιέχουσιν οἱ Πελοποννήσιοι τοὺς Λακεδαιμονίους. εἰ δὲ μὴ περιέχονται οἱ ἕτεροι ὑπὸ τῶν ἑτέρων, συμβήσεται τοὺς αὐτοὺς εἶναι καὶ βελτίους καὶ χείρους ἀλλήλων. Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι ὁ σπουδαῖος βίος μέρος τοῦ εὐδαίμονος βίου· καὶ γὰρ περιέχεται ὑπ' αὐτοῦ. p. 152a31 Πάλιν σκοπεῖν εἰ ᾧ θάτερον ταὐτό ν . Οἷον εἴ τις εἴποι μέροπα καὶ βροτὸν τὸν αὐτὸν καὶ ἕνα εἶναι τῷ ἀριθμῷ· εἰ γὰρ ἀνὰ μέρος ἑκάτερος ταὐτὸν εἴη τῷ ἀνθρώπῳ, φανερὸν ὅτι καὶ ἀλλήλοις ταὐτά εἰσι τῷ ἀριθμῷ· εἰ δὴ μὴ εἶεν ταὐτὰ τῷ ἀνθρώπῳ, οὐδ' ἀλλήλοις. p. 152a33 Ἔτι ἐκ τῶν τούτοις συμβεβηκότω ν . Εἰ γὰρ ὁ βροτὸς καὶ ὁ μέροψ ταὐτά, ἐνδέχεται λοιπὸν καὶ ὅσα τῷ ἑτέρῳ συμβεβήκασι, καὶ τῷ ἑτέρῳ συμβεβηκέναι· συμβέβηκε δὲ τῷ βροτῷ τὸ γραμματικόν, τὸ λευκόν· τὰ αὐτὰ καὶ τῷ μέροπι ἐνδέχεται συμβεβηκέναι. ἀλλὰ καὶ τὸ ἀνάπαλίν φησιν, οἷς συμβέβηκε τὸ ἕτερον, τούτοις καὶ τὸ ἕτερον ὀφείλειν συμβεβηκέναι. συμβέβηκε δὲ τῷ τε Σωκράτει καὶ Πλάτωνι καὶ τοῖς λοιποῖς κατὰ μέρος ἀνθρώποις τό τε βροτὸν καὶ μέροπα εἶναι· διὸ βροτὸς καὶ μέροψ ταὐτὸν καὶ ἓν τῷ ἀριθμῷ.

in Top.500 εἰ δέ τι κατὰ ταῦτα διαφωνε ῖ , φανερὸν ὅτι οὐκ εἰσὶ ταὐτὰ τὰ ἀποδοθέντα. p. 152a38 Ὁρᾶν δὲ καὶ εἰ μὴ ἐν ἑνὶ γένε ι . Ὁ τόπος πρὸς ἀνασκευὴν χρήσιμος μόνον. ἐὰν γὰρ μὴ ᾖ τὰ ζητούμενα ὑπὸ τὴν αὐτὴν κατηγορίαν, δῆλον ὡς πολὺ 〈ἂν〉 ἀποδέοι τοῦ κατ' ἀριθμὸν εἶναι ταὐτά, εἴ γε οὐδὲ κατ' ἄλλο τῶν σημαινομένων τοῦ ταὐτοῦ οἷά τέ ἐστι ταὐτὰ εἶναι· οὔτε γὰρ τῷ γένει οὔτε τῷ εἴδει οἷόν τε ταὐτὰ εἶναι τὰ μὴ ἐν τῇ αὐτῇ κατηγορίᾳ. εἰ γάρ τις εἴποι ὅτι ἐπιστήμη καὶ ἀρετὴ ταὐτόν, ὁρᾶν δεῖ εἰ καὶ ἀμφότερα ὑπὸ ἓν γένος κατηγορίας ἀνάγονται· εἰ γὰρ μὴ τοῦτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴη, ἀλλὰ τὸ μὲν ὑπὸ τὸ ποσὸν τὸ δ' ὑπὸ τὸ ποιὸν ἢ ὑπὸ τὸ πρός τι ἢ ἄλλο τι, οὐκ ἂν εἶεν ταὐτά, ὡς φέρε εἰπεῖν ἀριθμὸς καὶ ἐπιστήμη ὑπὸ ἄλλο καὶ ἄλλο γένος ἀναγόμενα. p. 152a39 〈Πάλιν εἰ τὸ γένο ς .〉 Δόξειεν ἂν ὁ τόπος οὗτος ὁ αὐτὸς εἶναι τῷ πρὸ αὐτοῦ. οὐ μὴν οὕτως ἔχει· ἐπ' ἐκείνου μὲν γὰρ ἐζήτει εἰ μὴ ὑπὸ τὴν αὐτὴν κατηγορίαν εἴη· νῦν δὲ περὶ τοῦ προσεχοῦς γένους τὸν λόγον ποιεῖται. κἂν γὰρ ὑπὸ τὴν αὐτὴν κατηγορίαν ᾖ τινα ἀλλήλοις, μὴ ἔχῃ δὲ τὸ προσεχὲς γένος τὸ αὐτό, δῆλον ὅτι οὐκ ἂν εἴη κατ' ἀριθμὸν ἀλλήλοις ταὐτά. εἰ γὰρ εἴη ἀμφότερα μὲν ὑπὸ τὴν αὐτὴν ποιότητα, εἴη δὲ τοῦ μὲν ἀρετὴ τοῦ δὲ κακία τὸ γένος, ἢ τοῦ μὲν ἀρετὴ τοῦ δὲ ἐπιστήμη, δῆλον ὅτι ἕτερα ταῦτα. p. 152b2 Καὶ εἰ τὸ μὲν γένο ς . Καὶ εἰ τὸ μὲν γένος αὐτῶν ταὐτὸν εἴη, αἱ δὲ διαφοραὶ αἱ εἰδοποιοὶ μὴ αἱ αὐταί, δῆλον ὅτι ταῦτα οὐ ταὐτά. ὥστε οὐ ταὐτὸν ἐπιστήμη θεωρητικὴ καὶ ἐπιστήμη πρακτική · γένος μὲν γὰρ ἀμφοτέρων ἕν, ἡ ἐπιστήμη, διαφοραὶ δὲ τοῦ μὲν θεωρητικὴ τοῦ δὲ πρακτική. p.

in Top.501 152b6 Ἔτι ἐκ τοῦ μᾶλλο ν . Ὥστε οὐ ταὐτὸν ἐγκράτεια καὶ σωφροσύνη, εἴ γε ἐγκρατεύεσθαι μὲν ἔστι μᾶλλον καὶ ἧττον, σωφρονεῖν δὲ οὐχ οὕτως. p. 152b17 Σκοπεῖν δὲ μὴ μόνον εἰ ἤδη ἀδύνατο ν . Ὁ τόπος ἐξ ὑποθέσεως. ἀξιοῖ γὰρ μὴ μόνον σκοπεῖν εἰ ἤδη ἀδύνατον ἕπεται κειμένοις τισὶν εἶναι τοιούτοις, ὥσπερ τεθέντι τῷ τὴν ἀσωτίαν καὶ τὴν ἐλευθεριότητα ταὐτὰ εἶναι, ᾧ δὴ καὶ προδήλως ἕπεται ἀδύνατον τὸ τὴν ἀρετὴν καὶ τὴν κακίαν τὴν αὐτὴν εἶναι. οἷς μὲν οὖν τὸ ἀδύνατον ἕπεται τοῖς αὐτοῖς τιθεμένοις, πρόδηλον ὅτι ταῦτα ἕτερα. οὐ δή φησι δεῖν ἐπὶ τῶν κειμένων μόνον ὁρᾶν, ἀλλὰ καὶ εἰ ὑποτεθέντος τινὸς ἢ ἀληθοῦς ἢ ψευδοῦς ἢ καὶ δυνατοῦ ἢ ἀδυνάτου (οὐ γὰρ πάντα τὰ ἀδύνατα καὶ πρὸς ὑπόθεσιν ἀδύνατα) ἕπεταί τι ἀδύνατον, οὐκ ἔστι ταὐτὰ ἀλλήλοις τὰ προκείμενα. τῷ δὲ ἀλλὰ καὶ εἰ δυνατὸν ἐξ ὑποθέσεως ὑπάρξαι λείπει τὸ 'ἀδύνατον'. κειμένου γὰρ τοῦ ταὐτὸν εἶναι τὸ κενόν τε καὶ πλῆρες ἀέρος ὑποτεθέντι τῷ ἀνῃρῆσθαι τὸν ἀέρα ἕπεταί τι ἀδύνατον, τὸ εἶναι ταὐτὸν κενόν τε καὶ πλῆρες ἀέρος· ἀναιρεθέντος γὰρ τοῦ ἀέρος κενὸν μὲν ἔσται, πλῆρες δὲ ἀέρος οὐκ ἔστα ι . p. 152b25 Καθόλου δ ' εἰπεῖ ν . Δοκεῖ οὗτος ὁ τόπος ὁ αὐτὸς εἶναι τοῖς πρὸ ὀλίγου δύο τόποις τοῖς ἀπὸ τοῦ συμβεβηκότος παραδεδομένοις. οὐ μὴν πάντῃ ἐστὶν ἐκείνοις ὁ αὐτός, ἀλλ' οὗτος καθολικώτερος· ἐκ γὰρ τῶν ὁπωσοῦν ὑπαρχόντων τοῖς προκειμένοις, οὐ τῶν ὡς συμβεβηκότων μόνον (οὐ γὰρ πᾶν τὸ ὑπάρχον τινὶ συμβεβηκός), σκοπεῖν ἀξιοῖ καὶ ἐκ τῶν οἷς ταῦτα ὁπωσοῦν ὑπάρχει, οὐ μόνον ὡς συμβεβηκότα.

in Top.502 εἰ γὰρ εἴη μὴ ὑπάρχοντα ἑκατέρῳ αὐτῶν πάντα τὰ αὐτά, ἢ εἰ μὴ τοῖς αὐτοῖς ὑπάρχοι καθ' οἱονδήποτε τρόπον ὑπάρξεως, οὐ τὰ αὐτά· δεῖ γὰρ κατὰ μηδὲν διαφωνεῖν τὰ κυρίως ταὐτά. p. 152b30 Ἔτι ἐπεὶ πολλαχῶ ς . Ἐπεὶ τριχῶς τὸ ταὐτόν, ὡς ἐν τῷ πρώτῳ διεῖλεν, ἀξιοῖ νῦν ὅτι τὰ λεγόμενα ταὐτὰ κατ' ἄλλον τινὰ τρόπον οὐκ ἂν εἴη ταὐτὰ κατ' ἀριθμόν. τοῦτο δ' ἂν οὕτως ἔχοι· εἰ εἴη ταὐτὰ τῷ γένει προσεχῶς, τῷ εἴδει διαφέροντα ἀλλήλων, ἀδύνατον αὐτὰ τῷ εἴδει ὄντα ἕτερα ταὐτὰ κατ' ἀριθμὸν εἶναι· πάλιν τὰ τῷ εἴδει προσεχῶς ταὐτὰ τῷ ἀριθμῷ ἀλλήλων διαφέρει. προσέθηκα δὲ τὸ κυρίως καὶ προσεχῶς, ὅτι δοκεῖ τὰ τῷ ἀριθμῷ ταὐτὰ καὶ εἴδει καὶ γένει ταὐτὰ εἶναι. διὸ δόξει δύνασθαί τινα καὶ γένει καὶ εἴδει ταὐτὰ ὄντα μὴ κεκωλῦσθαι καὶ ἀριθμῷ εἶναι ταὐτά. χρὴ οὖν δεικνύντα ὅτι κατ' ἄλλο τί ἐστι ταὐτὰ ταῦτα, ἅ φησί τις εἶναι ταὐτά, ἀλλ' οὐ καθ' ὃ ἡ ζήτησις ἦν, ἀνασκευάζειν τὸ εἰρημένον, ἐνδεικνύμενον τὴν πλάνην τῆς τοιαύτης ἀποδόσεως. Ἔτι εἰ δυνατὸν τὸ ἕτερον χωρὶς τοῦ ἑτέρου εἶναι, οὐκ ἂν εἴη ταὐτά. p. 152b36 Δῆλον δ ' ἐκ τῶν εἰρημένων ὅτι ἅπαντες οἱ πρὸς ταὐτὸν ἀνασκευαστικοὶ τόπο ι . Ὅτι οἱ μὲν ἀνασκευαστικοὶ τόποι τοῦ ταὐτοῦ καὶ πρὸς τὸν ὅρον εἰσὶ χρήσιμοι· δι' ὧν γὰρ μὴ ταὐτὸν ἄλλο ἄλλῳ δείκνυται, διὰ τῶν αὐτῶν οἷόν τε ἀνασκευάζειν καὶ τοὺς ὁρισμούς· εἰ γὰρ μὴ ταὐτὸν δηλοῖ τό τε ὄνομα καὶ ὁ λόγος, οὐκ ἂν εἴη ὅρος.

in Top.503 οὐκέτι μέντοι οἱ κατασκευαστικοὶ τοῦ ταὐτοῦ τόποι καὶ πρὸς κατασκευὴν ὅρου χρήσιμοι τῷ τὸν ὅρον μὴ μόνον τὸν αὐτὸν ὀφείλειν εἶναι τῷ πράγματι ἀλλὰ καὶ τὸ τί ἦν εἶναι δηλοῦν

αὐτοῦ, ὃ οὐ παντὶ τῷ ταὐτῷ τινι ὄντι παρακολουθεῖ· δεῖ γὰρ τὸν ὅρον καὶ τὸ γένος δηλοῦν τοῦ πράγματος καὶ τὰς διαφοράς, αἷς τῶν ὁμογενῶν διαφέρει, καὶ μηδὲν περίεργον ἔχειν προσκείμενον καὶ τὸ σαφὲς ἔχειν καὶ ἐκ προτέρων εἶναι καὶ ὅσα ἄλλα περὶ τῶν ὅρων προδιώρισται. p. 153a6 Ἀναιρεῖν μὲν οὖν ὅρον οὕτως καὶ διὰ τούτων ἀεὶ πειρατέο ν . Διὰ τούτων λέγει τῶν τε ἐν τῷ πρὸ τούτου βιβλίῳ εἰρημένων τόπων πρὸς ἀνασκευὴν ὅρου καὶ διὰ τῶν ἐν τούτῳ ἀνασκευαστικῶν τοῦ ταὐτοῦ. ἑξῆς δὲ παραδίδωσί τινας τόπους δι' ὧν κατασκευάζειν οἷοί τε ἐσόμεθα ὅρον. καὶ πρῶτον ὑπομιμνήσκει ἡμᾶς ὅτι οἱ πλεῖστοι τῶν ὁριζομένων τι ὡς ἀρχὴν τὸν ὅρον λαμβάνουσιν ἀλλ' οὐ δι' ἀποδείξεως καὶ συλλογισμοῦ, συνιστὰς διὰ τούτων ὅτι μὴ ῥᾴδιον ὅρον κατασκευάσαι καὶ ὅτι οὐκ ἀνάγκη· οἱ γὰρ γεωμέτραι καὶ οἱ κατὰ τὰς ἄλλας ἐπιστήμας ὡς ἀρχαῖς χρῶνται τοῖς ὅροις μὴ ἀποδεικνύντες. δεύτερον δὲ ὅτι ἡ ἀκριβὴς περὶ αὐτῶν πραγματεία οὐ τῆς διαλεκτικῆς ἀλλὰ τῆς πρώτης φιλοσοφίας ἐστίν. ὥστε τοσοῦτον μόνον λεκτέο ν , ὅτι δυνατὸν γενέσθαι ὅρου καὶ τοῦ τί ἦν εἶναι συλλογισμό ν , τουτέστι διὰ συλλογισμοῦ δειχθῆναι ὅτι ὁρισμός· καίτοι ὅτι μὴ ἔστιν ὅρου ἀπόδειξις, ἐν τῷ δευτέρῳ τῶν Ὑστέρων ἀναλυτικῶν ἔδειξεν. ἀποδεῖξαι μὲν οὖν οὐχ οἷόν τε, ὡς ἐκεῖ δέδειχε, διαλεκτικῶς δὲ καὶ πιθανῶς συλλογίζεσθαι ὅρον οἷόν τε, ὡς ἐνταῦθα λέγει.

in Top.504 καὶ πῶς οἷόν τε τοῦτο ποιεῖν, ὑπογράφει. πρῶτον μὲν γὰρ δῆλον ὅτι δεῖ δείκνυσθαι τὸ δυνατὸν εἶναι διὰ συλλογισμοῦ κατασκευάζειν. ὅρον, εἶτα τοὺς τόπους, δι' ὧν τις δυνήσεται τοῦτο ποιεῖν, παραδίδοσθαι. εἰ γάρ, φησίν, ὁ ὅρος οὐδὲν ἕτερόν ἐστιν ἢ λόγος δηλωτικὸς τοῦ τί ἦν εἶναι τοῦ ὁριζομένου, καὶ διὰ τοῦτο δεῖ τὰ ἐν τῷ ὅρῳ κατηγορούμενα ἐν τῷ τί ἐστι κατηγορεῖσθαι τοῦ πράγματος, κατηγορεῖται δ' ἐν τῷ τί ἐστι τὰ γένη καὶ αἱ διαφοραί (κἂν γὰρ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορῶνται αἱ διαφοραί, ἀλλ' οὖν ἐν τῷ ὅρῳ τὸ τί ἐστι σημαίνουσι τοῦ πράγματος), φανερὸν ὡς εἴ τις συνθείη λόγον ἐκ γένους καὶ διαφορᾶς τὸ τί ἦν εἶναι δηλούντων τοῦ πράγματος, ὅρον ἐποίησεν, ὅτι οὐκ ἐνδέχεται ἄλλον ὅρον γενέσθαι, μὴ ὄντος ἄλλου γένους μηδὲ διαφορῶν τὸ τί ἦν εἶναι τοῦ πράγματος δηλούντων. εἶτά φησιν ὅτι μὲν οὖν ἐγχωρεῖ συλλογισμὸν ὅρου γενέσθα ι , δηλονότι διαλεκτικὸν ἀλλ' οὐκ ἀποδεικτικόν, διώρισται μὲν ἐν ἑτέροις ἀκριβέστερο ν , ἔν τε τῷ δευτέρῳ τῶν Ὑστέρων ἀναλυτικῶν καὶ ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά. p. 153a23 Πρὸς δὲ τὴν προκειμένην μέθοδον οἱ αὐτοὶ τόποι χρήσιμο ι . Πρὸς κατασκευὴν τῶν ὅρων κατὰ τὴν διαλεκτικὴν μέθοδόν φησι τοὺς αὐτοὺς τόπους εἶναι χρησίμους, ἤτοι τοὺς πρὸς ἀνασκευὴν τῶν ὅρων παραδοθέντας· παραδέδωκε γὰρ ἀπὸ τῶν ἀντικειμένων ἐν τῷ πρὸ τούτου τόπους ἀνασκευαστικοὺς τῶν ὅρων, ὁμοίως καὶ ἀπὸ τῶν συστοίχων καὶ ἀπὸ τῶν ἄλλων, ὧν καὶ νῦν μνημονεύσει. εἶεν δ' ἂν οἱ αὐτοὶ τόποι χρήσιμοι καὶ πρὸς τὴν τῶν ἄλλων προβλημάτων κατασκευήν. καὶ γὰρ τὸ συμβεβηκὸς ἀπὸ τῶν ἐναντίων κατασκευάζειν οἷόν τε καὶ τὸ γένος καὶ τὸ ἴδιον· εἰ γὰρ τὸ ἐναντίον τῷ ἐναντίῳ συμβέβηκε, καὶ τῷ προκειμένῳ· καὶ εἰ τὸ ἐναντίον τοῦ ἐναντίου γένος ἢ ἴδιον, καὶ τοῦ προκειμένου· ὁμοίως καὶ ἐπὶ τῶν 〈ἀπὸ τῶν〉 συστοίχων καὶ τῶν ἄλλων, οὓς παραθήσεται. κοινοὶ γὰρ οἱ ἀπὸ τῶν ἀντικειμένων τόποι πᾶσι τοῖς γένεσι τῶν προβλημάτων καὶ πρὸς κατασκευὴν καὶ πρὸς ἀνασκευήν, ὥσπερ καὶ οἱ ἀπὸ τῶν πτώσεων καὶ οἱ ἀπὸ τῶν συστοίχων καὶ ὧν ἄλλων μνημονεύσει.

in Top.505 p. 153a30 Ληπτέον τῶν ἐναντίω ν , ὁποίου ἂν μάλιστα φανερὸς ᾖ ὁ ἐναντίος ὅρο ς . Ἐπὶ τῆς τῶν ἐναντίων συμπλοκῆς, φησίν, ἑκατέρου τῶν ἐναντίων διὰ τῶν ἐναντίων ὁριζομένου ληπτέον ἀπὸ τῶν δύο ὅρων τὸν μᾶλλον φαινόμενον ἐναντίον. οἷον ἔστω ὠφελίμου ὅρος τὸ ποιητικὸν ἀγαθοῦ, τοῦ δὲ βλαβεροῦ τὸ ποιητικὸν κακοῦ ἢ τὸ φθαρτικὸν ἀγαθοῦ· ληπτέον οὖν ἀπὸ τῶν δύο τούτων ὅρων τοῦ βλαβεροῦ τὸν φαινόμενον μάλιστα ἐναντίον τῷ ὅρῳ τοῦ ὠφελίμου. καὶ πάλιν φιλία ἐστὶ περιποιητικὴ τοῦ εὖ, ἔχθρα δὲ περιποιητικὴ τοῦ μὴ εὖ ἢ περιποιητικὴ κακίας· ληφθήτω οὖν καὶ ἐν τούτοις ὁ δοκῶν φανερώτερος. δεῖ γάρ, φησίν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρχόμενον ἀπὸ τοῦ γνωριμωτέρου ποιεῖσθαι τὴν κατασκευήν. ὅλου μὲν οὖν τοῦ λόγου οὕτως ἀπὸ τῶν ἀντικειμένων χρὴ τὴν κατασκευὴν ποιεῖσθαι. ἑξῆς δὲ διδάσκει τίνα τρόπον οἷόν τε κατὰ μέρος τὴν κατασκευὴν ποιεῖσθαι. ἔστι δὲ μέρη τοῦ ὅρου γένος καὶ διαφορά· καὶ πρῶτον οὖν τὸ γένος πῶς κατασκευάσομεν δείκνυσι. καὶ φησί· πρῶτον μὲν οὖν ὅτι τὸ ἀποδοθὲν γένος ὀρθῶς ἀποδέδοτα ι , γνωρίσομέν τε καὶ δείξομεν ἀπὸ τοῦ ἐναντίου τῷ οὗ ὁ ὅρος ἀποδεδομένος. εἰ γὰρ τὸ ἐναντίον ἐν τῷ ἐναντίῳ ἐστὶ τούτου ἐν ᾧ τὸ προκείμενον ἐτέθη, μὴ δύναται δὲ τοῦτο ὑπὸ τὸ γένος εἶναι ἐκεῖνο μηδ’ ἐν ᾧ ἐκεῖνο, δῆλον ὅτι ἐν τούτῳ ἂν εἴη ἐν ᾧ ἀπεδόθη· τὰ γὰρ ἐναντία ἢ ἐν τῷ αὐτῷ γένει ἐστὶν ἢ ἐν τοῖς ἐναντίοις γένεσι ν . οἷον εἰ ληφθείη ἀρετὴ γένος τῆς δικαιοσύνης, ῥητέον ὅτι καλῶς ἀποδέδοται· εἰ γὰρ τὸ ἐναντίον αὐτῇ, ἡ ἀδικία, ὡς ἐν γένει τῇ κακίᾳ ἀνάγεται, τὸ δὲ προκείμενον, ἡ δικαιοσύνη, μή ἐστιν ὡς ἐν γένει τῇ κακίᾳ, δῆλον ὅτι ἐν τῷ ἐναντίῳ ἀναχθήσεται, ἤγουν τῇ ἀρετῇ· τὰ γὰρ ἐναντία ἢ ἐν τῷ αὐτῷ γένει ἀνάγονται, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν ἐν τῷ χρώματι, ἢ ἐν τοῖς ἐναντίοις γένεσιν, ὡς ἡ δικαιοσύνη καὶ ἡ ἀδικία ἐν τῇ ἀρετῇ καὶ τῇ κακίᾳ.

in Top.506 οὐκέτι δὲ προσέθηκεν “ἢ αὐτὰ γένη εἶναι”, ὡς ἐν ἄλλοις λέγει, ὅτι μηδὲ χρήσιμον ἦν πρὸς τὸ προκείμενον τοῦτο προστιθέμενον· οὐ γάρ ἐστιν ἡ ζήτησις νῦν εἰ γένος ἐστὶ τὸ προκείμενον, ἀλλ’ ὑπὸ τί γένος. καὶ τῶν διαφορῶν δὲ τὴν ἐπίκρισιν, φησίν, ἐκ τῶν ἐναντίων ποιησόμεθα· εἰ γὰρ τοῦ ἐναντίου τῷ ὁριστῷ αἱ ἐναντίαι διαφοραὶ κατηγοροῦνται, καὶ τοῦ προκειμένου αἱ ἀποδοθεῖσαι ἂν εὐλόγως κατηγοροῖντο. οἷον εἰ τῆς δικαιοσύνης ἀποδοθείη τὸ ‘ἕξις διανεμητικὴ τοῦ ἴσου‘, σκεπτέον εἰ τοῦ ἐναντίου, τῆς ἀδικίας, ἡ ἐναντία διαφορά, ἤγουν τὸ διανεμητικὸν τοῦ ἀνίσου, κατηγορεῖται· καὶ τούτου φανέντος, εὐλόγως ἀποδέδοται ἡ ἐναντία διαφορὰ τῇ δικαιοσύνῃ. p. 153b4 Ἢ οὐκ ἀναγκαῖον τῶν ἐναντίων τὰς ἐναντίας διαφορὰς κατηγορεῖσθα ι . Ἔνστασιν φέρει πρὸς τὰ εἰρημένα, ὅτι οὐκ ἀναγκαῖον τῶν ἐναντίων τὰς ἐναντίας διαφορὰς κατηγορεῖσθα ι , ἐὰν μὴ ᾖ τἀναντία ὑπὸ τὸ αὐτὸ γένο ς . τῶν μὲν γὰρ ὑπὸ τὸ αὐτὸ γένος ὄντων ἀνάγκη τὰς εἰδοποιοὺς διαφορὰς ἐναντίας εἶναι, ἢ πάσας ἢ τινάς, πάσας μέν, ὡς ἐπὶ βαρέος καὶ κούφου (γένος μὲν γὰρ τὸ σῶμα, διαφοραὶ δὲ τοῦ μὲν βαρέος τὸ παχὺ καὶ κάτω φερόμενον, τοῦ δὲ κούφου τὸ λεπτὸν καὶ ἄνω φερόμενον), τινὰς δέ, εἰ λέγοιμεν πάλιν τὸ μὲν βαρὺ κατὰ φύσιν κάτω φερόμενον, τὸ δὲ κοῦφον κατὰ φύσιν ἄνω φερόμενον· τὸ γὰρ κατὰ φύσιν ἐν ἀμφοῖν κοινὴ διαφορά. τῶν δ’ ὑπὸ τὰ ἐναντία γένη οὐκ ἀνάγκη ἐναντίας εἶναι τὰς διαφοράς· δυνατὸν γὰρ κοινήν τινα ἔχειν διαφοράν. καὶ ὅτι τοῦτο οὕτως ἔχει, δείκνυσιν ἐπὶ δικαιοσύνης καὶ ἀδικίας· αὗται γὰρ ὑπὸ ἐναντία οὖσαι γένη (ἡ μὲν γὰρ ὑπὸ τὴν ἀρετήν, ἡ δὲ ὑπὸ τὴν κακίαν) τὴν αὐτὴν διαφορὰν ἔχουσι· τὸ γὰρ ψυχῆς ἀμφοτέρων κοινὴ διαφορά· καὶ γὰρ ἡ δικαιοσύνη ἀρετὴ ψυχῆς καὶ ἡ ἀδικία κακία ψυχῆς. τὸ γὰρ ψυχῆς χωρίζει αὐτὰς τῶν σωματικῶν· πρὸς μὲν γὰρ τὸν ἀπ’ ἀλλήλων χωρισμὸν ἤρκεσεν αὐταῖς τὰ γένη ὄντα ἐναντία, πρὸς δὲ τὰς ἐν τῷ σώματι γινομένας ἡ προειρημένη διαφορά. ἐνδέχεται μέντοι καὶ ὑπὸ τὰ ἐναντία τινὰ ὄντα γένη [καὶ] διαφορὰς ἔχειν ἐναντίας, ὡς ὅταν λέγωμεν τὴν δικαιοσύνην ἀρετὴν ἰσότητος ποιητικὴν καὶ τὴν ἀδικίαν κακίαν ἰσότητος φθαρτικήν.

in Top.507 p. 153b10 Ἀλλὰ τοῦτό γε ἀληθέ ς , ὅτι τῶν ἐναντίων ἢ ἐναντίαι ἢ αἱ αὐταὶ διαφοραί εἰσι ν . Εἰπὼν τὴν ἔνστασιν ἐπήνεγκεν ἀληθὲς εἶναι καθόλου τὸ τῶν ἐναντίων ἢ τὰς αὐτὰς ἢ ἐναντίας εἶναι διαφορὰς ὥσπερ καὶ γένη· καὶ γὰρ τὸ γένος ἢ ταὐτὸν ἢ ἐναντίον. ὥστε, εἰ εἴη τις διαφορὰ τοῦ ἐναντίου τῷ προκειμένῳ, μὴ εἴη δὲ καὶ τοῦτο ὑπὸ τὴν αὐτὴν διαφορὰν δυνάμενον εἶναι, εἴη ἂν ὑπὸ τὴν ἐναντίαν ἐκείνῃ. p. 153b14 Καθόλου δὲ εἰπεῖ ν , ἐπεὶ ὁρισμός ἐστιν ἐκ γένου ς . Ἐὰν ᾖ γνώριμος ὁ τοῦ ἐναντίου τῷ προκειμένῳ ὅρος, γνώριμος ἔσται καὶ ὁ τούτου. ἐπεὶ γὰρ τὸ ἐναντίον ἢ ἐν τῷ αὐτῷ γένει ἢ ἐν τῷ ἐναντί ῳ , ὁμοίως δὲ καὶ αἱ διαφοραὶ τῶν ἐναντίων ἢ ἐναντίαι ἢ αἱ αὐτα ί , δῆλον ὅτι τὸ προκείμενον ἢ ὑπὸ ταὐτὸ γένος ἐστὶ τῷ ἐναντίῳ· καὶ εἰ τοῦτο, ἕξει πάντως τὰς διαφορὰς πάσας ἢ τινὰς ἐναντίας ταῖς ἐκείνου, τὰς δὲ λοιπὰς τὰς αὐτάς·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐκέτι δὲ οἷόν τε πάσας ἔχειν τὰς αὐτὰς διαφορὰς ἔχοντα καὶ τὸ γένος ταὐτόν· οὕτως γὰρ ἂν οὐκέτι εἴη ἐναντία ἀλλὰ ταὐτά, εἴ γε ὧν ὁ αὐτὸς ὅρος, ταῦτα ταὐτά, ὁ αὐτὸς δὲ ὅρος ἐν ᾧ καὶ τὸ γένος ταὐτὸ καὶ αἱ διαφοραὶ αἱ αὐταί. εἰ δὲ μὴ ὑπὸ ταὐτὸν γένος εἴη τὸ προκείμενον τῷ ἐναντίῳ αὐτοῦ, ἔσται ὑπὸ τὸ ἐναντίον τῷ γένει ἐν ᾧ ἐκεῖνό ἐστι, καὶ ἕξει πάλιν τὰς διαφορὰς ἤτοι τὰς αὐτὰς ἃς ἐκεῖνο ἢ ἐναντίας ταῖς ἐκείνου.

in Top.508 p. 153b25 〈Ἔτι ἐκ τῶν πτώσεων καὶ τῶν συστοίχω ν .〉 Ἔτι καὶ ἀπὸ τῶν πτώσεων καὶ ἀπὸ τῶν συστοίχων οἷόν τε κατασκευάζειν τὸν ὅρον· ἀνάγκη γὰρ ἀκολουθεῖν ἐπὶ τούτων τὰ γένη τοῖς γένεσι καὶ τοὺς ὅρους τοῖς ὅροι ς . εἰ γὰρ ἑνός τινος τῶν συστοίχων τὸν ὅρον λάβοιμεν, εἰήμεν ἂν εὑρηκότες καὶ τὸν τῶν ἄλλων, [καὶ] ὡς ἐπὶ τῆς γενέσεως λαβὼν τί ποτέ ἐστιν ἡ γένεσις ἔδειξε καὶ τοὺς τῶν τῇ γενέσει συστοίχων ὅρους· καθόλου γάρ, ἑνὸς τῶν συστοίχων εἰ 〈ὁ〉 ὅρος ὁμολογηθείη, εἴη ἂν δι’ ἐκείνου καὶ ὁ τῶν ἄλλων ὡμολογημένος. p. 154a4 Ἔτι ἐκ τοῦ μᾶλλον καὶ τοῦ ὁμοίως [ κα ὶ ] ὁσαχῶς ἐνδέχετα ι . Τὸ ὅμοιον οὐ τὸ αὐτὸ τῷ προειρημένῳ νῦν λαμβάνει· ἐκεῖ μὲν γὰρ ἡ κατὰ ἀναλογίαν ὁμοιότης ἐλαμβάνετο, ἐνταῦθα δὲ ἡ ἁπλῶς καὶ κυρίως λεγομένη. πλείους μὲν οὖν τόποι παρεδόθησαν ὑπ’ αὐτοῦ ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον καὶ ἀπὸ τοῦ ὁμοίως κατασκευαστικοί τε καὶ ἀνασκευαστικοί, τέσσαρες ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον καὶ τρεῖς ἀπὸ τοῦ ὁμοίως. φησὶ δὲ δεῖν ἐκείνων τῶν τόπων χρῆσθαι πρὸς τὴν τοῦ ὅρου κατασκευὴν τούτοις δι’ ὧν οἷόν τε τοῦτο ποιεῖν· ἔστι δὲ διὰ μόνου τοῦ ἐν ᾧ δύο ἦν πρὸς δύο λεγόμενα, καὶ ἀπό τε τοῦ μᾶλλον καὶ ἧττον καὶ ἀπὸ τοῦ ὁμοίως. οὔτε γὰρ διὰ τοῦ εἰ ἓν περὶ ἑνὸς λέγοιτο, ὃ σημαίνει ‘〈εἰ〉 τὸ μᾶλλον τῷ μᾶλλον, καὶ τὸ ἁπλῶς τῷ ἁπλῶσ‘· μᾶλλον γὰρ ὁ αὐτὸς τοῦ αὐτοῦ ὅρος καὶ ἧττον οὐ δύναται εἶναι· οὐ γὰρ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον ὁ ὅρος.

in Top.509 ἀλλ’ οὐδὲ διὰ τοῦ εἰ περὶ δύο ἓν λέγοιτο ὡς τῷ μὲν μᾶλλον τῷ δὲ ἧττον ὑπάρχειν αὐτῶν ἢ ὁμοίως· ἀλλ’ οὐδὲ διὰ τοῦ εἰ περὶ ἑνὸς δύο λέγοιτο ὡς τὸ μὲν μᾶλλον τὸ δὲ ἧττον ὑπάρχειν αὐτῷ ἢ ὁμοίως· τοιοῦτοι δ’ ἦσαν τόποι ὅ τε λέγων ‘εἰ τόδε τῷδε μᾶλλον ἢ τῷδε ὑπάρχει‘ καὶ ὁ λέγων ‘〈εἰ〉 τῷδε τόδε μᾶλλον ἢ τόδε ὑπάρχει‘· ὁμοίως καὶ ἀπὸ τοῦ ἧττον· ἀλλὰ καὶ ἀπὸ τοῦ ὁμοίως. τοῖς μὲν οὖν τοιούτοις οὐχ οἷόν τε χρῆσθαι ἐπὶ τῆς τοῦ ὅρου κατασκευῆς· ἀδύνατον γὰρ τὸν αὐτὸν πλειόνων εἶναι ὅρον ἢ τοῦ μὲν μᾶλλον τοῦ δὲ ἧττον ἢ ὁμοίως· ἀμφότεροι γὰρ ἦσαν τόποι λέγοντες ἢ ‘εἰ τῷ μὲν μᾶλλον τῷ δὲ ἧττον ὑπάρχει 〈ἢ ἀμφοῖν ὁμοίωσ〉 ‘ ἢ ‘εἰ τὸ μὲν μᾶλλον τὸ δὲ ἧττον ὑπάρχει ἢ ἄμφω ὁμοίωσ‘. ἀδύνατον γὰρ διὰ τούτων τὸν ὅρον κατασκευάσαι, ἐπεὶ ἀδύνατον ἑνὸς πλείους ὅρους εἶναι ἢ ὁμοίως ἢ τοῦ μὲν μᾶλλον τοῦ δὲ ἧττον. λείπεται δὲ ὁ τόπος ἐν ᾧ δύο ἦν τὰ ὑποκείμενα καὶ δύο τὰ περὶ αὐτῶν λεγόμενα, εἰ τὸ μὲν μᾶλλον τῷ ἑτέρῳ ὑπάρχει, τὸ δὲ ἧττον τῷ ἑτέρῳ, ἢ ἑκάτερον ἑκατέρῳ ὁμοίως. κατὰ τοῦτον οὖν μόνον ἔστι κοινὸν τὸν τρόπον ἀπό τε τοῦ μᾶλλον καὶ ἧττον καὶ ἀπὸ τοῦ ὁμοίως κατασκευάζειν ὅρον. [Ἡ δὲ συνάφεια τοῦ ῥητοῦ ἔχει οὕτως. ἔτι, φησίν, ὁσαχῶς ἐνδέχεται κατασκευάσαι ἐκ τοῦ μᾶλλον. οἷον εἰ τῆς σωφροσύνης μᾶλλον ὁρισμός ἐστι τὸ σῶα φρονεῖν ἢ τῆς δικαιοσύνης τὸ ἕξις διανεμητικὴ τοῦ ἴσου, καὶ αὖθις ἧττόν ἐστιν ὁρισμὸς τῆς δικαιοσύνης τὸ ἕξις διανεμητικὴ τοῦ ἴσου ἢ τῆς σωφροσύνης τὸ σῶα φρονεῖν. οὐ δυνατὸν δὲ εἰπεῖν, εἰ ὁ μᾶλλον ὁρισμός, ἔσται καὶ ὁ ἧττον, καὶ εἰ ὁ μᾶλλον οὐκ ἔστιν, οὐδὲ ὁ ἧττον, δύο ὅρους λαμβάνοντα καὶ πρὸς δύο ὑποκείμενα συγκρίνοντα. ὡσαύτως δὲ καὶ ἐκ τοῦ ὁμοίως· εἰ γὰρ ὁμοίως ὅδε ὁρισμός ἐστι τῆς ἀνδρίας, τὸ ἕξις περὶ τὰ φθαρτικὰ θάρσους περιποιητική, ὁμοίως ὁρισμὸς ἔσται τῆς δικαιοσύνης τὸ ἕξις τοῦ ἴσου διανεμητική· εἰ δὲ ὁ ἕτερος οὐκ ἔστι τοῦ ἑτέρου, οὐδὲ ὁ ἕτερος τοῦ ἑτέρου. εἰ δὲ λάβοις ἕνα ὅρον πρὸς δύο ὑποκείμενα, οὐ χρησιμεύσει σοι ἡ ἐκ τοῦ μᾶλλον ἐπίσκεψις· οὐ γὰρ δυνατὸν εἰπεῖν ‘εἰ ὅδε μᾶλλόν ἐστιν ὁρισμὸς τοῦδε ἢ τοῦδε, ἔστι δὲ τοῦδε ὁρισμός, καὶ τοῦδε ἔσται‘· οὐδὲ γὰρ ἐνδέχεται λαβεῖν ἕνα ὅρον δυσὶν ὑποκειμένοις, ἐπεὶ οὐδὲ εἷς ὁρισμὸς δύο ὑποκειμένων μὴ ἀτόμων εὑρίσκεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

in Top.510 ἀλλ’ οὐδὲ δύο ὁρισμοὶ πρὸς ἓν ὑποκείμενον· οὐ γὰρ δυνατὸν εἰπεῖν ‘εἰ ὅδε μᾶλλον ὁρισμός ἐστι τοῦδε ἢ ὅδε, ἔστι δὲ ὁρισμὸς ὅδε τοῦδε, καὶ ὅδε ἂν εἴη‘.] p. 154a12 Εἰσὶ δὲ καὶ ἐπικαιρότατοι τῶν τόπων οἵ τε νῦν εἰρημένο ι . Πρὸς τὸ κατασκευάζειν ὅρον χρησιμώτατοι τῶν τόπων οἵ τε ἐκ τοῦ μᾶλλον καὶ ἧττον καὶ τοῦ ὁμοίως δεικνύντες καὶ οἱ ἐκ τῶν συστοίχων καὶ τῶν πτώσεων · διὸ καὶ προχείρους αὐτοὺς ἔχειν δε ῖ . εἰσὶ δὲ ἐπικαιρότατοι καὶ διὰ τὴν σαφήνειαν καὶ ἐνάργειαν. p. 154a15 Καὶ τῶν ἄλλων δὲ τοὺς μάλιστα κοινού ς . Δεῖ, φησί, καὶ τῶν ἄλλων τόπων τῶν ὑπ’ αὐτοῦ παραδεδομένων τοὺς μάλιστα κοινού ς , τουτέστιν οἷς οἷόν τε πρὸς πλείω γένη προβλημάτων χρῆσθαι, προχείρους ἔχειν· ἐναργέστατοι γὰρ οὗτοι οἱ τόποι καὶ χρησιμώτατοι. τοιοῦτον δὲ λέγει εἶναι τὸν παραδεδομένον ὑπ’ αὐτοῦ ἐν ἀρχῇ τοῦ 〈δευτέρου〉 βιβλίου, δι’ οὗ ἠξίου ἐπιβλέπειν εἰ τὸ λεγόμενόν τινι ὑπάρχειν πᾶσι τοῖς ὑπ’ αὐτὸ ὑπάρχει· καὶ γὰρ ἐπὶ τῆς τῶν ὅρων κατασκευῆς τε καὶ ἀνασκευῆς χρήσιμον τοῦτο. εἰπὼν δὲ τὸ ἐπιβλέπειν ἐπὶ τὰ κα θ ’ ἕκαστα προσέθηκε καὶ τὸ ἐπὶ τῶν εἰδῶν σκοπεῖ ν , εἰ μὲν εἶδος εἴη ἢ ἄτομον οὗ ὁ ὅρος ἀποδέδοται, ἐπὶ τὰ καθ’ ἕκαστα μόνον ἐπιβλέπειν, εἰ δὲ γένος, καὶ ἐπὶ τὰ εἴδη τὰ ὑπ’ αὐτό. λέγει δὲ χρήσιμον τὸν τόπον τοῦτον καὶ τὴν τοιαύτην ἐπίβλεψιν εἶναι πρὸς ἀνασκευὴν τῶν ἰδεῶν καὶ εἰδῶν· ὁ γὰρ αὐτὸς λόγος οὐκ ἐφαρμόζει τοῖς τε καθ’ ἕκαστα καὶ τῇ ἰδέᾳ πρὸς ἣν ταῦτα.

in Top.511 οὔτε γὰρ ὁ τῆς ἰδέας τούτοις, οὔτε ὁ τούτων ἐκείνῃ· δεῖ δὲ τοῖς εἴδεσι συνώνυμα εἶναι τὰ πρὸς αὐτὰ γινόμενά τε καὶ ὄντα. p. 154a20 Ἔτι εἰ μεταφέρων εἴρηκε τοὔνομ α . Εἰπὼν τίνες εἰσὶ τῶν τόπων χρήσιμοι πρὸς τὴν τῶν ὅρων κατασκευήν, μνημονεύσας δὲ καί τινων δι’ ὧν οἷόν τε οὐ μόνον κατασκευάζειν ἀλλὰ καὶ ἀνασκευάζειν ὅρον, προστίθησι καὶ τοὺς τῶν ἀνασκευαστικῶν τόπων κοινούς, ἀξιῶν καὶ τούτους προχείρους ἔχειν ὡς μάλιστα χρησίμους ὄντας. εἰσὶ δὲ ὅ τε ἀπὸ τοῦ μεταφορικῶς τῷ ὀνόματι χρῆσθαι ἢ ὅλως τροπικῶς καὶ μὴ κυρίως (ὁ γὰρ οὕτως ὁριζόμενος οὐ καλῶς ὁρίζεται), καὶ ὁ αὐτὸ αὑτοῦ κατηγορήσας ὡς ἕτερον ἐν τῇ τοῦ ὅρου ἀποδόσει οὐχ ὁρίζεται. καὶ μεταφορικῷ μὲν ὀνόματι χρῆται ὁ εἰπὼν ‘σωφροσύνη ἐστὶ συμφωνία ψυχῆσ‘· τὸ γὰρ ‘συμφωνία‘ κυρίως ἐπὶ τῶν χορδῶν λέγεται. αὐτὸ δὲ αὑτοῦ κατηγορεῖ ὁ εἰπὼν ‘ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν ἄνθρωποσ‘. p. 154a23 Ὅτι δὲ χαλεπώτερον κατασκευάζειν ἢ ἀνασκευάζειν ὅρο ν . Ἐκ τῶν ῥηθησομένων φανερόν, φησίν, ἔσται 〈ὅτι χαλεπώτερον κατασκευάζειν ἢ ἀνασκευάζειν ὅρον 〉 · καὶ γὰρ χαλεπὸν λαβεῖν ἀπὸ τοῦ ἀποκρινομένου τοιαύτας προτάσεις, δι’ ὧν δειχθήσεται ὁ εἰρημένος λόγος ὅρος ὤν. δεῖ γὰρ λαβεῖν, εἰ μέλλει τις δείξειν ὅτι ὅρος τοῦτο, ὅτι τῶν ἐν τῷ λόγῳ ἀποδοθέντων τὸ μὲν γένος τὸ δὲ διαφορ ά , καὶ ὅτι ἐν τῷ τί ἐστι μόνα κατηγορεῖται. ταῦτα δὲ οὐ ῥᾴδιον· οὐ γὰρ παντὸς τὸ τοῖς τοιούτοις παρακολουθεῖν· χωρὶς δὲ τοῦ ταῦτα συγχωρηθῆναι ἀδύνατόν ἐστιν δειχθῆναι ὅτι ὅρος ὁ ἀποδεδομένος λόγος. εἰ γὰρ εἴη καὶ ἄλλα τινὰ ἐν τῷ τί ἐστι κατηγορούμενα τοῦ προκειμένου καὶ μὴ μόνα τό τε γένος καὶ ἡ διαφορά, ἃ ἐν τῷ ἀποδεδομένῳ λόγῳ παρείληπται, οὐδέπω γνώριμον εἴτε οὗτος ὅρος ἐστὶ τοῦ προκειμένου εἴτε καὶ ἄλλος τις, ἐπειδὴ ὅρος ἐστὶν ὁ τὸ τί ἦν εἶναι σημαίνω ν , ὁ δὲ τοῦ προκειμένου λόγος ἓν τῶν ἐν τῷ τί ἐστι κατηγορουμένων.

in Top.512 p. 154a32 Δῆλον δὲ καὶ ἐκ τῶνδε · ῥᾷον γὰρ ἓν συμπεράνασθαι ἢ πολλ ά . Ὅτι ῥᾷον ἀνασκευάσαι ἢ κατασκευάσαι ὅρον. δεῖ γὰρ πρὸς μὲν τὸ κατασκευάσαι ὅρον πάντα συλλογίσασθαι καὶ δεῖξαι ὑπάρχοντα τῷ προκειμένῳ τὰ ἐν τῷ ὅρῳ παρειλημμένα· εἰ γὰρ μὴ πάντα ὑπάρχει, οὐχ ὅρος. πρὸς δὲ τὸ ἀνασκευάσαι καὶ δεῖξαι ὅτι μὴ ὅρος ὁ ἀποδεδομένος λόγος ἀρκεῖ καὶ ἓν ἀποδεῖξαι τῶν ἐν τῷ λόγῳ μὴ ὑπάρχον τῷ ὁριστῷ· ἑνὸς γὰρ διαβληθέντος ὁ πᾶς ὅρος ἀνήρηται· ῥᾷον δὲ τὸ ἓν κατασκευάσαι ἢ πολλ ά . ἔτι τὸν κατασκευάζοντα ὅρον ἀνάγκη καθόλου καὶ καταφατικῶς συμπεραίνεσθαι ὅτι τὰ ἐν τῷ ὅρῳ κατὰ παντὸς τοῦ ὁριστοῦ κατηγορεῖται, καὶ ὅτι ἀντιστρέφει καὶ καθ’ οὗ ὁ λόγος καὶ τοὔνομα, εἴπερ ἐστὶν ὁ ἀποδεδομένος λόγος ἴδιος τοῦ πράγματος. ἀνασκευάζοντα δὲ οὐκ ἀνάγκη τὸ καθόλου

συνάγειν· οὐ γὰρ μόνον ἀναιρεῖται, ἂν μηδενὶ τῶν ὑπὸ τοὔνομα ὑπάρχων ὁ λόγος δειχθῇ, ἀλλ’ ἱκανὸν πρὸς ἀνασκευὴν τὸ τινὶ τῶν ὑπ’ αὐτὸ δειχθῆναι αὐτὸν μὴ ὑπάρχοντα. p.

in Top.513 154b6 Ἀπόχρη γὰρ ἀνασκευάζοντα καθόλου τὸ δεῖξα ι . Ἀπόχρ η , φησίν, ἀνασκευάζοντα καθόλου τὸ δεῖξαι ὅτι μηδενὶ ὑπάρχει ὁ ἀποδεδομένος λόγος τῶν ὑπὸ τοὔνομα. οὐκέτι δὲ αὐτὸ χρὴ καὶ κατ’ ἀντιστροφὴν δεῖξαι, ἥτις ἐστὶ τὸ ‘καθ’ ὧν ὁ λόγος κατηγορεῖται, κατ’ οὐδενὸς τούτων τοὔνομα κατηγορεῖται‘· οὐ γὰρ χρήσιμον πρὸς ἀνασκευὴν τοῦ ὁριστοῦ τοῦτο· ἱκανὸν γὰρ τὸ δεῖξαι τὸ καθ’ ὧν τοὔνομα, κατ’ οὐδενὸς τούτων ὁ λόγος. δοκεῖ μέντοι αὐτὸς μὴ ἀποφατικῶς ἐπενηνοχέναι τὸ ἀντιστρέφον τῷ πρώτῳ ἀλλὰ τὸ αὐτό· τὰ αὐτὰ γὰρ τό τε ‘κατ’ οὐδενὸς ὧν τοὔνομα κατηγορεῖται, καὶ ὁ λόγος κατηγορεῖται‘ καὶ τὸ κα θ ’ ὧν ὁ λόγος μὴ κατηγορεῖτα ι , τοὔνομα κατηγορεῖσθαι · ἔστι γὰρ τὸ ἀντιστρέφον τῷ προειρημένῳ τὸ ‘κατ’ οὐδενὸς ὧν ὁ ὅρος κατηγορεῖται, τοὔνομα κατηγορεῖται‘. ἴσον μέντοι καὶ τοῦτο ἐκείνῳ δύναται. ἢ 〈οὐκ〉 ἀντιστρέφειν εἶπε τῷ ὅτι κατ’ οὐδενὸς ὧν τοὔνομα κατηγορεῖται, καὶ ὁ λόγος κατηγορεῖται, τὸ ὅτι κα θ ’ ὧν ὁ λόγος μὴ κατηγορεῖτα ι , τοὔνομα κατηγορεῖται · ἀλλ’ ἔστιν ἴσον τὸ εἰρημένον τῷ ‘οὐδὲν συντελεῖ πρὸς τὸ δεῖξαι ὅτι κατ’ οὐδενὸς ὧν τοὔνομα κατηγορεῖται, καὶ ὁ λόγος κατηγορεῖται, τὸ αὐτὴν ταύτην τὴν πρότασιν ἀντιστρέψαι‘. ἴσως δὲ καὶ τῷ ‘οὐκ ἀνάγκη καὶ τὴν ἀντιστροφὴν δεικνύναι τὸν ἀνασκευάζοντα καθόλου, ὅτι τὸ καθόλου ἀποφατικὸν ἀντιστρέφει καὶ οὐ δεῖται δείξεωσ‘. Ὅσῳ οὖν χαλεπώτερον τὸ πλείω δεῖξαι τοῦ ἓν καὶ τὸ ἓν καθόλου καταφατικὸν καὶ τοῦτο ἀντιστρέφον τοῦ τὸ ἐπὶ μέρους ἀποφατικὸν συναγαγεῖν ἢ καὶ τὸ καθόλου ἀποφατικόν, τοσούτῳ χαλεπώτερον ὅρον κατασκευάσαι ἢ ἀνασκευάσαι.

in Top.514 p. 154b14 Περὶ μὲν οὖν τοῦ ἰδίου φανερὸν ἐκ τῶν εἰρημένω ν . Ἐπειδὴ ὡς ἐπὶ τὸ πολὺ ἐν συμπλοκῇ τὸ ἴδιον λέγεται (εἶπε γὰρ ἐν τοῖς περὶ τοῦ ἰδίου λόγοις ὅτι δεῖ μετὰ τοῦ γένους τὴν ἀπόδοσιν τοῦ ἰδίου ποιεῖσθαι. ὡς ἐπὶ τὸ πολὺ δὲ εἶπεν, ἐπειδὴ ἀποδίδοταί ποτε καὶ διὰ τοῦ ὀνόματος μόνου, ὡς ὅταν λέγωμεν ἴδιον εἶναι τοῦ καλοῦ τὸ πρέπον καὶ εὐδαιμονίας τὸ ἀνενδεές. μάλιστα δὲ οὕτως ἀποδίδοται τὰ ἴδια ἐπὶ τῶν πρώτων γενῶν τῷ μὴ δύνασθαι μετὰ τοῦ γένους αὐτὰ συμπλέκεσθαι· οὕτως οὐσίας ἴδιον τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι), εἰ τοίνυν καὶ τὸ ἴδιον ἐν συμπλοκῇ λέγεται, δεῖ καὶ πάντα ὑπάρχοντα τῷ προκειμένῳ δειχθῆναι καὶ καθόλου καὶ ὅτι ἀντιστρέφει· μόνον γὰρ τῷ ἰδίῳ ἐνδεῖ παρὰ τὸν ὅρον τὸ 〈τὸ〉 τί ἦν εἶναι σημαίνειν. πρὸς δὲ τὸ ἀνασκευάσαι τὸ ἴδιον αὔταρκες καὶ τὸ ἕν τι δεῖξαι τῶν ἐν τῇ ἀποδόσει τοῦ ἰδίου μὴ ὑπάρχον τῷ προκειμένῳ καὶ τὸ ἑνί τινι τῶν ὑπὸ τὸ προκείμενον μὴ ὑπάρχον τὸ ἴδιον τὸ ἀποδεδομένον· ἀλλὰ καὶ εἰ παντὶ μὲν ὑπάρχε ι , μὴ μόνῳ δ έ , ἀνῄρηται. Δείκνυσι δὲ καὶ ἐπὶ τοῦ γένους ὅτι τὸ ἀνασκευάζειν ῥᾷον ἢ κατασκευάζειν· κατασκευάζεται μὲν γὰρ τὸ γένος μοναχῶ ς , οἷον διὰ τοῦ καθόλου καταφατικοῦ, ἀνασκευάζεται δὲ διχῶ ς , διά τε γὰρ τοῦ καθόλου καὶ τοῦ ἐπὶ μέρους ἀποφατικοῦ. p. 154b33 Ἐπὶ δὲ τοῦ συμβεβηκότο ς . Ὅτι τὸ συμβεβηκὸς τὸ μὲν καθόλου ῥᾷον ἀνασκευάζειν ἢ κατασκευάζει ν , τὸ δὲ μερικὸν ἀνάπαλιν. ὁ μὲν γὰρ κατασκευάζων, ὅτι τόδε τὸ συμβεβηκὸς παντὶ ἀνθρώπῳ ὑπάρχει, οὐκ ἔχει τοῦτο ῥᾷον ποιῆσαι· ἀδύνατον γὰρ ἀληθεῦσαι τὸ λευκὸν ἐπὶ πάντων ἀνθρώπων λεγόμενον· ὁ δὲ ἀνασκευάζων εὐχερῶς δείξει ὅτι τὸ λευκὸν ἑνὶ οὐχ ὑπάρχει, οἷον τῷ Σωκράτει, καὶ οὕτως ἀνατρέπεται τὸ καθόλου πρόβλημα. τὸ δ ’ ἐπὶ μέρου ς , οἷον ὅτι τὸ λευκὸν τινὶ ὑπάρχει, ῥᾷον κατασκευάσαι ἢ ἀνασκευάσαι · ἀρκεῖ γὰρ πρὸς κατασκευὴν τὸ δεῖξαι ὅτι τινὶ ὑπάρχει· ἀνασκευάσαι δὲ δυσχερὲς καὶ δεῖξαι μηδενὶ ὑπάρχειν τὸ λευκόν· ἀδύνατον γὰρ μηδένα ἄνθρωπον εἶναι λευκόν· τὴν γὰρ ‘τίσ‘ ἡ ‘οὐδείσ‘ ἀναιρεῖ, ἐπεὶ ἡ ‘οὐ πᾶσ‘ ἔν τισι συναληθεύει.

in Top.515 p. 155a3 Φανερὸν δὲ καὶ διότι πάντων ῥᾶστο ν . Φανερὸν οὖν, φησίν, ὅτι τὸ ἀνασκευάσαι τὸν ὅρον εὐχερέστερόν ἐστιν ἁπάντων τῶν προβλημάτων, τῶν τε ἰδικῶν καὶ τῶν γενικῶν καὶ τῶν κατὰ συμβεβηκός. πολλῶν γὰρ εἰρημένων παρατηρημάτων ἐν τῷ ὅρῳ, οἷον τοῦ ἀντιστέφειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν ὅρον τῷ ὁριστῷ, τοῦ οὐσιώδεις εἶναι τὰς διαφοράς, τοῦ μὴ ὁμωνύμους λαμβάνειν φωνὰς μηδὲ μεταφορικάς, πολλά εἰσι καὶ τὰ παραδεδομένα ἐν αὐτοῖς πρὸς ἀνασκευήν. ἐκ γὰρ τῶν πλειόνων παρατηρημάτων ῥᾷον γίνεται καὶ ὁ συλλογισμὸς ἀνασκευαστικός· ἔνθα γὰρ πολλὰ παρατηρήματα, πολλὰ συμβαίνει γίνεσθαι καὶ τὰ ἁμαρτήματα· ἔνθα δὲ ὀλίγα, φανερὸν ὅτι καὶ τὰ ἁμαρτήματα ὀλίγα. ὁ γὰρ μακροτέραν βαδίζων ὁδόν, ἔτι δὲ καὶ ταχέως βαδίζειν πειρώμενος πλείονα προσπταίει ἤπερ ὁ βραχυτέραν καὶ σχολαιοτέραν· καὶ ἐν οἰκίᾳ δὲ πολλὰς εἰσόδους ἐχούσῃ νύκτωρ ῥᾳδίως εἰσέλθοι τις ἂν ἢ ἐν ἐχούσῃ μίαν. p. 155a7 Ἔτι πρὸς μὲν τὸν ὅρο ν . Ὁ ἐπιχειρῶν, φησίν, ἀνασκευάζειν ὅρον δύναται ἐπιχειρεῖν, ὅτι οὐκ ἔλαβεν ὁ προσδιαλεγόμενος τὸ προσεχὲς γένος ἐν τῷ ὅρῳ, καὶ ὅτι ἀλλότριόν ἐστι τὸ ληφθὲν γένος, ἢ ὅτι οὐκ ἀντιστρέφει πρὸς τὸ ὁριστόν, ἢ ὅτι ὁμωνύμους ἢ μεταφορικὰς ἔλαβε φωνάς, ἢ ἄλλα ὅσα παρεδόθησαν ἐν τοῖς ἀνασκευαστικοῖς τόποις· ἀνάγκη γὰρ πολλῶν παρατηρημάτων ὄντων ἁμαρτάνειν κατά τι ἢ καὶ κατὰ πλείονα τὸν συντιθέντα τὸν ὅρον. ὁ οὖν ἀνασκευάζων τὸν ὅρον ἐνδέχεται καὶ διὰ τῶν ἄλλων τόπων, δι’ ὧν ἀνασκευάζομεν τὰ ἰδικά, τὰ γενικὰ καὶ τὰ κατὰ συμβεβηκὸς προβλήματα, ἀνασκευάζειν αὐτόν. δι’ ὧν γὰρ τὸ ἴδιον δείκνυται μὴ ἀντιστρέφον πρὸς ὃ ἀποδίδοται, διὰ τούτων καὶ ὁ ὅρος ἀνατραπήσεται ὡς μὴ ἀντιστρέφων πρὸς τὸ ὁριστόν. πάλιν δι’ ὧν τὸ ἀποδοθὲν γένος δείκνυται ἀλλότριον ἢ μὴ προσεχὲς ἢ οὐκ οὐσιωδῶς λεγόμενον, διὰ τῶν αὐτῶν δειχθήσεται καὶ τὸ ληφθὲν ἐν τῷ ὅρῳ γένος ἢ μὴ ὑπάρχειν γένος ἢ μὴ ὑπάρχειν τῷ ὁριστῷ. πάλιν ἐπὶ τῶν ἀπὸ τοῦ συμβεβηκότος προβλημάτων ὥσπερ τυχὸν δείκνυται τὸ λευκὸν μὴ ὑπάρχειν τῷ Σωκράτει, οὕτως, εἰ ἀποδοίη τις ὅρον τοῦ ἀνθρώπου τὸ ‘οὐσία ἔμψυχος ἄλογοσ‘ ἢ ‘θάλαττα ὑγρὸν ποτόν‘, ἀνῃρημένου τινὸς μέρους τῶν ἐν τῷ ὅλῳ ὅρῳ καὶ ὅλος ἀναιρεθήσεται. Δι’ ὧν μὲν οὖν ἀνασκευάζεται τἄλλα, καὶ ὁ ὅρος ἀνασκευασθήσεται.

in Top.516 οὐ μὴν δι’ ὧν ὁ ὅρος, καὶ τὰ ἄλλα· οὐ γὰρ πάντα τὰ τοῦ ὅρου χρήσιμα πρὸς κατασκευὴν τῶν ἄλλων. οὐδὲ γάρ, εἰ δειχθείη ἐν τῷ ὅρῳ τὸ γελαστικὸν μὴ οὐσιωδῶς ὂν τῷ ἀνθρώπῳ, ἤδη ἀνῄρηται καὶ μὴ ἴδιον ὂν τοῦ ἀνθρώπου· οὐδέ, εἰ τὸ μὴ προσεχὲς γένος μὴ καλῶς ἀποδεδομένον, ἤδη ἀνῄρηται καὶ μὴ γένος ὄν· ὁμοίως οὐδέ, εἰ τὸ λευκὸν 〈οὐκ〉 οὐσιωδῶς. λέγεται κατὰ τοῦ ἀνθρώπου, ἤδη ἀνῄρηται καὶ μὴ συμβεβηκὸς εἶναι. ἀλλ’ οὐδὲ πάλιν δι’ ὧν κατασκευάζεται ἢ ἀνασκευάζεται τόπων τὰ ἄλλα, ἤγουν τὰ γενικὰ καὶ τὰ ἰδικὰ προβλήματα, διὰ 〈τῶν〉 αὐτῶν καὶ πρὸς τὰ ἄλλα πάντα, τὰ κατὰ συμβεβηκὸς δηλονότι, ἐπιχειρήσομεν, ἀλλὰ μᾶλλον διὰ τῶν πρὸς τὸ συμβεβηκὸς καὶ πρὸς τὰ ἄλλα. p. 155a11 Μόνα γὰρ τὰ πρὸς τὸ συμβεβηκὸς κοινὰ πάντων τῶν εἰρημένων ἐστί ν . Ἤγουν οὐ μόνου τοῦ συμβεβηκότος ἐστὶν ἀναιρετικὰ ἀλλὰ καὶ τῶν ἄλλων· καὶ γὰρ τὸ ἐπὶ τοῦ κατὰ συμβεβηκὸς ζητούμενον, εἰ ὑπάρχει μόνον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ζητεῖται, εἰ τὸ ἴδιον καὶ τὸ γένος καὶ ὁ ὅρος ὑπάρχει τῷ πράγματι. εἰ δὲ μὴ ἀντιστρέφει τὸ ὡς γένος ἀποδοθὲν πρὸς τὸ πρᾶγμα, οὐκ ἀνῄρηται ἤδη ὡς μὴ ὂν γένος· καὶ τὸ ἴδιον εἰ μὴ ὡς γένος, ἤγουν οὐσιωδῶς, ἀποδέδοται, 〈οὐκ〉 ἤδη καὶ μὴ εἶναι ἴδιον ἀποδέδεικται. ὁμοίως καὶ ἐπὶ τῶν πρὸς τὸ συμβεβηκός· οὐ γάρ, 〈εἰ〉 μὴ ὡς γένος, ἤγουν οὐσιωδῶς, ὑπάρχει τῷ πράγματι, ἢ εἰ οὐκ ἀντιστρέφει ὡς ἴδιον, δείκνυται καὶ μὴ συμβεβηκὸς ὄν. p. 155a22 Καὶ τοῦτο καλῶς δεῖ πεποιηκένα ι . Δεῖ δέ, φησίν, καὶ τοῦτ ο , ἤγουν τὸ συλλογίζεσθαι καὶ δεικνύειν ὅτι ὁ ὅρος τὴν οὐσίαν τοῦ πράγματος δηλοῖ, καλῶς ποιεῖν, εἰ μὴ ἀσαφὲς μηδὲ περιττόν τι ἔχει ὁ λόγος, πρὸς ἃ πλείους ἡμῖν παραδέδωκε τόπους. διά τε τοῦτο οὖν καὶ τὰ εἰρημένα πάντα χαλεπώτατον κατασκευάζειν τὸν ὅρον. Τῶν δ ’ ἄλλων προβλημάτων, ἤγουν τῶν γενικῶν καὶ τῶν πρὸς τὸ συμβεβηκός, μᾶλλον χαλεπώτερον πρὸς κατασκευὴν τὸ ἴδιον, εὐκολώτερον μέντοι παρὰ τὸν ὅρον.

in Top.517 ἀνασκευάζειν δὲ τὸ ἴδιον ῥᾷόν ἐστιν ἢ τὰ ἄλλα διὰ τὸ ἐκ πολλῶν εἶναι, ἤτοι μετὰ συμπλοκῆς ὡς ἐπὶ τὸ πολὺ ἀποδίδοσθαι, οἷον ὅτι ζῷον γελαστικόν, ὃ καὶ κυρίως ἴδιόν ἐστιν ὡς μετὰ συμπλοκῆς ἀποδιδόμενον. ὡς ἐπὶ τὸ πλεῖστον δὲ εἶπεν, ὅτι ποτὲ καὶ δι’ ὀνόματος μόνου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποδίδοται, οἷον ἴδιον ἀνθρώπου ἐστὶ τὸ γελαστικόν. χαλεπὸν οὖν κατασκευάσαι τὸ μετὰ συμπλοκῆς, ὅτι πολλὰ δεῖ συμβιβάσαι καὶ συλλογίσασθαι, πρῶτον μὲν ὅτι τὸ προσεχὲς ἐλήφθη γένος, καὶ πρὸς τούτῳ ὅτι μόνῳ ὑπάρχει τῷ ἀνθρώπῳ τὸ ζῷον γελαστικὸν καὶ ὅτι ἀντιστρέφει. Εὐχερέστερον δὲ πάντων τῶν προβλημάτων εἰς τὸ κατασκευάζεσθαι τὸ συμβεβηκός· ἀρκεῖ γὰρ πρὸς κατασκευὴν τὸ δεῖξαι μόνον ὅτι τὸ λευκὸν ὑπάρχει τῷ Σωκράτει, ὃ μόνον ἐν τοῖς ἄλλοις οὐκ αὔταρκές ἐστιν. χαλεπώτατον δέ, φησίν, ἐστὶ καὶ τὸ συμβεβηκὸς πρὸς ἀνασκευήν, ὅτι ἀφ' ἑνὸς τόπου ὁρμώμεθα δεικνύειν τὸ μὴ ὑπάρχειν τῷ πράγματι τὸ συμβεβηκός· οὐ γὰρ πρὸς τῷ ζητεῖν, εἰ μὴ ὑπάρχει ἢ ὑπάρχει τὸ συμβεβηκὸς τῷ πράγματι, ἔτι δεῖ ζητεῖν καὶ εἰ ὡς γένος ὑπάρχει ἢ ὡς ἴδιον. διὰ τοῦτο τῶν ἄλλων προβλημάτων διχῶς ἀναιρουμένων καὶ διὰ τοῦτο ῥᾳδίας οὔσης τῆς αὐτῶν ἀναιρέσεως, τὰ πρὸς τὸ συμβεβηκὸς προβλήματα μοναχῶς ἀναιρούμενα τῶν ἄλλων χαλεπώτατά εἰσι πρὸς ἀναίρεσιν. ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΕΙΣ ΤΟ ΟΓΔΟΟΝ ΤΗΣ ΤΟΠΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ [Ὥσπερ ἐν τῷ πρώτῳ προτεχνολογεῖταί τινα χρήσιμα κατὰ τὴν πραγματείαν, οὕτως καὶ ἐν τῷ ὀγδόῳ ἐπιτεχνολογεῖταί τινα.

in Top.518.(1t) πρόκειται τοίνυν αὐτῷ περὶ τριῶν εἰπεῖν κεφαλαίων. πρῶτον μὲν περὶ ἐρωτήσεως καὶ ἀποκρίσεως, πότε ὀρθὴ ἑκατέρα καὶ πότε ἡμαρτημένη. παράκειται δὲ τῷ μὲν περὶ ἐρωτήσεως τά τε πρὸς κρύψιν λαμβανόμενα καὶ ὅλως δι' ὧν ἂν ὁ ἐρωτῶν ἐπάγοιτο τὸν ἀποκρινόμενον τὴν καθόλου πρότασιν αὐτῷ τιθέναι, ἐπειδὴ ἄνευ ταύτης ἀδύνατόν ἐστι συλλογίσασθαι· τῷ δὲ περὶ ἀποκρίσεως λόγῳ παράκειται ὅ τε περὶ διαιρέσεως λόγος τῶν προτάσεων καὶ περὶ τῆς τῶν σημαινομένων ἀμφιβολίας καὶ ὅλως ὁ περὶ ἐνστάσεως· διὸ καὶ περὶ τούτων λέγει. ἐπεὶ δὲ τῶν προβλημάτων ὅσα εὐχερές ἐστι φυλάξαι, ταῦτα δυσχερές ἐστι τὸν θέμενον ἐλέγξαι, ἔστι δὲ τοῦ μὲν ἀποκρινομένου τὸ ἣν ἔθετο θέσιν φυλάξαι, τοῦ δὲ ἐρωτῶντος τὸ τὴν θέσιν ἐλέγχειν, κοινὸς ἂν εἴη τῷ ἐρωτῶντι καὶ ἀποκρινομένῳ ὁ περὶ τούτων λόγος· διόπερ καὶ περὶ τούτων λέγει, ὕστερον μὲν τῆς ἐρωτήσεως, πρότερον δὲ τῆς ἀποκρίσεως. τὸ δὴ πρῶτον κεφάλαιον τοῦτο. τὸ δὲ δεύτερον ποσαχῶς ἐστι λόγος ψεκτὸς καὶ ἐπαινετός, ὅτι τριχῶς, ἢ καθ' αὑτὸν ἢ ὡς πρὸς τὸ πρόβλημα ἢ παρὰ τὸν ἕτερον τῶν διαλεγομένων· ἐνδέχεται γὰρ καὶ τὸν λόγον αὐτὸν καθ' αὑτὸν ψεκτὸν ἢ ἐπαινετὸν εἶναι, καὶ τούτων ὁποτερονοῦν ὄντα καθ' αὑτὸν πρὸς τὸ πρόβλημα τὰ ἐναντία εἶναι· ποτὲ δὲ καὶ δυνάμενος καλῶς ἐρωτηθῆναι παρὰ τὴν θατέρου τῶν διαλεγομένων μοχθηρίαν ψεκτὸς ἂν γένοιτο.

in Top.519 τοῦτο δὲ τὸ δεύτερον κεφάλαιον. τρίτον δὲ πῶς ἂν γυμνασθείημεν πρὶν εἰς τὴν διάλεξιν ἐλθεῖν, καὶ τίς ἡ προκατασκευή.] [ἄλλως.] Ἐν τῷ πρώτῳ τὴν διαίρεσιν ποιησάμενος τῶν διαλεκτικῶν προβλημάτων καὶ δείξας ὅτι τέσσαρά ἐστιν, παραδοὺς δὲ καὶ τοῖς μετ' ἐκεῖνο βιβλίοις καὶ τοὺς πρὸς ἕκαστον γένος τῶν προβλημάτων τόπους, δι' ὧν οἷοί τε ἐσόμεθα εὐπορεῖν ἐπιχειρημάτων πρός τε τὰς ἀνασκευὰς τῶν προβλημάτων καὶ πρὸς τὰς κατασκευάς, ἐν τούτῳ ὄντι τελευταίῳ τῆς πραγματείας περὶ τῆς χρήσεως αὐτῶν ποιεῖται τὸν λόγον· οὐ γὰρ αὐτάρκης ἡ τῶν τόπων εὕρεσις τῷ διαλεκτικῷ πρὸς τὸ συλλογίζεσθαι δι' αὐτῶν τὸ προκείμενον, ἀλλὰ δεῖ αὐτῷ καὶ ποιᾶς τάξεως αὐτῶν καὶ χρήσεως. αἴτιον δὲ τούτου, ὅτι τῷ διαλεκτικῷ πρὸς ἄλλον ὁ λόγος, καὶ ἐξ ἐρωτήσεως λαμβάνει τὰς προτάσεις δι' ὧν τὸ προκείμενον συλλογίζεται. διὰ τοῦτο γὰρ καὶ ἡ διαλεκτικὴ πρότασις ὡρίσθη ἐρώτησις ἀντιφάσεως εἶναι. δεῖ δὲ αὐτῷ καὶ ποιᾶς τάξεως τῶν ἐρωτωμένων· οὐ γὰρ τὰς αὐτὰς ἀποκρίσεις ἀποκρίνονται περὶ τῶν αὐτῶν οἱ ὁπωσοῦν ἐρωτώμενοι, ἀλλὰ πολλάκις ἃ οὐκ ἂν συγχωρήσειαν ἁπλῶς ἐρωτηθέντες, ταῦτα διδόασι διὰ τὸν τρόπον τῆς ἐρωτήσεως. δεῖ οὖν καὶ περὶ τὸ ἐρωτᾶν ἐμπειρίαν τινὰ καὶ τέχνην ἔχειν τὸν διαλεκτικόν, ὡς διὰ τοῦ τρόπου τῆς ἐρωτήσεως δύνασθαι λαμβάνειν τὰ πρὸς τὸν προκείμενον αὐτῷ συλλογισμὸν χρήσιμα. καὶ ἔστι κατὰ τοῦτο ὁμοιότης τῇ τε ῥητορικῇ καὶ τῇ διαλεκτικῇ· ὡς γὰρ τῷ ῥήτορι καὶ αὐτῷ πρὸς ἄλλον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιουμένῳ τοὺς λόγους (ἢ γὰρ πρὸς δῆμον ἢ πρὸς θεωρὸν ἢ πρὸς δικαστήν) δεῖ μετὰ τὴν εὕρεσιν τῶν ῥηθησομένων οἰκονομίας τε τούτων, ἥτις ἐστὶ τάξις τῶν εὑρημένων, καὶ ποιᾶς ἑρμηνείας τε καὶ φράσεως, οὕτως καὶ τῷ διαλεκτικῷ μετὰ τὴν τῶν τόπων ἀφ' ὧν αἱ δείξεις τῶν προκειμένων εὕρεσιν δεῖ τῆς τῶν εὑρημένων ποιᾶς τάξεως καὶ παρασκευῆς πρὸς τὴν ἐρώτησιν, καὶ ἐπὶ τούτοις αὐτῆς τῆς ἐρωτήσεως, ἥτις ἐστὶν ἀνάλογος τῇ τοῦ ῥήτορος φράσει. ἐπεὶ δὲ οὐ μόνον ἐστὶ τοῦ διαλεκτικοῦ τὸ ἐρωτᾶν ἀλλὰ καὶ τὸ ἀποκρίνεσθαι, ὡς εἶπε καὶ αὐτὸς ἀρχόμενος τῆς πραγματείας (εἶπε γὰρ "καὶ αὐτοὶ λόγον ὑπέχοντες μηδὲν ἐροῦμεν ὑπεναντίον"), διὰ τοῦτο οὐ περὶ ἐρωτήσεως μόνης ἀλλὰ καὶ περὶ ἀποκρίσεως ποιήσεται τὸν λόγον.

in Top.520 ὥσπερ γὰρ τοῦ ἐρωτῶντός ἐστι τὸ καλῶς ἐρωτᾶν (τοῦτο δέ ἐστι πρὸς τὸ λαβεῖν χρησίμως ὃ βούλεται), οὕτως καὶ τοῦ ἀποκρινομένου τὸ καλῶς ἀποκρίνεσθαι, ὅπερ ἐστὶν ἐν τῷ μηδὲν ὑπεναντίον διδόναι οἷς ἔθετο τὴν ἀρχήν. διὰ τοῦτο δὲ καὶ ἀξιοῦσί τινες ἐπιγράφειν τὸ βιβλίον τοῦτο Περὶ ἐρωτήσεως καὶ ἀποκρίσεως, ἄλλοι δὲ Περὶ τάξεως καὶ ἀποκρίσεως, ἐπεὶ καὶ αὐτὸς περὶ τούτων εἰπεῖν ἀρχόμενος προτίθεται. [ἄλλως. ἑτέρου. Διδάξας ἐν ἀρχαῖς τῆς παρούσης πραγματείας ὅτι τέσσαρα γένη προβλημάτων εἰσί, τά τε κατὰ συμβεβηκός, τὰ γενικά, τὰ ἰδικὰ καὶ τὰ ὁρικά, καὶ ἐφεξῆς ἑκάστου τοὺς οἰκείους παραδοὺς τόπους τούς τε ἀνασκευαστικοὺς καὶ τοὺς κατασκευαστικούς, ὕστερον δὲ καὶ περὶ τοῦ ταὐτοῦ μικρόν τι διαλεχθεὶς ὡς πρὸς τὰ ὁρικὰ προβλήματα χρησιμεύοντος, παραδοὺς οὖν ἐν τούτοις πᾶσι, πόθεν ὀφείλομεν λαμβάνειν τὰ ἐπιχειρήματα τοῦ κατασκευάζειν ἢ ἀνασκευάζειν ἕκαστον αὐτῶν, νῦν προτίθεται διδάξαι καὶ περὶ τῆς τάξεως αὐτῶν, ὡς ἂν μὴ ἀτάκτως καὶ ὡς ἔτυχεν αὐτὰ προφέρωμεν (ἀρίστη γὰρ οἰκονομία τὸ εἰδέναι τίνα πρῶτον δεῖ προφέρειν, τίνα δ' ὕστερον) καὶ μὴ ὥσπερ οἱ ῥήτορες· ἐκεῖνοι γὰρ οὐχ ὡς ἔχουσι φύσεως καὶ τάξεως τὰ κεφάλαια τιθέασιν, ἀλλ' ὡς ὁ καιρὸς ἀπαιτεῖ. διδάσκει οὖν ποῖα τῶν ἄλλων ὀφείλομεν προτάττειν, τὰ ἀπὸ τῶν πτώσεων καὶ τῶν συστοίχων τῶν ἀπὸ τῶν ἐναντίων ἢ ταῦτα ἐκείνων, εἴ γε πολλῶν τοιούτων εὐποροῦμεν, ἀλλὰ δὴ καὶ περὶ τοῦ πῶς δεῖ ἐρωτᾶν, ἤτοι κατὰ ἀντίφασιν· τοῦτο γὰρ ἡ διαλεκτικὴ μέθοδος ἀπαιτεῖ.] p. 155b3 Δεῖ δὲ πρῶτον μὲν ἐρωτᾶν μέλλοντ α . Δεῖ, φησί, τὸν μέλλοντα ἐρωτᾶν διαλεκτικῶς πρῶτον μὲν ἐφευρίσκειν καθ' ἑαυτὸν σκοποῦντα τὸν τόπον ὅθεν ὀφείλει ἐπιχειρεῖν καὶ διαλέγεσθαι, δεύτερον δὲ σχηματίζειν καθ' ἑαυτὸν τὴν ἐρώτησιν, πῶς ἂν προτείνοι αὐτὴν διαλεκτικῶς, τουτέστιν ἀντιφατικῶς, οἷον ἆρα ἡ ψυχὴ ἀθάνατός ἐστιν ἢ οὔ, καὶ σὺν τούτῳ τάξαι καθ' ἑαυτὸν τὰ καθ' ἕκαστον τῶν εὑρεθέντων ἐπιχειρημάτων, ποῖον δεῖ πρῶτον ἐπενεγκεῖν καὶ ποῖον μετὰ ταῦτα καὶ ἐφεξῆς, καὶ τρίτον προενεγκεῖν τὴν ἐρώτησιν. p. 155b7 Μέχρι μὲν οὖν τοῦ εὑρεῖν τὸν τόπο ν . Ἀπὸ τῶν αὐτῶν μέν, φησί, τόπων ἀφ' ὧν ἐπιχειρεῖ ὁ διαλεκτικὸς κατασκευάζειν ἢ ἀνασκευάζειν, ἀπὸ τῶν αὐτῶν ἐπιχειρεῖ καὶ ὁ ἀποδεικτικός· καὶ μέχρι τοῦ εὐπορῆσαι τῶν τοιούτων ἐπιχειρημάτων καὶ ἀμφοτέροις ἡ αὐτὴ σκέψις.

in Top.521 ἴδιον δὲ τοῦ διαλεκτικοῦ τὸ τοὺς εὑρεθέντας τόπους τάττειν καθ' ἑαυτὸν καὶ ποιεῖν ὡς προείπομεν· ποιεῖ δὲ ταῦτα ὁ διαλεκτικὸς εἰκότως, διότι πρὸς ἕτερον προτείνει τὰ εὑρεθέντα. ὁ δὲ ἀποδεικτικὸς καθ' ἑαυτὸν ζητῶν τὸ ἀληθὲς οὐ φροντίζει, ἂν ἀληθῆ καὶ γνώριμον λάβῃ πρότασιν· οὐ γὰρ ἔχει ἀνάγκην ὁμολογηθῆναι ταύτην παρὰ τοῦ ἀποκρινομένου· οὐ γὰρ ἐρωτᾷ, ἀλλὰ λαμβάνει καθ' ἑαυτόν. ποιεῖ δὲ ταῦτα ὁ ἀποδεικτικὸς διὰ τὸ σύνεγγυς εἶναι τὰς ληφθείσας προτάσεις τῷ ἐξ ἀρχῆς τεθέντι προβλήματι, καὶ ὅτι εὐθὺς ἐκ τῶν σύνεγγυς προτάσεων προορᾷ τὸ συμβησόμενον συμπέρασμα. λαμβάνει γὰρ φέρε εἰπεῖν ὅτι ἡ ψυχὴ αὐτοκίνητος, ἥτις πρότασις ἀληθής ἐστι καὶ γνώριμος καὶ προσεχῶς συνακτικὴ τοῦ ὅτι ἡ ψυχὴ ἀθάνατος· κἂν γὰρ ὁ προσδιαλεγόμενος τῷ διαλεκτικῷ οὐ συγχωρήσῃ ταύτην διὰ τὸ συνορᾶν τὸ ἐκ τούτου συμπέρασμα, ἀλλ' οὖν ἐκεῖνος λαμβάνει ταύτην. καὶ διὰ τοῦτο μάλιστα σπουδάζει, καθόσον πέφυκε γνωριμώτατα καὶ ἐγγύτατα εἶναι τοῦ συμπεράσματος καὶ πρῶτα καὶ ἄμεσα, τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λαμβανόμενα ἀξιώματα, ἤγουν τὰς προτάσεις· ἐκ γὰρ τούτων γίνονται οἱ ἀποδεικτικοὶ συλλογισμοί. ὁ δὲ διαλεκτικὸς οὐ λαμβάνει ταῦτα οὕτως (οὐδὲ γὰρ συγχωρήσειεν ἂν ταῦτα ὁ προσδιαλεγόμενος τῷ διαλεκτικῷ διὰ τὸ προορᾶν ἐκ τῶν σύνεγγυς τὸ συμβησόμενο ν) , ἀλλὰ φροντίζει ὅπως ἂν λάθη τὸν προσδιαλεγόμενον, ὥστε ὁμολογῆσαι ὃ βούλεται. οἷον ἐρωτᾷ ‘ἕτερόν ἐστι τὸ κινοῦν τὴν ψυχήν, ἢ αὐτὴ ἑαυτὴν κινεῖ;‘· τοῦ δὲ ὁμολογήσαντος ὅτι ἑαυτὴν κινεῖ, ἐπάγει ‘πᾶν δὲ τὸ κινοῦν αὐτὸ ἑαυτὸ αὐτοκίνητόν ἐστι· τοῦτο δὲ ἀθάνατον· καὶ ἡ ψυχὴ ἄρα ἀθάνατοσ‘. ἔλαβεν οὖν τὴν πόρρω, ἵνα λάθη τὸν ἀποκρινόμενον καὶ ὁμολογήσῃ ἐκ ταύτης τὴν προσεχῆ καὶ οὕτως συνάξῃ τὸ συμπέρασμα. p. 155b19 Ὅσαι ληπτέαι παρὰ τὰς ἀναγκαία ς . Διελεῖν δὲ δεῖ, φησί, τὰς προτάσεις, ὅσας ὀφείλομεν λαμβάνειν παρὰ τὰς ἀναγκαία ς . ἀναγκαίας δὲ λέγει ταύτας, οὐχ ὅτι ἀναγκαίας εἰσὶν ὕλης, ἀλλ’ ὅτι ἐκ τούτων δύο οὐσῶν τὸ ἐλάχιστον ἀναγκαίως συνάγεται τὸ συμπέρασμα. ἀλλ’ οἱ διαλεκτικοὶ καὶ πλείονας τῶν δύο λαμβάνουσιν· αὗται δὲ αἱ πλείονές εἰσι τέσσαρες, τουτέστι κατὰ τέσσαρας τρόπους λαμβάνονται. ἢ γά ρ , φησί, χάριν ἐπαγωγῆς · χρῶνται γὰρ τῇ ἐπαγωγῇ, ἵνα λάβωσιν ἐκ τοῦ μερικοῦ τὸ καθόλου, καὶ οὕτως ἐπάγουσι τὴν προσεχῆ. ἢ δ ι ’ ὄγκον λόγο υ , τουτέστιν ἵνα δόξῃ τοῖς ἀκροαταῖς σοφός, παρενείρει τῷ λόγῳ περιττὰς προτάσεις καὶ εὐμήκη τοῦτον ποιεῖ· οἷον ‘ἆρά γε ἡ ἡδονὴ κατὰ φύσιν; τί δαί; τὸ φύσει καὶ τὸ φύσις ταὐτόν ἐστιν ἢ ἕτερον; τί δαί; τὸ κατὰ φύσιν οὐχ αἱρετόν ἐστιν; τὸ δὲ αἱρετὸν οὐκ ἀγαθόν; ἡ ἡδονὴ ἄρα ἀγαθόν‘.

in Top.522 αὗται αἱ ληφθεῖσαι προτάσεις περιτταί εἰσι καὶ οὐ χρήσιμοι πρὸς τὸ συμπέρασμα, ἐλήφθησαν δὲ χάριν τοῦ εὐμεγέθη ποιῆσαι τὸν λόγον. ἢ πρὸς κρύψιν τοῦ συμπεράσματο ς , ὅταν λαμβάνῃ καὶ τοὺς προσυλλογισμοὺς τῶν ἀναγκαίων προτάσεων· ἀναγκαῖαι 〈δ’ αἱ〉 προτάσεις εἰσὶν αἱ προσεχῶς συνακτικαὶ τοῦ συμπεράσματος. [καὶ] οἷον ἔστω συμπέρασμα ὅτι τὸ ὑγιεινὸν καὶ τὸ νοσῶδες ἀντικείμενα· ἀναγκαῖαι οὖν προτάσεις ὅτι τὸ ὑγιεινὸν καὶ τὸ νοσῶδες ἐναντία· τὰ ἐναντία ἀντικείμενα· τὸ ὑγιεινὸν καὶ τὸ νοσῶδες ἄρα ἀντικείμενα. ὁ δὲ διαλεκτικὸς βουλόμενος λαθεῖν τὸν προσδιαλεγόμενον, ἴσως διὰ τὸ μὴ τὴν ἐλάττονα πρότασιν συγχωρεῖν, προσυλλογίζεται ταύτην οὕτως· τὸ ὑγιεινὸν καὶ τὸ νοσῶδες φθαρτικὰ ἀλλήλων· τὰ ἀλλήλων φθαρτικὰ ἅμα εἶναι ἀδύνατον· ταῦτα δὲ ἐναντία εἰσί· τὰ φθαρτικὰ ἄρα ἐναντία ἀλλήλων εἰσίν. ἢ πρὸς τὸ σαφέστερον ποιῆσαι τὸν λόγον · τίθεται γὰρ παρ’ αὐτῶν πολλάκις πρότασις οὐδὲν πλέον παρὰ τὴν ἄλλην δηλοῦσα ἀλλ’ ἢ μόνον ταύτην σαφηνίζουσα. παρὰ δὲ ταύτας ἀδύνατον, φησί, λαβεῖν ἑτέραν πρότασιν περιττήν, ἀλ λ ’ ἢ διὰ τούτω ν , ἤγουν δι’ ἑνὸς τῶν ῥηθέντων τεσσάρων τρόπων, αὔξειν ἅμα τὸν λόγον καὶ ἐρωτᾶν διαλεκτικῶς· ἄλλοθεν γὰρ ἀδύνατον λαβεῖν προτάσεις περιττάς. p. 155b24 Παρὰ δὲ ταύτας οὐδεμία ν . Προσυπακουστέον τὰς ἀναγκαίας· πρόδηλον γὰρ ὅτι πρώτας ἐκείνας δεῖ λαμβάνειν. p. 155b25 Ἀλλὰ διὰ τούτων αὔξειν καὶ ἐρωτηματίζειν πειρατέο ν . Τουτέστιν ‘ἀλλὰ ταύτας μόνας δεῖ ἔξωθεν προστιθέναι‘· τὸ γὰρ αὔξειν τῆς προσθήκης τῶν παρὰ τὰς ἀναγκαίας ἐστὶ δηλωτικόν. p. 155b26 Εἰσὶ δὲ αἱ πρὸς κρύψιν ἀγῶνος χάρι ν . Αἱ εἰς κρύψιν καὶ ἀγωνιστικώτεραί εἰσι· κακοῦργον γὰρ ἐν τῷ λόγῳ καὶ ἡ κρύψις.

in Top.523 ἀλλ’ ἐπεὶ τῷ διαλεκτικῷ, εἰ πρὸς ἄλλον ὁ λόγος, ἐνδέχεταί ποτε καὶ φιλονεικότερον ἀνανεύειν καὶ μὴ ἕπεσθαι τῷ εὐλόγῳ τῶν ἐρωτωμένων τε καὶ τιθεμένων, χρήσιμον τῷ διαλεκτικῷ εἰς τὸ προκείμενον χρήσασθαι καὶ τοῖς τοιούτοις. διὸ δεῖ παρεσκευάσθαι καλῶς εἰς τὸ οὕτως ἐρωτᾶν. διὰ τοῦτο γὰρ ἐπήνεγκεν ἀλ λ ’ ἐπειδὴ πᾶσα ἡ τοιαύτη πραγματεία πρὸς ἕτερόν ἐστι καὶ τὰ ἑξῆς. Τὰς μὲν οὖν ἀναγκαίας οὐκ εὐθὺς προτατέο ν , ἀλ λ ’ ἀποστατέον ὅτι ἀνωτάτ ω , τουτέστιν ἐπὶ τὰ καθολικώτερα καὶ κοινότερα, ἐὰν διὰ συλλογισμοῦ τὴν λῆψιν τῶν ἀναγκαίων ποιώμεθα. ἐὰν δὲ μὴ τιθ ῇ , δ ι ’ ἐπαγωγῆς ληπτέο ν , τουτέστιν ἐὰν τὸ καθόλου καὶ ἀνώτερον τῆς ἀναγκαίας προτάσεως βουλώμεθα λαβεῖν, μὴ συγχωρῇ δὲ ὁ ἀποκρινόμενος, πειρατέον δι’ ἐπαγωγῆς λαβεῖν, οὐ τὴν καθόλου καὶ ἀνωτέραν ἀλλὰ τὴν ἀναγκαίαν· ἐργωδέστερον γὰρ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κοινότερον τῶν ἐλαττόνως κοινῶν ὄντων ὑπ' ἐκεῖνο δι' ἐπαγωγῆς λαβεῖν. αὐτὸ δὴ τὸ προκείμενον καὶ ἀναγκαῖον χρὴ πειρᾶσθαι δι' ἐπαγωγῆς λαμβάνειν. ἦν δὲ τοῦτο 〈τὸ〉 τῶν ἐναντίων εἶναι μίαν ἐπιστήμην· ληψόμεθα δὴ 'καὶ ἀρτίου καὶ περιττοῦ ἐναντίων ὄντων ἡ αὐτὴ ἐπιστήμη· ἀριθμητικὴ γάρ· καὶ ἡρμοσμένου καὶ ἀναρμόστου· μουσικὴ γάρ· καὶ εὐεκτικοῦ καὶ καχεκτικοῦ· γυμναστικὴ γάρ· καὶ ἀρετῆς καὶ κακίας· ἠθικὴ γὰρ φιλοσοφία· καὶ πλούτου καὶ πενίας· ποριστικὴ γάρ'· καὶ οὕτως ἐπάγοντες ἀξιώσομεν τὸ καὶ πάντων τῶν ἐναντίων τὴν αὐτὴν εἶναι ἐπιστήμην. p. 155b35 Ἢ γὰρ διὰ συλλογισμοῦ ἢ δ ι ' ἐπαγωγῆς τὰς ἀναγκαίας ληπτέο ν . Ἐπεὶ αἱ ἀναγκαῖαι καὶ προσεχεῖς τῷ δεικνυμένῳ συμπεράσματι προτάσεις δύο εἰσίν, ὡς ἐν τοῖς Ἀναλυτικοῖς δείκνυται, νῦν ἀξιοῖ, ὅταν μὴ ὦσιν αὐτόθεν αὗται γνώριμοι, ἢ ἀμφοτέρας διὰ συλλογισμοῦ λαμβάνειν, ὡς εἶναι προσυλλογισμούς τινας γινομένους, ἢ ἀμφοτέρας δι' ἐπαγωγῆ ς , ἢ τὴν μὲν αὐτῶν διὰ συλλογισμοῦ τὴν δὲ δι' ἐπαγωγῆς.

in Top.524 ταῦτα δὲ ποιητέον ἐπὶ τῶν οὐ γνωρίμων. ὅσαι γάρ, φησί, λίαν προφανεῖς τῶν ἀναγκαίων, χρὴ αὐτὰς προτείνειν· οὐ γὰρ ἀπαναισχυντοῦσιν ἀντιλέγειν πρὸς τὰ ἐναργῆ· οἷον ὅτι πᾶς ἀριθμὸς ἢ ἄρτιος ἢ περιττός· περιίστανται γάρ, κἂν ἀγωνίζωνται, πρὸς τὰ ἐναργῆ δοκοῦντα ἐνίστασθαι, φυλαττόμενοι τὴν ἀπὸ τῶν ἀκουόντων ἐπιτίμησιν. p. 155b38 Ἀδηλότερον γὰρ ἀε ί . Εἰπὼν πῶς δεῖ τὰς ἀναγκαίας λαμβάνειν προτάσεις, ἂν μὴ λίαν ὦσι προφανεῖς, ὅτι διὰ συλλογισμοῦ τὰ ἀνώτερα λαμβάνοντας ἢ δι' ἐπαγωγῆς, νῦν τὴν αἰτίαν τοῦ δεῖν οὕτως λαμβάνειν ἀποδίδωσιν. ἀδηλότερον γά ρ , φησί, γίνεται τὸ συμβησόμενόν τε καὶ συναχθησόμενον ἐν τῇ ἀποστάσε ι , τουτέστιν ἐν τῇ τοῦ καθολικωτέρου λήψει, καὶ ἐν τῇ ἐπαγωγ ῇ . διά τε οὖν τὸ ἀδηλότερον εἶναι τὸ συμβησόμενον ἐκείνως λαμβάνομεν τὰς ἀναγκαίας καὶ διὰ τὸ μὴ κεκωλῦσθαι, εἰ μὴ ἐκείνῃ τῇ ὁδῷ χρωμένοις πρὸς τὴν τῶν ἀναγκαίων λῆψιν συγχωροίη τις, τοῦ αὐτὰς τὰς ἀναγκαίας τε καὶ χρησίμους προτείνοντας ἀξιοῦν λαμβάνειν. [Εἰς τὸ αὐτό. τὸ ἀδηλότερον γὰρ ἀεὶ ἐν τῇ ἀποστάσει κατασκευαστικόν ἐστι τοῦ ἐπάνω, ὅτι δεῖ πρὸς τὸ καθολικώτερον ἀνατρέχειν ἢ χρῆσθαι τῇ ἐπαγωγῇ. ὅσον γὰρ χρῆταί τις τοῖς καθολικωτέροις, καὶ ὅσον ἀφίσταται ἀπὸ τῶν προσεχῶν προτάσεων ἐπὶ τὰ πόρρω, οἷον εἰ ἀντὶ τῶν ἐναντίων λάβοι τὰ ἀντικείμενα, ἢ ἐπαγωγῇ ὅτι τοῦ ἡρμοσμένου καὶ ἀναρμόστου ἡ μουσικὴ ἐπιστήμη, τοσοῦτον ἀδηλότερον γίνεται τὸ συμβησόμενον συμπέρασμα· ληφθέντων γὰρ τῶν καθολικωτέρων ἢ ἐν τῇ ἐπαγωγῇ τῶν μερικῶν οὐκ εὐθὺς ὁ προσδιαλεγόμενος νοεῖ ὃ μέλλει συναχθήσεσθαι ἐκ τῶν ληφθεισῶν προτάσεων συμπέρασμα.

in Top.525 εἰ γοῦν συγχωρηθείη ὅτι τῶν ἀντικειμένων ἡ αὐτὴ ἐπιστήμη, ἕτοιμον ἅμα ἐστὶ τὸ προτεῖναι εὐθὺς αὐτὰς τὰς χρησίμου ς , ἤγουν ὅτι τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη. καίτοι μὴ δυνάμενον ταύτας λαβεῖν, διὰ τὸ μὴ δίδοσθαι ταύτας παρὰ τοῦ προσδιαλεγομένου, ἐκείνω ς , ἤγουν εἰ οὐκ ἀνέδραμεν ὁ ἐρωτῶν εἰς τὸ καθολικώτερον ἢ εἰ μὴ ἐχρήσατο τῇ ἐπαγωγῇ.] p. 156a3 Τὰς δὲ παρὰ ταύτας εἰρημένας ληπτέον μὲν τούτων χάρι ν . Εἰπὼν περὶ τῶν ἀναγκαίων, πῶς χρὴ ταύτας προτείνειν τε καὶ λαμβάνειν, λέγει καὶ περὶ τῶν οὐκ ἀναγκαίων, αἳ διὰ τέσσαρας τὰς προειρημένας αἰτίας καὶ αὐταὶ ὑπὸ τῶν διαλεκτικῶν παραλαμβάνονται. καὶ φησὶ κοινὸν μὲν καὶ καθόλου περὶ αὐτῶν τὸ δεῖν αὐτὰς τῶν ἀναγκαίων παραλαμβάνειν χάριν, ἰδίᾳ δὲ πῶς ἑκάστῃ χρηστέον, ἑξῆς προστίθησιν. p. 156a4 Ἐπάγοντα μὲν ἀπὸ τῶν κα θ ' ἕκαστον ἐπὶ τὰ καθόλου καὶ τὰ ἑξῆς. Ἀπὸ γὰρ τῶν κα θ ' ἕκαστα καὶ γνωρίμων ἐπὶ τὰ καθόλου καὶ ἄγνωστα δεῖ προϊέναι, τουτέστι χρῆσθαι τοῖς καθ' ἕκαστα καὶ γνωρίμοις πρὸς τὴν δεῖξιν τῶν καθόλου τε καὶ ἀγνώστων. p. 156a6 Γνώριμα δὲ μᾶλλον τὰ κατὰ τὴν αἴσθησιν ἢ ἁπλῶς καὶ τὰ ἑξῆς. Ἐνδέχεται γάρ τινα τοῖς σοφοῖς γνωριμώτερα τῶν αἰσθητῶν εἶναι τῷ δι' ἀποδείξεως αὐτὰ εἰδέναι. p. 156a7 Κρύπτοντα δὲ προσυλλογίζεσθα ι . Πῶς χρηστέον ταῖς κρύψεως χάριν καὶ τοῦ λαθεῖν συμπεραινόμενον ὃ βούλεταί τις λαμβανομέναις προτάσεσι.

in Top.526

κρύψις δέ ἐστι μέθοδος δι’ ἧς οἷόν τε λανθάνειν συλλογιζόμενον τὸ προκείμενον. p. 156a11 Ἔτι τὰ συμπεράσματα μὴ λέγειν ἀλ λ ’ ὕστερον ἀθρόα συλλογίζεσθα ι . Δύναται τὸ ἀθρόα συλλογίζεσθαι εἰρηκέναι, οὐχ ἵνα πάντα τὰ τῶν προσυλλογισμῶν συμπεράσματα ἀθρόα τις λέγῃ, ἀλλ’ ἵνα ἐπὶ πάσαις ταῖς τῶν προσυλλογισμῶν προτάσεσιν ἀθρόον τὸ τελευταῖον ἐπάγῃ συμπέρασμα. ὃ καὶ μᾶλλον ἔοικε λέγεσθαι ἐκ τῶν ὕστερον ἐπιλεγομένων· λέγει γὰρ “μόνου τοῦ ἐσχάτου ῥηθέντος συμπεράσματος”. τῷ μὲν οὖν ἄδηλον εἶναι τὸ δεικνύμενον ὑπὸ τῶν οὕτως ἐρωτωμένων συγχωροῦσι ταῖς προτάσεσι· τῷ δὲ συγχωρηθείσαις αὐταῖς δείκνυσθαι διὰ τῆς ἀναλύσεως τοῦ λόγου ἑπόμενα τὰ συνακτικὰ τοῦ προκειμένου οὐκέτι ἀνανεύειν ἔχουσιν. p. 156a13 Καθόλου δὲ εἰπεῖν οὕτ ω . Καθόλου δεῖ, φησίν, οὕτως ἐρωτᾶν τὸν κρυπτικῶς ἐρωτῶντα, ὥστε ἠρωτημένων πασῶν τῶν προτάσεων, δι’ ὧν δείκνυται τὸ προκείμενον, καὶ τοῦ ἐσχάτου ἐπὶ τοῖς ἠρωτημένοις ἑπομένου συμπεράσματος ῥηθέντος ἄδηλον εἶναι πῶς τοῦτο συνάγεται ἐκ τῶν κειμένων καὶ ζητεῖν τὸν ἀποκρινόμενον διὰ τί τοῦτο ἐπιφέρει τοῖς κειμένοις. p. 156a15 Τοῦτο δὲ ἔσται μάλιστα διὰ τοῦ λεχθέντος ἔμπροσθε ν . Τοῦτο δέ φησι μάλιστα ἂν γίνεσθαι, καθάπερ εἴρηται, εἰ χωρὶς τῶν οἰκείων συμπερασμάτων λαβών τις τὰς προτάσεις πάσας, δι’ ὧν δείκνυται τὸ προκείμενον, τὸ ἔσχατον ἐπενέγκῃ συμπέρασμα μόνον. ποιεῖ δὲ αὐτὸ γνώριμον ἡ ἀνάλυσις τοῦ λόγου. [Ἑτέρου. οὕτω γὰρ ἄ ν . Οὕτω γὰρ ποιῶν καὶ λαμβάνων τὰς προτάσεις τῶν προσυλλογισμῶν καὶ τοὺς προσυλλογισμοὺς τῶν προσυλλογισμῶν καὶ μὴ ἐπάγων τὰ αὐτῶν συμπεράσματα εὐθὺς ἀλλ’ ὕστερον, πόρρω ἀποστήσεις τὸν ἀποκρινόμενον τῆς ἐξ ἀρχῆς θέσεω ς , ἤτοι τοῦ προβλήματος. καθόλου δ ή , φησίν, οὕτως δεῖ ἐρωτᾶν τὸν πυνθανόμενο ν , ἤγουν κρυπτικῶς ἐρωτῶντα, ὥστε ἐρωτηθέντος τοῦ ὅλου λόγου, ἤτοι τοῦ συλλογισμοῦ, καὶ συναχθέντος καὶ τοῦ συμπεράσματος ζητεῖν τὸν προσδιαλεγόμενον τὸ διὰ τ ί , ἐπειδὴ οὐκ ἐνόησεν ὅθεν συνήχθη τὸ συμπέρασμα.

in Top.527 οἷον εἰ κεῖται πρόβλημα τὸ εἰ ὁ ἄνθρωπος καὶ ὁ ἵππος οὐσία ἐστίν, εἰπὲ ‘ἆρά γε οὐχ ἡ οὐσία κατὰ πάντων τῶν ὑπ’ αὐτὴν λέγεται‘, ἐκείνου δὲ τοῦτο συγχωρήσαντος ‘καὶ λοιπὸν ἄρα ὁ ἄνθρωπος καὶ ὁ ἵππος οὐσία‘· εἶτα ἐκείνου ἐρωτήσαντος διὰ τί, ὡς μὴ νοήσαντος ὅθεν συνήχθη, εἰπέ, ὅτι ὅτε συνεχώρησας ὡς ἡ οὐσία κατὰ πάντων τῶν ὑπ’ αὐτὴν λέγεται, τότε οἱονεὶ ὡμολόγησας ὅτι ὁ ἄνθρωπος καὶ ὁ ἵππος οὐσία ἐστί. τοῦτο δέ, ἤγουν τὸ καὶ τῶν προτάσεων ὁμολογηθεισῶν, εἶτα ἐπαχθέντος τοῦ συμπεράσματος ἔτι πάλιν ζητεῖν τὸν ἀποκρινόμενον τὸ διὰ τ ί , γίνεται διὰ τοῦ ῥηθέντος τρόπου τῆς κρύψεως· ἔστι δὲ ὁ τρόπος οὗτος τὸ λέγειν τὰς προτάσεις τῶν προσυλλογισμῶν καὶ μὴ ἐπάγειν καὶ τὰ συμπεράσματα αὐτῶν. μόνου γάρ φησι τοῦ τελευταίου συμπεράσματος ῥηθέντο ς , 〈πῶσ〉 συμβαίνει ἐντεῦθεν, ἄδηλον εἶναι, μὴ διαρθρωθέντων τῶν προσυλλογισμῶν ἐξ ὧν συνήχθη τὸ συμπέρασμα, τουτέστι μὴ καθ’ ἕκαστον τῶν προσυλλογισμῶν τοῦ συμπεράσματος λεγομένου. ἥκιστα δ ’ ἄ ν , φησί, διαρθρωθείη καὶ γνώριμος γένοιτο ὁ συλλογισμό ς , ποῖός ἐστι τοῦδε τοῦ συναχθέντος συμπεράσματος, ἡμῶν μὴ τιθέντων τὰ λήμματ α . ἤγουν μὴ λαμβανόντων τὰς ἀναγκαίας προτάσεις, αἵτινές εἰσι συμπεράσματα τῶν προσυλλογισμῶν, ἀλλὰ τὰς τῶν προσυλλογισμῶν προτάσεις, δι’ ὧν γίνεται ὁ συλλογισμός.] p. 156a23 Χρήσιμον δὲ καὶ τὸ μὴ συνεχῆ τὰ ἀξιώματα λαμβάνει ν . Χρήσιμον εἶναί φησι πρὸς κρύψιν καὶ τὸ μὴ τὰς ἐφεξῆς ἀλλήλαις προτάσεις ἐν τῇ τάξει λαμβάνειν ἀλλ’ ὑπερβαίνοντα καὶ ἐναλλάσσοντα καὶ ἐφεξῆς ἀλλήλαις τιθέντα τὰς πρὸς ἕτερον καὶ ἕτερον συμπέρασμα συντελούσας ἀλλὰ μὴ πρὸς τὸ αὐτό· τῶν γὰρ οἰκείων καὶ πρὸς τὸ αὐτὸ συντελουσῶν συμπέρασμα προτάσεων ἐφεξῆς τιθεμένων ῥᾷον συνορῶσιν οἱ ἀποκρινόμενοι τὸ συμβησόμενο ν . σημειωτέον δὲ ὅτι κοινῶς τοῖς ἀξιώμασιν ἀντὶ τῶν προτάσεων κέχρηται. p. 156a27 Χρὴ δὲ καὶ ὁρισμὸν λαμβάνει ν . Δεῖ, φησί, καὶ ὁρισμὸν πειρᾶσθαι λαμβάνει ν , ἐ φ ’ ὧν ἐνδέχεται δι’ ὁρισμοῦ λαβεῖν τὴν καθόλου πρότασι ν , ὁριζόμενον μέντοι μὴ αὐτὸ τὸ προκείμενον ὁρίζεσθαι ἀλλά τι τῶν συστοίχων αὐτῷ·

λαβόντας γὰρ ἐπ' ἐκείνου δι' ὁρισμοῦ ὃ βουλόμεθα, ῥᾴδιον καὶ ἐπὶ τὸ προκείμενον σύστοιχον ὂν ἐκείνῳ μεταφέρειν τὸ ληφθέν.

in Top.528 ἃ γὰρ ἐπ' αὐτῶν τῶν προκειμένων οὐ διδόασιν οἱ ἀποκρινόμενοι τῷ ὁρᾶν τὸ συμβησόμενον, ταῦτα ἐπὶ τῶν συστοίχων τῷ προκειμένῳ διδόασι· τούτου δὲ δοθέντος καὶ τὸ προκείμενον δοθήσεται διὰ τὸ ἀληθῆ εἶναι τὸν τῶν συστοίχων τόπον. τὸ δ' ἐπ' αὐτοῦ τοῦ προκειμένου λαμβανόμενον ἔχει ἔνστασίν τινα οὐκ ἀληθῆ μὲν ἴσως πιθανὴν μέντοι πρὸς τὸ μὴ δοκεῖν ἀλόγως ἀνανεύειν πρὸς τὸ προτεινόμενο ν . οὐκέτι δὲ ὁμοίως εὔπορον τῷ ἐπὶ τοῦ συστοίχου ὁριζομένῳ ἐνστῆναι. p. 156b4 Ἔτι τὸ προτείνειν μὴ ὡς δ ι ' αὐτὸ ἀλ λ ' ἄλλου χάρι ν . Κρυπτικὸν καὶ τὸ τὰ χρήσιμα πρὸς τὴν τοῦ προκειμένου δεῖξιν προτείνειν τε καὶ ἐρωτᾶν ὡς ἄλλου χάριν ἀλλὰ μὴ τοῦ προκειμένου λαβεῖν ἀξιοῦντας· ὑποπτεύουσι γὰρ τὰ τῆς θέσεως χάριν καὶ τοῦ προκειμένου προβλήματος ἐρωτώμενα οἱ ἀποκρινόμενοι, καὶ διὰ τοῦτο οὐ ῥᾳδίως διδόασιν. p. 156b6 Ἁπλῶς δὲ εἰπεῖν ὅτι μάλιστα ποιεῖν ἄδηλο ν . Γίνεται μέν, ὡς προείρηται, καὶ παρὰ τὸ τὸ ἐρωτώμενον ἄδηλον εἶναι ἄγνοια τοῦ ποτέρα τῶν ἀποκρίσεων χρήσιμός ἐστι πρὸς τὸ προκείμενον· γίνεται δὲ τοῦτο καὶ παρὰ τὸν τῆς ἐρωτήσεως τρόπον, ὃ νῦν ἀξιοῖ ποιεῖν. ἂν γὰρ τῇ ἐρωτήσει μὴ διασημαίνωμεν, ὃ βουλόμεθα λαβεῖν, ἢ τῷ μόνον αὐτὸ τιθέναι ἢ τῷ δείκνυσθαι ἄτοπον τὸ ἀντικείμενον λέγειν, ἄδηλον ποιοῦμεν πότερον ὡς χρήσιμον ἡμῖν εἰς τὸ προκείμενον λαβεῖν βουλόμεθα. ἂν μὲν γὰρ θέλοντες δεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατος λαβεῖν βουλώμεθα ὅτι ἡ ψυχὴ αὐτοκίνητος **** , ὑποσημαίνομεν διὰ τοῦ τρόπου τῆς ἐρωτήσεως ὅτι τοῦτο βουλόμεθα λαβεῖν· ἐὰν δὲ εἴπωμεν οὕτως 'ἆρά σοι δοκεῖ ἡ ψυχὴ ἣν κινεῖται κίνησιν ὑπ' ἄλλου κινεῖσθαι ἢ οὔ;', οὐκέτι ἐνδεικνύμεθα διὰ τῆς ἐρωτήσεως πότερον ὃ προετείναμεν βουλόμεθα λαβεῖν ἢ τὴν ἀπόφασιν αὐτοῦ.

in Top.529 p. 156b10 Ἔτι διὰ τῆς ὁμοιότητος πυνθάνεσθα ι . Κρυπτικόν φησιν εἶναι τόπον καὶ τὸ μὴ ἐπ' αὐτοῦ τούτου, ὃ βουλόμεθα λαβεῖν, ποιεῖν γίνεσθαι τοὺς λόγους ἀλλ' ἐπ' ἄλλου τινὸς ὁμοίου αὐτῷ. τῷ τε γὰρ μὴ ἐπ' αὐτοῦ γίνεσθαι τὰς ἐρωτήσεις διδόασιν οἱ ἀποκρινόμενοι ὡς περὶ ἄλλων τινῶν ἀλλ' οὐ περὶ τῶν προκειμένων ἐρωτώμενοι, καὶ τὰ ἐπὶ τούτων συγχωρηθέντα ῥᾴδιον μεταφέρειν ἐπὶ τὰ προκείμενα διὰ τὴν ὁμοιότητα. ἀξιοῖ οὖν διὰ τῆς τοῦ ὁμοίου τῷ προκειμένῳ παραθέσεως πειρᾶσθαι λαμβάνειν τὸ προκείμενον. λέγει δὲ τοῦτο ὅμοιον εἶναι ἐπαγωγ ῇ , οὐ μὴν ταὐτόν · ἡ μὲν γὰρ ἐπαγωγὴ διὰ τῆς τῶν καθ' ἕκαστα ὁμοιότητος τὸ καθόλου λαμβάνε ι , ἡ δὲ κατὰ τὴν τοῦ ὁμοίου μετάβασιν γινομένη ἀπὸ τοῦ ὁμοίου τῷ προκειμένῳ τὸ προκείμενον λαμβάνει, ἀλλ' οὐκ ἀπὸ τῶν ὑπ' αὐτὸ τὸ προκείμενον. διὰ δὲ τοῦ εἰπεῖν τὸ καθόλου τὸ προκείμενον ἐσήμανε. p. 156b18 Δεῖ δὲ καὶ αὐτόν ποτε ἑαυτῷ ἔνστασιν φέρει ν . Κρυπτικόν φησιν εἶναι πρὸς τὸ ῥᾶον ὃ βούλεταί τις συγχωρηθῆναι αὐτῷ ὑπὸ τοῦ ἀποκρινομένου τὸ καὶ αὐτόν ποτε ἑαυτῷ πρός τι ἐρωτῶντα ἐνίστασθαι· δοκοῦσι γὰρ οἱ τοῦτο ποιοῦντες δικαίως καὶ φιλαλήθως ἐπιχειρεῖν πρὸς τὸ προκείμενον. πρὸς δὴ τοὺς οὕτω μεταχειριζομένους τοὺς λόγους ἀνυπόπτως ἔχουσιν οἱ ἀποκρινόμενοι καὶ ἑτοιμότατα συγχωροῦσιν οἷς αὐτοὶ ἀξιοῦσιν, ὡς οὐδ' ἐκείνων ἀξιωσάντων ἂν αὐτά, εἰ μὴ οὕτως εἶχε.

in Top.530 κρυπτικὸν δὲ πᾶν ὅπερ ἀπάγει τὸν ἀποκρινόμενον τῆς περὶ τὰς ἀποκρίσεις ἐπιστάσεως. p. 156b20 Χρήσιμον δὲ καὶ τὸ ἐπιλέγειν ὅτι σύνηθε ς . Χρήσιμόν φησι πρὸς τὸ ἑτοιμότερον λαμβάνειν τοῖς ἐρωτῶσιν ἃ βούλονται καὶ κρυπτικὸν τὸ προστιθέναι τὸ σύνηθες καὶ λεγόμενον · οἷον 'ἆρά γε δοκεῖ σοι ἡ ὑγεία αἱρετὸν εἶναι, ὡς πᾶσι δοκεῖ;', 'ἆρά σοι δοκεῖ ὁ ἀγαθὸς κριτὴς ἄριστος εἶναι, ὡς πᾶσι σύνηθες λέγειν;'. οὕτως καὶ Σωκράτης πρὸς Καλλικλέα κέχρηται εἰπόντα τοὺς σώφρονας ἠλιθίους· οὐ γὰρ συνήθης ἡ τοιαύτη περὶ σωφροσύνης ὑπόληψις· τοῦτο γὰρ δύναται αὐτῷ ἡ ἀπόκρισις ἡ "οὐδεὶς ἂν ἀγνοοίη ὅτι οὐ τοῦτο λέγω". οὕτως κἂν φιλοπλάτων τις ᾖ, ῥᾶον λήψεται παρ' αὐτοῦ ὁ ἐρωτῶν ὃ βούλεται, ἂν προσθῇ 'οὕτω Πλάτωνι δοκεῖ'. p. 156b23 Ἔτι τὸ μὴ σπουδάζει ν . Κἂν ὅλως χρήσιμον ᾖ [πρὸς τὴν θέσιν],

φησί, τὸ προτεινόμενον εἰς τὴν τοῦ προκειμένου δεῖξιν, οὐ δεῖ φαίνεσθαι σπουδάζοντα περὶ τὸ δοθῆναι αὐτό· κρυπτικὸν γὰρ καὶ τοῦτο. πρὸς γὰρ ἃ σπουδάζουσι λαβεῖν οἱ ἐρωτῶντες, μᾶλλον ἀντιτείνουσιν οἱ ἀποκρινόμενοι· διὸ ζητοῦσιν ἔνστασιν φέρειν πρὸς αὐτά. γίνοιτο δ’ ἂν τοῦτο, εἰ ὡς ἐνδοιάζοντες καὶ αὐτοὶ ἐρωτῷεν καὶ ὡς οὐκ εἰδότες· ὃ πολλάκις ὁ Σωκράτης ποιεῖ παρὰ τῷ Πλάτωνι· ὡς γὰρ οὐκ εἰδὼς τὸ συμβησόμενον καὶ ὡς τοῦτο ληψόμενος, ὃ ἂν ἐκ τοῦ λόγου φαίνηται ἄριστα ἔχειν, οὕτως ἐρωτᾷ. p. 156b25 Καὶ τὸ ὡς ἐν παραβολῇ προτείνει ν . Κρυπτικόν ἐστι καὶ τὸ ὃ βούλεταί τις λαβεῖν ὡς ἐν παραβολῇ ἐρωτᾶν ἄλλου χάριν λαμβάνοντα, ἀλλὰ μὴ ὡς αὐτὸ βουλόμενον λαβεῖν· ῥᾶον γὰρ διδόασιν οἱ ἀποκρινόμενοι ἃ μὴ νομίζουσι χρήσιμα εἶναι πρὸς τὸ προκείμενον.

in Top.531 οὕτως βουλόμενοι λαβεῖν, ὅτι ἡ ἐγκράτεια ἀρετή ἐστιν, ἐρωτήσομεν εἰ δοκεῖ ὥσπερ ἡ ἐγκράτεια ἀρετή, οὕτω καὶ ἡ ἀνδρεία καὶ ἡ δικαιοσύνη ἀρετὴ εἶναι. p. 156b27 Ἔτι μὴ αὐτὸ προτείνειν ὃ δεῖ ληφθῆνα ι , ἀλ λ ’ ᾧ τοῦτο ἕπεται ἐξ ἀνάγκη ς . Ἐπεί εἰσί τινα ἑπόμενά τισιν ἐξ ἀνάγκης, ὡς τῷ τὴν ἀρετὴν ἐπιστήμην εἶναι τὸ διδακτὸν εἶναι τὴν ἀρετήν, κρυπτικόν φησιν εἶναι καὶ τὸ μὴ ἐρωτᾶν αὐτὸ ὃ λαβεῖν βουλόμεθα, ἀλ λ ’ ᾧ τοῦτο ἕπετα ι . ῥᾷόν τε γὰρ τοῖς τοιούτοις συγχωροῦσιν ὡς οὐκ ἔχουσί τι πρὸς τὸ προκείμενον χρήσιμον, καὶ οὐδὲν ἧττον αὐτῶν δοθέντων περαίνεται τὸ προκείμενον διὰ τὴν ἀκολουθίαν. p. 156b30 Καὶ τὸ ἐ π ’ ἐσχάτων ἐρωτᾶν ὃ μάλιστα βούλεται λαβεῖ ν . Κρυπτικὸν καὶ ὃ βούλεταί τις μὴ πρῶτον ἐρωτᾶν· πρὸς γὰρ τὰ πρῶτα ὡς τοῦ προκειμένου χάριν ἐρωτώμενα καὶ ὄντα ἀναγκαῖα μάλιστα ἐνίστανται, ἐπεὶ καὶ σχεδὸν οἱ προσδιαλεγόμενοι ταῦτα πρῶτον ἐρωτῶσι. δεῖ οὖν, φησίν, ἄλλα τινὰ ἐρωτᾶν πρότερον καὶ προεκλύσαντα δι’ αὐτῶν τὸ ἐνστατικὸν τῶν ἀποκρινομένων ἔσχατον ἐρωτᾶν τὰ χρήσιμα. οὐ πρὸς πάντας δέ φησι δεῖν χρῆσθαι τούτῳ τῷ τρόπῳ τῆς ἐρωτήσεως· εἰσὶ γάρ τινες οἳ τοῖς πρώτοις συγχωρήσαντες, ἂν μὴ σφόδρα φανερὰ ᾖ, ὡς εὐπροσίτους ἑαυτοὺς ἐν τῇ κοινολογίᾳ παρέχοντες, ὕστερον ἀνατρέχουσι πρὸς τὸ οἰκεῖον ἐλάττωμα. p. 156b36 Ὁμοίως δὲ καὶ ὅσοι οἴονται δριμεῖς εἶνα ι . Εἰσὶν οἳ δι’ οἴησιν δριμύτητος, ὡς οὐδὲν πεισόμενοι συγχωρήσαντες τὰ ἐρωτώμενα, τοῖς πρώτοις οὐκ ἐνίστανται, εἶτα ἐπὶ τέλει φλυαροῦσι καὶ πειρῶνται διαστρέφοντες τὰ δεδομένα δεικνύναι ὅτι μὴ ἐκ τῶν συγχωρηθέντων τὸ ἐπιφερόμενον δείκνυται, ἢ τὴν λέξιν διαστρέφοντες ἢ ἀμφιβολίας τινὰς ἐξηγούμενοι.

in Top.532 τοὺς δὴ τοιούτους φησὶ δεῖν πρῶτον τὰ ἀναγκαῖα ἐρωτᾶν καὶ ὧν τις μάλιστα συγχωρουμένων δεῖται. p. 157a1 Ἔτι τὸ μηκύνειν καὶ παρεμβάλλει ν . Κρυπτικόν φησι καὶ τὸ μηκύνειν καὶ παρεμβάλλειν τινὰ ἐρωτήματα μηδὲν χρήσιμον ἔχοντα πρὸς τὰ προκείμενα. ὃ ποιεῖν φησι καὶ τοὺς ψευδογραφοῦντας ἐν γεωμετρίᾳ· πολλὰς γὰρ ἄγοντες γραμμὰς μηδὲν χρησίμους πρὸς τὸ ψευδογράφημα τὸ δεικνύμενον καί τινα περὶ αὐτῶν λέγοντες λεληθότως καὶ τὰς εἰς τὸ ψεῦδος φερούσας ἐγγράφουσιν. ἀδηλότερον γὰρ καὶ ἀφανέστερον τὸ ψεῦδος ἐν πλείοσι καὶ ἐν παραβύστῳ τεθέν· ὡς γὰρ ἀχρήστοις οὖσι τοῖς ἐρωτωμένοις πρὸς τὸ προκείμενον συγχωροῦντες οἱ ἀποκρινόμενοι λανθάνουσι καὶ τὰ χρήσιμα διδόντες σὺν αὐτοῖς. ἀλλὰ καὶ ἐπιταράττεσθαι συμβαίνει αὐτοῖς ὑπὸ τοῦ πλήθους τῶν ἐρωτήσεων, ὡς μὴ διορᾶν ἐκ τίνων συμβαίνει τὸ προκείμενον. p. 157a6 Εἰς 〈δὲ〉 κόσμον ἐπαγωγῇ κα ί . Ὅτι εἰς ὄγκον καὶ κόσμον τοῦ λόγου χρηστέον ἐπαγωγῇ καὶ διαιρέσει τῶν ὁμοίων τε καὶ συγγενῶ ν . ἔστι δὲ διαίρεσις ἥ τε εἰς τὰ εἴδη τομὴ τοῦ γένους καὶ ἡ τοῦ ὅλου εἰς τὰ μέρη καὶ ἡ τῆς λέξεως εἰς τὰ σημαινόμενα. p. 157a7 Ἡ μὲν οὖν ἐπαγωγὴ ὁποῖόν τί ἐστ ι , δῆλο ν . Ὅτι τὸ παράδειγμα τῆς ἐπαγωγῆς ἄλλο, καὶ ἐν τῇ Ἀναλυτικῇ εἴρηται. ἡ μὲν γὰρ ἐπαγωγὴ ἐκ τῶν καθ’ ἕκαστά ἐστιν ἐπὶ τὸ καθόλου ἔφοδος· παράδειγμα δὲ γίνεται τὸ ὅμοιον καὶ γνωριμώτερον τοῦ ὁμοίου καὶ ἧττον γνωρίμου.

in Top.533

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὸ ἐπαγωγὴ μὲν δι’ ἑνὸς οὐ γίνεται· τὸ δὲ παράδειγμα ἀρκεῖ καὶ δι’ ἑνὸς εἶναι. καὶ ἔστιν ἡ μὲν ἐπαγωγὴ τῷ διαλεκτικῷ οἰκειοτέρα, τὸ δὲ παράδειγμα τῷ ῥήτορι. προσχρῆται μέντοι καὶ ὁ διαλεκτικὸς παραδείγμασιν ὑπὲρ σαφηνείας τοῦ λεγομένου, εἰ μὴ εἴη γνώριμον, ὡς πρὸ ὀλίγου ἐλέγετο τὸ διὰ τῆς ὁμοιότητος πυνθάνεσθαι. παραδειγματικὸν γὰρ τὸ οὕτως ἐρωτῆσαι ‘ἆρά γε τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη ὥσπερ καὶ αἴσθησις;‘. παραδείγματος δὲ παραβολὴ διαφέρει, ὅτι τὸ μὲν παράδειγμα δοκεῖ γεγονός τι εἰς δεῖξίν τινος παρατίθεσθαι μηδέπω γεγονότος καὶ διὰ τοῦτο ἀδήλου, ἡ δὲ παραβολὴ εἰκών ἐστιν ὁμοιότητα πρός τι γεγονὸς σημαίνουσα. ἔοικε μέντοι αὐτὸς νῦν ἐπὶ τοῦ αὐτοῦ κεχρῆσθαι τῷ παραδείγματι καὶ τῇ παραβολῇ δι’ ὧν λέγει παραδείγματα δὲ οἰκεῖα καὶ ἐξ ὧν ἴσμε ν , οἷα Ὅμηρο ς , μὴ οἷα Χοιρίλος · ἐναργεῖς γὰρ καὶ διὰ γνωρίμων αἱ παρ’ Ὁμήρῳ παραβολαί· οὐ τοιαῦται δὲ αἱ Χοιρίλου. p. 157a21 Ἔστι δὲ ἐ π ’ ἐνίων μὲν ἐπάγοντα δυνατὸν ἐρωτῆσαι τὸ καθόλο υ . Λέγει πρῶτον περὶ τῶν ἐπακτικῶν λόγων, πῶς χρηστέον αὐτοῖς. καὶ πρῶτον μὲν δυσχέρειάν τινα πολλάκις ἐπὶ τῶν ἐπακτικῶν λόγων ἀπαντῶσαν μηνύει, ἣν ἀξιοῖ φυλάττεσθαι ἐπανορθοῦσθαι πειρωμένους. ἔστι δὲ ἡ δυσχέρεια αὕτη· ἐπεὶ ἐπί τινων τὸ καθόλου τε καὶ κοινὸν οὐκ ὠνόμασται, οἷον τίνα ἐστὶ τῶν ζῴων τετράποδα (τῷ μὲν γὰρ δίποδι πεζῷ ἄνθρωπος ὄνομα, τοῖς δὲ τετράποσι πεζοῖς οὐκ ἔστιν ἓν ὄνομα τὴν ὁμοιότητα περιέχον αὐτῶν), οἱ τὰς ἐπαγωγὰς ἐπὶ τούτων ποιούμενοι λαβόντες τινὰ τῶν ὑπὸ τὸ καθόλου, τῷ τὸ κοινὸν ἐπ’ αὐτοῖς μὴ ὠνομάσθαι ἐπιφέρουσι ‘καὶ πᾶν ἄρα τὸ τοιοῦτον‘.

in Top.534 διὰ δὴ τὴν τοιαύτην ἐπιφορὰν ἐν τοῖς ἐπακτικοῖς λόγοις πολλάκις ἀλλήλους παρακρούονται οἱ διαλεγόμενοι, 〈οἱ μὲν〉 τὰ τοῖς εἰλημμένοις διὰ τῆς ἐπαγωγῆς ἀνόμοια ἐπάγοντες ὡς ὅμοια καὶ περιεχόμενα ἐν τῷ 〈τοιούτῳ τῷ〉 τοιαῦτα δοκεῖν εἶναι διά τινα βραχεῖαν ὁμοιότητα, οἱ δὲ τὰ ὅμοια οὐκ ἀξιοῦντες ὅμοια εἶναι οὐδὲ συγκεχωρῆσθαι τὰ τοιαῦτα διά τινα κατά τι ἄλλο ἀνομοιότητα. παραινεῖ οὖν τὰ τοιαῦτα φυλάττεσθαι πειρωμένους, εἰ οἷόν τε, ὀνοματοποιεῖν αὐτοὺς καὶ κοινῷ ὀνόματι περιλαμβάνειν τὰ τοῖς εἰλημμένοις διὰ τῆς ἐπαγωγῆς ὅμοια, οἷον ὡς πάντα, ἃ κερασφόρα οὐκ ἔστιν, ἀμφόδοντα. ἐπ’ ἐνίων μὲν οὖν ῥᾴδιον εὐπορεῖν ὀνομάτων, ὡς ἐπὶ τῶν εἰρημένων· ἐπ’ ἐνίων δ’ οὐ ῥᾴδιον. οὐ μὴν ἀλλ’ ἴσως χρή, εἰ καὶ μὴ ὀνόματι ἑνὶ δυνατὸν αὐτὰ περιλαβεῖν, ἀλλὰ λόγῳ γε σαφῶς περιορίζοντας ἐπιφέρειν· γνώριμον γὰρ καὶ τοῦτο καὶ ἧττον ἀφορμὰς παρέχον ἀμφισβητήσεως. p. 157a34 Ὅταν δ ’ ἐπάγοντος ἐπὶ πολλῶν μὴ διδῷ τὸ καθόλο υ . Λέγει διὰ τούτων, πότε εὔλογον ἔνστασιν ἀπαιτεῖν τὸν ἐρωτῶντα παρὰ τοῦ ἀποκρινομένου καὶ πότε οὐκ εὔλογον. ὅταν μὲν γὰρ τοῦ ἐρωτῶντος ἐπακτικῶς ἐπὶ πολλῶν τὸν λόγον ποιησαμένου μὴ συγχωρῇ ὁ ἀποκρινόμενος τὸ καθόλου, τότε εὔλογον ἀπαιτεῖν αὐτὸν ἔνστασιν ἐπὶ τίνος οὐχ οὕτως. ἐὰν δέ τις χωρὶς τοῦ τὴν πίστιν διὰ τῶν καθ’ ἕκαστα ποιήσασθαι τοῦ καθόλου τὸ καθόλου λαμβάνῃ, ἀνανεύοντος δὲ ἔνστασιν ἀπαιτῇ, οὐκ εὔλογος ἡ ἔνστασις· δεῖ γὰρ ἐπάγοντα πρῶτον οὕτως τὴν ἔνστασιν ἀπαιτεῖ ν . p. 157a37 Ἀξιωτέον τε τὰς ἐνστάσεις μὴ ἐ π ’ αὐτοῦ τοῦ προτεινομένο υ . Καὶ τοῦτο περὶ τῶν ἐπακτικῶν λόγων λέγει, μὴ δεῖν συγχωρεῖν τοῖς ἀποκρινομένοις ἐ π ’ αὐτοῦ τοῦ προτεινομένου καὶ δεικνυμένου ποιεῖσθαι τὰς ἐνστάσεις χρωμένοις πρὸς τὴν ἀναίρεσιν τῷ καθόλου, ἐὰν μὴ ἓν μόνον ᾖ τοιοῦτο ν .

in Top.535 p. 157b2 Πρὸς δὲ τοὺς ἐνισταμένους τῷ καθόλου μὴ ἐν αὐτῷ δὲ τὴν ἔνστασι ν . Ἐπεί τινες πειρῶνται πρὸς τὸ καθόλου τὸ διὰ τῶν ἐπαγωγῶν λαμβανόμενον ἐνίστασθαι, ποιούμενοι τὰς ἐνστάσεις οὐκ ἐπὶ τούτων περὶ ὧν ὁ λόγος καὶ ἡ ἐρώτησις, ἀλλ’ ἐπὶ ὁμωνύμων αὐτοῖς τινων, δεῖ πρὸς τὴν προφυλακὴν τῶν τοιούτων ἐνστάσεων, μηδὲν φερουσῶν πρὸς τὸ προκείμενον φαντασίαν δὲ ἀποτελεῖν δυναμένων ποτὲ ὡς οὐσῶν ἐνστάσεων, διελόμενον τὴν ὁμωνυμίαν ἐπὶ τούτων τὴν ἐρώτησιν ποιεῖσθαι, ἃ ἔξω πίπτει τῆς πρὸς τὰ μὴ οὕτως ἔχοντα ὁμωνυμίας, ὡς ἐπὶ τοῦ τοῦτό τι ἔχειν, πῶς ἔχει, εἰ ὡς μέρος ἐν αὐτῷ ἢ ὡς ἕξιν ἢ ὡς πάθος ἢ ὡς κτῆμα. p. 157b8 Ἐὰν δὲ μὴ ἐν τῷ ὁμωνύμῳ ἀλ λ ’ ἐν αὐτῷ ἐνιστάμενο ς . Εἰπὼν πῶς φυλαξόμεθα τὰς ἐπὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμωνύμων ἐνστάσεις, ὅτι διαιρούμενοι, προστίθησι πῶς, εἰ μὴ ἐπί τινος ὁμωνύμου ἡ ἔνστασις γένοιτο ἀλλ' ἐπί τινος τῶν ὑπὸ τὸ καθόλου, ὃ λαβεῖν βουλόμεθα διὰ τῆς ἐπαγωγῆς, φυλαξόμεθα καὶ τὴν τοιαύτην ἔνστασιν καὶ περανοῦμεν τὸ προκείμενον. ἐπὶ γὰρ τούτου ἀφαιροῦντας ἀξιοῖ ἐκεῖνο ἀπὸ τοῦ καθόλου, καθ' ὃ ἡ ἔνστασις γίνεται, ἢ προσδιορίζοντας περὶ τοῦ καταλειπομένου ἐρωτᾶν καθόλου. οἷον εἰ δι' ἐπαγωγῆς ἡμῖν λαμβάνουσιν, ὅτι λήθη ἐστὶν ἡ τῆς ἐπιστήμης ἀποβολή, ἐνίσταταί τις λέγων τοὺς ἔχοντάς τινος πράγματος ἐπιστήμην μεταβάλλοντος τοῦ πράγματος ἀποβάλλειν μὲν τὴν ἐπιστήμην αὐτοῦ μὴ μέντοι ἐπιλελῆσθαι, ἀφελόντα χρὴ τοῦτο, καθ' ὃ ἡ ἔνστασις, τὸ λοιπὸν καθόλου λαβεῖν. ἀφαιροῖτο δ' ἄν, εἰ προσθείημεν τῷ τὴν τῆς ἐπιστήμης ἀποβολὴν λήθην εἶναι 'σωζομένου τοῦ πράγματοσ'· ὁ γὰρ τοιοῦτος διορισμὸς προστεθεὶς τήν τε ἔνστασιν ἀναιρεῖ καὶ τοῦ τὸ προκείμενον λαβεῖν αἴτιος γίνεται.

in Top.536 p. 157b17 Ὁμοίως δὲ καὶ πρὸς τοὺς ἐνισταμένους διότι τῷ μείζονι ἀγαθ ῷ . Ὅτι ἐπὶ τούτων ἀξιωτέον τῷ μείζονι ἀγαθῷ μεῖζον κακὸν ἀντικεῖσθαι, ἐφ' ὧν οὐκ ἔστι τὸ μεῖζον ἀγαθὸν συνεπιφέρον τὸ ἕτερον τὸ ἔλαττον. εἰ γὰρ εἴη τοιοῦτον ὡς συνεπιφέρειν τὸ ἕτερον καὶ διὰ τοῦτο μεῖζον εἶναι, τῷ αὐτὸ καθ' αὑτὸ χωρὶς ἐκείνου μὴ λαμβάνεσθαι, οὐκέτι γίνεται καὶ τὸ τούτῳ ἐναντίον κακὸν μεῖζον τοῦ ἐναντίου τῷ ἐλάττονι ἀγαθῷ κακοῦ τῷ συνεπιφερομένῳ ὑπὸ τοῦ μείζονος. διὰ τοῦτο γὰρ καὶ τὸ 〈τῇ εὐεξίᾳ〉 ἐναντίον κακὸν οὐκ ἔστι μεῖζον τοῦ τῇ ὑγείᾳ ἐναντίου κακοῦ· καίτοι μεῖζον ἡ εὐεξία τῆς ὑγείας, ἀλλὰ διὰ τοῦτο μεῖζον, ὅτι συνεπιφέρει τὴν ὑγείαν· ἀδύνατον γάρ τινα εὐεκτεῖν μὲν μὴ ὑγιαίνειν δέ. ὡς δὲ ἡ εὐεξία μεῖζον ἀγαθὸν τῆς ὑγείας, ὅτι συνεπιφέρει αὐτήν, οὕτω πάλιν ἡ νόσος, ἥτις ἐστὶν ἐναντία τῇ ὑγείᾳ, τῷ συνεπιφερομένῳ ἀγαθῷ ὑπὸ τῆς εὐεξίας, μεῖζον κακὸν τῆς καχεξίας, ἥτις ἐστὶν ἐναντία τῇ εὐεξίᾳ, ὅτι καὶ αὐτὴ συνεπιφέρει τὴν καχεξίαν· πᾶς γὰρ ὁ νοσῶν ἐν καχεξίᾳ ἐστίν. p. 157b24 Οὐ μόνον δὲ ἐνισταμένου τοῦτο ποιητέο ν . Ὅτι κἂν μὴ ἔνστασίν τινα φέρῃ ὁ ἀποκρινόμενος, ἀρνῆται μέντοι τὸ καθόλου ὑφορώμενός τι τοιοῦτον, ἀξιοῖ αὐτοὺς προλαβόντας διορίζειν τὰς ἐρωτήσεις καὶ ἀφαιρεῖν καθ' ἃ αἱ ἐνστάσεις χώραν ἔχουσι· τούτων γὰρ ταῖς προσθήκαις ἀφαιρουμένων ἀναγκασθήσεται τοῖς ἀξιουμένοις συγχωρεῖν τῷ μηκέτι συνορᾶν ἐπὶ τίνος οὐχ οὕτως ἔχει τῶν ὑποτιθεμένων. τίνες δὲ τῶν προτάσεων τῶν καθόλου διορισμοῦ τοιούτου δέονται, ἐδήλωσε καθόλου· αἱ γὰρ ἐπὶ τὶ μὲν ἀληθεῖς ἐπὶ τὶ δὲ ψευδεῖς · ποῖαι δέ εἰσιν αὗται, ἐν τοῖς Ἀναλυτικοῖς εἴρηται.

in Top.537 ἐπὶ γὰρ τῶν τοιούτων ἔνεστι τῷ διορισμῷ προστιθεμένῳ ἀφελόντας τὸ ψεῦδος ἔχειν τὸ καταλειπόμενον ἀληθές· ἡ γὰρ πρότασις ἡ λέγουσα 'πᾶσα ἀποβολὴ ἐπιστήμης λήθη ἐστίν' οὐ καθόλου ἀληθής, ἀλλὰ σωζομένου τοῦ πράγματος. p. 157b31 Ἐὰν δὲ ἐπὶ πολλῶν προτείνοντος μὴ φέρῃ ἔνστασι ν . Ἀξιοῖ, εἰ ἐπὶ πολλῶν καὶ διὰ πολλῶν τὸ καθόλου συνιστάντων ἡμῶν διὰ τῆς ἐπαγωγῆς ὁ ἀποκρινόμενος ἔνστασιν μὴ φέροι ἐπὶ τίνος οὐχ οὕτως, μόνον δ' ἀντιλέγοι πρὸς τὸ καθόλου, τιθέναι αὐτὸ καὶ χρῆσθαι αὐτῷ ὡς ὁμολογουμένῳ καὶ ἐνδόξῳ· διαλεκτικὴ γά ρ , τουτέστιν ἔνδοξος πρότασίς ἐστι, πρὸς ἣν δεικνυμένην ἐπὶ πολλῶν ὅτι οὕτως ἔχει μὴ φέρεται ἔνστασις. p. 157b34 Ὅταν δὲ ἐνδέχηται τὸ αὐτὸ ἄνευ τε τοῦ ἀδυνάτου καὶ διὰ τοῦ ἀδυνάτου συλλογίσασθα ι . Ἐπεὶ συλλογισμὸς γίνεται μὲν καὶ δεικτικός, γίνεται δὲ καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, λέγει ὅτι πρὸς μὲν τὸ ἀποδεικνύναι τὸ προκείμενον ἐπ' αὐτοῦ τὸν συλλογισμὸν ποιούμενον καὶ τῆς ἀληθείας εὑρέσεως χάριν οὐδὲν διαφέρει οὕτως ἢ ἐκείνως συλλογίσασθαι · τοῖς γὰρ αὐτοῖς ὡς ἐναργέσι καὶ ὁμολογουμένοις χρῆται καὶ ὁ δεικτικῶς δεικνὺς καὶ ὁ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὡς ἐδείχθη ἐν τῷ δευτέρῳ τῶν Προτέρων ἀναλυτικῶν. ἐν δὲ ταῖς διαλέξεσι χρησιμώταται αἱ δεικτικαὶ δείξεις· τὰ γὰρ αὐτὰ εὐκολώτερον δίδοταί τε καὶ συγχωρεῖται μηδέπω ὄντος γνωρίμου τοῦ δεικνυμένου δι' αὐτῶν. ἐπὶ μὲν οὖν τῆς δεικτικῆς μετὰ τὴν λῆψιν τῶν προτάσεων φανερὸν τὸ συμπέρασμα· ἐπὶ δὲ τῆς εἰς ἀδύνατον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπαγωγῆς φανεροῦ ὄντος τοῦ ὀφείλοντος δειχθῆναι· τὸ γὰρ ἀντικείμενον τῇ ὑποθέσει δεῖξαι βούλεται ἡ τοιαύτη ἀπόδειξις.

in Top.538 ὅταν οὖν προσληφθείσης τῆς ἑτέρας τῶν προτάσεων τῇ ὑποθέσει δεικνύηταί τι [ὅτι] ἀδύνατον, οὗ τῇ ἀναιρέσει ὡς ἀδυνάτου κατασκευάζεται τὸ ἀντικείμενον τῆς ὑποθέσεως, οὔ φασι τὸ δειχθὲν καὶ συναχθὲν ἀδύνατον εἶναι, ὁρῶντες ὅτι τούτου δειχθέντος εἶναι ἀδύνατον δείκνυται τὸ τῆς ὑποθέσεως ἀντικείμενον, καὶ ὃ ἔδοσαν ἂν ἁπλῶς αἰτούμενοι ὡς ἀληθές, τοῦτο οὐ διδόασι τότε ὁρῶντες τὸ συμβησόμενον δοθέντος αὐτοῦ. καὶ καθόλου ἐπὶ μὲν τῆς δεικτικῆς δείξεως οὐδεμία ἐστὶν ἐνστάσεως χώρα μετὰ τὸ διὰ συλλογισμοῦ δειχθῆναι τὸ συμπέρασμα· ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς μετὰ τὸ συναχθῆναι συλλογιστικῶς ἔτι ἐνστάσεώς ἐστι χώρα τῷ μὴ δείκνυσθαι διὰ τοῦ συλλογισμοῦ τὸ προκείμενον ἀλλὰ τὸ τὸ συλλογισθὲν ἀδύνατον εἶναι, τοῦτο κατασκευάζειν τὸ προκείμενον, ὃ ἦν τὸ τῇ ὑποθέσει ἀντικείμενον. p. 158a3 Δεῖ δὲ προτείνειν ὅσα ἐπὶ πολλῶν μὲν οὕτως ἔχε ι . Δεῖ τὰς ἐρωτωμένας ὑπὸ τῶν ἐρωτώντων προτάσεις τοιαύτας εἶναι ὡς ἐπὶ πολλῶν μὲν φανερῶς καὶ ὁμολογουμένως οὕτως ἔχειν, ἔνστασιν δὲ ἢ ὅλως μὴ ἔχειν ἢ μὴ πρόχειρον καὶ εὔκολον εὑρεθῆναι ἔχειν. οὕτως γὰρ ἂν λαμβάνοι αὐτὰς παρὰ τοῦ προσδιαλεγομένου· μὴ δυνάμενος γὰρ συνορᾶν ἐπὶ τίνος οὐχ οὕτως ἔχει, συγχωρεῖ τοῖς καθόλου ἀξιουμένοις. [Ἑτέρου. p. 158a7 Οὐ δεῖ δὲ τὸ συμπέρασμ α . Οὐ δεῖ δ έ , φησί, ἐρωτᾶν τὸ συμπέρασμα ὡς πρότασιν διαλεκτικήν. οἷον ἔστω τὸ συμπέρασμα, ἤτοι τὸ πρόβλημα, ὅτι ἡ ἡδονὴ κατὰ φύσιν· οὐ δεῖ ἐρωτᾶν ‘τί δέ; τὸ κατὰ φύσιν οὐκ ἀγαθόν; τί δέ; ἡ ἡδονὴ οὐκ ἀγαθόν;‘· εἰ γὰρ οὕτως ἐρωτᾷς, ἀνανεύσαντος τοῦ προσδιαλεγομένου καὶ μὴ συγχωρήσαντος ὅτι ἡ ἡδονὴ ἀγαθὸν οὐδ’ ὅλως ἔσται συλλογισμός. εἰ γὰρ τὰς μὲν ἄλλας προτάσεις χάριν τοῦ συμπεράσματος ἐρωτᾷς, ἵν’ ἐκ τούτων συνάξῃς αὐτό, προενέγκῃς δὲ τὸ συναχθησόμενον ὡς ἐρώτημα, ὁ δὲ ἀπαρνήσεται, οὐδ’ ὅλως ποιεῖς συλλογισμόν. πολλάκις γὰρ ἀρνεῖται ὁ προσδιαλεγόμενος καὶ μὴ ἐρωτῶντός σου τὸ συμπέρασμα ἀλ λ ’ ἐπιφέροντος καὶ συνάγοντος αὐτὸ ὡς συμβαῖνον ἐκ τῶν προκειμένων προτάσεων· καὶ τοῦτ ο , ἤγουν τὸ ἀρνεῖσθαι, ποιοῦντες οὐ δοκοῦσιν ἐλέγχεσθαι τοῖς μὴ ἀκριβέσι διαλεκτικοῖς· εἰ γὰρ μὴ εἴη ἀκριβὴς διαλεκτικός, οὐκ ἂν ἀπελέγξειεν αὐτὸν μὴ λέγοντα καλῶς.

in Top.539 ὅταν οὖν ὁ ἐρωτῶν ἐρωτήσῃ τὸ συμπέρασμα καὶ μὴ προδιομολογήσῃ ὅτι συνήχθη ἐκ τῶν δοθεισῶν προτάσεων, ὁ δὲ ἀποκρινόμενος ἀρνήσηται, φανερὸν ὅτι οὐδ’ ὅλως ἂν γένοιτο συλλογισμός.] p. 158a14 Οὐ δοκεῖ δὲ πᾶν τὸ καθόλου διαλεκτικὴ πρότασις εἶνα ι . Τὸ καθόλου ἤτοι ἐπὶ τῶν προτάσεων λέγει, ὅτι μὴ πᾶσα πρότασις διαλεκτική, [ἢ] ἀντὶ τοῦ ‘οὐ δοκεῖ δὲ καθόλου διαλεκτικὴ πρότασις εἶναι πᾶν τὸ ὁπωσοῦν ἐρωτώμενον‘, ἢ πᾶν τὸ ἐπὶ τοῦ καθόλου εἶναι. καὶ γὰρ ὁ τὸ τί ἐστι τόδε τι ἐρωτῶν καθόλου τινὰ ἐρώτησιν ἐρωτᾷ (τούτου γὰρ οἱ ὁρισμοί), καὶ ὁ ἐρωτῶν περί τινος ποσαχῶς λέγεται · ἁπλῶς γὰρ οὐ μόνον οὐ διαλεκτική ἐστι πρότασις τὸ τί ἐστιν ἄνθρωπο ς , ἀλλ’ οὐδὲ τὴν ἀρχὴν πρότασις. τῶν δὲ εἰρημένων ἐν τῷ πρώτῳ καὶ νῦν ἡμᾶς ὑπομιμνήσκει· καὶ γὰρ ἐν ἐκείνῳ εἶπε μὴ εἶναι διαλεκτικὰς ἐρωτήσεις τὰς τί ἐστι τὸ προκείμενον ἐξεταζούσας, ἃ πύσματα ἔθος λέγειν τοῖς νεωτέροις, ἐπεὶ εἶπεν ἐν ἐκείνοις τὴν διαλεκτικὴν πρότασιν ἐρώτησιν ἀντιφάσεως εἶναι· οὐ τοιαῦται δὲ αἱ ἐρωτήσεις αὗται. ὅμως δὲ τὸ τί ἐστιν ἄνθρωπος ἐρώτημά τί ἐστιν, εἰ ὁ ἐρωτῶν ἀξιοῖ πρὸς τοῦ προσδιαλεγομένου μαθεῖν τὴν τοῦ ἀνθρώπου οὐσίαν οὕτως καὶ ἐπὶ τοῦ δευτέρου τὴν διαίρεσιν. καὶ διὰ τί αἱ τοιαῦται ἐρωτήσεις οὐκ εἰσὶ διαλεκτικαί, προσέθηκεν· ἔστι γὰρ πρότασις διαλεκτικὴ πρὸς ἣν ἔστιν ἀποκρίνασθαι ναὶ ἢ ο ὔ . ὅτι δὲ πρὸς τὰς εἰρημένας ἐρωτήσεις οὐχ οἷόν τε οὕτως ἀποκρίνασθαι, προδήλως διδάσκει· αἱ γὰρ τοιαῦται ἐρωτήσεις μαθεῖν βουλομένων, οὐ διαλεγομένων. πῶς δ’ ἔνεστι καὶ τὰ τοιαῦτα τῶν ἐρωτημάτων εἰς τὸν διαλεκτικὸν μεταφέρειν τρόπον, ἐδήλωσεν εἰπὼν ἐὰν μὴ αὐτὸς διελόμενος ἢ διορίσας εἴπ ῃ ,

τουτέστιν ὁρισάμενος (τὸ γὰρ διορίσας τοῦτο αὐτῷ σημαίνει), ἀντὶ μὲν τῆς τί ἐστιν ἄνθρωπος λέγων ‘ἆρά γε ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητόν;‘, ἀντὶ δὲ τῆς ποσαχῶς λέγεται τὸ ἀγαθὸν αὐτὸς διελόμενος λέγων ‘ἆρά γε τετραχῶς λέγεται τὸ ἀγαθόν;‘ ἢ ‘ἆρά γε τῶν ἀγαθῶν τὰ μὲν ἐν ψυχῇ ἐστι τὰ δὲ ἐν σώματι τὰ δὲ ἐκτός;‘· ἃ γὰρ δι’ ἐκείνων ἠξίου τῶν ἐρωτήσεων ἀποκρίνεσθαι τὸν ἐρωτώμενον, ταῦτα αὐτὸν χρὴ ποιήσαντα ἐρωτᾶν εἰ κἀκείνῳ οὕτως δοκεῖ.

in Top.540 οὕτως γὰρ ἐρωτήσει διαλεκτικῶς, καὶ οὕτως δυνήσεται ὁ ἀποκρινόμενος ἀποκρίνασθαι ἢ ναὶ ἢ οὔ · οὐ γὰρ ἀποκλείει ἡ προειρημένη ἐρώτησις τὴν τοιαύτην ἀπόκρισιν. καὶ δίκαιον δή φησιν εἶναι τότε παρὰ τοῦ διαλεγομένου τί ἐστι τόδε τι ἐρωτᾶν, ἢ ποσαχῶς τόδε τι λέγεται, ὅταν τῶν ἐρωτώντων ὁρισαμένων ἢ διελομένων μὴ συγκατάθηται ὁ ἐρωτώμενος ἢ τῇ διαιρέσει ἢ τῷ ὁρισμῷ τῷ ἐρωτηθέντι. p. 158a25 Ὅστις δὲ ἕνα λόγον πολὺν χρόνον ἐρωτ ᾷ , κακῶς πυνθάνετα ι . Εἰ πᾶς ὁ ἁπλοῦς συλλογισμὸς ἐκ δύο προτάσεών ἐστιν, ὁ δὲ ἁπλοῦς καὶ εἷς ( λόγον γὰρ τὸν συλλογισμὸν εἶπεν), ὅστις οὖν τὸν τοιοῦτον λόγον πολὺν χρόνον ἐρωτ ᾷ , τουτέστι διὰ πολλῶν ἐρωτημάτων, κακῶς ἐρωτᾷ. σημειωτέον δὲ πάλιν ὅτι τῷ πυνθάνεσθαι καὶ ἐπὶ τῆς διαλεκτικῆς ἐρωτήσεως ἐχρήσατο. τοῦ δὲ τοὺς ἐνδιατρίβοντας πολὺν χρόνον τῷ ἕνα ἐρωτᾶν λόγον κακῶς ἐρωτᾶν τὴν αἰτίαν ἀποδέδωκεν. εἰ μὲν γὰρ ἀποκρινομένου τοῦ ἐρωτωμένου πρὸς ἕκαστον τῶν ἐρωτημάτων, δῆλός ἐστι πολλὰ ἐρωτῶν καὶ μάτην ἢ πολλάκις τὰ αὐτά · ἂν μὲν οὖν πολλάκις τὰ αὐτά, ἀδολεσχῶν, ἂν δὲ ἄλλοτε ἄλλο, ἀπορῶν συλλογίσασθαι τὸ προκείμενον καὶ ἐγχρονίζων ταῖς ἐρωτήσεσιν οὔσαις περιτταῖς καὶ ὑπὲρ τὸ δοκοῦν τι ποιεῖν πρὸς τὸ κείμενον. εἰ δὲ μὴ ἀποκρινομένου πρὸς τὰ ἐρωτώμενα ἐνδιατρίβει ταῖς ἐρωτήσεσιν, ἁμαρτάνει, ὅτι μὴ ἐπιτιμᾷ αὐτῷ καὶ ἀφίσταται ἀπ’ αὐτοῦ ὡς οὐ διαλεγομένου.

in Top.541 ἕκαστον δὲ τούτων ἔστιν εὑρεῖν παρὰ Πλάτωνι. οὐ δεῖ δὲ ἡγεῖσθαι αὐτὸν ἐναντιούμενα λέγειν τοῖς εἰρημένοις περὶ τῆς κρύψεως, ὅτι δεῖ πολλὰς ἐρωτᾶν προτάσεις καὶ ἐναλλάσσοντα αὐτὰς τιθέναι· οὐ γὰρ ἦν ταῦτα ἐπὶ ἑνὸς λεγόμενα λόγου, ἀλλ’ ἐπὶ τοῦ ἐν ᾧ προσυλλογισμῶν ἔδει. p. 158a31 Ἔστι δὲ ἐπιχειρεῖν χαλεπὸν καὶ ὑπέχειν ῥᾴδιον τὰς αὐτὰς ὑποθέσει ς . Ὑποθέσεις μὲν νῦν λέγει τὰ προβλήματα, ἃ καὶ θέσεις ἐστὶν ἔθος αὐτῷ λέγειν· ἐπιχειρεῖν δὲ λέγει τὸ ἐρωτᾶν τε καὶ συλλογίζεσθαι· τὸ γὰρ ἐπιχείρημα διαλεκτικός ἐστι συλλογισμός· ὑπέχειν δὲ λέγει τὸ ἀποκρίνεσθαι. φησὶν οὖν τὰ αὐτὰ τῶν προβλημάτων τοῖς μὲν ἐρωτῶσί τε καὶ βουλομένοις δεικνύναι χαλεπὰ καὶ δύσδεικτα, τοῖς δὲ ἀποκρινομένοις ῥᾴδια πρὸς ἔνστασιν· ῥᾶον γὰρ ἐμποδίσαι τὸ χαλεπὸν δειχθῆναι τοῦ δεῖξαι· διὰ γὰρ τοῦτο χαλεπόν, ὅτι μὴ ῥᾴδιον ληφθῆναι τὰ δι’ ὧν δείκνυται· οὐ ῥᾴδιον δὲ διὰ τὸ πολλὰς ἔχειν ἐνστάσεις. καὶ εἰκότως· ὃ γὰρ χαλεπὸν τῷ ἐρωτῶντι, τοῦτο τῷ ἀποκρινομένῳ ῥᾴδιον, ὅτι ἔστιν αὐτοῖς ἡ σπουδὴ περὶ ἀντικειμένων, τῷ μὲν συλλογίσασθαι τὸ τοῦ τιθεμένου ἀντικείμενον, τῷ δὲ κωλῦσαι τοῦτο. τίνα δέ ἐστι τοῖς μὲν ἐπιχειροῦσι χαλεπὰ δειχθῆναι τῶν προβλημάτων τοῖς δὲ ἀποκρινομένοις ῥᾴδια, προστίθησι· φησὶ γὰρ τοιαῦτα εἶναι τά τε φύσει πρῶτα καὶ τὰ ἔσχατ α . φύσει μὲν οὖν πρῶτα αἱ ἀρχαί· ἔσχατα δὲ τὰ πολὺ τῶν ἀρχῶν διεστῶτα. οὐχ ἡ αὐτὴ δὲ ἀμφοτέροις αἰτία τῆς χαλεπότητος ἀλλ’ ἀντικειμένη. τὰ μὲν γὰρ πρῶτα 〈τὸ〉 χαλεπὸν ἔχει, ὅτι μὴ οἷόν τε καὶ αὐτὰ δι’ ἄλλων δεικνύναι τῷ τὰ μὲν δεικνύμενα δείκνυσθαι διὰ πρώτων, τῶν δὲ πρώτων (γίνεται γὰρ ἡ τῶν ἀρχῶν γνῶσις οὐ δι’ ἀποδείξεως ἀλλὰ δι’ ὅρου) ***** . ὡρίσθαι γὰρ δεῖ τὴν [πρώτην] ἀρχὴν τί ποτέ ἐστιν, καὶ τοῦτο αὐτὴν ὑποθέμενον εἶναι χρῆσθαι αὐτῇ εἰς τὴν δεῖξιν τῶν μετ’ αὐτήν. ὁρίζεσθαι δὲ οὔτε αὐτοὶ ἀξιοῦσιν οἱ ἀποκρινόμενοι (οὐδὲ γὰρ τὴν ἀρχὴν διαλεκτικοῦ τὸ ἐρωτᾶν καὶ ἀξιοῦν λαμβάνειν παρὰ τοῦ ἀποκρινομένου τὸ τί ἐστι τὸ προτεινόμενον), οὔτε τοῖς ἐπιχειροῦσι συγχωροῦσι ὁρίζεσθαι καλῶς, οὐδ’ ἀπ’ ἄλλου τινὸς μὴ ἀγνοουμένου πράγματος οἷόν τε περὶ αὐτοῦ δεικνύναι τι καὶ συλλογίζεσθαι.

in Top.542 μάλιστα δ’ ἐπὶ τῶν ἀρχῶν τοῦτο συμβαίνει τῷ διὰ τούτων μόνων αὐτάς τε γνωρίμους γίνεσθαι καὶ ἀπὸ τούτων γίνεσθαι τοὺς πρὸς τὰ ἄλλα συλλογισμούς· ἀδύνατον δὲ χρῆσθαι ταῖς ἀρχαῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγνοουμέναις. τὰ μὲν οὖν πρῶτα τῇ φύσει διὰ τοῦτο δυσεπιχείρητα καὶ οὐ ῥᾴδια δειχθῆναι. τὰ δ’ ἔσχατα, ὅτι διὰ πολλῶν μέσων δείκνυται· τῷ γὰρ ἀπὸ τῶν ἀρχῶν τε καὶ πρώτων ἠρτῆσθαι τὴν γνῶσιν τούτων, ἢν μὴ ἀπὸ τούτων ἡ πρόοδος ἐπ’ αὐτὰ γίνηται, διὰ δέ τινων προσεχῶν, ἀσαφεῖς οἱ λόγοι καὶ τὰ ἐρωτώμενα αἰτίας δεόμενα. εἰ μὲν οὖν συνεχεῖς τις ἀπὸ τῶν ἀρχῶν προτάσεις λαμβάνοι, χαλεπὸν διὰ τὸ πλῆθος τῶν λαμβανομένων· πολλῶν γὰρ λαμβανομένων πολλῶν καὶ ἐνστάσεων ἀφορμαί. εἰ δ’ ὑπερβαίνων καὶ 〈οὐ〉 συνάπτων ταῖς ἀρχαῖς, ψευδεῖς καὶ σοφισματώδεις προτάσεις φαίνονται καὶ οὐ δεικνύουσαι τὸ προκείμενον· ῥᾴδιον δὲ πρὸς τὰς φαινομένας τοιαύτας ἐνίστασθαι. λέγει δὲ εἶναι δυσεπιχείρητα καὶ τὰ σφόδρα ἐγγὺς τῆς ἀρχῆ ς . ἔστι δὲ ταῦτα χαλεπὰ κατὰ τὸ ἐναντίον, ᾗ τὰ μὲν πόρρω διὰ τὸ πλῆθος τῶν μέσων, τὰ δ’ ἐγγὺς δι’ ὀλιγότητα· διὰ γὰρ τὸ μὴ εἶναι αὐτῶν μέσα, ἢ εἶναι μὲν ὀλίγα δέ, οὐ φανερὰ ἀλλὰ δύσκολος ἡ δεῖξις αὐτῶν. ἔτι διὰ τὴν ἐγγύτητα φαντασίαν ἀποτελοῦσιν οἱ περὶ τῶν τοιούτων λέγοντες ὡς τὸ ἐν ἀρχῇ αἰτούμενοι. p. 158b8 Τῶν δὲ ὅρων δυσεπιχειρητότατοι πάντων μάλιστά εἰσιν ὅσοι κέχρηνται καὶ τὰ ἑξῆς. Δεδειγμένον ἐστὶ τὸ ῥᾷον εἶναι ἀνασκευάσαι ὅρον ἢ κατασκευάσαι. νῦν δὲ δείκνυσι τίνες αὐτῶν δυσχερεῖς εἰσιν ἀνασκευασθῆναι· τῶν γὰρ ὅρων, φησί, δυσεπιχειρητότατοι οἱ διὰ τούτων ἀποδεδομένοι ἃ ἄδηλά ἐστι δι’ ἀσάφειαν εἴτε ὁμώνυμά ἐστι καὶ τῶν πολλαχῶς λεγομένων εἴτε μή, ἢ διὰ τοιούτων ἃ μὴ γνώριμά ἐστιν εἴτε ὡς κύρια εἴληπται εἴτε ὡς κατὰ μεταφορά ν . εἴρηκε γὰρ ἐν τῷ ἕκτῳ μὴ καλῶς ὁρίζεσθαι μήτε τοὺς δι’ ὁμωνύμων ὁριζομένους μήτε τοὺς μεταφορικῶς.

in Top.543 ὅταν οὖν ἄδηλον ᾖ εἴτε ὁμώνυμόν ἐστι τὸ ὄνομα εἴτε μή, δυσεπιχείρητον γίνεται· ὁμοίως καὶ εἰ κυρίως τοῦ προκειμένου ἢ κατὰ μεταφορὰν εἰρημένου· διότι μὲν γάρ ἐστιν ἀσαφῆ 〈εἴτε ἁπλῶς λέγεται〉 εἴτε ὁμωνύμως, δυσεπιχείρητα, διότι δὲ ἄδηλα 〈εἴτε κυρίωσ〉 εἴτε κατὰ μεταφορὰν λέγεται, δυσεπιτίμητα. τοιοῦτός ἐστιν ὁ λόγος, εἴ τις ὁρίζει τὴν μονάδα τὸ ἐν ἀριθμοῖς ἄπειρον ἢ τὸ σημεῖον τὸ ἐν συνεχεῖ ἄπειρον· τὸ γὰρ ἄπειρον κατ’ ἀμφότερα ἀσαφές· οὔτε γὰρ γνώριμον εἰ ἁπλοῦν ἐστιν ἢ ὁμώνυμον, οὔτε φανερόν ἐστιν εἴτε κυρίως εἴτε μεταφορικῶς αὐτῷ κέχρηται. βούλεται γὰρ λέγειν τὸ πέρας μὴ ἔχον· ἄδηλον δὲ εἰ κυρίως ἄπειρον τὸ τοιοῦτον. p. 158b16 Ὅλως δὲ πᾶν πρόβλημ α , ὅταν ᾖ δυσεπιχείρητο ν , ἢ ὅρου δεῖσθαι ὑποληπτέο ν . Εἰπὼν δυσεπιχείρητα εἶναι “τά τε φύσει πρῶτα καὶ τὰ ἔσχατα”, ἔτι τε “τὰ λίαν ἐγγὺς τῆς ἀρχῆς”, ἀλλὰ καὶ τὰ ἄδηλα εἴτε ὁμώνυμόν τι ἔχει ἐν τῷ λόγῳ εἴτε μεταφορικῶς λεγόμενον, νῦν καθόλου περὶ αὐτῶν ἀντιστρέφει λέγων δι’ ἃς αἰτίας δυσεπιχείρητα τῶν προβλημάτων ἐστὶ τὰ τοιαῦτα. ὅταν γὰρ ἄδηλον μὲν ᾖ κατὰ τί πρὸς αὐτὸ χρὴ τὴν ἐπιχείρησιν ποιεῖσθαι, δυσεπιχείρητον τὸ τοιοῦτον. πᾶν δὲ τὸ δυσεπιχείρητον τοιοῦτόν ἐστιν ἢ διὰ τὸ ὅρου δεῖσθαι (διὸ εἶπε τὰ πρῶτα τῇ φύσει δυσεπιχείρητα εἶναι) ἢ τῶν πολλαχῶς λεγομένων ἔχειν τι ἐν ἑαυτῷ ἢ τῶν κατὰ μεταφορὰν λεγομένων ἢ διὰ τὸ ἐγγὺς τοῦ πρώτου εἶναι. λέγει δὲ τὰ τοιαῦτα ἀπορίαν ἐμποιεῖν μάλιστα καὶ πρῶτον διὰ τὸ ἄδηλον εἶναι τὸ προκείμενον, κατὰ τί τούτων χρὴ τὴν ἐπιχείρησιν τὴν πρὸς αὐτὸ ποιεῖσθαι, καὶ κατὰ τί ἡ ἐν αὐτῷ δυσχέρεια, πότερον διὰ τὸ ὅρου δεῖσθαι ἢ διὰ τὸ ὁμώνυμά τινα ἔχειν ἢ μεταφορὰν ἢ διὰ τὸ ἐγγὺς εἶναι τῆς ἀρχῆς.

in Top.544 δεῖ οὖν εἰδέναι ὅτι παρά τι τούτων τὸ δυσεπιχείρητόν ἐστι· τούτου γὰρ ὄντος γνωρίμου ζητήσομεν κατὰ τί τούτων τὸ προκείμενον δυσεπιχείρητόν ἐστιν. εἰ μὲν γὰρ παρὰ τὸ ὅρου τινὸς δεῖσθαι τὸ πρόβλημα φαίνεται, πειρασόμεθα ὁρίζειν· εἰ δὲ δι’ ὁμωνυμίαν, διαιρεῖσθαι · εἰ δὲ μεταφορικῶς εἰρῆσθαι τοῦτο, δεικνύναι· εἰ δὲ παρὰ τὸ ἐγγὺς τῶν ἀρχῶν εἶναι, ζητεῖν τοὺς μεταξὺ ὅρους δι’ ὧν δειχθῆναι δυνήσεται. p. 158b24 Ἐν πολλαῖς τε τῶν θέσεων μὴ καλῶς ἀποδιδομένου τοῦ ὁρισμο ῦ . Δείξας ὅτι ἐν πολλοῖς τῶν προβλημάτων ἀναγκαῖόν ἐστι πρῶτον ὡρίσθαι τὸ πρᾶγμα, προστίθησι τοῦ προειρημένου δεικτικὸν καὶ τὸ πρὸς πολλὰ προβλήματα μὴ ῥᾴδιον εἶναι διαλέγεσθαι ἢ δεικνύναι τὸ ἐν αὐτοῖς ἀληθές, εἰ μὴ καλῶς εἴη ὁ ὁρισμὸς ὁ τῶν ἐν

αὐτῷ πραγμάτων ἀποδεδομένος. ὅτι γὰρ ἓν ἑνὶ ἐναντίον ἐστίν, οὐχ οἷόν τε δεικνύναι μὴ καλῶς ὁρισθέντων τῶν ἐναντίων. ἂν γάρ τις λέγῃ ἐναντία εἶναι τὰ πολὺ ἀλλήλων διεστῶτα ἢ τὰ ἀλλήλων ἀναιρετικά, οὐχ οἷόν τε ἀπὸ τούτων ὁρμώμενον δεῖξαι ἓν ἑνὶ ἐναντίον· δύναται γὰρ καὶ πολλὰ πολὺ ἀφεστῶτα ἀλλήλων λαμβάνεσθαι, τοῦτο μὲν ἐν τῷ αὐτῷ γένει· τὸ γὰρ ξανθὸν καὶ τὸ ὠχρὸν πολὺ τοῦ λευκοῦ διεστᾶσι, ἀλλὰ καὶ ἀναιρετικά εἰσι τοῦ λευκοῦ, κἀκεῖνο τούτων· ἔστι δὲ πολὺ διεστῶτα καὶ ἐν διαφόροις γένεσι λαμβάνειν. ἀποδοθέντος δὲ αὐτῶν τοῦ λόγου, ὅτι τὰ πλεῖστον ἀλλήλων διεστῶτα ἐν τῷ αὐτῷ γένει, ***** · πλεῖστον δὲ ἀλλήλων διεστάναι οὐχ οἷόν τε πλείω τῶν δύο· ἓν γὰρ ἑνὶ τὸ πλεῖστον διεστώς. [ἄλλως. Ἀποδοθέντος δὲ αὐτῶν τοῦ λόγου κατὰ τρόπο ν , ἤγουν καλῶς, ῥᾴδιόν ἐστι συμβιβάσαι καὶ ἀποδεῖξαι πότερον ἐνδέχεται τῷ αὐτῷ ὑποκειμένῳ πλεῖστα ἐναντία ἢ ο ὔ . εἰ γὰρ ἀποδοθείη λόγος ὅτι ἐναντία εἰσὶ τὰ κατὰ πολὺ ἀλλήλων διεστηκότα φθαρτικὰ ἀλλήλων ὄντα καὶ εἰς ἄλληλα πεφυκότα μὴ μεταβάλλεσθαι, ἐπεὶ τὰ ἄκρα δύο εἰσίν, ἃ καὶ πλεῖστον ἀλλήλων διέστηκε, καὶ οὐ πλείω, δῆλον ὅτι ἓν ἑνὶ ἐναντίον ἐστί.] p.

in Top.545 158b29 Ἔοικε δὲ κἀν τοῖς μαθήμασιν ἔνια δ ι ’ ὁρισμοῦ ἔλλειψιν οὐ ῥᾳδίως γράφεσθα ι . Ὅτι οὐ μόνον ἐν τοῖς λόγοις καὶ ἐν τῷ διαλέγεσθαι ἀλλὰ καὶ ἐν τοῖς μαθήμασιν ἔνια δ ι ’ ὁρισμοῦ ἔλλειψιν δυσαπολόγητά ἐστιν· τὸ γὰρ οὐ ῥᾴδιον ἀπογράφεσθαι εἶπεν ἀντὶ τοῦ ‘οὐ ῥᾴδιον ἀποδείκνυσθαι‘, συνιστὰς ὅτι ἐν πολλοῖς τῶν ὄντων προβλήμασιν ὁρισμοῦ δεῖ. παραδείγματι δὲ τοῦδε ὡς δεικνυμένῳ καὶ ἀσαφεῖ κέχρηται τῷ ὅτι ἡ παρὰ τὴν πλευρὰν τέμνουσα τὸ ἐπίπεδον ὁμοίως διαιρεῖ τήν τε γραμμὴν καὶ τὸ χωρίο ν . ἔστι δὲ τὸ λεγόμενον, ὅτι ἐὰν ἐπίπεδον παραλληλόγραμμον ᾖ, ἀχθῇ δ’ ἐν αὐτῷ μιᾷ τῶν πλευρῶν παράλληλος, ἡ παράλληλος ὁμοίως διαιρεῖ τὴν γραμμὴν καὶ τὸ πᾶν χωρίον, τουτέστιν ἐν τῇ αὐτῇ ἀναλογίᾳ. τοῦτο γὰρ ὁμοίως μὲν λεγόμενον οὐκ ἔστι γνώριμον· ῥηθέντος μέντοι τοῦ ὁρισμοῦ τοῦ ἀνάλογον γνώριμον γίνεται ὅτι ἀνάλογον ὑπὸ τῆς ἀχθείσης παραλλήλου τέμνεται ἥ τε γραμμὴ καὶ τὸ χωρίον. ἔστι δὲ ὁρισμὸς τῶν ἀναλόγων, ᾧ οἱ ἀρχαῖοι ἐχρῶντο, οὗτος· ἀνάλογον ἔχει μεγέθη πρὸς ἄλληλα ὧν ἡ αὐτὴ ἀνθυφαίρεσις· αὐτὸς δὲ τὴν ἀνθυφαίρεσιν ἀνταναίρεσιν εἴρηκε. τὰ δ’ ἀνάλογον ἔχοντα πρὸς ἄλληλα καὶ ὁμοίως ἔχειν πρὸς ἄλληλα λέγεται· διὸ εἶπεν ἔστι δὲ ὁρισμὸς τοῦ αὐτοῦ λόγου οὗτος ἀντὶ τοῦ ‘ἔστι δὲ ὁρισμὸς τοῦ ἀνάλογον‘. οὗ ῥηθέντος τοῦ ὅρου δῆλον γίνεται ὅτι ἡ παράλληλος ἀγομένη πλευρᾷ ἐν παραλληλογράμμῳ χωρίῳ ὁμοίως τέμνει καὶ ἀνάλογον τήν τε γραμμὴν καὶ τὸ χωρίον. [ἄλλως. Ἔοικε, φησίν, ἐν τοῖς μαθηματικοῖς μὴ ῥᾳδίως καταγράφεσθαί τινα διὰ τὸ ἐλλιπῆ τὸν ὅρον ἀποδοθῆναι. οἷον ἡ γραμμὴ ἡ τέμνουσα τὸ ἐπίπεδον, ἤτοι τὸ ἐμβαδὸν τοῦ χωρίου, παρὰ τὴν πλευρά ν , ἐπεὶ τέμνει καὶ τὴν πλευράν, ὁμοίως διαιρεῖ τήν τε γραμμή ν , ἤτοι τὴν πλευράν, καὶ τὸ ἐμβαδόν. γραμμὴν δὲ λέγει τήν τε εὐθεῖαν τὴν τέμνουσαν τὴν πλευρὰν τοῦ ἐπιπέδου καὶ αὐτὴν τὴν τεμνομένην πλευράν. ἐλλιπὴς οὖν ἐστιν οὗτος ὁ ὅρος, ὅτι γραμμὴν εἴρηκε καὶ τὴν ἀγομένην παρὰ τὴν πλευρὰν εὐθεῖαν καὶ τὴν τεμνομένην πλευράν. εἴη δ’ ἂν τέλειος ὁ ὅρος, εἰ οὕτως ἐλέγετο· ἡ παρά τινα πλευρὰν τοῦ τετραγώνου ἢ τοῦ παραλληλογράμμου ἀγομένη εὐθεῖα ὁμοίως τέμνει τό τε ἐμβαδὸν τοῦ χωρίου καὶ τὴν πλευράν.] p.

in Top.546 158b35 Ἁπλῶς δὲ τὰ πρῶτα τῶν στοιχείων τιθεμένω ν . Εἰπὼν τὰ περὶ τῶν μαθημάτων καὶ χρησάμενος τῷ προειρημένῳ παραδείγματι, καὶ καθόλου, φησί, τὰ πρῶτα τῶν στοιχείων (ταῦτα δ’ ἂν εἴη καὶ τὰ ἐγγὺς τῆς ἀρχῆς καὶ τὰ δι’ ἐκείνων μόνων δεικνύμενα), εἰ μὲν εἶεν οἱ ὁρισμοὶ τῶν ἀρχῶν γνώριμοι, οἷον τί σημεῖον, τί γραμμ ή , τί κύκλο ς , τί τρίγωνον, δι’ ὧν δείκνυται τὰ πρῶτα θεωρήματα, ῥᾴδια δειχθῆναι, οὐ διὰ πολλῶν δὲ τῷ μὴ πολλῶν τῶν μέσων, δι’ ὧν ἡ δεῖξις, εὐπορίαν εἶναι ἐπ’ αὐτῶν διὰ τὸ πλησίον τῶν ἀρχῶν, ὡς ἤδη προείρηται, εἶναι αὐτὰ καὶ διὰ τούτων δείκνυσθαι μόνων· εἰ δὲ μὴ εἶεν ὡρισμέναι αἱ ἀρχαί, ἢ χαλεπὸν ἢ καὶ ἀδύνατον περὶ τούτων ἀπόδειξιν γίνεσθαι. εἰπὼν δὲ περὶ τῶν κατὰ τὰ μαθήματα δείξεων καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρήσιμον τὸ πρὸς τὰς ἀποδείξεις τῶν ὅρων συστήσας καὶ διὰ τούτου, φησὶν ὁμοίως τούτοις καὶ ἐπὶ τῶν λόγων ἔχειν, λόγους λέγων τὰς ἐπιχειρήσεις τὰς ἐν τῷ διαλέγεσθαι. δεῖ δέ, φησί, μὴ λανθάνειν ὅτι τὰ δυσεπιχείρητα τῶν προβλημάτων πέπονθέ τι τῶν εἰρημένω ν . p. 159a4 Ὅταν δὲ ᾖ πρὸς τὸ ἀξίωμα καὶ τὴν πρότασιν μεῖζον ἔργον διαλεγῆνα ι . Θέσιν μὲν τὸ πρόβλημα λέγει, ἀξίωμα δὲ καὶ πρότασιν ἐκ παραλλήλου εἶπεν. λέγει δὲ περὶ τῶν εἰς τὴν τοῦ προβλήματος δεῖξιν λαμβανομένων προτάσεων. ἔστι δὲ ὃ ζητεῖ τοιοῦτον· ἂν ᾖ χαλεπώτερον, τουτέστι δυσκολώτερον, τὸ δεῖξαι τὴν λαμβανομένην εἰς τὸ προκείμενον πρόβλημα πρότασιν, ὅτι οὕτως ἔχει, τοῦ προβλήματος αὐτοῦ, τί χρὴ ποιεῖν; πότερον ἐπιχειρητέον καὶ εἰς τὴν πρότασιν καὶ πρόβλημα [τὴν] αὐτὴν ποιητέον, ἢ αὐτὴν μὲν θετέον χωρὶς δείξεως 〈ὡσ〉 οὕτως ἔχουσαν, τὸ δ' ἐξ ἀρχῆς προκείμενον μόνον δεικτέον ἔχον τὴν ἀπορίαν; ἂν μὲν γὰρ καὶ τὴν πρότασιν δεικνύῃ, δόξει μεῖζον ἔργον ἐπεισκυκλεῖν τοῦ προκειμένου· ἂν δὲ μὴ δείξας οὕτως ἐχούσης ἀξιώσῃ χρῆσθαι πρὸς τὸν τοῦ προβλήματος συλλογισμόν, δόξει δεικνύναι τε καὶ συλλογίζεσθαι καὶ ἀξιοῦν πιστεύειν τὸν ἀποκρινόμενον τῷ δεικνυμένῳ δι' ἧττον πιστῶ ν .

in Top.547 θεὶς δὲ τὴν ἀπορίαν αὐτὸς αὐτὴν διαιτᾷ, καὶ φησίν, ὅτι εἰ μὲν δέον μὴ ποιεῖν χαλεπώτερον τὸ πρόβλημ α , θετέον τὴν πρότασιν καὶ χρηστέον αὐτῇ χωρὶς δείξεως 〈ὡσ〉 οὕτως ἐχούσῃ πρὸς τὸ προκείμενον· εἰ δὲ δεῖ τοὺς συλλογισμοὺς καὶ τὰς τῶν προβλημάτων προτάσεις ἀεὶ διὰ γνωριμωτέρων ποιεῖσθαι, οὐ δεῖ χρῆσθαι ταῖς τοιαύταις προτάσεσιν ἄνευ δείξεως. διὸ ἐπιφέρει τὸ δεῖν ἐν μὲν ταῖς διδασκαλίαις μηδὲν τιθέναι, ὃ μὴ γνώριμον καὶ πρῶτόν ἐστι τοῦ δεικνυμένου δι' αὐτοῦ· αἱ γὰρ ἐπιστημονικαὶ γνώσεις διὰ τοιούτων. ἐν δὲ τοῖς διαλόγοις καὶ ταῖς γυμνασίας χάριν γινομέναις ἐπιχειρήσεσι χρηστέον καὶ τοιαύταις προτάσεσιν, ἂν μόνον ἀληθεῖς φαίνωνται · οὐ γὰρ μόνον δι' ὁποίων προτάσεων χρὴ διδάσκειν τε καὶ συλλογίζεσθαι· οὐδὲν γὰρ ἔλαττον ἔσται τὸ προκείμενον αὐτῶν καὶ τούτων χωρὶς δείξεως συγχωρουμένων· ὁ μὲν γὰρ ἀποδεικνύς τε καὶ διδάσκων διὰ πρώτων τε καὶ γνωρίμων ποιεῖται τοὺς συλλογισμούς, ὁ δ' ἐπιχειρῶν δι' ἐνδόξων. προκειμένου γὰρ δεῖξαι ὅτι πᾶσα ἡδονὴ ἀγαθόν, ὁ μὲν διαλεκτικὸς χρήσαιτ' ἂν τῷ πᾶσαν ἡδονὴν εἶναι κατὰ φύσιν ὡς ἐνδόξῳ προτάσει· ᾗ προσλαβὼν τὸ πᾶν τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι, ἔνδοξον καὶ αὐτὴν πρότασιν, δείξει τὸ προκείμενον. ὁ δ' ἀποδεικνὺς ζητήσει πῶς πᾶσα ἡδονὴ κατὰ φύσιν, καὶ δείξει ὅτι ἐνέργεια τῆς κατὰ φύσιν δυνάμεως ἀνεμπόδιστος· τίς δὲ ἡ κατὰ φύσιν δύναμις καὶ πῶς ἐνέργεια, πλείονος λόγου δόξει δεῖσθαι τοῦ ἐξ ἀρχῆς προκειμένου. σημειωτέον δὲ ὅτι ἀξιώματα λέγει καὶ τὰς δεομένας ἀποδείξεως προτάσεις, ἀλλ' οὐ μόνας τὰς ἀναποδείκτους, ὡς ἔθος αὐτῷ λέγειν ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς. δοκεῖ δέ τι ἡ λέξις ἀκατάλληλον ἔχειν ἡ ὅταν δὲ ᾖ πρὸς τὸ ἀξίωμα καὶ τὴν πρότασιν μεῖζον εἶναι διαλεγῆνα ι , ὅτι προσθεὶς τὸ ᾖ τὸ εἶναι πάλιν ἐπήνεγκεν. ἔστι δὲ ὁ νοῦς τῶν εἰρημένων ' ὅταν δὲ ᾖ πρὸς τὸ ἀξίωμα μεῖζον ἔργον διαλεγῆναι ἢ πρὸς τὴν θέσι ν . ' p. 159a18 Ἔστι δὲ τοῦ μὲν ἐρωτῶντος τὸ οὕτως ἐπάγειν τὸν λόγο ν . Τουτέστι τὰς ἐρωτήσεις οὕτω ποιεῖσθαι ὥστε δι' αὐτῶν ποιεῖν τὸν ἀποκρινόμενον τὰ ἀδοξότατα λέγειν τῶν διὰ τὴν θέσιν ἀναγκαίω ν , τουτέστι τῶν τῇ θέσει καὶ τῷ προβλήματι, ᾧ παρίσταται ὁ ἀποκρινόμενος, ἀναγκαίως ἑπομένων ἢ τῶν δυναμένων δειχθῆναι διὰ συλλογισμοῦ ὡς ἑπομένων αὐτῷ.

in Top.548 ἢ τὸ ἀναγκαίων τῆς διὰ συλλογισμοῦ δείξεως δηλωτικόν ἐστιν. ἔστι δὲ ἀδοξότατα τὰ παράδοξα καὶ τὰ ἀδύνατα· ἔστι δὲ παράδοξα τὰ τοῖς ἐνδόξοις ἐναντία, ἃ οὐ πάντως ἤδη καὶ ἀδύνατά ἐστιν. τοῦ δὲ καλῶς ἀποκρινομένου ἔργον ἐστὶ πρῶτον μὲν τὸ μὴ εἰς ταῦτα ἄγεσθαι ὡς ἀναγκάζεσθαι ἀδύνατα ἢ παράδοξά τινα διὰ τῶν ἀποκρίσεων συγχωρεῖν, δεύτερον δέ, εἰ ἕποιτο αὐτῷ τοιαῦτά τινα, τὸ μὴ δ ι ' αὐτὸν φαίνεσθαι συμβαίνειν τοῦτο ἀλλὰ διὰ τὸ πρόβλημα ὂν τοιοῦτον. τὸ μὲν οὖν προηγούμενον καὶ πρῶτον ἔργον τοῦ ἀποκρινομένου οὐκ εἶπε νῦν, τὸ δὲ δεύτερον, δι' οὗ δῆλόν ἐστι καὶ τὸ πρῶτον· τοῦ γὰρ εἰρημένου τὰ παρεπόμενα παράδοξα ἢ ἀδύνατα δεικνύναι ὅτι διὰ τὸ οἰκεῖα εἶναι τοῦ προβλήματος [καὶ] ἕπεται αὐτῷ ἀλλ' οὐ δι'

αὐτόν, τούτου χάριν καὶ τὴν ἀρχὴν φυλάττεσθαι δεῖ τοιοῦτόν τι συγχωροῦντα. οὐ τὴν αὐτὴν δέ φησιν ἁμαρτίαν εἶναι τό τε τὴν ἀρχὴν τοιούτῳ παρίστασθαι τῷ προβλήματι, ᾧ ἕπεταί τινα παράδοξα ἢ ἀδύνατα, καὶ τὸ διὰ τῶν ἀποκρίσεων περιάγεσθαι 〈εἰσ〉 παράδοξά τινα ἢ ἀδύνατα καὶ ἀνομόλογα τῷ κειμένῳ· ἀμφότεραι μὲν 〈γὰρ〉 ἁμαρτίαι τοῦ ἀποκρινομένου, ἀλλὰ τὸ τοιούτοις παρίστασθαι οὐ κατὰ τὴν ἀπόκρισιν ἁμαρτάνοντος. p. 159a25 Ἐπεὶ δ ʼ ἐστὶν ἀδιόριστα τοῖς γυμνασίας καὶ πείρας ἕνεκα τοὺς λόγους ποιουμένοι ς . Ἐπεὶ μὴ διώρισται, φησίν, ὑπό τινος τῶν πρὸ ἡμῶν οὗ χρὴ στοχάζεσθαι τὸν ἀποκρινόμενον ἐν ταῖς πειραστικαῖς τε καὶ διαλεκτικαῖς συνουσίαις—οὐ γὰρ πᾶσι τοῖς ἀποκρινομένοις οἱ αὐτοὶ σκοποί· ἄλλος μὲν γὰρ τοῖς μανθάνουσι σκοπός, ἄλλος δὲ τοῖς ἀγωνιζομένοις (εἰσὶ δὲ καὶ ἀγωνιστικαὶ καὶ σοφιστικαὶ συνουσίαι), ἄλλος δὲ τοῖς ζητήσεως καὶ γυμνασίας χάριν κοινολογουμένοις· οὗτοι δέ εἰσιν οἱ διαλεκτικὰς τὰς συνουσίας ποιούμενοι· τῷ μὲν γὰρ τοῦ μαθεῖν χάριν ἀποκρινομένῳ τιθέναι καὶ ἀποκρίνεσθαι τὰ δοκοῦντα αὐτῷ προσήκει ἀληθῆ εἶναι· ἢ γὰρ βεβαιωθήσεται αὐτὰ ταῦτα διὰ τῆς διδασκαλίας, εἰ ἀληθῆ εἴη, ἢ μεταμαθήσεται, εἰ ἄλλα εἴη· οὐδεὶς γὰρ ἐπιχειρεῖ τὰ ψευδῆ διδάσκεσθαι· τοῖς δὲ ἀγῶνος χάριν κοινολογουμένοις (οὗτοι δέ εἰσιν οἱ μὴ διαλεκτικὰς τὰς συνουσίας ποιούμενοι· τοιοῦτοι δ’ οἱ σοφισταί) τὸ φαίνεσθαι σκοπός· τῷ μὲν γὰρ ἐρωτῶντι τὸ φαίνεσθαι ἐλέγχειν τι διὰ τῶν ἐρωτήσεων· ὁ γὰρ σοφιστικὸς ἔλεγχος φαινόμενός ἐστι· καὶ τοῦτο βούλεται ὁ σοφιστικῶς ἐρωτῶν, ἢ ψευδόμενον δεικνύναι τὸν ἀποκρινόμενον ἢ παράδοξα λέγοντα ἢ ἀδολεσχοῦντα ἢ σολοικίζοντα· τῷ δ’ ἀποκρινομένῳ σκοπὸς τὸ μηδὲν τούτων φαίνεσθαι πάσχοντα — ἐν δὲ ταῖς διαλεκτικαῖς συνουσίαι ς , αἳ οὔτε ἀγῶνος χάριν γίνονται οὔτε διδασκαλίας ἀλλὰ πείρας καὶ γυμνασίας ἕνεκεν, ἐπεὶ οὐδέπω διήρθρωται ὑπό τινος ἄλλου, οὗ δεῖ στοχάζεσθαι τὸν ἀποκρινόμενον καὶ ποῖα συγχωρεῖν ποῖα δὲ μή, εἰ μέλλοι διαλεκτικῶς ἀποκρίνεσθαι τὴν οἰκείαν θέσιν, πειραθῶμεν ἡμεῖς εἰπεῖν τι περὶ αὐτῶν καὶ διορίσαι.

in Top.549 p. 159a38 Ἀνάγκη δὴ τὸν ἀποκρινόμενον ὑπέχειν λόγο ν . Ἄνωθεν ἀρξάμενος, τίνων δεῖ στοχάζεσθαι τὸν ἐν ταῖς διαλεκτικαῖς συνουσίαις ἀποκρινόμενον, λέγει. ἐπεὶ τοίνυν πᾶς ὁ ἀποκρινόμενος καὶ ὑπέχων λόγον τινὶ θέμενός τινα θέσιν καὶ πρόβλημά τι περὶ τούτου ὑπέχει λόγον, τοῦτο δ’ ἀνάγκη ἢ ἔνδοξον ἢ ἄδοξον εἶναι ἢ μηδέτερο ν , τουτέστιν μήτ’ ἔνδοξον μήτ’ ἄδοξον, καὶ ἔνδοξον καὶ ἄδοξον ἢ ἁπλῶς ἢ ὡρισμένως · ἔστι δ’ ἁπλῶς μὲν ἔνδοξα τὰ κατὰ τὴν πάντων δόξαν ἢ τῶν πλείστων, ὡς τὸ τὴν ὑγείαν αἱρετὸν εἶναι, ὡρισμένως δ’ ἔνδοξα τὰ τῷδέ τινι τῶν ἐνδόξων ἑπόμενα, οἷον Πλάτωνι ἢ Ἀριστοτέλει ἢ Γαληνῷ ἢ καὶ αὐτῷ τῷ ἀποκρινομένῳ· ἄδοξα δ’ ἁπλῶς μὲν τὰ τοῖς ἐνδόξοις ἀντικείμενα· τοιαῦτα δ’ ἂν εἴη τὰ παρὰ τὰς τῶν πάντων ἢ τῶν πλείστων δόξας λεγόμενα· ὡρισμένως δὲ τὰ μαχόμενα τοῦ τινὸς ὄντος ἐνδόξου τῇ δόξῃ, ὡς φέρε εἰπεῖν τὴν ψυχὴν μὴ εἶναι ἀθάνατον, ἐπεὶ μάχεται τῇ Πλάτωνος δόξῃ· οὔτε δὲ ἔνδοξον οὔτε ἄδοξόν ἐστι πρόβλημα περὶ οὗ ἤτοι οὐδετέρως δοξάζουσιν, οἷον τὸ περιττοὺς ἢ ἀρτίους εἶναι τοὺς ἀστέρας, ἢ περὶ οὗ ἐπ’ ἴσης ἀμφοτέρως, οἷον περὶ τοῦ ἄπειρον εἶναι ἢ μὴ εἶναι, ἢ τὸ εἶναι ἐπιστήμας τὰς ἀρετὰς ἢ πάλιν μὴ εἶναι.

in Top.550 διαφέρειν δ’ οὐδὲν ἔφη, ἄν τε ἁπλῶς τὸ πρόβλημα ἔνδοξον ἢ ἄδοξον ᾖ, ὑπὲρ οὗ τὸν λόγον ὁ ἀποκρινόμενος ὑπέχει, ἄν τε ὡρισμένως· ἐπ’ ἀμφοτέρων γὰρ ὁ αὐτὸς τρόπος τοῦ καλῶς ἀποκρίνεσθα ι . τίς δέ ἐστιν, αὐτὸς ἑξῆς λέγει. ἐπεὶ γὰρ ὁ ἐρωτῶν διαλεκτικῶς εἰς ἀντίφασιν περιάγειν τὸν ἀποκρινόμενον βούλεται τοῦ προβλήματος ᾧ παρίσταται, ἔστι δὲ τοῦ μὲν ἀδόξου προβλήματος ἔνδοξον τὸ ἀντικείμενον, τοῦ δὲ ἐνδόξου ἄδοξον, ἂν μὲν ἄδοξον ἁπλῶς ᾖ τὸ κείμενον πρόβλημα, ᾧ παρίσταται ὁ ἀποκρινόμενος, δῆλον μὲν ὅτι δεῖ ἁπλῶς ἔνδοξον εἶναι τὸ τούτῳ ἀντικείμενον· τοιοῦτον δὴ τοῦ ἐλέγχου τοῦ ἀδόξου προβλήματος τὸ συμπέρασμα δεῖ γίνεσθαι. ἐπεὶ δὲ ὁ καλῶς συλλογιζόμενος καὶ δεικνύς τι διαλεκτικῶς ἐκ γνωριμωτέρων αὐτὸ καὶ ἐνδοξοτέρων δείκνυσι, δῆλον ὅτι καὶ ὁ τὸ ἁπλῶς ἔνδοξον δεικνὺς δι’ ἐνδοξοτέρων αὐτὸ ἂν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καλῶς δεικνύοι. δεῖ δή, φησί, τὸν ὑπὲρ τοιαύτης θέσεως ἀποκρινόμενον μήτε τοῖς μὴ ἁπλῶς δοκοῦσι συγχωρεῖν, τουτέστι μηδὲν διδόναι ὃ μὴ ἁπλῶς ἐστιν ἔνδοξον, κἂν ἁπλῶς δέ τι ἔνδοξον ᾖ, μὴ μέντοι τοῦ ὀφείλοντος γενέσθαι συμπεράσματος ἐνδοξότερον, μηδὲ τοῦτο συγχωρεῖν· οὐ γὰρ διαλεκτικοῦ τὸ συγχωρεῖν τῷ ἐρωτῶντι συλλογίζεσθαί τι ἔνδοξον δι' ἧττον ἐνδόξων. ταῦτα δὲ λέγων δοκεῖ ὑπεναντίως τῇ προθέσει τοῦ ἀποκρινομένου λέγειν· πρόκειται μὲν γὰρ αὐτῷ μὴ περιαχθῆναι εἰς τὴν ἀντίφασιν· ὁ δὲ ταῦτα ἀξιοῖ συγχωρεῖν αὐτὸν ἐξ ὧν τὸ ἀντικείμενον τῇ ἀδόξῳ θέσει συναχθήσεται. ἢ ἐκ πάντων μὲν ὧν ὁ ἐρωτώμενος [οὐ] συγχωρεῖ, οὐ συναχθήσεται ὑπὸ τοῦ ἐρωτῶντος, εἴ γε ἐρωτᾷ δι' ὧν ἂν λάθοι συνάξων τὸ ἀντικείμενον τοῦ διαλεκτικῶς ἀποκρινομένου μὴ συγχωροῦντος, ἀλλὰ δι' ἐνδοξοτέρων τοῦ προκειμένου. μόνοις οὖν τοιούτοις συγχωρητέον, ὧν εἴπερ εὐπορεῖ ὁ ἐρωτῶν, συνάγοιτο ἂν τὸ προκείμενον. εἰ δὲ μή, εἴη ἂν διαλεκτικῶς κωλυόμενος ὑπὸ τοῦ ἀποκρινομένου συνάγειν, ἀξιοῦντος αὐτὸν δι' ἐνδοξοτέρων αὐτὸ δεικνύναι τῷ ἔνδοξον εἶναι τὸ δεῖν τὰ δεικνύμενα διὰ γνωριμωτέρων δείκνυσθαι.

in Top.551 ὥστε ἐν οἷς λόγοις ἔνδοξον ἁπλῶς τὸ συμπέρασμα δεῖ γίνεσθαι, ἐν τούτοις δεῖ τὸν ἀποκρινόμενον μόνα ταῦτα τιθέναι ἃ ἔνδοξά ἐστιν ἁπλῶς καὶ ἐνδοξότερα τοῦ δι' αὐτῶν συμπεράσματος. εἰ δ' εἴη πάλιν ἔνδοξος ἁπλῶς ἡ θέσι ς , δῆλον μὲν ὅτι τὸ ἀντικείμενον αὐτῇ ἄδοξον ἔσται. δεῖ δέ, φησί, τὸν ἀποκρινόμενον πάλιν ἔνδοξα διδόναι, ἀλλὰ καὶ τῶν ἀδόξων ὅσα ἧττον ἄδοξά ἐστι τοῦ ἐσομένου συμπεράσματος · οὕτως γὰρ πάλιν ἔσται τοιαῦτα συγχωρῶν δι' ὧν μόνων οἷόν τε καλῶς συλλογίζεσθαι τὸ προκείμενον τὸν ἐρωτῶντα [διὰ γνωριμωτέρων καὶ ἐνδοξοτέρων]· τοῦ γὰρ ἀδόξου τὰ ἔνδοξα γνωριμώτερα καὶ τὰ ἧττον ἄδοξα. p. 159b9 Φανερὸν ὡς ἀδόξου μὲν ὄντος ἁπλῶς τοῦ κειμένου οὐ δοτέον τῷ ἀποκρινομέν ῳ . Ἀντὶ τοῦ 'οὐκ ὀφείλει ὁ ἀποκρινόμενος συγχωρεῖν τῷ ἐρωτῶντι τὰ ἀδοξότερα τοῦ βουλομένου παρὰ τοῦ ἀποκρινομένου συναχθῆναι συμπεράσματος.' p. 159b18 Καὶ τῶν μὴ δοκούντων ὅσα ἧττόν ἐστιν ἄδοξα τοῦ συμπεράσματος · ἱκανῶς γὰρ ἂν δόξειε διειλέχθα ι . Τὸ ἱκανῶς γὰρ ἂν δόξειε διειλέχθαι σημαντικόν ἐστι τοῦ 'οὐ γὰρ δόξει παραβαίνειν τὴν διαλεκτικὴν συνουσίαν ὁ ἀποκρινόμενος οὕτωσ'· δεῖ γὰρ τοὺς γυμνασίας χάριν τὰς συνουσίας ποιουμένους συνεργεῖν ἀμφοτέρους πρὸς τὸ διαλεκτικὸν γίνεσθαι τὸν συλλογισμόν. ἐπὶ τῶν τοιούτων δὲ προβλημάτων ὁ τοῖς ἐνδόξοις μόνοις συγχωρῶν διαλεκτικῶς ἐμποδίσει τὸ προκείμενον· οὐ γὰρ ῥᾴδιον διαλεκτικὰς προτάσεις [ἐνδόξους] εὑρεῖν. p. 159b20 Ὁμοίως δ έ , εἰ μή τ ' ἄδοξος μή τ ' ἔνδοξός ἐστιν ἡ θέσι ς . Εἰ μή τ ' ἔνδοξος μή τ ' ἄδοξος εἴη ἡ θέσι ς , πάλιν δεῖ τὸν ἀποκρινόμενον τά τε ἁπλῶς ἔνδοξα τιθέναι καὶ τὰ ἐνδοξότερα τοῦ μήτε ἐνδόξου μήτε ἀδόξου· διὰ γὰρ τῶν τοιούτων δεικνύοιτ' ἂν διαλεκτικῶς· τοιοῦτον γὰρ δεῖ τὸ συμπέρασμα γίνεσθαι τὸ ἀντικείμενον τῇ τοιαύτῃ θέσει ὁποία καὶ ἡ θέσις.

in Top.552 οὐ δὲ πρὸς τὰ τοιαῦτα ῥᾴδιον εὐπορεῖν ἐνδόξων. Πρὸς τὸ προκείμενον. ἐπεὶ τῶν προβλημάτων, ὑπὲρ ὧν ὑπέχει ὁ ἀποκρινόμενος λόγον, τὰ μὲν ἁπλῶς ἢ ἔνδοξα ἢ ἄδοξά ἐστι τὰ δὲ ὡρισμένως, καὶ [τῶν] ὡρισμένως ἢ τῷ ἄλλῳ τινὶ ἐνδόξῳ δοκεῖν οὕτως ἢ αὐτῷ τῷ ἀποκρινομένῳ λέγοντι 'ἐμοὶ τοῦτο δοκεῖ ἔνδοξον', ἂν μὲν οὖν τὸ πρόβλημα τὸ προκείμενον ἁπλῶς ἔνδοξον ἢ ἁπλῶς ἄδοξον ᾖ, δεῖ τὸν ἀποκρινόμενον πρὸς τὰ ἁπλῶς ἔνδοξα ὁρῶντα τὴν σύγκρισιν τῶν ἐρωτωμένων τε καὶ συγχωρουμένων ποιεῖσθαι. οὔσης γὰρ τῆς θέσεως ἁπλῶς ἀδόξου, ἐπειδὴ τὸ συμπέρασμα ἁπλῶς ἔνδοξον γίνεσθαι δεῖ ἐκ τῶν ἁπλῶς ἐνδόξων, τοῖς ἐνδοξοτέροις χρὴ συγχωρεῖν. οὔσης δὲ ἐνδόξου ἁπλῶς, ἐπειδὴ τὸ συμπέρασμα ἁπλῶς ἄδοξον γίνεσθαι δεῖ, πάλιν [ἁπλῶς] τοῖς τε ἁπλῶς ἐνδόξοις χρὴ συγχωρεῖν καὶ τοῖς ἧττον ἀδόξοις τῶν ἁπλῶς ἀδόξων. εἰ δὲ μὴ εἴη ἁπλῶς ἔνδοξον ἢ ἄδοξον ἀλλ' ὡρισμένως, ἐπεὶ τὸ ὡρισμένως ἔνδοξον ἢ ἄδοξον διττόν, τὸ μὲν αὐτῶν ἄλλῳ, τὸ δὲ τῷ ἀποκρινομένῳ, ἂν μὲν ᾖ τῷ ἀποκρινομένῳ δοκοῦν, δεῖ τὰς ἀποκρίσεις ποιεῖσθαι πρὸς τὰ αὐτῷ δοκοῦντα· δεῖ γὰρ τὸν δεικνύντα τὸ ἀντικείμενον τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δοκοῦντος αὐτῷ συλλογισμὸν ἐκ τῶν τῷ θεμένῳ τὴν θέσιν δοκούντων ποιεῖσθαι. ἐὰν δὲ ᾖ τὸ πρόβλημα ἄλλῳ τινὶ δοκοῦν, ᾧ παρίσταται ὁ ἀποκρινόμενος, δεῖ, φησίν, αὐτὸν τῆς ἐκείνου δόξης στοχαζόμενον καὶ διδόναι ἃ δίδωσι καὶ ἀρνεῖσθαι 〈ἃ ἀρνεῖται〉, σκοπὸν ἔχοντα τοιαῦτα συγχωρεῖν ἅ ἐστιν ἐνδοξότερα τοῦ δειχθησομένου. οἱ γοῦν παριστάμενοι τῇ Ἡρακλείτου δόξῃ τῇ λεγούσῃ τὸ ἀγαθὸν καὶ τὸ κακὸν εἶναι ταὐτὸν οὐ συγχωροῦσι τῷ λέγοντι μὴ δύνασθαι τὰ ἐναντία συνυπάρχειν, οὐχ ὡς αὐτοῖς μὴ δοκοῦν, ἀλλ' ὡς Ἡρακλείτῳ οὕτως οὐκ ἐδόκει, προστιθέντες δηλονότι τοῦτο. τὸ αὐτὸ δὲ τοῦτο ποιοῦσι καὶ οἱ πα ρ ' ἀλλήλων δεχόμενοι τὰς θέσεις · στοχάζονται γὰρ τῆς ἐκείνων δόξης, καὶ ὡς ἐκεῖνοι ἀπεκρίνοντο, οὕτω καὶ αὐτοὶ πειρῶνται τὰς ἀποκρίσεις ποιεῖσθαι· ὡς ποιεῖ ἐν τῷ Πλάτωνος Φιλήβῳ ὁ Πρώταρχος διαδεξάμενος παρὰ Φιλήβου τὸ πρόβλημα.

in Top.553 φανερὸν οὖν φησι γεγονέναι τίνων δεῖ στοχάζεσθαι τὸν ἀποκρινόμενον, εἴτε ἁπλῶς εἴη ἔνδοξον τὸ κείμενον εἴτε τιν ί . p. 159b37 Ἐπεὶ δὲ ἀνάγκη πᾶν τὸ ἐρωτώμενον ἢ ἔνδοξον εἶναι ἢ ἄδοξον ἢ μηδέτερο ν . Εἰπὼν τὰς τῶν προβλημάτων διαφορὰς καὶ διδάξας πῶς πρὸς ἕκαστον αὐτῶν χρὴ τὰς ἀποκρίσεις ποιεῖσθαι καὶ τίνων στοχάζεσθαι, νῦν περὶ αὐτῶν τῶν ἐρωτωμένων λέγει, καὶ τούτων τὴν διαίρεσιν ποιεῖται, καὶ δείκνυσι πρὸς τίνα χρὴ βλέποντα ἑκάστην τῶν ἐρωτωμένων προτάσεων ἢ διδόναι ἢ μὴ διδόναι· οὕτως γὰρ διὰ τοῦ τοῦτο ποιεῖν δυνησόμεθα τοῦ προκειμένου σκοποῦ τυγχάνειν. ἔστι δὲ καὶ τῶν ἐρωτωμένων τὰ μὲν ἔνδοξα ἐρωτώμενα, ὡς τὸ θεὸν δεῖν σέβειν, γονεῖς τιμᾶν, νόμοις πείθεσθαι, τὴν ἀρετὴν ἀγαθὸν εἶναι, τὰ δὲ ἄδοξα, τὰ δὲ οὐδέτερα. καὶ αὕτη μὲν ἡ τῶν ἐρωτήσεων διαίρεσις παραπλησία τῇ τῶν προβλημάτων· καὶ γὰρ ἐκεῖνα κατὰ ταῦτα διεῖλε. προστίθησι δὲ τῇ τῶν ἐρωτήσεων διαιρέσει καὶ τὸ ἢ πρὸς τὸν λόγον αὐτὰς εἶναι ἢ μή. ἔστι δὲ πρὸς μὲν τὸν λόγον ταῦτα ὅσα συντελεῖ εἰς τὸν περὶ τοῦ προβλήματος γινόμενον συλλογισμόν, οὐ πρὸς τὸν λόγον δὲ ὅσα μηδὲν εἰς τὸ προκείμενον συντελεῖ ἀλλ' ἔστι μάτην ἐρωτώμενα. οὔσης τοίνυν τῆς τῶν ἐρωτωμένων διαφορᾶς ἐν τούτοις, ἀνάγκη πᾶσαν ἐρώτησιν ἢ ἔνδοξόν τε εἶναι καὶ πρὸς τὸν λόγον ἢ ἔνδοξον μὲν μὴ πρὸς τὸν λόγον δέ, ἢ ἄδοξον μὲν πρὸς τὸν λόγον δὲ ἢ ἄδοξον καὶ οὐ πρὸς τὸν λόγον, ἢ οὔτε ἔνδοξον οὔτε ἄδοξον οὖσαν πρὸς τὸν λόγον εἶναι ἢ οὐ πρὸς τὸν λόγον. πῶς οὖν χρὴ πάλιν καθ' ἑκάστην τῶν κατὰ τὰς τοιαύτας ἐρωτήσεις διαφορῶν ποιεῖσθαι τὴν ἀπόκρισιν, λέγει. ἂν μὲν οὖν ἔνδοξος ᾖ ἡ ἐρώτησις μὴ πρὸς τὸν λόγον δέ, δεῖ, φησί, τὸν ἀποκρινόμενον διδόναι αὐτὴν λέγοντα ὅτι ἔστιν ἔνδοξος· οὕτως γὰρ αὐτὸς μὲν εὐδοκιμήσει συγχωρῶν τοῖς ἐνδόξοις, ἀδοξήσει δ' ὁ ἐρωτῶν μὴ δυνάμενος τῷ δοθέντι χρῆσθαι πρὸς τὸ προκείμενον καὶ ταῦτα ὄντι ἐνδόξῳ.

in Top.554 ἐὰν δὲ ἄδοξον ᾖ τὸ ἐρωτώμενον καὶ μὴ πρὸς τὸν λόγο ν , δοτέον μὲν καὶ τοῦτο τῷ δοθέντι αὐτῷ μηδὲν ἕξειν χρῆσθαι τὸν ἐρωτήσαντα. ὑπὲρ μέντοι τοῦ μὴ δοκεῖν ἠλίθιον εἶναι συγχωροῦντα τοῖς ἀδόξοις αὐτὸ τοῦτο ἐπισημαντέο ν , ὅτι ἄδοξον μέν ἐστι, τίθησι δὲ αὐτὸ τοῦ λόγου χάριν καὶ τοῦ μαθεῖν πῶς ἐξ αὐτοῦ τὸ προκείμενον δείκνυται· καὶ γὰρ οὕτως πάλιν ἐν ἀδοξίᾳ γενέσθαι ποιεῖ τὸν ἐρωτήσαντα. ἂν δὲ ᾖ καὶ ἔνδοξον τὸ ἐρωτώμενον καὶ πρὸς τὸν λόγον, δεῖ, φησί, τὸν ἀποκρινόμενον ὁμολογεῖν μὲν τὸ ἐρωτώμενον ἔνδοξον εἶναι, λέγειν δὲ λίαν αὐτὸ ἐγγὺς εἶναι τοῦ προκειμένου καὶ τρόπον τινὰ διὰ τοῦ ἐρωτωμένου τὸ ἐν ἀρχῇ λαμβάνεσθαι· οὕτως γὰρ οὔτε ἐνίστασθαι τοῖς ἐνδόξοις δόξει οὔτε τι πάσχειν ὑπὸ τοῦ ἐρωτωμένου τῷ ὁμοιότητα αὐτοῦ δεικνύναι πρὸς τὸ δεικνύμενον. εἰ δὲ ἄδοξον μὲν εἴη τὸ ἐρωτώμενον πρὸς τὸν λόγον δέ, δεῖ, φησί, τὸν ἀποκρινόμενον λέγειν ὅτι τεθέντος μὲν αὐτοῦ δείκνυται τὸ προκείμενον, εὔηθες μέντοι τὸ ἐρώτημα καὶ ὑπὸ μηδενὸς νοῦν ἔχοντος τεθέν. εἰ δὲ μή τ ' ἔνδοξον μή τ ' ἄδοξον εἴη τὸ ἐρωτώμενο ν , εἰ μὲν μηδὲν εἴη πρὸς τὸν λόγο ν , δοτέον αὐτὸ τῷ μηδὲν ἕξειν αὐτῷ χρῆσθαι τὸν ἐρωτῶντα λαβόντα· εἰ δὲ εἴη πρὸς τὸν λόγο ν , τοῦτο αὐτὸ δεῖ, φησίν, ἐπισημαίνεσθαι τὸν ἀποκρινόμενον, ὅτι συγχωρηθέντος αὐτοῦ ἀναιρεῖσθαι

συμβαίνει τὸ κείμενον. λέγει δὲ ὅτι ὁ διδοὺς τὰς τοιαύτας ἀποκρίσεις καὶ προορῶν τὸ συμβησόμενον οὐδὲν δόξει δ ι ' αὑτὸν πάσχειν (εἶπε γὰρ ἔργον εἶναι 〈τοῦτο〉 τοῦ καλῶς ἀποκρινομένου), ὅ τε ἐρωτῶν δυνήσεται συλλογίζεσθαι διαλεκτικῶς, συγχωρουμένων αὐτῷ τῶν ἐνδοξοτέρων τοῦ συμπεράσματο ς . ἔστι δὲ διαλεκτικὴ συνουσία, ὅταν μηδέτερος τῶν ἐν τῷ λόγῳ τι παρανομῇ, ἀλλὰ τὸ αὑτῷ προσῆκον ποιῇ. p.

in Top.555 160a14 Ὅσοι δὲ ἐξ ἀδοξοτέρων τοῦ συμπεράσματος ἐπιχειροῦσ ι . Ὅτι μὴ δεῖ τὸν διαλεκτικῶς ἀποκρινόμενον ταῖς ἀδόξοις προτάσεσι συγχωρεῖν δείξας, ἐκ τούτου, φησί, δῆλον ὅτι μηδὲ οἱ τὰ τοιαῦτα ἐρωτῶντες καὶ δι' ἀδοξοτέρων τὰ ἐνδοξότερα πειρώμενοι συλλογίζεσθαι διαλεκτικῶς ἐρωτῶσιν· οἷς γὰρ ἂν μὴ 〈ᾖ〉 [τοῦτο] συγχωρεῖν διαλεκτικῶς, τούτοις βούλεσθαι χρῆσθαι οὐ διαλεκτικοῦ. p. 160a17 Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀσαφῶς καὶ πλεοναχῶς λεγομένων ἀπαντητέο ν . Πῶς ἐπὶ τῶν ἀσαφῶς καὶ πλεοναχῶς λεγομένων καὶ πῶς ἐπὶ τῶν σαφῶς καὶ ἁπλῶς ἀποκριτέον, νῦν διδάσκει. ἐπεὶ γὰρ γίνονταί τινες ἐρωτήσεις ἀσαφεῖς καὶ διά τινων πλεοναχῶς λεγομένων, πῶς χρὴ τὸν ἀποκρινόμενον πρὸς τὰς τοιαύτας ἐρωτήσεις ἐνίστασθαι, λέγει νῦν. τὸ ὁμοίως δὲ εἰπὼν οὐχ ὅτι ὡς προείρηται (περὶ γὰρ ἄλλων προείρηται), ἀλλὰ τὸ ὁμοίως λέγοι ἂν 'κατὰ τὸν προειρημένον τρόπον.' ἐπεὶ γὰρ οὐ κεκώλυται ὁ ἀποκρινόμενος, ἂν μὴ νοῇ τὸ λεγόμενον, αὐτὸ τοῦτο ὁμολογεῖν, ἀλλ' οὐδ' ἀνάγκην ἔχει πολλαχῶς τινος λεγομένου ἢ ἁπλῶς ὁμολογῆσαι ἢ ἁπλῶς ἀρνήσασθα ι , ἀλλὰ καὶ διελέσθαι καὶ διαστείλασθαί τι τῶν ἐρωτωμένων ἐξουσίαν ἔχει, οὕτως οὖν ἀσαφοῦς ὄντος οὐκ ὀκνητέον ὁμολογεῖν μὴ συνιέναι · τῶν γὰρ οὕτως ἐρωτώντων ἡ ἁμαρτία, οὐ τῶν ὁμολογούντων μὴ συνιέναι. συμβαίνει γὰρ πολλάκις παρὰ τὸ συγχωρεῖν τι ὂν ἀσαφὲς ἐλέγχεσθαι· οἷον ἐὰν ἐρωτῶντός τινος 〈εἰ〉 πᾶν τὸ πεπερασμένον πρός τι περαίνει, μὴ νοήσας ὁ ἀποκρινόμενος συγχωρήσῃ· συμβήσεται γὰρ αὐτῷ συγχωρεῖν τὸ παντὸς τοῦ πεπερασμένου ἐκτός τι εἶναι· διὸ οὐκ ἂν συνεχώρησε νοήσας τί σημαίνει τὸ πρός τι περαίνειν. εἰ μέντοι γνώριμον μὲν τὸ λεγόμενον εἴη, πολλαχῶς δὲ λέγοιτο, ἂν μὲν ἐπὶ πάντων οὕτως ἔχειν φαίνηται τῶν σημαινομένων διαιρουμένῳ, συγχωρητέον ἁπλῶς· τὸ γὰρ σωφρονεῖν αἱρετόν ἐστι κατὰ πάντα τὰ σημαινόμενα τοῦ αἱρετοῦ· καὶ γὰρ καλὸν καὶ ἡδὺ καὶ συμφέρον.

in Top.556 ἂν δὲ μὴ ἐπί τινος, ἀρνητέον πάλιν ἁπλῶς· τὸ γὰρ ἓν εἶναι τὸ ὂν κατ' οὐδὲν τῶν ὑπὸ τοῦ ἑνὸς σημαινομένων ἀληθές· οὔτε γὰρ γένει οὔτε εἴδει οὔτε ἀριθμῷ. ἂν δὲ ἐφ' ὧν μὲν ἀληθὲς ᾖ τὸ λεγόμενον ἐφ' ὧν δὲ ψεῦδος, τοῦτο αὐτὸ μηνυτέον, ὅτι πολλαχῶς λέγεται τῷ τὸ μέν τι οὕτως ἔχειν τῶν σημαινομένων τὸ δ' οὔ· τὸ γὰρ τὸν κύνα ὑλακτικὸν εἶναι ἐπὶ μὲν τοῦ ζῴου πεζοῦ ἀληθεύει, οὐκ ἀληθὲς δὲ ἐπὶ τοῦ θαλασσίου. ἀξιοῖ δὲ κατ' ἀρχὰς τὴν διαίρεσιν ποιεῖσθαι, μὴ μετὰ τὸ συμπέρασμα· τότε γὰρ ἄδηλον γίνεται, εἰ καὶ τὴν ἀρχὴν γνωρίζων, ὅτι πολλαχῶς λέγεται, οὕτω συνεχώρησεν 〈ἢ〉 ὡς κατὰ 〈μόνον κατὰ〉 τὸ ἀληθὲς τῶν σημαινομένων ὑπ' αὐτοῦ διδούς. ἐὰν δ έ , φησί, μὴ προειδῇ τὸ ἀμφίβολο ν , τουτέστι τὸ πολλαχῶς λεγόμενον (εἶδος γάρ τι τῶν πολλαχῶς λεγομένων τὸ ἀμφίβολον, ὡς εἴρηται ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις), ἐὰν οὖν μὴ προειδῇ τὸ διττὸν τοῦ λεγομένου, ἀλλὰ κατὰ τὸ ἀληθὲς ὡς μόνον συγχωρήσας εἰς τὸ ἕτερον ψεῦδος ὂν περιτραπῇ, ὁμολογητέον καὶ ῥητέον ὅτι μὴ πρὸς τοῦτο βλέπων συνεχώρησεν, ἀλλὰ πρὸς ἐκεῖνο καθ' ὃ ἦν ἀληθὲς τὸ λεγόμενον. ὅταν γὰρ ᾖ πλείω τὰ σημαινόμενα καὶ διάφορα (τὸ γὰρ πλειόνων ὄντων οὐ τῷ ἀριθμῷ λέγει ἀλλὰ κατὰ τὴν φύσιν διαφόρων), ῥᾳδία ἡ ἀμφισβήτησις [τοῖς λέγουσιν] ὅτι μὴ κατὰ τοῦτο συνεχώρησεν· οἷον τὸ τὸν τυφλὸν ὁρᾶν ἢ τὸν σιγῶντα λαλεῖν. ἂν μέντοι σαφὲς ᾖ καὶ ἁπλοῦν τὸ ἐρωτώμενο ν , ἀξιοῖ ἁπλῶς ἢ ναὶ ἢ οὔ λέγειν τοὺς καλῶς ἀποκρινομένους, δεικνὺς πάλιν διὰ τούτων ὅτι μὴ πρὸς αὐτὰ χρὴ τὰ ἐρωτώμενα ἀμφισβητεῖν τὸν διαλεκτικῶς ἀποκρινόμενον. p. 160a35 Ἐπεὶ δὲ πᾶσα πρότασις συλλογιστικὴ ἢ τούτων τίς ἐστιν ἐξ ὧν ὁ συλλογισμὸς ἤ τινος τούτων ἕνεκ α . Συλλογιστικὴν μὲν πρότασιν λέγει τὴν συντελοῦσαν εἰς τὸν προκείμενον συλλογισμόν, ἣν εἶπε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸ ὀλίγου “πρὸς τὸν λόγον”. λέγει δὲ τῶν συλλογιστικῶν προτάσεων, τουτέστι τῶν μὴ μάτην ἐρωτωμένων, τὰς μὲν εἶναι τοιαύτας ἐξ ὧν ὁ συλλογισμό ς , τουτέστιν ἐφ’ αἷς τὸ συλλογιστικῶς δεικνύμενον συμπεραίνεται, ἃς κἂν κυρίως τις εἴποι προτάσεις συλλογιστικάς, τὰς δὲ τῶν συλλογιστικῶν ἕνεκα προτάσεων ἐρωτᾶσθαι· τοιαῦται δέ εἰσιν αἱ εἰς σύστασιν τῶν συλλογιστικῶν προτάσεων λαμβανόμεναι, αἵ εἰσιν ἐν ταῖς ἐπαγωγαῖς.

in Top.557 εἰρηκὼς δὲ πῶς χρὴ ***** πρὸς τὰς μὴ συλλογιστικὰς μὲν τῶν συλλογιστικῶν δὲ χάριν ἐρωτωμένας, δῆλόν φησιν εἶναι, ὅταν ἑτέρου χάριν λαμβάνωνταί τε καὶ προτείνωνται καὶ μὴ τοῦ συμπεράσματος, τῷ πλείω τὰ ὅμοια ἐρωτᾶ ν , ὃ δ ι ’ ἐπαγωγῆς ἢ ὁμοιότητος ὡς ἐπὶ τὸ πολὺ πειρῶνται τὰς συλλογιστικάς τε καὶ καθόλου προτάσεις παραλαμβάνειν, ὅταν μὴ ὦσιν αὐτόθεν τιθέμενοι. ἐξηγούμενος δέ, τίνα ἐστὶ τὰ πλείω ὅμοια, ἐπήγαγε τὸ ἢ δ ι ’ ἐπαγωγῆς ἢ ὁμοιότητος ὡς ἐπὶ τὸ πολὺ τὸ καθόλου λαμβάνουσιν · ἐν μὲν γὰρ ταῖς ἐπαγωγαῖς πλείω ὅμοια ἐρωτᾶται. εἰπὼν δὲ τὸ ἢ δ ι ’ ἐπαγωγῆς προσέθηκε τὸ ἢ δ ι ’ ὁμοιότητος · τῷ γὰρ πολλὰ ὅμοια λαμβάνεσθαι δείκνυσιν ἡ ἐπαγωγὴ τὸ καθόλου διὰ τῶν καθ’ ἕκαστα. ἢ εἰπὼν τὴν ἐπαγωγὴν ὡς κοινότερον τὴν ὁμοιότητα ἐπήνεγκε· δι’ ὁμοιότητος γὰρ καὶ αἱ παραδειγματικαὶ προτάσεις δεικνύουσιν, οὐ μόνον αἱ ἐπακτικαί, ἀλλὰ καὶ αἱ διὰ παραβολῆς καὶ δι’ ἀναλογίας. τὸ δὲ ὡς ἐπὶ τὸ πολὺ προσέθηκεν, ὅτι πολλάκις καὶ διὰ προσυλλογισμοῦ κατασκευάζονται αἱ τοιαῦται προτάσεις· ἀλλὰ καὶ ὡς ἐναργεῖς τινες προτάσεις παραλαμβάνονται. πρὸς δὲ τὰς συντελούσας μὲν εἰς τὸν προκείμενον συλλογισμὸν προτάσεις καὶ διὰ τοῦτο δοκούσας εἶναι συλλογιστικὰς οὐ διὰ συλλογισμοῦ 〈δὲ〉 δεικνυούσας, δεῖ, φησίν, οὕτως ἀποκρίνεσθαι· τὰ μὲν κα θ ’ ἕκαστα πάντα θετέο ν , φησίν, ἂν ἀληθῆ ᾖ καὶ ἔνδοξα δ ι ’ ὧν ἡ ἐπαγωγή, πρὸς δὲ τὸ καθόλου πειρατέον τὸ τοῖς καθ’ ἕκαστα ἐπιφερόμενον ἐνίστασθαι. οὐ γὰρ ὥσπερ ἐπὶ τοῦ συλλογισμοῦ ἐξ ἀνάγκης ἕπεται τοῖς τεθεῖσι τὸ ἐπ’ αὐτοῖς συμπέρασμα, οὕτω καὶ τοῖς ἐπακτικῶς λαμβανομένοις ἀναγκαίως ἕπεται τὸ καθόλου· οὐ γάρ, εἰ ἄνθρωπος καὶ κύων καὶ βοῦς τὴν κάτω γένυν κινεῖ, ἤδη καὶ πᾶν ζῷον. πρὸς δὴ τοῦτό φησι δεῖν πειρᾶσθαι φέρειν ἔνστασιν. οὐ γὰρ δὴ χωρὶς ἐνστάσεώς τινος χρὴ πρὸς τὸ συμπέρασμα ἀνανεύειν. τὸ γὰρ χωρὶς ἐνστάσεω ς , ἢ οὔσης ἢ δοκούση ς , κωλύειν τὸν λόγον περαίνεσθαι δυσκολαίνειν ἐστί φησίν, οὖσαν μὲν ἔνστασιν λέγων τὴν ὡς ἀληθῶς κωλύουσαν τὸ συμπέρασμα· οἷον πᾶν τὸ ἔκ τινων εἴς τι μεταβάλλον κινεῖται· οὐ γάρ, εἰ ἡ κατὰ τὸ ποσὸν καὶ ἡ κατὰ τόπον καὶ ἡ κατὰ τὸ ποιόν, ἤδη καὶ πᾶσα· ἡ γὰρ γένεσις καὶ ἡ φθορὰ μεταβολαὶ μὲν ἔκ τινός εἰσιν, οὐ μὴν καὶ κινήσεις· τὸ μὲν γὰρ κινούμενον εἶναι δεῖ καὶ σώζεσθαι τὸ αὐτό· ἐπὶ δὲ τούτων τῶν μεταβολῶν οὐ σώζεται 〈τὸ〉 αὐτὸ τὸ μεταβάλλον.

in Top.558 δοκοῦσαν δὲ ἔνστασιν λέγει ὁ [γὰρ] πρὸς τὸν δεικνύντα ἴσα εἶναι δι’ ἐπαγωγῆς τὰ μήτε ὑπερβάλλοντα μήτε ἐλλείποντα ἐνιστάμενος καὶ λέγων τὴν κατὰ ἀνάλογον τιμὴν ἴσην μὲν εἶναι, εἴ γε ὁ δίκαιος καὶ τὸ δίκαιον ἴσον, οὐ μὴν τοιαύτην εἶναι ὥστε μήτε ὑπερβάλλειν μήτε ἐνδεῖν· ἐν γὰρ τῇ τοιαύτῃ νομῇ τοῖς μὲν πλέον τοῖς δὲ ἔλαττον νέμεται. φαινόμενον δέ ἐστιν· οὐ γὰρ ταὐτὸν τὸ ἁπλῶς ἴσον, περὶ οὗ ὁ λόγος ἦν, καὶ τὸ μετὰ προσθήκης τῆς κατὰ ἀναλογίαν. Εἰπὼν δὲ δυσκολαίνειν τοὺς χωρὶς ἐνστάσεως ἀνανεύοντας πρὸς τὸ συμπέρασμα, τί ἐστι δυσκολαίνειν, ὕστερον λέγει φήσας ἔστι γὰρ ἡ ἐν λόγοις δυσκολία ἀπόκρισις παρὰ τοὺς εἰρημένους τρόπους συλλογισμοῦ φθαρτικ ή . δυσκολαίνει γὰρ ὁ μὴ διὰ προσηκουσῶν ἀποκρίσεων φθείρων καὶ κωλύων γίνεσθαι συλλογισμόν· τίνες δὲ αἱ προσήκουσαι ἀποκρίσεις, εἴρηται. εἰπὼν δὲ δυσκολαίνειν τοὺς χωρὶς ἐνστάσεως ἀνανεύοντας πρὸς τὸ συμπέρασμα, λέγει ἔτι μᾶλλον τοῦτο ποιεῖν, εἰ μη δ ’ ἀντεπιχειρεῖν πρὸς τὸ δεικνύμενον ἔχων τις καὶ δεικνύναι αὐτὸ διά τινων ὅτι μὴ ἀληθὲς μὴ συγχωροίη αὐτῷ. ἔστι δὲ τὸ ἀντεπιχειρεῖν τὸ πρὸς τὰ λεγόμενα μὲν μὴ φέρειν ἔνστασιν, ἐπιχειρεῖν δὲ δι’ ἄλλων τινῶν καὶ αὐτὸν πάλιν συλλογίζεσθαι ὅτι μὴ ἀληθὲς τὸ δεικνύμενον. ὁ γὰρ πρὸς μὲν τὸν δεικνύντα λόγον ὅτι ἡ ψυχὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐκ ἀθάνατος διὰ τὸ εἶδος αὐτὴν ἔνυλον εἶναι, μηδὲν δὲ ἔνυλον εἶδος χωριστὸν εἶναι τῆς ὕλης, μὴ ἐνιστάμενος, δεικνύναι δὲ πειρώμενος δι' ἄλλων τινῶν πάλιν αὐτὴν ὅτι ἔστιν ἄφθαρτος, ἤτοι διὰ τοῦ λαμβάνειν ὅτι αἱ μὲν μαθήσεις ἀναμνήσεις ἢ ὅτι αὐτοκίνητος, ἀντεπιχειρεῖ, οὐκ ἐνίσταται. εἰπὼν δ' ἔτι μᾶλλον δυσκολαίνειν τοὺς μὴ ἀντεπιχειροῦντας ***** · οὐ γάρ, εἴ τινα λόγον ἐναντίον ταῖς κοιναῖς ἐννοίαις δύσλυτον ὄντα παρέχεταί τις ἀντεπιχειρῶν πρὸς τὰ δεικνύμενα, ἤδη διὰ ταύτην τὴν αἰτίαν οὐ χρὴ τιθέναι τὰ ἐναργῆ τῷ δεικνύντι. οὐ γάρ, εἰ δεικνύντος τινὸς δι' ἐπαγωγῆς, ὅτι πᾶν ζῷον κινητόν ἐστι καὶ κινεῖται, ἀντεπιχειρῶν τις τὸν Ζήνωνος λόγον * τὸν ἀναιροῦντα κίνησιν διὰ τὸ δεῖν τὸν κινούμενόν τι διάστημα πρῶτον αὐτοῦ τὸ ἥμισυ διελθεῖν, τοῦτο δὲ μὴ οἷόν τε τῷ κἀκείνου πάλιν ὀφείλειν αὐτὸν τὸ ἥμισυ διελθεῖν, κἀκείνου πάλιν ὁμοίως, ἀπείρων δὲ ὄντων τῶν ἡμίσεων ἀδύνατον εἶναι πάντα αὐτὰ διεξελθεῖν (τὸ γὰρ μέγεθος ἐπ' ἄπειρον διαιρετόν, ἀδύνατον δὲ ἐν πεπερασμένῳ τὰ ἄπειρα διελθεῖν), οὐ δεῖ διὰ τοῦτο μὴ συγχωρεῖν [μὴ εἶναι κίνησιν], οὐδ' εἰ τῆς ἐπαγωγῆς τι δι' ἐναργῶν γίνεται.

in Top.559 εἰπὼν δὲ μηδὲ τὸ ἀντεπιχειρεῖν ἱκανὸν εἶναι πρὸς τὸ κωλῦσαι τὸ διὰ τῆς ἐπαγωγῆς συμπέρασμα, ἐπήνεγκεν ὅτι ὁ μήτε ἐνίστασθαι ἐπὶ τίνων οὐχ οὕτως μήτε ἀντεπιχειρεῖν ἔχων καὶ μὴ συγχωρῶν τῷ συμπεράσματι δυσκολαίνει. δυσκολία δέ ἐστιν ἀπόκρισις παρὰ τὰς διαλεκτικὰς ἀποκρίσεις συλλογισμοῦ φθαρτική · ὁ γὰρ δυσκολαίνων οὐκ ἐᾷ τὸν ἐρωτῶντα συλλογίσασθαι ὃ βούλεται. καὶ ἔστιν ὁ τρόπος οὗτος τῆς δυσκολίας ἄλλος παρὰ τοὺς εἰρημένους· μήτε γὰρ ἀντιτιθεὶς ὁ ἀποκρινόμενος ὅτι ὁμώνυμόν ἐστι τὸ ἐρωτηθὲν ἢ ὅτι μεταφορικὸν ἢ ἀσαφές, ἀλλὰ μόνον ἀνανεύων κωλύει τὸν συλλογισμὸν καὶ τὴν διάλεξιν. p. 160b14 Ὑπέχειν δὲ καὶ θέσιν καὶ ὁρισμὸν αὐτὸν ἑαυτ ῷ . Δεῖ, φησί, τὸν μέλλοντα περὶ ἐπιχειρήσεως προβλήματός τινος ἢ ὁρισμοῦ παρίστασθαι ὑπέχειν τινὰ λόγον καὶ ἀποκρίνεσθαι πρῶτον παρ' ἑαυτῷ, προεπιχειρήσαντα εἰς αὐτὸ καὶ προδιαλαβόντα δι' ὧν οἷόν τε αὐτὸ ἀναιρεῖν καὶ ταξάμενον πῶς χρὴ πρὸς αὐτὰ ἀποκρίνεσθαι. ῥᾷον γὰρ τὰς ἀποκρίσεις ποιεῖσθαι προεπεσκεμμένον περὶ τούτων πῶς ἀποκρίνεσθαι χρή· πρὸς γὰρ ταῦτα ἀποκρίνεσθαί τε καὶ ἐνίστασθαι χρὴ ἐξ ὧν ἐπιχειροῦσιν οἱ ἐρωτῶντες ἀναιρεῖν τὸ κείμενον. τὸ δ' αὐτὸ εἶπε δεῖν ποιεῖν καὶ περί τινος ἐρωτᾶν μέλλοντα. p. 160b17 Ἄδοξον δὲ ὑπόθεσιν εὐλαβητέον ὑπέχει ν . Παραινεῖ καὶ ἀδόξῳ ὑποθέσει μὴ παρεστάναι, ὑπόθεσιν τὸ πρόβλημα καὶ τὴν θέσιν λέγων. ἄδοξος δὲ ὑπόθεσίς ἐστι διχῶς · καὶ γὰρ δι' ἣν ἀνάγκη τινὰ λέγειν ἄτοπα καὶ παράδοξα· τῷ γὰρ πάντα κινεῖσθαι καθ' Ἡράκλειτον λέγοντι συμβήσεται τὸ αὐτὸ τὸ κινεῖσθαι ἀναιρεῖν, εἴ γε ἡ μὲν κίνησις τοῦ τινὸς μεταβάλλοντος ἢ κατὰ τόπον ἢ κατὰ ποσὸν ἢ ποιόν, κατὰ δὲ τοὺς πάντα ῥεῖν λέγοντας οὐδὲν οἷόν τε τὸ αὐτὸ οὐδὲ πρὸς ὀλίγον ὑπομεῖναι.

in Top.560 ἔτι εἰ πάντα κινεῖται συνεχῶς, οὐδ' αὐτὸ τοῦτο τὸ πάντα κινεῖσθαι μένει. τῷ δὲ μηδὲν κινεῖσθαι λέγοντι ἕποιτ' ἂν μὴ εἶναι κίνησιν παρὰ τὰ ἐναργῆ. τὰ μὲν οὖν τῶν προβλημάτων διὰ τοῦτό ἐστιν ἄδοξα, τὰ δὲ τῷ εἶναι χείρονος ἤθους τὴν αἵρεσιν αὐτῶν καὶ ὑπεναντίαν ταῖς τῶν ἀνθρώπων βουλήσεσιν · οὐ γὰρ ὡς γυμνασίας χάριν τοῖς μεταχειριζομένοις τὰ τοιαῦτα προσέχουσιν οἱ ἀκούοντες, ἀλλ' ὡς αἱρουμένους αὐτὰ μισοῦσιν αὐτούς. p. 160b23 Ὅσοι δὲ τῶν λόγων ψεῦδος συλλογίζοντα ι , λυτέο ν . Ἐπεὶ ἀνάγκη, εἰ τὸ συμπέρασμα ψεῦδός ἐστι, τούτου καὶ τῶν προτάσεων τινὰ ἢ τινὰς ψευδεῖς εἶναι, δῆλον ὅτι, εἰ μὲν εἴη [ἡ] πρότασις ψευδής, παρ' ἐκείνην καὶ τὸ συμπέρασμα ψευδές, ὡς ἐπὶ τοῦ 'τὸ ποιὸν σῶμα, ἡ δὲ ποιότης ποιόν, ἡ ποιότης ἄρα σῶμα'· τοῦ γὰρ ἐν τῷ συμπεράσματι ψεύδους αἰτία ἡ πρότασις ἡ τὸ ποιὸν σῶμα λαβοῦσα· ἡ γὰρ ἑτέρα ἀληθής. ἐπεὶ δὲ ἐνδέχεται καὶ πλείω τινὰ ψευδῆ εἰλῆφθαι, οὐ τὸν ὁτιοῦν τῶν κειμένων δείξαντα ψεῦδός φησι λύειν τὸν λόγον ἀλλὰ τὸν ἐκεῖνο παρ' ὃ τὸ συμπέρασμα γέγονε τοιοῦτον· οὐ γὰρ πᾶσα ψευδὴς ληφθεῖσα πρότασις αἰτία ψευδοῦς συμπεράσματος, ἐπεὶ δέδεικται ὅτι καὶ ἐκ ψευδῶν προτάσεων ἀληθές τι συνάγεται. σαφὲς δὲ τὸ λεγόμενον διὰ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραδείγματος πεποίηκεν· ὁ γὰρ συνάγων τὸν Σωκράτη γράφειν διὰ προτάσεων ἀμφοτέρων ψευδῶν ‘Σωκράτης κάθηται, πᾶς ὁ καθήμενος γράφει ‘ οὐ παρὰ τὸ τὸν Σωκράτη λαβεῖν καθήμενον τὸ ψεῦδος συνάγει· καὶ γὰρ εἰ εἴη ἀληθής, οὐδὲν ἧττον ἦν ψευδὲς τὸ συμπέρασμα· οὐκ ἔστιν οὖν αἰτία τοῦ ψεύδους, οὐδ’ ὁ ταύτην δεικνὺς ψευδῆ λύει τὸν λόγον, ἀλλ’ ὁ τὴν λέγουσαν πᾶς ὁ καθήμενος γράφει · αὕτη γὰρ ἀεὶ ψευδής. τούτου δὲ σημεῖον, ὅτι εἰ παρὰ τὴν ‘Σωκράτης κάθηται‘ ἦν, μεταπεσόντος ἐκείνου μετέπιπτεν ἂν καὶ τὸ συμπέρασμα· νῦν δὲ ὡς ἂν ἔχῃ αὕτη, τὸ συμπέρασμα ψεῦδος.

in Top.561 p. 160b33 Λέλυκε μὲν οὖν πάντως ὁ ἀνελὼν πα ρ ’ ὃ γίνεται τὸ ψεῦδο ς . Λύειν μὲν οὖν τὸν λόγον τοῦτόν φησι τὸν ἀναιροῦντα τὴν πρότασιν παρ’ ἣν τὸ τοιοῦτον συμπέρασμα. οὐ μὴν πάντως τὸν λύοντα ψευδῆ λόγον τῷ ἀναιρεῖν τὴν πρότασιν παρ’ ἣν τὸ τοιοῦτον ἤδη φησὶ καὶ εἰδέναι τὴν λύσιν· ἐνδέχεται γάρ τινα οὕτως ἀναιρεῖν τὴν πρότασιν τὴν αἰτίαν τοῦ συμπεράσματος ὡς ψευδῆ μόνον, οὐχ ὡς ἐν αὑτῇ τὴν αἰτίαν ἔχουσαν τοῦ εἶναι τὸ τοιοῦτον συμπέρασμα. ὁ δὴ οὕτως ἀναιρῶν λύσει μὲν τὸν λόγον, οὐκ εἴσεται δὲ αὐτοῦ τὴν λύσιν· ἐν πᾶσι γὰρ ἡ τῆς αἰτίας γνῶσις ἡ τῆς ἐπιστήμης αἰτία· ἰατρὸς γὰρ ἐπιστήμων οὐχ ὁ ἰώμενος μόνον ἀλλ’ ὁ καὶ τὴν αἰτίαν καθ’ ἣν ἰᾶται γνωρίζων. παρέθετο δὲ εἰς δεῖξιν τοῦ τοὺς αἰτίαν εἰδότας δι’ ἣν ψεῦδος τὸ συμπέρασμα, τούτους εἰδέναι καὶ τὴν λύσιν, ἀλλ’ οὐ τοὺς δεικνύντας μόνον τὴν πρότασιν ψευδῆ, τοὺς τοῖς ψευδογραφοῦσι κατὰ γεωμετρίαν πειρωμένους ἐνίστασθαι. καὶ γὰρ ἐπὶ τούτων οὐκ ἀπόχρη τὸ ἐνστῆναι τῇ λέξει πρὸς τὸ λῦσαι τὸ ψευδογράφημα, κἂν ψεῦδος ᾖ πρὸς ὃ ἐνίσταται, ἀλλὰ καὶ διὰ τί ψεῦδός ἐστι τὸ λαμβανόμενον καὶ πῶς πρὸς τοῦτο ἡ παραγωγὴ ἔχει, 〈δεῖ〉 δεικνύναι· οὕτως γὰρ γνώριμον γίνεται ὅτι εἰδὼς καὶ ὁρῶν τὸ ἀπαντησόμενον ἐκ τοῦ τοῦτο ληφθῆναι ποιεῖται τὴν ἔνστασιν ἀλλ’ οὐκ ἀπὸ τύχης. p. 161a1 Ἔστι δὲ λόγον κωλῦσαι συμπεράνασθαι τετραχῶ ς . Εἰπὼν πῶς ἔστι λύειν τὸν ψευδῆ λόγον, νῦν λέγει πῶς καὶ κατὰ πόσους τρόπους ἐνιστάμενον ἔστι τὴν ἀρχὴν κωλῦσαι συμπεράνασθαί τινα λόγον.

in Top.562 οὐ γὰρ ταὐτὸν λῦσαί τε καὶ κωλῦσαι· λύεται μὲν γὰρ ὁ ἤδη συμπεπερασμένος, κωλύεται δὲ πρὸ τοῦ συμπεραίνεσθαι. διὸ ἡ μὲν λύσις μοναχῶς, ἡ δὲ κώλυσις τετραχῶς. ὁ γὰρ ἀνελὼν πα ρ ’ ὃ γίνεται τὸ ψεῦδος κωλύει τὸν λόγον· διαφέροι δ’ ἂν οὗτος τοῦ λύοντος καίτοι τὴν αὐτὴν ἀναιρῶν πρότασιν, ὅτι ἐκεῖνος μὲν ἤδη κειμένου τοῦ συμπεράσματος τοῦτο ποιεῖ, οὗτος δέ, ἵνα μή τι ἐπενεχθῇ, προλαμβάνει. ἔστι δέ τις κώλυσις λόγου καὶ ἡ πρὸς αὐτὸν γινομένη τὸν ἐρωτῶντα ἔνστασις ἀλλ’ οὐ πρὸς τὸν λόγον· ἔστι δέ, εἴ τις αὐτὸν μὲν τὸν λεγόμενον λόγον οὐκ ἐμποδίζει, τῷ δὲ τὸν ἐρωτῶντα ἀπορεῖν τῆς πρὸς τὴν ἔνστασιν λύσεως κωλύεται ὁ λόγος ἐπὶ τὸ προκείμενον ἐλθεῖν συμπέρασμα. τρίτος τρόπος ἐνστάσεως, ὅταν ἀληθῆ μὲν ᾖ τὰ λαμβανόμενα, τῷ δὲ κακῶς ἠρωτῆσθαι καὶ ἢ ἐλλείπειν τι αὐτὰ ἢ μὴ κατὰ σχέσιν συγκεῖσθαι συλλογιστικὴν μηδὲν φαίνηται συνάγοντα· ὁ γὰρ πρὸς ταῦτα ἐνιστάμενος καὶ δεικνὺς μὴ συναγόμενον ὑπ’ αὐτῶν τὸ ὡς συμπέρασμα ἐπιφερόμενον πρὸς τὰ ἠρωτημένα τὸν λόγον ποιεῖται. ἂν μὲν οὖν τῆς ἐνστάσεως γινομένης πρὸς τὸν οὕτως ἠρωτημένον λόγον ὑπὸ τοῦ ἀποκρινομένου μηκέτι δύνηται προάγειν αὐτὸν ὁ ἐρωτῶ ν , οὕτως οὐ πρὸς τὸν λόγον· ὅταν γὰρ μὴ ἀναιρῆται μὲν ὁ λόγος ὑπὸ τῆς γινομένης ἐνστάσεως ἀληθὴς ὤν, μὴ δύνηται δὲ ὁ ἐρωτῶν λύειν τὴν ἔνστασιν, πρὸς τὸν ἐρωτῶντα λέγεται, ὡς εἴρηται πρὸ ὀλίγου. ἐὰν δὲ τῆς ἐνστάσεως γινομένης 〈ὡσ〉 ἐκ τῶν εἰλημμένων οὐ συνάγεται τὸ ἐπενεχθὲν μεῖζον 〈ὂν〉 τῶν δεικνύντων τὸν λόγον, μεταλαμβάνῃ τὰ εἰλημμένα εἰς τὰ ἰσοδυναμοῦντα ἢ ἀντιστροφαῖς τισι προτάσεων χρώμενος ἢ προστιθείς τινα πρότασιν καθόλου, οὕτως ἂν ἡ ἔνστασις πρὸς τὰ ἠρωτημένα εἴη γινομένη· οὕτω γὰρ τὰ ἠρωτημένα, ὡς τὴν ἀρχὴν ἐλαμβάνετο, οὐδὲν συνῆγε. τετάρτην ἔνστασίν φησιν εἶναι τὴν πρὸς τὸν χρόνον· ὅταν γὰρ 〈ᾖ〉 ἡ ἔνστασις πλείονος δεομένη χρόνου ἢ κατὰ τὴν παροῦσαν συνουσίαν, κωλύεται τὸ προκείμενον ὁ ἐρωτῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συμπεράνασθαι· δεῖ μὲν γὰρ πρῶτον λῦσαι τὴν ἔνστασιν· δεῖσθαι δὲ τὴν λύσιν μακροτέρου λόγου τοῦ χρόνου καθ' ὃν ἡ συνουσία γίνεται.

in Top.563 χειρίστην δέ φησιν εἶναι τὴν τοιαύτην τῶν ἐνστάσεων · κακοτεχνούντων γὰρ τὸ τὸν μὲν λόγον μηκύνειν ἐκκρούειν δὲ τὸ προκείμενον κατὰ τὴν εἰς χαλεπώτερον πρόβλημα μετάθεσιν. εἰπὼν δὲ τέσσαρα εἴδη ἐνστάσεως εἶναι, καθ' ἃ οἷόν τε κωλύεσθαι λόγον τινὰ συμπεραντικόν, μόνην τὴν ἔνστασίν φησι λύσιν εἶναι τοῦ ἐρωτωμένου λόγου τὴν πρώτην (αὕτη δὲ ἦν ἀναίρεσις τῆς παρ' ἣν γίνεται τὸ ψεῦδος), τὰς δὲ λοιπὰς τρεῖς κωλύσεις τινὰς καὶ ἐμποδισμοὺς τοῦ συμπεράσματο ς . p. 161a16 Ἐπιτίμησις δὲ λόγου κα τ ' αὐτόν τε τὸν λόγον καὶ ὅταν ἐρωτᾶται οὐ χ ' ἡ αὐτ ή . Ὅτι οὐχ ἡ αὐτὴ ἐπιτίμησις γίνεται λόγῳ κα θ ' αὑτόν τε ἐξεταζομένῳ καὶ ὅταν ὡς ἐν ἐρωτήσει γινόμενος εὐθύνηται. καθ' αὑτὸν μὲν γὰρ ἐξεταζόμενος ὁ λόγος ἐπιτιμᾶται, ἂν ἀσυλλόγιστος ᾖ, ἂν διὰ ψευδῶν δεικνύῃ, ἂν δι' ἀγνωστοτέρων, ὡς μικρὸν προελθὼν ἐρεῖ· λέγει γὰρ πέντε ἐπιτιμήσεις εἶναι τῶν καθ' αὑτὸ ἐξεταζομένων λόγων. οὐκ ἐπὶ τοῖς αὐτοῖς δὲ ἐπιτιμᾶται καὶ ὁ ἐρωτῶν καὶ ὁ ἀποκρινόμενος. τοῦ γὰρ μὴ καλῶς ἐρωτᾶν πολλάκις οὐχ ὁ ἐρωτῶν αἴτιος ἀλλ' ὁ ἀποκρινόμενος, ὅταν μὴ συγχωρῇ τοῖς τοιούτοις ἐξ ὧν ἔστι καλῶς ἐπιχειρῆσαι, τουτέστι διαλεκτικῶς, πρὸς τὴν θέσι ν . τὸ γὰρ καλῶς καὶ διαλεκτικῶς τὰς ἐπιχειρήσεις γίνεσθαι καὶ τὸν συλλογισμὸν οὐκ ἐπὶ τῷ ἐρωτῶντί ἐστι μόνῳ, ὥσπερ οὐδ' ἐπὶ τῷ ἀποκρινομένῳ μόνῳ, ἀλλ' ἐπ' ἀμφοτέροις· κοινὸς γὰρ ὁ διαλεκτικὸς συλλογισμὸς γίνεται ἀμφοτέρων· γυμνασίας 〈γὰρ〉 χάριν διαλέγονται.

in Top.564 διὸ δεῖ συντελεῖν εἰς αὐτὸν ἑκάτερον τὸ παρ' αὑτοῦ· συντελοῖεν δ' ἄν, ἐὰν ὁ μὲν ἐρωτῶν οὕτως ἐρωτᾷ ὡς προείρηται, ὁ δὲ ἀποκρινόμενος πάλιν οὕτως ἀποκρίνηται ὡς ὑπέθετο· διὰ τοῦτο γὰρ εἶπε δεῖν τὸν ἀποκρινόμενον συγχωρεῖν τοῖς ἐνδόξοις. ὅταν οὖν μὴ δεόντως ἀποκρίνηται, αὐτὸς παρέχει τὴν ἀνάγκην τοῦ μὴ διαλεκτικῶς ποιεῖσθαι τὰς ἐρωτήσεις πρὸς τὸ προκείμενον, ὡς τὰ ἀντικείμενα οἷς ἐρωτᾷ τε καὶ βούλεται λαβεῖν διδόναι. διὸ ἀναγκαῖόν ἐστι πρὸς τὸν λέγοντ α , τουτέστι πρὸς τὴν ἀπόκρισιν, ποιεῖσθαι τοὺς λόγους ἀλλὰ μὴ πρὸς τὴν θέσι ν . οὗ αὐτὸς πάλιν ἐξήγησιν ἐπενεγκὼν δυσκολαίνοντες οὖ ν , φησίν, ἀγωνιστικὰς καὶ οὐ διαλεκτικὰς ποιοῦνται τὰς διατριβάς · τὸ γὰρ ἀγωνιστικῶς διαλέγεσθαι καὶ ἐκ παντὸς πειρᾶσθαι τρόπου καὶ διὰ τῶν τυχόντων περιτρέπειν τὸν ἀποκρινόμενον οὐ πρὸς τὴν θέσιν ἐστὶν ἀλλὰ πρὸς τὸν ἀποκρινόμενον ποιεῖσθαι τοὺς λόγους. οὐκ αὐτὸς οὖν ἐπιτιμήσεως ἄξιος καίτοι κακῶς καὶ οὐ διαλεκτικῶς ἐρωτῶν, ἀλλ' ὁ τὴν αἰτίαν παρέχων τῆς τοιαύτης ἐκτροπῆς· ὁποῖός ἐστιν ὁ ἐν τῷ Πλάτωνος Γοργίᾳ Καλλικλῆς, μηδὲν μήτε τῶν ἀληθῶν μήτε τῶν ἐνδόξων συγχωρῶν. μίαν μὲν οὖν αἰτίαν ταύτην εἶπε τοῦ μὴ τὴν αὐτὴν ἐπιτίμησιν γίνεσθαι λόγου καθ' αὑτόν τε καὶ ἐρωτωμένου. προστίθησι δὲ τούτοις, ὅτι καθ' αὑτοὺς μὲν λόγοι ἐξεταζόμενοι, ἂν ὦσι ψευδεῖς, ***** οὐκέτι ἐπιτιμῶνται τῷ γυμνασίας χάριν ποιεῖσθαι τοὺς λόγους ἀλ λ ' οὐ διδασκαλία ς . ἐνταῦθα δῆλον ὅτι οὐ δεῖ τἀληθῆ μόνον συλλογίζεσθαι ἀλλὰ καὶ τὰ ψευδῆ. τούτου δ' αἴτιον, ὅτι πειρᾶται μὲν ὁ διαλεκτικὸς τὸ τιθέμενον δι' ἐνδόξων ἀνασκευάζειν· ὅταν οὖν ἀληθὲς ᾖ τὸ κείμενον, δῆλον ὅτι τὸ ἀντικείμενον αὐτοῦ πρόκειται δεῖξαι τῷ ἐπιχειροῦντι· διὸ ἀνάγκη ψευδεῖς εἶναι καὶ τὰς τοῦτο δεικνυούσας προτάσεις· οὐ γὰρ οἷόν τε ἐξ ἀληθῶν ψεῦδός τι δειχθῆναι· δεῖ οὖν τὰ ψευδῆ προτείνειν. ἐνίοτε δέ, κἂν ψευδής, φησίν, ἡ θέσις ᾖ, διὰ ψευδῶν ἀναιρετέον αὐτήν, ἂν ᾖ τῷ ἀποκρινομένῳ μᾶλλον δοκοῦντα τὰ ψευδῆ τῶν ἀληθῶν· ἐκ γὰρ τῶν ἐκείνῳ δοκούντων καὶ τῶν ὑπ' ἐκείνου τιθεμένων καὶ συγχωρουμένων προϊόντος τοῦ λόγου μᾶλλον ἔσται πεπεισμένο ς . p.

in Top.565 161a33 Δεῖ δὲ τὸν καλῶς μεταβιβάζοντα διαλεκτικῶς καὶ μὴ ἐριστικῶ ς . Ἢ ἀπὸ ἀληθῶν ἐπὶ ψεῦδος ἢ ἀπὸ ψευδῶν εἰς ἀληθὲς μεταφέροντά τινα λόγον, ὡς τὸ ἀντικείμενον δεῖξαι διὰ τοῦ ἀντικειμένου, δεῖ, φησί, τὸν 〈διαλεκτικὸν〉 διαλεκτικῶς δι' ἐνδόξων μὴ ἐριστικῶς παραλογιζόμενον δεῖξαι μηδὲ δι' ἐπιπολαίων τινῶν καὶ φαινομένων. ὡς γὰρ τὸν γεωμέτρην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ γεωμετρικῶν ἀρχῶν δεῖ τὰς δείξεις ποιεῖσθαι, οὕτω καὶ τὸν διαλεκτικὸν 〈διὰ〉 διαλεκτικῶν· αὗται δέ εἰσιν αἱ ἔνδοξοι, ἄν τε ἀληθὲς ἄν τε ψεῦδος ᾖ τὸ δεικνύμενον. p. 161a37 Ἐπεὶ δὲ φαῦλος κοινωνὸς ὁ ἐμποδίζων τὸ κοινὸν ἔργο ν . Οὕτω καὶ ἐν τοῖς διαλεγομένοις (οὗτοι δέ εἰσιν οἱ τοῦ γυμνάζεσθαι χάριν τὰς διὰ λόγων συνουσίας ποιούμενοι) ** κοινὸν ἔργον, ἄν τε ὁ ἐρωτῶν ἄν τε ὁ ἀποκρινόμενος τοῦτο ποιῇ, παραβαίνων τὸν τοῦ διαλεκτικοῦ σκοπὸν ἐπιτιμήσεώς ἐστιν ἄξιος. εἰπὼν δὲ καὶ ἐν τῷ λόγῳ καὶ ἐν τοῖς διαλόγοις κοινόν τι ἔργον προκεῖσθαι, [καὶ γὰρ ἐν τῷ διαλέγεσθαι] προσέθηκε πλὴν τῶν ἀγωνιζομένω ν . διότι δὲ τούτοις κοινόν τι ἔργον οὐ πρόκειται, ἐδήλωσεν· ἀμφότεροι γὰρ οἱ ἀγωνιστικῶς διαλεγόμενοι ἐφίενται φαινομένης νίκης· ἀδύνατον δὲ ἐν τῷ αὐτῷ λόγῳ ἅμα τοὺς ἀντιλέγοντας ἀλλήλους νικᾶν· πλείους γὰρ ἑνὸς ἀδύνατο ν . διαφέρει δὲ οὐδὲν τὸν ἐρωτῶντα ἢ τὸν ἀποκρινόμενον εἶναι τὸν ἐμποδίζοντα τὸ κοινὸν ἔργον · ἑκάτερος γὰρ αὐτῶν ἐριστικῶς ποιεῖται τὴν συνουσίαν· καὶ γὰρ ὁ ἐρωτῶν ἐριστικῶς ἐρωτᾷ, καὶ ὁ ἀποκρινόμενος οὐ δίδωσι τὸ φαινόμενον ἔνδοξον, οὐδὲ καθ' ὃ ὁ ἐρωτῶν τὴν ἐρώτησιν ποιεῖ, ἐκλαμβάνει ἀλλὰ πάλιν μετάγει ὥστε δῆλον ἐκ τῶν εἰρημένων ὅτι μὴ ὁμοία ἡ ἐπιτίμησις λόγου κα θ ' αὑτόν τε καὶ ἐν ἐρωτήσει· οὐδὲν γὰρ κωλύει τὸν μὲν λόγον φαῦλον εἶναι ἐξεταζόμενον καθ' αὑτόν, τὸν μέντοι ἐρωτῶντα αὐτὸν ὡς ἐνδέχεται βέλτιστα διειλέχθαι πρὸς τὸν ἀποκρινόμενο ν , εἰ εἴη δυσκολαίνων καὶ μὴ ποιούμενος κατὰ δόξαν τὰς ἀποκρίσεις.

in Top.566 [ἄλλως. Οὐδὲν γὰρ κωλύει τὸν μὲν συλλογισμὸν φαῦλον εἶναι αὐτὸν καθ' αὑτὸν διὰ τὸ ἐξ ἀδόξων προτάσεων συλλογισθῆναι, τὸν δὲ ἐρωτῶντα καλῶς καὶ ἀμεταπτώτως πρὸς τὸν ἀποκρινόμενον διαλεχθῆναι· οὐ γὰρ συνεχώρει αὐτῷ ὁ ἀποκρινόμενος ἐνδόξους προτάσεις ἀλλὰ ἀδόξους. ὥστε οὐ μεμπτέος, εἰ ἐξ ὧν συνεχωρεῖτο, ἐποιεῖτο καὶ τὸν συλλογισμόν· ἀδύνατον γὰρ ἦν ἄλλως συλλογίσασθαι πρὸς τοὺς δυσκολαίνοντας καὶ μὴ καλῶς ἀποκρινομένους. πρὸς γὰρ τοὺς τοιούτους οὐ δυνατὸν τὸν ἐρωτῶντα ποιεῖν συλλογισμοὺς οἵους βούλεται, ἀλλ' οἵους ἐνδέχεται· ἐκεῖνος γὰρ ἂν βούλοιτο μὲν ἔνδοξον ποιῆσαι συλλογισμόν, τοῦ δὲ μὴ συγχωροῦντος τὰ ἔνδοξα ἀνάγκη συλλογίσασθαι αὐτὸν ὡς ἐνδέχεται καὶ ἐξ ὧν κρατήσει. οὕτως δὲ ποιῶν οὐ μεμπτέος ἂν εἴη]. p. 161b11 Ἐπεὶ δέ ἐστιν ἀδιόριστον πότε τὰ ἐναντία λαμβάνουσ ι . Λέγει γίνεσθαι καὶ ἐν τῷ διαλέγεσθαι καθ' αὑτὸ ἁμαρτίας ἐν λόγοις καὶ παρὰ τὴν ἄγνοιαν καὶ ὅτι οὐ διώρισται πότε τὰ ἀντικείμενα καὶ πότε τὰ ἐν ἀρχῇ λαμβάνουσι · διὰ γὰρ τὸ ἀγνοεῖν τοῦτο πολλάκις ἐν τοῖς λόγοις ἁμαρτάνουσι. καὶ ταῦτα συμβαίνει καὶ ἐφ' ἑαυτῶν λέγοντας καὶ ἀποκρινομένους· ὁ γὰρ λέγων πάντα εἶναι καθ' εἱμαρμένην καὶ εἶναί τινα ἐνδεχόμενα καὶ ἐφ' ἡμῖν τὰ ἀντικείμενα αὑτῷ λέγων λανθάνει. ἀλλὰ καὶ ὁ ἄπειρον λέγων ὑπὸ ἀπείρου περιέχεσθαι τὰ ἀντικείμενα ἑαυτῷ λέγων ἀγνοεῖ· τὸ γὰρ αὐτὸ ἄπειρον καὶ πεπερασμένον λέγει. ἀλλὰ καὶ ὁ ἀδιαφόρως περαίνων ἀσυλλογίστως λέγων τὸ ἐν ἀρχῇ λαμβάνει· ἀξιοῖ γὰρ ὃ συνάγει, τοῦτο λαμβάνειν. παρὰ δὴ τὴν ἄγνοιαν τούτων συμβαίνει καὶ ἐν τῷ διαλέγεσθαί τινα ἁμαρτίαν. θέμενος γὰρ ἀγαθὸν εἶναι τὸν πλοῦτον, ἂν οὕτω τύχῃ, ἐρωτηθείς, εἰ ᾧ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι, τοῦτο οὐκ ἔστιν ἀγαθόν, συγχωρεῖ. ἢ τοῦτο οὐ συγχωρεῖ, ἀλλ' ἀνανεύσας συνεχώρησε τὸ ἀγαθὸν ἀγαθὸν ποιεῖν, ὅ ἐστιν ἐναντίον τῇ θέσει. φαῦλοι δὲ λόγοι καὶ παρὰ τὸ μὴ διωρίσθαι τὰ τοιαῦτα γίνονται.

in Top.567 πολλάκις δὲ καὶ τῆς τοιαύτης κατὰ τοὺς λόγους ἁμαρτίας αἴτιος ὁ ἀποκρινόμενος, τοῖς μὲν 〈μὴ〉 οὕτως ἐρωτωμένοις οὐ συγχωρῶν, τοῖς δ' ἤτοι ἀντικείμενα τῷ κειμένῳ λαμβάνουσιν ἢ τὸ ἐν ἀρχῇ αἰτουμένοις εὐθὺς συγχωρῶν. διὸ οὐκ ἂν αἰτίαν ἐν τοῖς τοιούτοις ἔχοι ὁ ἐρωτῶν ὡς ἐρωτῶν τοιαῦτα. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅτι μὴ ὁμοία ἡ ἐπιτίμησις τοῖς τε λόγοις καὶ τοῖς ἐρωτῶσι ν . p. 161b19 Κα θ ' αὑτὸν δὲ τῷ λόγῳ πέντε εἰσὶν ἐπιτιμήσει ς . Δείξας ὅτι μὴ αἱ αὐταὶ ἐπιτιμήσεις καθ' αὑτόν τε ἐξεταζομένῳ λόγῳ καὶ ἐρωτωμένῳ, νῦν, πόσαι καὶ ἐπὶ τίσιν αἱ καθ' αὑτὸν ἐπιτιμήσεις λόγῳ γίνονται, λέγει. πέντε δέ φησιν εἶναι, ὧν πρώτη, ὅταν ἐκ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἠρωτημένων μηδὲν συμπεραίνητα ι , μήτε τὸ προκείμενον μήτε ἄλλο τι, τουτέστιν ἂν ἀσυλλόγιστα ᾖ, καὶ ἔτι ψευδεῖς ὦσιν αἱ κείμεναι προτάσεις ἢ ἄδοξοι, πᾶσαι ἢ τινὲς αὐτῶν, ἐφ' αἷς ἐπιφέρεται τὸ συμπέρασμα, πρὸς δὲ τούτοις μή τ ' ἀφαιρεθέντων τινῶν μήτε προστεθέντων συνάγηται τὸ συμπέρασμα· τὸ γὰρ ψευδεῖς καὶ ἀδόξους λαμβάνοντα προτάσεις μηδὲν συνάγειν παντάπασιν ἄτοπον. τοιοῦτον ἐν τῇ Φυσικῇ ἀκροάσει ἔδειξε λόγον ὄντα καὶ τὸν Μελίσσου καὶ τὸν Παρμενίδου· "καὶ γὰρ ψευδῆ λαμβάνουσι καὶ εἰσὶν ἀσυλλόγιστοι". τοιοῦτος γὰρ ὁ λέγων 'τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν'· οὐ γὰρ τοῦτο συνάγεται. οὗτος μὲν 〈οὖν〉 οὐ δοκεῖ τὸ προκείμενον συνάγειν, ἀλλ' ἄλλο τι συνάγει συλλογιστικῶς· τὸ γὰρ 'παρὰ τὸ ὂν οὐδέν'. ὁ δὲ λέγων 'εἰ τὸ γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ γενόμενον οὐκ ἔχει· ἀλλὰ μὴν τὸ γενόμενον ἀρχὴν ἔχει' οὔτε τὸ προκείμενον οὔτε ἄλλο τι συλλογίζεται πρὸς τῷ καὶ τὰ λαμβανόμενα ψευδῆ τε καὶ ἄδοξα λαμβάνειν· διὸ εἶπεν ἐπ' αὐτοῦ ἐν τῇ Φυσικῇ "μᾶλλον δὲ ὁ Μελίσσου φορτικός". ὅταν οὖν, φησί, μήτε λαμβανομένων ἅ ἐστιν ἰσοδύναμα τοῖς κειμένοις, μήτε προστιθεμένων τινῶν μήτε ἀφαιρουμένω ν , μήτε τῶν μὲν ἀφαιρουμένων τῶν δὲ προστεθέντω ν , δύνηται συνάγεσθαι συλλογιστικῶς, ὑπὸ τὴν προειρημένην ἐπιτίμησιν ὁ λόγος ἂν εἴη.

in Top.568 ταῦτα δὲ προστέθεικε τὴν κυρίως ἀσυλλόγιστον συμπλοκὴν λαμβάνων καὶ μηδὲ βοηθείας τινὸς τυχεῖν δυναμένην πρὸς τὸ δοκεῖν μὴ εἶναι ἀσυλλόγιστον· ὁποῖός ἐστιν ὁ Μελίσσου λόγος ὁ προειρημένος. δευτέραν τίθησιν ἐπιτίμησιν, εἰ αἱ μὲν προτάσεις συλλογιστικῶς κείμεναι εἶεν καὶ ὁ λόγος εἴη συλλογιζόμενός τι, μὴ μέντοι τὸ προκείμενον, ἐκ τοιούτων τε καὶ οὕτως ὡς εἴρηται πρότερο ν , τουτέστιν ἢ ψευδῶν ἢ ἀδόξων ἐν τῇ πρώτῃ ἐπιτιμήσει. καὶ εἴη ἂν μετὰ τὴν πρώτην ἐπιτίμησιν, ἥτις ἐγένετο ἐπὶ τῷ πάντα ἡμαρτημένως ἔχοντι λόγῳ, δευτέρα ἡ ἐπὶ συλλογιζομένῳ μὲν οὔτε δὲ τὸ προκείμενον οὔτε δι' ἀληθῶν τε καὶ ἐνδόξων. τοιοῦτος ἂν εἴη ὁ Παρμενίδου λόγος, δεικνὺς μέν τι καὶ συνάγων, ἀλλ' οὐ τὸ προκείμενον, καὶ ἔτι διὰ ψευδῶν. τρίτη ἐπιτίμησις, εἰ προστιθεμένου τινὸς συνάγοιτο τὸ προκείμενον συλλογιστικῶς, τὸ μέντοι προστιθέμενον χεῖρόν τε εἴη τῶν κειμένων καὶ ἠρωτημένων καὶ ἧττον ἔνδοξον τοῦ συμπεράσματο ς . δεῖ γὰρ τὰ γνωριμώτερα ἐν τοῖς λόγοις παραλείπεσθαι· ὅταν οὖν τὸ παραλειπόμενον ἀγνωστότερόν τε τῶν κειμένων καὶ ἀδοξότερον τοῦ συμπεράσματος, ἐπιτιμήσεως ὁ λόγος ἄξιος. τετάρτη ἐπιτίμησις, ἂν ἀφαιρουμένου ἀπὸ τοῦ λόγου ἐκ τῶν λειπομένων συνάγηται συλλογιστικῶς· ὡς ἔχουσιν οἱ παρέλκοντες λόγοι. εἰ γὰρ δεῖ τὸ συναγόμενον κατὰ συλλογισμὸν τῷ ταῦτα εἶναι συνάγεσθαι, ἐν οἷς λόγοις ἀφαιρεθέντων τινῶν τὰ αὐτὰ συνάγεται, δῆλον ὅτι οὐ τῷ τὰ εἰλημμένα εἶναι τὸ συμπέρασμα. πέμπτην ἐπιτίμησίν φησιν εἶναι, εἰ ἐξ ἀδοξοτέρων καὶ ἧττον πιστῶν τοῦ συμπεράσματος ὁ λόγος εἴη ἢ ἐξ ἀληθῶν μὲν χαλεπωτέρων δὲ δειχθῆναι τοῦ προβλήματο ς . ὑφ' ἕνα δὲ τρόπον ἐπιτιμήσεως ἀμφότερα τὰ προειρημένα ἔταξεν, ἐπειδὴ ἐν ἀμφοτέροις, τῷ τε ἀδοξότερα τὰ λαμβανόμενα εἶναι καὶ τῷ χαλεπώτερα δειχθῆναι, ἕν ἐστι τὸ ἁμαρτανόμενον, τὸ ἧττον εἶναι πιστὰ τὰ λαμβανόμενα τοῦ συμπεράσματος. ἀδοξότερα μὲν οὖν τὰ λαμβανόμενα ἐν τῷ λόγῳ 'εἰσίν, εἰ βωμοί εἰσι, θεοί'· πλείονος δὲ λόγου δεόμενα, εἴ τις δεικνύει τὴν ψυχὴν ἀθάνατον διὰ τὸ κίνησιν αὐτὴν αὐτοκίνητον εἶναι· τό τε γὰρ τὴν ψυχὴν κίνησιν δεῖξαι χαλεπόν, τό τε κίνησιν οὖσαν κινεῖσθαι χαλεπώτερον.

in Top.569 Ἑρμῖνος μέντοι τὴν ἀπὸ τῆς προσθέσεως καὶ τῆς ἀφαιρέσεως ἐπιτίμησιν μίαν φησὶν εἶναι, τὴν δ' ἀπὸ τοῦ δι' ἀδοξοτέρων ἢ δι' ἀληθῶν πλείονος δεομένων λόγου εἰς δύο ἐπιτιμήσεις διαιρεῖ. τοῦτο δὲ ποιῶν ποιεῖ καὶ τὴν δευτέραν ἐπιτίμησιν τὴν αὐτὴν τῇ τετάρτῃ. ἢ δὶς παραλαμβανόμενον τὸ ἐξ ἀδοξοτέρων · καὶ γὰρ ἡ δευτέρα τοῦτο εἶχεν, εἰ καὶ μὴ τὸ προκείμενον συλλογίζεται ἀλλ' ἄλλο τι. p. 161b34 Οὐ δεῖ δὲ πάντων τῶν προβλημάτων ὁμοίως ἀξιοῦν τοὺς συλλογισμού ς . Τὸν διαλεκτικὸν συλλογισμὸν δι' ἐνδόξων προτάσεων ἀξιῶν

γίνεσθαι, νῦν φησιν οὐ πάντων τῶν προβλημάτων ὁμοίως ἐνδόξους εἶναι τὰς προτάσεις· οὐ γὰρ οἷόν τε τοῦτο, ὅτι μηδὲ τὰ προβλήματα πάντα ὅμοια, ἀλλ' ἔστιν αὐτῶν τὰ μὲν φύσει ῥᾴω καὶ εὐεπιχείρητα, τὰ δὲ χαλεπώτερα καὶ οὐκ εὔπορα πρὸς ἐπιχείρησιν. ἐχόντων δὲ τῶν προβλημάτων ταύτην τὴν διαφορὰν ἀδύνατον πάντα ὁμοίως δι' ἐνδόξων δείκνυσθαι προτάσεων, ἀλλ' ἱκανὸν τὸ καθ' ἕκαστον πρόβλημα, ὃ ἐνδέχεται ἔνδοξον ληφθῆναι, τούτου εὐπορῆσαι· οὐδὲν γὰρ ἧττον διαλεκτικῶς ἔσται δεδειγμένα τῶν διὰ σφόδρα ἐνδόξων δεδειγμένων τὰ δι' ἧττον τοιούτων δεικνύμενα, ὅταν μὴ 〈ᾖ〉 οἷόν τε τὸ πρόβλημα δι' ἐνδοξοτέρων δειχθῆναι. p. 161b38 Φανερὸν οὖν ὅτι οὐδὲ λόγῳ ἡ αὐτὴ ἐπιτίμησις πρός τε τὸ προβληθὲν καὶ κα θ ' αὑτό ν . Φανερόν φησι καὶ διὰ τούτου γενέσθαι τὸ μὴ τὴν αὐτὴν ἐπιτίμησιν λόγῳ γίνεσθαι καθ' αὑτόν τε ἐξεταζομένῳ καὶ εἰ πρὸς τὸ πρόβλημα ἐξετάζοιτο πρὸς ὃ γίνεται. ψεκτὸς γάρ τις δοκῶν εἶναι καθ' αὑτόν, ὡς πρὸς τὸ πρόβλημα ἐξεταζόμενος ὁ τοιοῦτος οὐ δόξει ψεκτὸς εἶναι· καὶ ἔμπαλιν οὐκ ὢν ψεκτός, εἰ πρὸς τὸ πρόβλημά τις αὐτὸν ἐξετάζοι, ψεκτὸς ἂν εἴη.

in Top.570 καθ' αὑτὸν γὰρ ψεκτός τις ὢν λόγος, διὰ γνωριμωτέρων ἢ δι' ἐνδοξοτέρων συλλογιζόμενος οὐ δόξει πρὸς τὸ πρόβλημα ἐξεταζόμενος ψεκτὸς εἶναι καὶ ἐπιτιμήσεως ἄξιος τῷ διὰ πλειόνων καὶ ἐνδοξοτέρων δειχθῆναι. ὁ γὰρ ἀναιρῶν τὸ τὰ πάντα καθ' εἱμαρμένην γίνεσθαι καὶ λόγον διὰ τὸ μάτην εἶναι τούς τε ἐπαίνους καὶ τοὺς ψόγους καθ' αὑτὸν μὲν ἐξεταζόμενος οὐκ ἂν ἄξιος ἐπιτιμήσεως φαίνοιτο. εἰ δέ τις αὐτὸν ἐξετάζοι πρὸς τὸ πρόβλημα, ἐνδεεστέρως ἂν ἔχειν δοκοῖ τῷ διὰ πλειόνων καὶ ἐνδοξοτέρων δύνασθαι τὸ προκείμενον δείκνυσθαι· διὰ γὰρ τοῦ ἀναιρεῖσθαι πᾶν τὸ ἐνδεχόμενον, ἀλλὰ καὶ τὸ ἐφ' ἡμῖν· οὕτω δὲ καὶ τὸ μὴ εἶναι τὴν ἀρετὴν καὶ τὴν κακίαν ἐφ' ἡμῖν ἀναιρεῖται, ὡς μάτην εἶναι καὶ τὸ βουλεύεσθαι. p. 162a3 Εἴη δ ' ἄν ποτε λόγος καὶ συμπεπερασμένος μὴ συμπεπερασμένου χείρω ν . Καὶ τοῦτο δεικτικὸν τοῦ μὴ τὴν αὐτὴν ἐπιτίμησιν εἶναι καθ' αὑτόν τε τῷ λόγῳ καὶ πρὸς τὸ πρόβλημα ἐξεταζομένῳ. καθ' αὑτὸν μὲν γὰρ χείρων ἐστὶν ὁ λόγος ὁ μὴ διὰ τῶν κειμένων συμπεραινόμενος τὸ προκείμενον τοῦ διὰ τῶν λαμβανομένων συλλογιστικῶς τι δεικνύοντος. εἰ δὲ πρὸς τὸ πρόβλημα ἐξετάζοιτο, φανείη ἄν ποτε ὁ λόγος ὁ μὴ συμπεραινόμενος τοῦ συμπεραινομένου καλλίων· ὅταν γὰρ ὁ μὲν συμπεραινόμενος δι' αἰτήσεών τινων συμπεραίνηται εὐήθων, τοῦ προβλήματος μὴ ὄντος εὐήθους καὶ μὴ δυναμένου δι' εὐήθων δείκνυσθαι, ὁ δὲ μὴ συμπεραινόμενος προσδέηται μὲν προτάσεώς τινος ἀλλ' ἐξ ἀνάγκης τοῖς κειμένοις ἑπομένης καὶ ἐναργοῦς, ἡ δὲ ἰσχὺς τοῦ λόγου ἐν τῇ εἰλημμένῃ 〈ᾖ〉 ἀλλὰ μὴ ἐν τῇ λειπούσῃ. p. 162a8 Τοῖς δὲ διὰ ψευδῶν ἀληθὲς συμπεραινομένοις οὐ δίκαιον ἐπιτιμᾶ ν . Γράφεται καὶ δίκαιον καὶ οὐ δίκαιο ν . καὶ τὰ προστιθέμενα ἔοικε μᾶλλον ἀκόλουθα εἶναι τῷ οὐ δίκαιο ν . ἐπεὶ γάρ, ὡς δέδεικται ἐν τοῖς Ἀναλυτικοῖς, ἔστιν οὐ μόνον δι' ἀληθῶν ἀλλὰ καὶ διὰ ψευδῶν συλλογίσασθαι, ὅταν τὰ ψευδῆ, δι' ὧν τις ἀληθῆ δεικνύει, ἔνδοξα καὶ εὐπαρακολούθητα ᾖ μᾶλλον τῶν ἀληθῶν, οὐ δίκαιον ἐπιτιμᾶν τοῖς διαλεκτικῶς δεικνύουσι τὸ προκείμενον.

in Top.571 ἐὰν δὲ ᾖ δίκαιον ἐπιτιμᾶ ν , λέγοι ἂν ὅτι ἄξιον ἐπιτιμᾶν τούτοις, οἷς ἐνὸν δι' ἀληθῶν τὸ προκείμενον δεικνύειν αἱροῦνται μᾶλλον διὰ ψευδῶν. p. 162a12 Ὅταν δὲ ἀπόδειξις ᾖ τινος ὁ εἰρημένος λόγο ς , εἴ τί ἐστιν ἄλλο πρὸς τὸ συμπέρασμα μηδαμῶς ἔχο ν . Ὅταν ὁ λεγόμενος συλλογισμὸς ἀπόδειξις ᾖ τινο ς , τουτέστιν ἐξ ἀληθῶν καὶ οἰκείων τοῦ δεικνυμένου δεικνύῃ αὐτό, πρὸς μέν τι ἄλλο οἰκεῖον τῷ γενομένῳ συμπεράσματι συντελοῖ ἂν ὁ τοιοῦτος συλλογισμός. εἰ γὰρ εἴη τὸ γινόμενον ἐπ' αὐτῷ συμπέρασμα συντελοῦν εἰς ἄλλου τινὸς ἀπόδειξιν, εἴη ἂν πρὸς τὸ διὰ τοῦ συμπεράσματος αὐτοῦ δεικνύμενον συντελῶν καὶ ὁ λόγος, ὃς ἦν ἀπόδειξις τῆς συντελούσης εἰς τὸν δεύτερον γινόμενον λόγον προτάσεως· τοιοῦτοι γὰρ οἱ προσυλλογισμοί. ἐὰν δὲ φαίνηταί τι συντελῶν, σόφισμα ἔσται καὶ οὐκ ἀπόδειξις · εἰ γάρ τι εἴη μηδεμίαν οἰκειότητα ἔχον πρὸς τὸ τῆς ἀποδείξεως συμπέρασμα, οὐκ ἔσται πρὸς ἐκεῖνο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συντελῶν ὁ εἰρημένος συλλογισμός. p. 162a19 Εἰ δ ’ ἐξ ἀμφοτέρων τι δοκούντων δειχθεί η , μὴ ὁμοίως δὲ δοκούντω ν . Εἰ μὲν μὴ εἶεν ἀμφότεραι αἱ προτάσεις δοκοῦσαι, τουτέστιν ἔνδοξοι, ἀλλ’ ἡ μὲν μᾶλλον ἡ δὲ ἧττον, οὐδὲν κωλύει τὸ δι’ αὐτῶν δεικνύμενον συμπέρασμα ἀμφοτέρων τῶν προτάσεων ἐνδοξότερον εἶναι· οὐ γὰρ κεκώλυται μὴ σφόδρα ἐνδόξων οὐσῶν τῶν προτάσεων τὸ συμπέρασμα σφόδρα ἔνδοξον εἶναι. εἰ μέντοι ἡ μὲν ἔνδοξος εἴη τῶν προτάσεων, ἡ δὲ μήτ’ ἔνδοξος μήτ’ ἄδοξος, ἢ ἡ μὲν ἔνδοξος ἡ δὲ ἄδοξος, εἰ μὲν ὁμοίω ς , καὶ τὸ συμπέρασμα ἀμφοτέρων μεθέξει ὁμοίως, εἰ δὲ τῶν προτάσεων ἡ ἑτέρα μᾶλλον εἴη ἢ ἔνδοξος ἢ ἄδοξος, τῇ τὸ μᾶλλον ἐχούσῃ καὶ τὸ συμπέρασμα ἀκολουθήσει.

in Top.572 p. 162a24 Ἔστι δέ τις καὶ αὕτη περὶ τοὺς λόγους ἁμαρτί α . Ἁμαρτίαν φησὶν ἐν συλλογισμῷ γίνεσθαι παρὰ τὸ διὰ πλειόνων δείκνυσθαι ἐνὸν δ ι ’ ἐλαττόνων καὶ ἐνυπαρχόντων τοῖς πλείοσι τοῖς εἰς δεῖξιν εἰλημμένοις, δῆλον ὅτι τὰ τοῖς δεικνύουσι τὸ προκείμενον προσκείμενα ἐκ περισσοῦ πρόσκειται. ποιεῖ δὲ τὸ λεγόμενον φανερὸν διὰ παραδείγματος. ἔστω γὰρ συλλογίσασθαι ὅτι ἔστι δόξα μᾶλλον ἑτέρα ἑτέρας · προσεχῶς μὲν οὖν ἔστι τοῦτο συλλογίσασθαι λαβόντα ‘ἐν πᾶσιν, ἐν οἷς ἐστι τὸ μέν τι αὐτό, τὸ δὲ μὴ αὐτό, ἐν τούτοις τὸ μᾶλλόν ἐστι καὶ τὸ ἧττον· ἔστι δ’ ἐν δόξῃ τὸ μέν τι αὐτό, τὸ δὲ μὴ αὐτό‘. [καὶ ἐδήλουν τὸν ἄνθρωπον λέγοντες.] ἂν δέ τις ἐνὸν δι’ ὀλίγων δεῖξαι τὸ προκείμενον διὰ πολλῶν αὐτὸ δεικνύῃ, λαμβάνων ἐν τοῖς πλείοσι καὶ αὐτὰ ταῦτα δι’ ὧν μόνων ἐνῆν δεῖξαι τὸ προκείμενον, ἁμαρτάνοι ἄν. οἷον εἰ πρῶτον μὲν αἰτήσαιτο ἐν οἷς τὸ αὐτὸ καὶ μή, καὶ τὸ μάλιστα εἶναι, καὶ πρὸς τούτοις λαμβάνοι τὸ δοξαστὸν εἶναί τι αὐτό, τὸ δ’ ἀληθὲς τῷ αὐτοδοξαστῷ προσθείη, δῆλον τὸ κυρίως ὄν· τὸ γὰρ κυρίως μᾶλλον ὄν· ἐξ ὧν συνάγει ὅτι καὶ τὸ αὐτοδοξαστὸν μᾶλλον δοξαστὸν τῶν τινῶ ν , ἃ δῆλον ὅτι οὐκ ἔχει τὸ αὐτό· ἔχων δὲ κείμενον μᾶλλον ἄλλο ἄλλου δοξαστὸν εἶναι, εἰ προσλάβοι πᾶν τὸ πρὸς τὸ μᾶλλον λεγόμενον μᾶλλον εἶνα ι , ὃ ἴσον ἐστὶ τῷ τῶν πρὸς ἄλληλα λεγομένων τὸ πρὸς τὸ μᾶλλον τοιοῦτον λεγόμενον καὶ αὐτὸ μᾶλλον τοιοῦτον· οἷον εἰ ἐπιστήμη πρὸς ἐπιστητόν, καὶ ἡ τοῦ μᾶλλον ἐπιστητοῦ μᾶλλον ἐπιστήμη· οὕτω καὶ ἐπὶ αἰσθήσεως· ἐπεὶ τοίνυν καὶ ἡ δόξα δοξαστοῦ ἐστι, καὶ ἡ τοῦ μᾶλλον δοξαστοῦ ἔσται μᾶλλον δόξα· ἔσται ἄρα μᾶλλον δόξα αὐτοαληθής, ἥ ἐστι μᾶλλον ἀκριβὴς τῶν τινῶ ν , ὥσπερ ἦν καὶ ἐπὶ τῶν δοξαστῶν.

in Top.573 ὁ δὴ ταῦτα εἰς τὴν τοῦ προκειμένου δεῖξιν λαμβάνων ἔχει ἐν αὐτοῖς ᾐτημένον καὶ κείμενον τό τε εἶναί τινα δόξαν αὐτοαληθῆ· τὸ γὰρ ᾔτηται δὲ καὶ αὐτοδόξαν ἀληθῆ εἶναι τοῦτο σημαίνει, τὸ εἶναί τινα καὶ αὐτοδόξαν· ἀλλὰ καὶ τοῦτο εἴληφε, τὸ μάλιστα εἶναι ἕκαστον ὃ λέγεται αὐτό· ἐξ ὧν τὸ προκείμενον συνάγεται τὸ εἶναί τινα δόξαν ἀκριβεστέραν, τουτέστι μᾶλλον τῶν ἄλλων. ἡ γὰρ ἀκριβεστέρα δόξα μᾶλλον τῶν ἄλλων δόξα· ἐν ᾧ γὰρ τὸ αὐτό, ἐν τούτῳ 〈τὸ〉 μάλιστα καὶ ἀκριβέστατον· ἐν δὲ δόξῃ τὸ αὐτό· ἐν δόξῃ ἄρα τὸ μάλιστα καὶ ἀκριβέστατον. [ἄλλως. Ὅτι ἔστι τις δόξα μᾶλλον 〈ἑτέρα〉 ἑτέρα ς . τοῦτο γοῦν ἔσται δι’ ὀλίγων δεῖξαι οὕτως· ἔστι δόξα κυρίως καὶ οὐ κυρίως· πᾶν δὲ τὸ κυρίως καὶ οὐ κυρίως ἐστὶ μᾶλλον καὶ ἧττον. εἰ δέ τις αἰτήσειε καὶ λάβοι πλείους προτάσεις, εἶτα συλλογίσαιτο, οὕτως· εἰ τὸ ἕκαστον δοξαστόν ἐστι, τὸ αὐτοέκαστον μᾶλλον δοξαστόν ἐστι καὶ αὐτοαληθῶς δοξαστόν, ἤτοι αὐτοδοξαστόν· ὥστε τῶν τινῶν ἑκάστων τὸ αὐτοέκαστον αὐτοδοξαστόν, ἤτοι μᾶλλον δοξαστόν· ὥστε καὶ ἡ αὐτοδόξα μᾶλλον ἔσται ἀκριβὴς τῶν τινῶν δοξῶν.] Τίς δ’ ἡ ἁμαρτία τῶν οὕτω δεικνύντων καὶ τίς ἡ τῶν τοιούτων λόγων μοχθηρί α , προστίθησι· ποιοῦσι γὰρ διὰ τὰ ἔξωθεν καὶ ἐκ περισσοῦ προστιθέμενα λανθάνειν τὰ τοῦ συμπεράσματος αἴτια. p. 162a35 Λόγος δέ ἐστι δῆλος ἕνα μὲν τρόπον καὶ δημοσιώτατο ν . Δῆλον λόγον λέγει τὸν φανερόν τε καὶ ἀληθῆ. λέγει δὲ τοῦτον γίνεσθαι τριχῶς. καθ’ ἕνα μὲν τρόπον φανερώτατον καὶ πᾶσι γνώριμον, ἐὰν ἐκ τοιούτων προτάσεων συμπεραινόμενον ᾖ τὸ προκείμενον, ὥστε μὴ δεῖν ἐπερωτῆσαι περὶ μηδενὸς τῶν εἰλημμένων διὰ τὸ γνώριμον καὶ σαφὲς αὐτῶν. τοιοῦτος δ’ ἂν εἴη ὁ ἐκ τῶν γνωρίμων τε καὶ

ἐνδόξων καὶ ἀμέσων καὶ μὴ δεομένων δείξεως συνάγων τὸ προκείμενον· οἷον ὡς τὸ 'πᾶς ἄνθρωπος ζῷον πεζόν, πᾶν ζῷον πεζὸν ζῷον'. κατὰ δεύτερον δὲ ὁ τρόπος συνήθης ἐστί· τὸ αὐτὸ γὰρ τῷ ὡς μάλιστα λέγετα ι .

in Top.574 ὀλίγοι γάρ εἰσιν οἱ ἐξ ἀναποδείκτων προτάσεων λαμβανόμενοι, πολλοὶ δὲ καὶ συνήθεις οἱ λαμβάνοντες μὲν προτάσεις τὰς προσεχῶς δεικνυούσας τὸ προκείμενον, ἔχοντες μέντοι τὰς προτάσεις ἄλλων λόγων συμπεράσματα, τουτέστι προσυλλελογισμένας καὶ διὰ τοῦτο φανεράς. ὡς γὰρ ἐν ταῖς ἀποδείξεσι πρώτη μὲν καὶ κυριωτάτη ἡ ἐξ ἀμέσων καὶ πρώτων, δευτέρα δὲ ἡ διὰ τοιούτων ἃ δι' ἀμέσων δείκνυται, οὕτω καὶ ἐπὶ τῶν φανερῶν λόγων μάλιστα μὲν φανερὸς ὁ διὰ γνωρίμων καὶ μὴ δεομένων δείξεως, δεύτερος δὲ ὁ διὰ δεδειγμένων [καὶ] διὰ τοιούτων γνώριμος. τρίτον δὲ τρόπον τοῦ δήλου λέγει, εἰ ἐλλείπει μὲν καὶ μὴ εἴη πάντα εἰλημμένα τὰ ἐφ' οἷς τὸ συμπέρασμα, εἴη δὲ τὸ λεῖπον σφόδρα ἔνδοξόν τε καὶ γνώριμον. τοιοῦτος καὶ ὁ δοκῶν μονολήμματος 'ἀναπνεῖς, ζῇς ἄρα'· γνώριμον γὰρ τὸ παραλελειμμένον τὸ 'πᾶν ἀναπνέον ζῇ'. τοιαῦτά ἐστι καὶ τὰ ἐνθυμήματα· 'οὗτοι κολάσεως ἄξιοι· ἱερόσυλοι γάρ'· παρεῖται γὰρ τὸ τοὺς ἱεροσύλους ἀξίους εἶναι κολάσεως. p. 162b3 Ψευδὴς δὲ λόγος καλεῖται τετραχῶ ς . Ὅτι κατὰ τέσσαρας τρόπους ψευδὴς γίνεται λόγος, καθ' ἕνα μὲν καὶ πρῶτον, ἂν φαίνηται μὲν συνάγων τὸ προκείμενον, μὴ συνάγῃ δὲ ἀλλ' ᾖ ἀσυλλόγιστος, ὅν φησιν ἐριστικὸν εἶναι· ἔστι γὰρ ἐκ φαινομένων ἐνδόξων μὴ ὄντων δέ. ἕνα δὲ [τὸν μὴ συλλογιζόμενον], ὅταν συλλογίζηται μέν τι ἐκ τῶν λαμβανομένων, οὐ μέντοι τὸ προκείμενον. τοῦτο δὲ συμβαίνειν φαίνεται μάλιστα τοῖς δι' ἀδυνάτου δεικνύουσί τι. τοῦτο δ' ἂν λέγοι, ἤτοι ὅτι πάντες οἱ εἰς ἀδύνατον ἀπάγοντες συλλογίζονται μέν, οὐ μὴν τὸ προκείμενον, ἀλλ' ἔστιν ὁ συλλογισμὸς ψευδής· οὕτω γὰρ δεικνῦσι τὸ προκείμενον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, οὐ τῷ αὐτὸ δεικνύναι διὰ συλλογισμοῦ. ἢ οὖν τοῦτο λέγει, ὡς Ἑρμίνῳ δοκεῖ, ἢ μᾶλλον, ὡς ἅπασι, λέγει συμβαίνειν μάλιστα τοῖς εἰς ἀδύνατον ἀπάγουσι τὸ μηδὲν πρὸς τὸ προκείμενον συλλογίζεσθαι πολλάκις, ὅταν ἀλλοτρίας τις τῆς ὑποθέσεως προτάσεις λάβῃ καὶ συμπερανάμενός τι ἀδύνατον ἀξιώσῃ, ἐπεὶ τοῦτο ἀδύνατον, τὸ ἀντικείμενον τῆς ὑποθέσεως λαμβάνειν· τῷ γὰρ μὴ παρὰ τὴν ὑπόθεσιν γεγονέναι τὸ ἀδύνατον (καὶ γὰρ χωρὶς ταύτης ἐκ τῶν καταλειπομένων τὸ αὐτὸ ἀδύνατον συνάγεται) οὐδὲν πρὸς τὸ προκείμενον· τοῦτο δ' ἦν τὸ ἀντικείμενον τῆς ὑποθέσεως κατασκευάσαι.

in Top.575 εἶπε δὲ καὶ ἐν τοῖς Ἀναλυτικοῖς ὅτι "τὸ μὴ παρὰ τοῦτο" ἐν τοῖς 〈εἰσ〉 ἀδύνατον λέγουσι λόγοις. τρίτος τοῦ ψευδοῦς λόγου τρόπος, ὅταν τὸ λαμβανόμενον μὲν συνάγῃ τὸ προκείμενον, μὴ ᾖ δὲ οἰκεῖα τὰ λαμβανόμενα τῷ δεικνυμένῳ, οἷον εἰ γεωμετρικόν τι δεικνύει μὴ διὰ γεωμετρικῶν ἢ ἰατρικὸν μὴ διὰ ἰατρικῶν, καὶ τοῦτο ὁμοίως, ἄν τε ἀληθὲς ἄν τε ψεῦδος ᾖ τὸ συναγόμενον· ἡ γὰρ αἰτία τοῦ λόγου τὸ μὴ διὰ οἰκείων γίνεσθαι τῷ προκειμένῳ. ὁ γὰρ δεικνὺς ὅτι τὰ περιφερῆ ἕλκη βραδύτερον θεραπεύεται διὰ τοῦ λαμβάνειν τὸ τῶν ἰσοπεριμέτρων σχημάτων μέγιστον εἶναι τὸ τοῦ κύκλου ἐμβαδὸν οὐ δι' ἰατρικῶν ἰατρικὸν συλλογίζεται. κατὰ δὲ τὸν τέταρτον τρόπον ψευδὴς γίνεται λόγος, ὅτε διὰ ψευδῶν προτάσεων καὶ ἀμέσων τι συνάγεται. ἀλλ' οὐ τοῦ διότι ἀλλὰ τοῦ ὅτι ὁ τοιοῦτος γίνεται συλλογισμός. Εἰπὼν δὲ περὶ τοῦ τελευταίου τοῦ διὰ ψευδῶν ψεῦδος ἢ ἀληθὲς συνάγοντος, περὶ τοῦ πρώτου λέγων τοῦ ἐκ ψευδῶν ψεῦδος συνάγοντος τὸν ψευδῆ λόγον εἶναι τοῦ λέγοντος καὶ ἐρωτῶντος αὐτὸν ἁμάρτημά φησι, λέγων, ὡς εἶπον, ψευδῆ τὸν διὰ ψευδῶν ψεῦδος συλλογιζόμενον. ὁ δὴ τοιοῦτος λόγος καθ' αὑτὸν μὲν ἐπιτιμήσεως ἄξιος οὐκ ἔστιν· εἰ γάρ ἐστι συλλογιστικός, εἴη ἂν ἁμαρτία τοῦ λέγοντος, καὶ οὐδὲ τούτου ἀεί, ἀλλ' ὅταν ἀγνοήσῃ ὅτι ψεῦδός ἐστι. οὐ γὰρ πᾶς ὁ λόγος μεμπτός· ἔστι γάρ τις λόγος διὰ ψευδῶν ψεῦδός τι δεικνύς, ὃν πολλῶν ἀληθινῶν λόγων μᾶλλον ἀποδεχόμεθα ὡς μᾶλλον δεικνύντα καὶ συνιστῶντα τὸ προκείμενον. ἔστι δὲ οὗτος ὁ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς γινόμενος· ἐν γὰρ τῷ τοιούτῳ λόγῳ ὑπόθεσίν τινα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λαμβάνοντες καὶ ἐπὶ ταύτῃ πρότασίν τινα ὅτι μάλιστα δοκοῦσαν (περὶ γὰρ ταύτης εἶπε τὸ ἐξ ὅτι μάλιστα δοκούντων ἀναιρεῖν τὸ ἀληθές· ἡ δὲ ἀσάφεια ἐν τῇ λέξει, ὅτι μιᾶς οὔσης τῆς τοιαύτης προτάσεως περὶ πλειόνων εἶπεν) ἐκ ταύτης τῆς ὑποθέσεως συνάγομέν τι ψεῦδος, δι' οὗ ἀναιροῦμέν τι τῶν ἀληθῶ ν . ἀλλ' ὅμως πρὸ πολλῶν λόγων ἀληθῶν ἀποδεχόμεθα μᾶλλον τὸν ὄντα ψευδῆ, ἐπεὶ ἀληθῶν ἀπόδειξίς ἐστι· καὶ γὰρ εἰ τὸ συμπέρασμα ψεῦδος ἔχει, ἀλλ' ὅτι ἄλλο τι δι' αὐτοῦ δείκνυται ἀληθές (τὸ γὰρ ἀντικείμενον τῇ ψευδεῖ ὑποθέσει· τοῦτο γὰρ ἐδήλου διὰ τοῦ δεῖ γὰρ τῶν κειμένων τι μὴ εἶναι παντελῶ ς , ἀλλὰ δηλονότι τὸ ἀντικείμενον αὐτῷ), ὁ τοιοῦτος λόγος καίτοι ψευδὴς ὢν ἀπόδειξίς ἐστιν.

in Top.576 ὥστε οὐ πᾶς λόγος ψευδὴς ψεκτός. [ὁ μὲν τοιοῦτος λόγος καίτοι ψευδὴς ὢν ψεῦδος συνάγων ἀποδεικτικός.] [ἄλλως. Εἰς τὸ δεῖ γὰρ τῶν κειμένων τι μὴ εἶναι παντελῶ ς . δεῖ μὴ εἶναί τι τῶν κειμένων καὶ ὁμολογουμένων παντελῶς, ὥστε εἶναι τούτου ἀπόδειξιν, ἀλλὰ τῶν ἀμφιβαλλομένων· τὰ γὰρ ἀμφιβαλλόμενα διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς δείκνυνται· τὰ δὲ ὁμολογούμενα δέονται ἀποδείξεως ὡς ὄντα ἀποδεικτικά.] Ἑξῆς δέ φησι περὶ τοῦ ἐκ ψευδῶν ἀληθές τι συνάγοντος. λέγει γὰρ ὅτι 〈ὁ〉 ἀληθὲς μέν τι συνάγων διὰ ψευδῶν δὲ καὶ ἠλιθίων, ἤτοι εὐήθων, οὗ ἐμνημόνευσεν ἐν τοῖς ψευδέσι λόγοις τελευταίου, πολλῷ ἂν εἴη χείρων τῶν ψεῦδος συμπεραινόντων λόγων, εἰ ἐκεῖνοι δι' ἐνδόξων τοῦτο ποιοῦσιν· ἦν γὰρ καὶ ὁ εἰς ἀδύνατον ἀπάγων ψεῦδός τι συνάγων, οὐ μὴν ἀδόκιμος. ἐνδέχεται δέ, φησί, καὶ ψεῦδός τι συνάγειν διὰ ψευδῶν καὶ ἠλιθίων προτάσεων· ὃς ἔτι φαυλότερος ἂν εἴη τοῦ προειρημένου. τούτοις προστίθησιν, ἐκ τῶν προειρημένων λόγου τοῦ ψευδοῦς γνωρίμου γεγονότος, πῶς δεῖ τὴν ἐξέτασιν ποιεῖσθαι τῶν λόγων. p. 162b24 Ὥστε δῆλον ὅτι πρώτη μὲν ἐπίσκεψις λόγου κα θ ' αὐτὸν εἰ συμπεραίνετα ι . Πρῶτον, φησί, δεῖ ἐπισκέπτεσθαι τὸν συλλογισμὸν εἰ συνεπεράνθη καθ' αὑτόν, ἤτοι ἐκ τῶν κειμένων προτάσεων. δεύτερον δὲ δεῖ θεωρεῖν πότερον ἀληθὲς ἢ ψευδές ἐστι τὸ ἐκ τῶν κειμένων προτάσεων συναχθὲν συμπέρασμα. τρίτον δέ, εἰ ἀληθὲς τὸ συναχθέν, ἐκ ποίων προτάσεων συνήχθη· εἰ μὲν γὰρ ἐκ ψευδῶν [ἢ ἐνδόξων] συνήχθη δοκούντων δὲ τῷ προσδιαλεγομένῳ, καλεῖται ὁ τοιοῦτος συλλογισμὸς λογικό ς , ἤτοι διαλεκτικός· εἰ δὲ συνήχθη ἐξ ὄντων μὲν καὶ ἀληθῶν μὴ δοκούντων δὲ τῷ προσδιαλεγομένῳ, καλεῖται φαῦλο ς . ἂν δὲ ψευδεῖς ὦσιν αἱ προτάσεις ἅμα καὶ λίαν ἄδοξο ι , ἤτοι μὴ δοκοῦσαι τῷ προσδιαλεγομένῳ, δῆλον ὅτι καὶ οὗτος φαῦλος ἂν εἴη, ἢ ἁπλῶς καὶ καθ' αὑτὸ μόνον ἢ τοῦ πράγματο ς , τουτέστιν ἢ καὶ πρὸς τὸ πρᾶγμα. ὅταν γὰρ τοῦ προβλήματος μὴ ὄντος ἀδόξου τε καὶ ψευδοῦς διὰ τοιούτων τις αὐτὸ δεικνύῃ, φαῦλος πρὸς τὸ πρᾶγμα ὁ τοιοῦτος λόγος· ὅταν δὲ καὶ τὸ πρόβλημα ᾖ τοιοῦτον, ὁ διὰ τοιούτων αὐτὸ δεικνὺς λόγος ἁπλῶς μὲν φαῦλός ἐστιν, οὐκέτι δὲ καὶ πρὸς τὸ πρᾶγμα, εἰ ἐκεῖνο μὴ δύναται διὰ βελτιόνων δειχθῆναι.

in Top.577 p. 162b34 Αἰτεῖσθαι δὲ φαίνονται τὸ ἐν ἀρχῇ πενταχῶ ς . Τὸ φαίνονται προσέθηκεν, ὅτι πρὸς ἀλήθειαν ἡ 〈τοῦ〉 ἐν ἀρχῇ αἴτησις τοσαυταχῶς λέγεται, ὡς ἐν τοῖς Ἀναλυτικοῖς ἐδείχθη· φαντασίαν μέντοι τοῦ τὰ ἐν ἀρχῇ λαμβάνειν τινὰ ἀποτελοῦσι κατὰ τοὺς πέντε τρόπους, οὓς ἐκτίθεται. Εἷς μὲν οὖν καὶ φανερώτατος τρόπος, εἴ τις αὐτὸ τὸ δεόμενον ἀποδείξεως αἰτήσας λάβοι, οἷον διὰ τί ὁ ἄνθρωπος λογικόν, διότι λογικός. οὗτος δὲ ὁ τρόπος τοῦ ἐν ἀρχῇ οὐ κατὰ δόξαν ἐστίν, ἀλλ' ὁ κυρίως καὶ κατ' ἀλήθειαν. τοῦτο δέ, ἤγουν τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, οὐ ῥᾴδιον λανθάνειν ἐπὶ τοῦ τοιούτου τρόπου· οἷον εἴ τις ἐρωτήσας, διὰ τί ὁ ἄνθρωπος λογικόν, λάβοι αὐτὸ τοῦτο τὸ ἐρωτηθὲν εἰς ἀπόδειξιν αὐτοῦ, οὐδένα ἂν λάθοι ὅτι τὸ ἐν ἀρχῇ ᾐτήσατο. p. 162b36 Ἐν δὲ τοῖς συνωνύμοι ς , καὶ ἐν ὅσοις τὸ ὄνομα καὶ ὁ λόγος τὸ αὐτὸ σημαίνε ι , μᾶλλο ν . Συνωνύμοις φησὶν ἀντὶ τοῦ ‘πολυωνύμοισ‘. τὸ 〈δὲ〉 μᾶλλον ἐπ' ἀμφοτέρων ἐχρήσατο, καὶ ἐπὶ τῶν πολυωνύμων καὶ ἐφ' ὧν τὸ ὄνομα καὶ ὁ λόγος τὸ αὐτὸ σημαίνει· μᾶλλον γὰρ ἐπὶ τούτων ἢ εἰ αὐτό τις τὸ ζητούμενον ἐπὶ τῆς αὐτῆς λέξεως λαμβάνοι. ὁμοίως δὲ καὶ εἰ ἀντὶ λόγου ὄνομα λαμβάνοι, τὸ ἐν ἀρχῇ αἰτεῖται, καὶ εἰ λόγον ἀντὶ λόγου, ὅταν ἀμφότεροι τὸ αὐτὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σημαίνωσιν. ὁ δὲ ἀντὶ ὀνόματος ὁρισμὸν λαμβάνων φαινομένως αἰτεῖται· δείκνυσι γάρ τινα διὰ τοῦ ὁρισμοῦ, ὅταν τὸ μὲν ὄνομα ἄδηλον ᾖ, ὁ δὲ ὁρισμὸς καὶ τὸ σημαινόμενον γνώριμον. τὰ δ' ἄλλα εἴη ἂν τοῦ ἀληθῶς τὸ ἐν ἀρχῇ λαμβάνειν παραδείγματα. καὶ καθόλου, ὅταν δύο τινὰ ἀντιστρέφῃ ἀλλήλοις καὶ ᾖ ὁμοίως ἀσαφῆ, ὁ πρὸς τὴν τοῦ ἑτέρου δεῖξιν τῷ ἑτέρῳ αὐτῶν χρώμενος αἰτεῖται τὸ ἐν ἀρχῇ, ὥσπερ πάλιν καὶ ὁ πρὸς τὴν δεῖξίν τινος χρώμενος τῷ δεικνυμένῳ δι' ἐκείνου· οὓς δύο τρόπους τῆς τοῦ ἐν ἀρχῇ λήψεως εἴρηκεν ἐν τῷ δευτέρῳ τῶν Προτέρων ἀναλυτικῶν.

in Top.578 [ἄλλως. Εἰς τὸ ἐν δὲ τοῖς συνωνύμοι ς . ἀντὶ τοῦ 'πολυωνύμοισ'. καὶ ἐν ὅσοις τὸ ὄνομα καὶ ὁ λόγος τὸ αὐτὸ σημαίνε ι , ἤγουν τοῖς κυρίως συνωνύμοις, λανθάνει μᾶλλον. ἐν μὲν γὰρ τοῖς πολυωνύμοις, οἷον διὰ τί ὁ ἄνθρωπος λογικός, διότι ὁ ἄνθρωπος βροτὸς ἢ μέροψ· ὁ 〈δὲ〉 βροτὸς λογικός· ὁ ἄνθρωπος ἄρα λογικός· λανθάνει οὖν διὰ τὸ λαβεῖν πολυώνυμον. ἐν δὲ τοῖς συνωνύμοις, οἷον διὰ τί ὁ ἄνθρωπος νοῦ καὶ ἐπιστήμης δεκτικός, διότι ὁ ἄνθρωπος ζῷον πεζὸν δίπουν, τοῦτο δὲ νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἔλαβε γὰρ συνώνυμον ὄνομα ἀντὶ τοῦ ἀνθρώπου τὸ ζῷον πεζὸν δίπουν. τῷ δὲ μᾶλλον καὶ ἐπ' ἀμφοτέρων ἐχρήσατο, τῶν τε πολυωνύμων καὶ συνωνύμων, ἐπειδὴ καὶ ἐπ' ἀμφοτέρων τὸ ζητούμενον ὁμοίως λανθάνει.] p. 163a1 Δεύτερον δ έ , ὅταν κατὰ μέρος δέον ἀποδεῖξαι καθόλου τις αἰτήσ η , οἷον ἐπιχειρῶ ν , ὅτι τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμ η , ὅλως τῶν ἀντικειμένων ἀξιώσει ε . Φαινομένως τὸ ἐν ἀρχῇ λαμβάνει· ὁ γὰρ ζητουμένου τοῦ εἰ ἔστι τινὸς τῶν ἀντικειμένων τὸ πάντων λαμβάνων τὸ ἐν ἀρχῇ αἰτεῖται· οὐκέτι δέ, εἰ ζητουμένου εἰ τῶν ἐναντίων λάβοι τις τῶν ἀντικειμένων τῷ μὴ αὐτόθεν κεῖσθαι τὸ τὰ ἐναντία ἀντικείμενα εἶναι. p. 163a5 Τρίτο ν , εἴ τις τὸ καθόλου δεῖξαι προκειμένου κατὰ μέρος αἰτήσειε ν , οἷον εἰ πάντων τῶν ἐναντίων προκειμένου τῶνδέ τινων ἀξιώσειε ν . Οὐκ αἰτεῖται μὲν οὐδὲ οὗτος τὸ προκείμενον τῷ ἕπεσθαι τῷ ἐν μέρει τὸ καθόλου· δοκεῖ δέ, φησίν, ὃ μετὰ πλειόνων ἔδει δεῖξα ι , κα θ ' αὐτὸ χωρὶς αἰτεῖσθα ι .

in Top.579 καὶ εἰ πάντα λάβοι τὰ ὑπὸ τὸ καθόλου, οὐδ' οὕτως πρὸς ἀλήθειαν αἰτεῖται τὸ ἐν ἀρχῇ (ἐπακτικὸς γὰρ ὁ τοιοῦτος τρόπος), ὥσπερ οὐδ' ὁ πρὸ αὐτοῦ ἐκ τοῦ καθόλου τὸ ὑπ' αὐτὸ συνιστάς· ἔστι γὰρ ἀποδεικτικὸν μάλιστα τὸ τοιοῦτον εἶδος. p. 163a8 Πάλιν εἴ τις διελὼν αἰτεῖται τὸ πρόβλημ α . Οὐδ' οὗτος τὸ ἐν ἀρχῇ λαμβάνει, εἰ ἑκάτερον ἰδίᾳ λαμβανόμενον γνωριμώτερον τοῦ συναμφοτέρου εἴη. p. 163a14 Ἰσαχῶς δὲ καὶ τὰ ἐναντία αἰτοῦνται τῷ ἐξ ἀρχῆ ς . Καὶ ἡ τοῦ ἐναντίου αἴτησις ἐν λόγοις ἐστὶ παραγωγή, τὸ λαμβάνειν τι παρὰ τοῦ ἀποκρινομένου καὶ μετὰ ταῦτα πειρᾶσθαι τὸ ἀντικείμενον αὐτῷ παρ' αὐτοῦ λαμβάνειν καὶ διὰ τούτου τοῦ τρόπου δεῖξαι τὴν ἐναντιολογίαν αὐτοῦ τῶν ἀποκρίσεων. γράφεται δὲ ἤτοι τῷ ἐξ ἀρχῆ ς , τουτέστι 'τῷ ἐν ἀρχῇ' (πενταχῶς γάρ), ἢ τῶν ἐξ ἀρχῆς κειμένων · τοῖς γὰρ ἤδη κειμένοις τὰ ἐναντία αἰτοῦνται. ἐναντία δὲ λέγει τὰ ἀντικείμενα, ὡς δι' ὧν ἐπιφέρει δηλοῖ. p. 163a16 Δεύτερον δὲ τὰ ἐναντία κατὰ τὴν ἀντίθεσι ν . Δεῖ εἰδέναι, ὅτι ὥσπερ οἱ τὸ ἐν ἀρχῇ λαμβάνοντες οὐκ αὐτὸ τὸ ζητούμενον ἐπὶ τῶν αὐτῶν λέξεων ᾐτοῦντο (οὐ γὰρ οἷόν τε οὕτως λαμβάνοντα λαθεῖν), οὕτως οὐδ' οἱ τὰ ἀντικείμενα· προφανὲς γὰρ καὶ αὐτόθεν ἄτοπον· ἀλλὰ μεταφέροντες τὰς λέξεις λαμβάνουσιν ἐπ' ἄλλων μὲν ὀνομάτων ἢ λόγων τὴν κατάφασιν, ἐπ' ἄλλων δὲ ταὐτὸ σημαινόντων τὴν ἀπόφασιν. δύναται δὲ μὴ τὰς ἀντιφατικῶς ἀντικειμένας εἰρηκέναι προτάσεις ἀλλὰ τὰς ὁπωσοῦν· καὶ γὰρ αἱ ἐναντίαι ἀντικείμεναι. [ἄλλως. Εἰς τὸ δεύτερον δὲ τἀναντί α . δεύτερος δὲ τρόπος τοῦ λαμβάνειν τὰ ἐναντία ἤτοι κατὰ τὴν θέσιν καὶ τὸν συλλογισμὸν τῶν ἐναντίων ἢ κατὰ τὰ ἀντιθετικῶς ἀντικείμενα.

in Top.580 οἷον ἆρα ἡ ὑγεία οὐχ ᾧ ἂν παρῇ, ὠφέλιμός ἐστιν; ἔσται ἄρα ἀγαθόν· τί δέ, καὶ ἡ νόσος, εἰ ἐπ' ὠφελείᾳ εἴη τοῦ νενοσηκότος, οὐκ ἀγαθόν ἐστι; τὰ δὲ ἐν τῷ αὐτῷ ὑποκειμένῳ ταὐτὰ καὶ ἀλλήλοις ἐστὶ ταὐτά· ἔσται ἄρα τὸ ἀγαθὸν καὶ τὸ κακὸν ταὐτόν.] p. 163a17 Τρίτο ν , εἴ τις τὸ καθόλου ἀξιώσα ς . Δοκεῖ οὗτος ὁ τρόπος ὁ αὐτὸς εἶναι τῷ πρώτῳ εἰρημένῳ τῷ "εἴ τις τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντικείμενα αἰτήσαιτο, φάσιν καὶ ἀπόφασιν". διαφέροι δ' ἂν οὗτος ὁ τρόπος ἐκείνου, ὅτι ἐπὶ μὲν ἐκείνου ἐδόκει αὐτόθεν φανερῶς λαμβάνεσθαι, ἐνταῦθα δὲ δυνάμει· οὐ γάρ ἐστιν ἀντίφασις 'πάντων τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη' ***** . διὸ ἐκεῖνος μὲν ὁ τρόπος καταφωρότερος τῆς τῶν ἀντικειμένων λήψεως, οὗτος δὲ μᾶλλον λανθάνων. εἴη δ' ἄν τις τῶν εἰρημένων τρόπων διαφορὰ 〈καὶ〉 καθόσον ἐκεῖνος μὲν κατάφασιν καὶ ἀπόφασιν ἐλάμβανε τὰς ὁπωσοῦν ἀντικειμένας (ἀντίκεινται γὰρ καθόλου αἱ ἐναντίαι· διὸ οὐδ' ἐμνημόνευσεν ἔτι τῆς τοιαύτης τῶν ἀντικειμένων λήψεως), ἐνταῦθα δὲ τὰς ἀντιφατικάς. οὕτως ποιεῖ καὶ ὁ πᾶσαν μὲν ἀρετὴν ὁμολογουμένην εἶναι διάθεσιν, τὴν δὲ ἐγκράτειαν ἀρετὴν τιθείς· εἴη γὰρ ἂν δυνάμει λέγων ὅτι μὴ πᾶσα ἀρετὴ ὁμολογουμένη διάθεσις· ἡ γὰρ ἐγκράτεια οὐχ ὁμολογία ἀλλὰ μάχη. [ἄλλως. Εἰς τὸ τρίτο ν , εἴ τις τὸ καθόλου ἀξιώσας καὶ λαβὼν ἐπὶ μέρους αἰτοῖτο τὴν ἀντίφασι ν . οἷον εἰ ἐρωτήσας ὅτι πάντων τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη. ὕστερον λάβοι τὴν ἀντίφασιν μερικῶς, τὸ μὴ τὴν αὐτὴν ἐπιστήμην εἶναι ὑγιεινοῦ καὶ νοσώδους. τοῦτο δ' ἂν γίνοιτο, εἰ ἐρωτηθείη οὕτως· ἆρά γε ὁ ἰατρὸς οὐ τέλος ἔχει τὸ ὑγιάσαι καὶ τούτου στοχάζεται, τῆς δὲ νόσου οὔ, ἐπεὶ οὐδὲ τέλος ἔχει τὸ νοσοποιῆσαι; ὥστε ὁμολογήσας καθόλου, ὅτι πάντων τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη, μερικῶς ἔλαβεν ὡς οὐχ ἡ αὐτή· ὑπὸ γὰρ τὰ ἐναντία καὶ ἡ ὑγεία καὶ ἡ νόσος. τέταρτος δὲ τρόπος, ὅταν τὸ ἀνάπαλιν ἐπὶ μέρους μὲν αἰτήσας, τὸ τοῦ ὑγιεινοῦ καὶ τοῦ νοσώδους τὴν αὐτὴν εἶναι ἐπιστήμην, εἶτα ἐπὶ τοῦ καθόλου πειρᾶται λαβεῖν τὴν ἀντίφασιν, δείξας ὅτι οὐ πάντων τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη.

in Top.581 ] p. 163a21 Πάλιν ἐάν τις αἰτήσῃ τὸ ἐναντίον τῷ ἐξ ἀνάγκης συμβαίνοντ ι . Εἴ τις αἰτήσει τὸ ἐναντίον τῷ ἐκ τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνοντ ι , οἷον εἰ εἴη τὰ μὲν κείμενα ἡ ἡδονὴ κατὰ φύσιν, πᾶν δὲ τὸ κατὰ φύσιν ἀγαθόν· ἕπεται γὰρ ἐξ ἀνάγκης τούτοις τὸ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι· ἂν δή τις τούτων κειμένων λάβῃ μηδεμίαν ἡδονὴν ἀγαθὸν εἶναι, εἴη ἂν τὸ ἐναντίον λαβὼν τῶν κειμένων. p. 163a22 Κἂν εἴ τις αὐτὰ μὲν μὴ λάβῃ τὰ ἀντικείμεν α . Πέμπτον δέ φησιν εἶναι τρόπον, εἴ τις αὐτὰ μὲν μὴ λάβοι τὰ ἀντικείμενα τοῦδε, τοιαῦτα δ ' αἰτήσαιτο δύο ἐξ ὧν ἔσται ἡ ἀντικειμένη ἀντίφασι ς . ἔνεστι μὲν καὶ οὕτως ἀκοῦσαι 'εἴ τις αἰτήσαιτο τοιαῦτά τινα δύο οἷς ἀκολουθεῖ ἀντίφασισ'. τὸ δ' ἡ ἀντικειμένη ἀντίφασις ἴσον ἐστὶ τῷ 'κατάφασις καὶ ἀπόφασις αἱ ἀντικείμεναι'· οὐ γὰρ πᾶσα κατάφασις πάσῃ ἀποφάσει ἀντίκειται. οὐδὲν γὰρ διαφέρει τοῦ τὴν ἀντίφασιν αἰτῆσαι τὸ τοιαῦτα αἰτῆσαι οἷς ἡ ἀντίφασις ἕπεται. ἔνεστι δὲ ἀκοῦσαι τοῦ δύο συμπλοκῆς προτάσεων ἐξ ὧν συναχθήσεται ἡ ἀντίφασις. Διαφέρει δὲ τὸ τἀναντία λαμβάνειν τοῦ ἐν ἀρχ ῇ , ὅτι ἐν μὲν τῷ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι πρὸς τὸ συμπέρασμα σκοποῦσι τὸ ἁμάρτημα εὑρίσκεται (ὃ γὰρ δεῖξαι δεῖ, τοῦτο αἰτεῖται ὁ ἐν ἀρχῇ αἰτούμενος), ὁ δὲ τὰ ἀντικείμενα αἰτῶν κατ' αὐτὴν τὴν τούτων λῆψιν τὴν ἁμαρτίαν ποιεῖται· ἁμαρτία γὰρ ἐν λήψει προτάσεων τὸ τἀναντία ἀλλήλοις συγχωρεῖν τε καὶ λαμβάνειν.

in Top.582 [ἄλλως. Εἰς τὸ πάλιν εἴ τις αἰτήσαιτ ο . πέμπτος τρόπος ἐστίν, εἴ τις αἰτήσας λάβοι τὸ ἐναντίον τῷ ἐξ ἀνάγκης συμβαίνοντ ι , ἤγουν τῷ συμπεράσματι. οἷον εἴ τις συλλογισάμενος ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, τοῦτο δὲ ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος, εἶτα λάβοι ὅτι καὶ θνητή. καὶ ἐάν τις δὲ μὴ λάβῃ τὰ ἀντικείμενα φανερῶς, ὡς ἐν τούτοις πᾶσιν εἴρηται, λάβῃ δὲ τοιαῦτα δύ ο , ἤτοι ποιητικὰ καὶ φθαρτικά τινων, ἐξ ὧν ἔσται ἡ ἀντικειμένη ἀντίφασις· οἷον 'ἆρά γε τῷ μήκωνι οὐχὶ τὸ βόειον κρέας ὑγιεινόν ἐστι, φθαρτικὸν δὲ νόσου, ὥσπερ τῷ καχεκτοῦντι τὸ ἀνάπαλιν; ὧν δὲ τὸ ποιητικὸν καὶ φθαρτικὸν ταὐτόν, καὶ αὐτὰ ταὐτά· ἔσται ἄρα ὑγεία καὶ νόσος ταὐτόν'. ὁρᾷς ὅπως οὐ φανερῶς ἔλαβε τὰ ἀντικείμενα ἀλλὰ συνεσκιασμένως τῷ λαβεῖν τοιαῦτα ἰσοδύναμα.] p. 163a29 Πρὸς δὲ γυμνασίαν καὶ μελέτην τῶν τοιούτων λόγω ν . Ἐκθέμενος τοὺς τόπους, ἀφ' ὧν εὐπορήσομεν τῶν πρὸς ἕκαστον πρόβλημα οἰκείων συλλογισμῶν, ὑποθέμενος δὲ καὶ τὴν προσήκουσαν χρῆσιν αὐτῶν ἑκατέρῳ, τῷ ἐρωτῶντι καὶ τῷ ἀποκρινομένῳ, ἐπὶ τούτοις ὀργανικά τινα πρὸς γυμνασίαν καὶ μελέτην τῶν διαλεκτικῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λόγων παραδίδωσι. καὶ πρῶτον μὲν δεῖν φησιν ἐθίζεσθαι ἀντιστρέφειν τοὺς λόγου ς , τουτέστιν τοὺς συλλογισμούς· τούτῳ γὰρ ἐγγεγυμνασμένοι πρός τε τὸ προκείμενον πρόβλημα εὔποροι ἐσόμεθα, καὶ ἐν ὀλίγοις πολλοὺς ἐξεπιστησόμεθα λόγου ς . καὶ ὑπομιμνήσκει ἡμᾶς τῆς συλλογισμῶν ἀντιστροφῆς, περὶ ἧς ἐδίδαξεν ἐν τῷ δευτέρῳ τῶν Προτέρων ἀναλυτικῶν. ἔστι δὲ τὸ ἀντιστρέφειν συλλογισμὸν τὸ μεταλαβόντα τὸ συμπέρασμ α , τουτέστι τὸ ἀντικείμενον ****** τῇ λοιπῇ προτάσει συναγαγεῖν. p. 163a30 Πρῶτον μὲν ἀντιστρέφειν ἐθίζεσθαι χρ ή . Δείξαντες γὰρ ὅτι ὁ ἀντιστρέφων λόγος, ᾧ χρώμεθα, συλλογισμός ἐστι, δεδειχότες ἂν εἴημεν καὶ τοῦτον, ᾧ χρώμεθα, ὄντα συλλογισμόν, εἴ τι εἴη πρὸς αὐτὸν ὡς οὐ συλλογισμὸν ὄντα ἀμφισβητήσιμον. ἢ εἰ μὴ τοῦτόν τις συγχωροίη, μεταβάντες ἐπ' ἐκεῖνον ἂν δεικνύοιμεν.

in Top.583 ἢ πρὸς πᾶν τε τὸ δεικνύμενον εὐπορώτεροι ἐσόμεθα, πλείους ἀφορμὰς ἔχοντες πρὸς τὸ συλλογίζεσθαι, καὶ ἐν ὀλίγοις πολλοὺς ἐξεπιστησόμεθα λόγου ς , ὅτι ἕνα ἔχοντες συλλογισμὸν ἕξομεν δι' αὐτοῦ συλλογισμοὺς τέσσαρας, ποτὲ μὲν τὸ ἐναντίον τοῦ συμπεράσματος λαμβάνοντες ἐν τῇ ἀντιστροφῇ καὶ δύο συλλογισμοὺς ποιοῦντες [ἐν] τῇ κατὰ 〈μιᾶσ〉 τῶν προτάσεων προσλήψει, ποτὲ δὲ τὸ ἀντικείμενον καὶ πάλιν ἄλλους ποιοῦντες δύο. p. 163a32 Τὸ γὰρ ἀντιστρέφειν ἐστὶ τὸ μεταλαβόντα τὸ συμπέρασμα μετὰ τῶν λοιπῶν ἐρωτημάτω ν . 〈Τὸ μετὰ τῶν λοιπῶν ἐρωτημάτων〉 ἐστὶν ἀντὶ τοῦ 'μετὰ τοῦ λοιποῦ ἐρωτήματοσ', τουτέστι μετὰ μιᾶς τῶν κειμένων προτάσεων· ἐπεὶ δὲ καθ' ἑκατέραν προσληφθεῖσαν τῶν κειμένων τῷ ἀντικειμένῳ τοῦ συμπεράσματος ἡ λοιπὴ ἀναιρεῖται, διὰ τοῦτο μετὰ τῶν λοιπῶν εἶπε. p. 163b4 Παράλληλά τε παραβάλλειν ἐκλέγοντ α . Προστίθησί [τε] τῷ προειρημένῳ, τῷ δεῖν ἐφ' ἑκάστου προβλήματος γυμναζομένους εἰς ἑκάτερον ἐπιχειρεῖν, τὸ δεῖν παράλληλα τιθέντας ἐν ταῖς ἐκλογαῖς πρὸς τὴν αὐτὴν θέσιν ἐπιχειρεῖν, παρατιθέντας τοῖς κατασκευαστικοῖς ἐπιχειρήμασι τὰ ἀνασκευαστικά. τοῦτο γὰρ πρός τε τὸ βιάζεσθαι καὶ ἐλέγχειν πολλὴν εὐπορίαν ἔχει τῷ ἐπιχειρημάτων εὐπορεῖν εἰς ἀμφότερα τὰ μέρη, ἀλλὰ καὶ μεγάλην ἔχει βοήθειαν πάλιν τοῖς ἀποκρινομένοις πρὸς τὸ μὴ ἐλέγχεσθαι· ὁ γὰρ εὐπορῶν πρὸς τὰ ἀντικείμενα καὶ εἰς ἑκάτερα τῶν ἀντικειμένων φυλάττεται πρὸς τὴν τῶν ἀντικειμένων αὐτοῖς παράθεσιν· ἡ γὰρ εἰς τὸ ἀντικείμενον ἐπιχείρησις φυλακὴ τοῦ δεικνυμένου διὰ τῆς εἰς τὸ ἀδύνατον ἐπιχειρήσεως.

in Top.584 p. 163b9 Πρός τε γνῶσιν καὶ τὴν κατὰ φιλοσοφίαν φρόνησι ν . Λέγει δὲ καὶ πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν καὶ τὴν κατὰ φιλοσοφίαν φρόνησι ν , ἥτις ἐστὶν ἡ τοῦ ἀληθοῦς ἐπιστημονικὴ γνῶσις, τὴν τοιαύτην παρασκευήν τε καὶ περὶ τὰ προβλήματα γυμνασίαν συντελεῖν. τοῦτο δὲ εἶπεν ἐν τῷ πρώτῳ τῆσδε τῆς πραγματείας ἐκτιθέμενος πρὸς τίνα καὶ πόσα χρήσιμος ἡ διαλεκτική. διὰ γὰρ τοῦ πρὸς ἀμφότερα εὐπορεῖν "ῥᾷον κατοψόμεθα τὸ ἀληθές τε καὶ ψεῦδος"· ὄργανον γὰρ οὐ μικρὸν πρὸς τὴν τοῦ ἀληθοῦς εὕρεσιν ἡ εἰς τὸ ἀντικείμενον ἐπιχείρησις· τῶν γὰρ ἐνδεχομένων εἰς ἑκάτερον μέρος ἐπιχειρηθῆναι γνωρίμων ὄντων ῥᾳδία ἡ τῶν ἀληθῶν εὕρεσις· ἐν τούτοις γὰρ ἀνάγκη καὶ τἀληθὲς εἶναι. δεῖ δέ, φησί, καὶ πρὸς τὴν τοῦ ἀληθοῦς εὕρεσιν εὐφυΐας, καθ' ἣν ἐπιβλητικὸς ἔσται καὶ κριτικὸς τοῦ ἀληθοῦς. καὶ ταύτην λέγει εἶναι εὐφυΐαν· εὐφυοῦς γὰρ τὸ οἰκειοῦθαι μὲν πρὸς τἀληθὲς ἀποστρέφεσθαι δὲ τὸ ψεῦδος. ὁ δὲ τοῦτο ἔχων ἔχει καὶ τὸ κρίνειν τἀληθὲς δύνασθαι καλῶς. οἱ δὲ ῥᾳδίως μέν τισι παρακολουθοῦντες καὶ μανθάνοντες, ὁμοίως δ' ἔχοντες πρὸς πάντα τὰ μαθήματα οὐκ ἂν κυρίως εὐφυεῖς λέγοιντ' ἂν τῷ μὴ ἔχειν τὸ κριτικὸν ἐν αὑτοῖς, ὅ ἐστιν ἡ πρώτη καὶ κυρίως εὐφυΐα. p. 163b15 Εὖ γὰρ φιλοῦντες καὶ μισοῦντες τὸ προσφερόμενον εὖ κρινοῦσ ι . Τουτέστι τῶν προσφερομένων, εἴτε μαθήματά τινα εἴη εἴτε καὶ ἄλλα τινά, τὰ μὲν ἄξια εὐπορεῖσθαι καὶ φιλεῖν προαιρούμενοι τὰ δὲ μὴ τοιαῦτα ἀποστρεφόμενοι καὶ μισοῦντες εὖ τε τοῦτο ποιοῦσι καὶ εἰσὶ κριταὶ ἀγαθοί. p. 163b17 Πρός τε τὰ πλειστάκις ἐμπίπτοντα τῶν προβλημάτω ν . Ἐπεὶ τῶν προβλημάτων ἐστί τινα καὶ συνήθως αἰτούμενα καὶ ἐπιπολάζοντα καὶ πολλάκις ὑπὸ τῶν πλείστων ζητούμενα,

φησὶ δεῖν ἔχειν πρὸς τὰ τοιαῦτα τῶν προβλημάτων λόγους μεμελετημένους καὶ προχείρους· οὕτως γὰρ οὐκ ἀπορήσομεν ἐν ταῖς συνουσίαις ταῖς περὶ αὐτῶν ἐπιχειρημάτων.

in Top.585 περὶ δὲ τῶν πρώτων θέσεων λέγοι ἂν ʻπερὶ τῶν ἀρχῶνʻ· αὗται γὰρ πρῶται θέσεις, καὶ περὶ τῶν τοιούτων προβλημάτων ἐξεπίστασθαι 〈δεῖ〉 λόγου ς . τοῦτο δέ, ἐπεὶ χαλεπὸν εἰς τὰ τοιαῦτα ἐπιχειρημάτων εὐπορεῖν· δεῖ γὰρ ἢ διὰ πρώτων ἢ δι' ἐνδόξων ταῦτα δείκνυσθαι· ἀλλὰ καὶ τὸ ἀποκρίνεσθαι περὶ τῶν τοιούτων χαλεπόν. ἤτοι οὖν λέγει ὅτι διὰ τοῦτο δεῖ πρὸς τὰς τοιαύτας θέσεις παρασκευάζειν λόγους τινάς, ὅτι ἀπορήσουσι πρὸς ταῦτα ἀποκρίσεων οἱ ἐρωτώμενοι, διὸ οἱ παρεσκευασμένοι πρὸς ταῦτα λόγους ῥᾳδίως ἂν περιγένοιντο τῶν ἀποκρινομένων, ἢ καθόλου ἀξιοῖ πρὸς τὰς τοιαύτας θέσεις ἔχειν τινὰς λόγους παρεσκευασμένους, ἐπεὶ δύσκολος ἡ περὶ αὐτῶν ἐπιχείρησίς τε καὶ ἀπόκρισις, ἵν', ἂν δέῃ ποτὲ ὑπέχειν ἡμᾶς περὶ αὐτῶν λόγον, μήτε ἐπιχειρήματος μήτε ἀποκρίσεως ἀπορῶμεν. p. 163b20 Ἔτι τε ὅρων εὐπορεῖν δε ῖ . Δεῖ, φησί, καὶ ὅρων εὐπορεῖν τὸν διαλεκτικὸν καὶ ἔχειν προχείρους ὅρους καὶ τῶν ἐνδόξων καὶ τῶν πρώτων · διὰ γὰρ τῶν ὁρισμῶν τῶν ἀρχῶν οἱ τῶν μετὰ τὰς ἀρχὰς συλλογισμοί. τοῦτο δὲ οὐ μόνον τῷ διαλεκτικῷ ἀλλὰ καὶ τῷ ἀποδεικτικῷ ἀναγκαῖον· τῷ γὰρ γεωμέτρῃ ἀναγκαῖον πρῶτον εἰδέναι τί γραμμή, τί γωνία· διὰ γὰρ τούτων αἱ ἑξῆς ἀποδείξεις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. p. 163b22 Πειρατέον δὲ καὶ εἰς ἃ πλειστάκις ἐμπίπτουσιν οἱ ἄλλοι λόγο ι . Δεῖ, φησί, καὶ ταῦτα πρόχειρα ἔχειν εἰς ἃ πλειστάκις ἐμπίπτουσιν οἱ λόγο ι . λέγοι δ' ἂν τοῦτο περὶ τῶν κοινῶν τόπων· εἰσὶ γάρ τινες κοινοὶ τόποι, οἳ πρὸς πάντα τὰ γένη τῶν προβλημάτων εἰσὶ χρήσιμοι, οἷον οἱ ἀπὸ τῶν συστοίχων καὶ τῶν πτώσεων καὶ γενέσεων καὶ φθορῶν καὶ τοῦ μᾶλλον καὶ ἧττον. τοὺς δὴ τοιούτους λόγους ἀξιοῖ προχείρους ἔχειν ὡς πολλάκις χρησίμους· ὥσπερ γὰρ ἐν γεωμετρίᾳ πρὸ ἔργου τὸ περὶ τὰ στοιχεῖα γεγυμνάσθαι πρὸς τὰς τῶν ἄλλων θεωρημάτων δείξεις.

in Top.586 κεφαλισμοὺς δὲ λέγει τοὺς τῶν πρώτων ἀριθμῶν τῶν μέχρι δεκάδος πολλαπλασιασμούς· διὰ γὰρ τῆς περὶ τούτων γυμνασίας καὶ οἱ τῶν ὑστέρων καὶ μειζόνων καὶ ὁμοίων αὐτοῖς πολλαπλασιασμοὶ κατὰ μετάβασιν γνωρίζονται· ἀπὸ γὰρ τοῦ δὶς δύο τέσσαρα γνωρίζεται ὁ δὶς εἴκοσι τεσσαράκοντα καὶ ὁ εἰκοσάκις εἴκοσι τετρακόσια καὶ ὁ διακοσιοντάκις εἴκοσι τετρακισχίλια, καὶ ἑξῆς ὁμοίως. p. 163b28 Καθάπερ γὰρ ἐν τῷ μνημονικῷ μόνον οἱ τόποι τεθέντε ς . Τόπους τινὰς καὶ ἐν τῷ Περὶ μνήμης καὶ ὕπνου καὶ τῆς καθ' ὕπνους μαντικῆς παρέθετο, δι' ὧν ἔστιν ἀναμιμνήσκεσθαι καὶ ἀπὸ τῶν ἐναντίων καὶ ἀπὸ τῶν ὁμοίων καὶ ἀπ' ἄλλων πολλῶν. ὡς οὖν ἐπ' ἐκείνων αὐτοὶ οἱ τόποι γνωριζόμενοι, ἀφ' ὧν οἷόν τε ἀναμιμνήσκεσθαι, αἴτιοι τοῦ ἀναμιμνήσκεσθαι ἡμῖν γίνονται (εἰδότες γὰρ ὅτι δι' ἐναντίων φέρε εἰπεῖν, εὐθὺς εἰς τὸ ἐναντίον τῶν εἰρημένων μεταβάντες ἀπομιμνησκόμεθα τούτου, ἀπὸ πικροῦ γλυκέος, ἀπὸ λευκοῦ μέλανος, ἀπὸ ψύχους καύματος), ὡς οὖν ἐπὶ τοῦ ἀναμνηστικοῦ καὶ ἐπὶ τοῦ διαλέγεσθαι συλλογιστικώτερον ποιεῖ ἡ τῶν κοινῶν τόπων γνῶσις· ἅμα γὰρ τοῦ τόπου τῇ γνώσει συνεισάγεται καὶ ὁ [τοῦ] δι' αὐτοῦ γινόμενος συλλογισμός. ἔτι τῷ ὡρισμένους εἶναι τοὺς τόπους, ἀφ' ὧν ἐπιχειρήσομεν, εὐπορήσομεν συλλογισμῶν, οὐ καθ' ἕκαστον πρόβλημα οἰκείας ἀφορμὰς ζητοῦντες ἀλλὰ τοῖς κοινοῖς πρὸς πάντα χρώμενοι. ἔτι δὲ λέγων περὶ αὐτῶν φησι δεῖν προτάσεως κοινῆς μᾶλλον ἢ συλλογισμοῦ μνημονεύειν, πρότασιν κοινὴν τὸν τόπον λέγων· κοινὴ γὰρ πρότασις ὁ τόπος, διαιρουμένων τῶν πραγμάτων οἷς ἁρμόζεται, [διαμνημονεύειν] τῶν οἰκείων ἑκάστῳ προβλήματι συλλογισμῶν. ὁ μὲν γὰρ συλλογισμὸν εἰδὼς πρὸς ἐκεῖνο μόνον εὐπορεῖν δύναμιν ἔχει τὸ πρόβλημα οὗ τὸν συλλογισμὸν ἔχει, ὁ δὲ κοινὴν πρότασιν ἔχων καὶ πρὸς ἄλλα. οἷον ὁ μὲν εἰδώς, ὅτι εἰ τὸ ὑγιεινὸν ἀγαθόν, τὸ νοσῶδες κακόν, ἀλλὰ μὴν τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα· ἔχει γὰρ συλλογισμόν, ἀλλὰ περὶ τῶν εἰρημένων μόνον· ὁ δὲ τὸν τόπον εἰδὼς τοῦ ʻεἰ τὸ ἐναντίον τῷ ἐναντίῳ, καὶ τὸ ἐναντίον τῷ

ἐναντίῳ‘ συλλογισμὸν μὲν οὐκ ἔχει, ἀρχὴν δὲ καὶ ἀφορμὴν συλλογισμῶν, οὐ μόνον τοῦ προκειμένου· οὐ γὰρ μόνα ταῦτα ἐναντία.

in Top.587 τὰς δὲ ἀρχὰς ὑποθέσεις λέγει, ὅτι μὴ δι’ ἀποδείξεως τίθενται. ἐπεὶ δὲ χαλεπὸν τὸ κἂν μετρίως ἀρχῆς εὐπορῆσα ι , δεῖ μνημονεύειν τῶν τοιούτων προτάσεων αἵ εἰσιν ἀρχαὶ τῶν προβλημάτων. p. 163b34 Ἔτι τὸν ἕνα λόγον πολλοὺς ποιεῖν ἐθιστέο ν . Καὶ τοῦτο ἀκόλουθον τῷ προειρημένῳ περὶ τῶν τόπων, τῷ ἐθίζειν αὐτὸν ἀντὶ τῶν καθ’ ἕκαστα προτάσεων καὶ προσεχῶν προσέχειν τινὶ καθόλου· τὴν γὰρ καθόλου πρότασιν πολλῶν ἀρχὴν γίνεσθαι συλλογισμῶν· πρὸς γὰρ ἕκαστον τῶν ὑπὸ τὸ καθόλου χρήσιμος ἡ τοιαύτη πρότασις. καὶ ἔστι τὸ νῦν λεγόμενον ἴσον τῷ ἐν τῷ πρώτῳ εἰρημένῳ τόπῳ “ληπτέον δὲ ὅτι μάλιστα καθόλου πρότασιν, καὶ τὴν μίαν πολλὰς ποιητέον.” ποιεῖσθαι δὲ ἀξιοῖ τὰς μεταβάσεις ἀπὸ τῶν κειμένων ἐπὶ τὰ καθολικώτερα ἀδήλως καὶ κεκρυμμένως· οὕτως γὰρ συγχωρηθήσεται, εἰ μὴ εἰς τὰ ἐγγὺς καὶ παρακείμενα καὶ ὀλίγον ἀπέχοντα μεταβαίνει τις ἀλλ’ εἰς τὰ πλεῖστον ἀπέχοντα τῶν ἐν τῇ συγγενείᾳ τούτων περὶ ὧν 〈ἂν〉 ὁ λόγος ᾖ. p. 163b36 Ἔσονται δὲ δυνατοὶ τῶν λόγων οἳ μάλιστα καθόλου τοῦτο πάσχειν δύναντα ι . Τὸ ἕνα πολλοὺς ποιεῖν δύνασθαί φησι γίνεσθαι ἐπὶ τῶν μάλιστα καθόλου· ὅσῳ γὰρ κοινοτέρα καὶ καθολικωτέρα ἡ πρότασις, τοσοῦτον εἰς πλείονα διαιρεῖσθαι δύναται. ὁ γὰρ λαβὼν καθόλου ὅτι μή ἐστι μία πλειόνων ἐπιστήμ η , ἔχει διὰ τούτου καὶ ὅτι μὴ τῶν ἀντικειμένων· τοῦτο δ’ ἔχων πάλιν ἔχει καὶ ὅτι τῶν πρός τι οὐκ ἔστι μία ἐπιστήμη καὶ τῶν ἐναντίων, ἀλλὰ καὶ τῶν συστοίχων· καὶ γὰρ ταῦτα ὑπὸ τὸ προκείμενον καθόλου.

in Top.588 p. 164a3 Δεῖ δὲ καὶ τὰς ἀπομνημονεύσεις καθόλου ποιεῖσθα ι . Ἀξιοῖ, κἂν ὁ προσδιαλεγόμενος ἐπὶ μέρους τιθῇ τι, οἷον ὅτι ὑγιεινοῦ καὶ νοσώδους οὐκ ἔστι μία ἐπιστήμη, αὐτὸν ἐκλαβόντα καθόλου αὐτοῦ μνημονεύειν λέγοντα ‘οὐκοῦν τῶν ἀντικειμένων οὐ φῂς εἶναι μίαν ἐπιστήμην;‘· οὕτως γὰρ ἐξέσται πρὸς πολλὰ κεχρῆσθαι τῷ λόγῳ λέγοντι ‘οὐ μόνον ἄρα τῶν ἐναντίων οὐδὲ τῶν πρός τι‘, ὅτι εἰ ἐπί τινων φανείη τῶν ἀντικειμένων οὖσα μία ἐπιστήμη, ἀναιρεῖσθαι δόξει τὸ τεθειμένον. ὁμοίως δὲ ἀξιοῖ ποιεῖν καὶ ἐν τῇ ῥητορικῇ· καὶ γὰρ τὸ ἐνθύμημα συλλογισμὸς ῥητορικός ἐστι. δεῖ οὖν, φησί, καὶ ἐνταῦθα τὸν λόγον τὸν καθόλου πειρᾶσθαι λαμβάνειν. ἐπιχειροῦντα μὲν οὖν χρὴ μεταφέρειν ἐπὶ τὰ καθόλου τὰς ἀποκρίσεις· οὕτω γὰρ ῥᾴδιον ἡ τῶν τιθεμένων ἀνασκευή. ἀποκρινόμενον δὲ καὶ ὑπέχοντα λόγον καὶ παριστάμενόν τινι συλλογιζόμενον περὶ αὐτοῦ φεύγειν δεῖ τὸ καθόλου ποιεῖσθαι τοὺς συλλογισμούς· οὕτω γὰρ τὰς ἀφορμὰς πλείονας τῶν πρὸς τὰ λεγόμενα ἀφαιρεθήσεσθαι τοὺς ἀνασκευάζοντας τὸ ὑπ’ αὐτῶν πειρωμένους. p. 164a7 Ἀεί τε δεῖ σκοπεῖν τοὺς λόγου ς , εἰ ἐπὶ πλειόνων κοινῶν διαλέγοντα ι . Δεῖ, φησί, τοὺς γινομένους συλλογισμοὺς ἐπισκοπεῖν, εἰ καθόλου προτάσεις ἔχουσι καὶ ἐπὶ τῶν καθόλου διαλέγονται· πᾶς γὰρ συλλογισμὸς ἢ ἀμφοτέρας ἢ τὴν ἑτέραν καθόλου ἔχει πρότασιν. p. 164a12 Τῶν ἐπακτικῶν πρὸς νέο ν . Ἐπειδὴ τὰ μερικὰ μᾶλλον αὐτῷ γινώσκονται, ἐξ ὧν ἡ ἐπαγωγή. p. 164a16 Ὅλως δὲ ἐκ τοῦ γυμνάζεσθαι διαλεγόμενον πειρατέο ν . Καθόλου φησὶ δεῖν ἀπὸ τῶν συνουσιῶν τῶν διαλεκτικῶν καὶ γυμναστικῶν πειρᾶσθαι ἀπομνημονεύειν ἤτοι συλλογισμόν τινα ἢ [εἴ] τινα καλῶς λεγομένην πρὸς ἐρωτώμενόν τινα λόγον λύσιν ἢ πρότασίν τινα προτεινομένην καλῶς ἢ ἔνστασιν πρὸς πρότασιν.

in Top.589 παραφυλάττειν δὲ ἀξιοῖ καὶ τὰ γινόμενα ἁμαρτήματα ὑφ’ ἡμῶν αὐτῶν ἢ ὑπ’ ἄλλων, καὶ παρὰ τί ἐγένετ ο , εἰ καλῶς ἠρώτησεν ἢ εἰ μὴ καλῶς, ὅπως τὰ μὲν μεμνῆσθαι τὰ δὲ φυλάττεσθαι ἐθιζώμεθα· ἐκ γὰρ τοῦ τὰ τοιαῦτα παραφυλάττεσθαι ἡ διαλεκτικὴ δύναμις περιγίνεται, ἧς χάριν καὶ τὴν ἀρχὴν γυμναζόμεθα. p. 164b2 Καὶ μάλιστα περὶ τὰς προτάσεις καὶ ἐνστάσει ς . Δεῖν φησι μάλιστα περὶ τὰς προτάσεις *** μνημονεύοντα καὶ ἀθροίζοντα, προτάσεις μέν, ἐπειδὴ διὰ τούτων αἱ ἐρωτήσεις τε καὶ ἐπιχειρήσεις, ἐνστάσεις δέ, ἐπειδὴ διὰ τούτων αἱ ἀποκρίσεις· τοῦ δὲ

διαλεκτικοῦ ἔργον ἐρώτησίς τε καὶ ἀπόκρισις. εἰπὼν δὲ διαλεκτικὸν εἶναι τὸν προτατικὸν καὶ ἐνστατικόν, προστίθησι τί ἔργον ἐστὶ τοῦ καλῶς προτείνοντος καὶ τοῦ καλῶς ἐνισταμένου. p. 164b8 Οὐχ ἅπαντι δὲ διαλεκτέο ν , οὐδὲ πρὸς τὸν τυχόντα γυμναστέο ν . Εἰπὼν πῶς δεῖ γυμνάζεσθαι καὶ διὰ τίνων 〈καὶ τίνων〉 χάριν, ἐπὶ τούτοις καὶ τὸ μέγεθος, ὁποῖον χρὴ τὸν διαλεκτικὸν ἔχειν, δείκνυσι διὰ τοῦ ἀξιοῦν αὐτὸν μὴ πρὸς πάντας διαλέγεσθαι μηδὲ πρὸς τὸν τυχόντα γυμνάζεσθαι. καὶ τὴν αἰτίαν λέγει· συμβαίνει γὰρ πρὸς ἐνίους φαύλους γίνεσθαι τοὺς λόγου ς . ὅτι γὰρ ἐριστικῶς ἀποκρινόμενοι οἱ προσδιαλεγόμενοι παραβαίνοντες τὰ ἔνδοξα καὶ ἐκ παντὸς τρόπου πειρώμενοι τοῖς διαλεγομένοις ἐνίστασθαι, ἀκόλουθον μέν ἐστι καὶ τοὺς ἐπιχειροῦντας ἐκ παντὸς τρόπου πειρᾶσθαι συλλογίζεσθαι τὸ προκείμενον· ἐκφέρονται δὲ καὶ οἱ γυμναζόμενοι πρὸς τοὺς τοιούτους εἰς τὸ ἀγωνιστικὰς ποιεῖσθαι τὰς συνουσίας.

in Top.590 τοῦτο δὲ οὐκ εὔσχημον ποιεῖν· τὸ γὰρ ἐρίζειν τε καὶ σοφίσμασι χρῆσθαι οὐδαμῶς οἰκεῖον τῷ διαλεγομένῳ· τὸ γὰρ διαλέγεσθαι ἢ διὰ τῶν ἐνδόξων γυμνάζεσθαι πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν τὴν ἀναφορὰν ἔχει. διὸ τοῦτο φυλασσόμενον δεῖ μὴ πρὸς πάντα κοινολογεῖσθαι, ἀλλὰ κατὰ τὴν ἀρχὴν κρίνειν εἰ ἄξιοι κοινωνίας, ὅπως μὴ προπετῶς καθέντες ἑαυτοὺς ἀναγκαζώμεθα παραβαίνειν τὸ οἰκεῖον ἔργον ἁμιλλώμενοι τοῖς χείροσιν. p. 164b16 Δεῖ δὲ καὶ πεποιημένους ἔχειν λόγους πρὸς τὰ τοιαῦτ α . Φθάνει μὲν ἤδη πως περὶ τούτου εἰρηκέναι, λέγει δὲ καὶ νῦν. ἀξιοῖ δὲ δεῖν ἑτοίμους καὶ πεποιημένους λόγους ἔχειν καὶ διὰ μνήμης πρὸς τὰ τῶν προβλημάτων τοιαῦτα ἃ χρήσιμά ἐστι πρὸς πολλά. τοιαῦτα δ’ ἂν εἴη τὰ μάλιστα καθόλου· ἔχοντες γὰρ τοὺς περὶ τούτων συλλογισμοὺς χρῆσθαι αὐτοῖς πρὸς πάντα τὰ ὑπ’ αὐτὰ δυνάμεθα. καὶ πρότερον δὲ εἶπεν· ἐλαχίστων δὲ εὐπορήσαντε ς , 〈ἐξ〉 ὧν ὁ τοῦ καθόλου προβλήματος συλλογισμός, πρὸς πλεῖστα λόγους χρησίμους ἕξομε ν . καὶ διότι οὐ ῥᾴδιον περὶ τῶν καθόλου προτάσεων ἐκ τοῦ παρὰ πόδας εὐπορεῖν λέγειν, διὰ τὸ διὰ καθολικῶν γίνεσθαι τὸν περὶ τοῦ καθόλου συλλογισμόν, μὴ εἶναι δὲ ῥᾴδιον τοιούτων εὐπορεῖν προτάσεων, διὰ τοῦτο ἀξιοῖ περὶ τῶν τοιούτων προτάσεων ἔχειν λόγους παρεσκευασμένους. οἷον τὸ μίαν εἶναι τῶν ἀντικειμένων ἐπιστήμην οὐ ῥᾴδιον μὲν συλλογίζεσθαι· συλλογισθέντι μέντοι αὐτῷ ἔνεστι χρῆσθαι καὶ ὅτι τῶν ἐναντίων μία ἐπιστήμη καὶ ὅτι τῶν πρός τι καὶ ὅτι τῶν λοιπῶν, καὶ πάλιν δὲ καθ’ ἕκαστον τῶν ὑπὸ ταῦτα. διὸ χρὴ λόγον τινὰ ἔχειν περὶ τοῦ προβλήματος ὄντος καθολικοῦ παρεσκευασμένον.

in Top.591 εἴη δ’ ἂν τοιοῦτος· τῶν μὴ δυναμένων συνυπάρχειν ἀλλήλοις ἡ αὐτὴ ἐπιστήμη· τὰ δ’ ἀντικείμενα τοιαῦτα. ὅτι δὲ τῶν μὴ δυναμένων συνυπάρχειν ἀλλήλοις ἡ αὐτὴ ἐπιστήμη, οὕτως δείκνυσιν· ἐπιστήμης ἴδιον τὸ εἰδέναι τὸ ὑπάρχον τινί· τῆς αὐτῆς δὲ καὶ τὸ μὴ ὑπάρχον ἅμα ἐκείνῳ εἰδέναι· οὕτως γὰρ εἴσεται τὴν αὐτοῦ τοῦ ὑπάρχειν τινί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org